Oportet autem et ipsorum nomina singillatim perscribere. Ex senatu quidem hi: pansebastus sebastus magnus drungarius dominus Stephanus Comnenus. Gloriosissimus protonotarius et magnus logotheta dominus Iohannes. Illustrissimus a secretis dominus Nicolaus Zonaras. Illustrissimus nomophylax et domesticorum praepositus Theodorus Pantechnes. Ex veneranda autem Deo cararum dignitatum caterva, reliquoque sacro senatu, magnus archidiaconus, magnus oeconomus, chartophylax, sacellarius, protonotarius, canistrarius, referendarius, ab actis, primus ostiarius, magister evangeliorum,

σκων, ὁ πρῶτος ἄρχων τῶν ἐκκλησιῶν, ὁ ἐπὶ τῶν δεήσεων, ὁ δεύτερος ὀστιάριος, ὁ δεύτερος ἄρχων τῶν ἐκκλησιῶν, οἱ λογιώτατοι πατριαρχικοὶ νοτάριοι, ὁ δευτερεύων τῶν διακόνων, καὶ ἕτεροι· οὐκ ὀλίγη τε τῶν περὶ τὸ βῆμα ἐλλογιμωτέρων εὐλαβεστάτων διακόνων ἀπόμοιρα, οἵ γε καὶ ἀδιστάκτῳ γνώμῃ τοῖς περὶ τῆς προσαγωγῆς τῆς ζωοποιοῦ θυσίας διειλημμένοις δεδογμένοις προσκεῖσθαι ξύμπαντες διετείναντο, ὡς μὴ δὲ συζήτησιν οἱανδήτινα ἔχουσι παρὰ τοῖς προσέχειν ὅλως ἐθέλουσιν.

Ἐφ' οἷς ὁ θεοφιλέστατος πρωτέκδικος Μιχαὴλ ὁ τοῦ Θεσσαλονίκης, ὅπως ἔχει καὶ οὗτος φρονήματος περὶ τούτου διερωτώμενος, εἰ καὶ ἀπορητῶς ἔφησε περὶ τούτου διέκειτο πρότερον, ἀλλὰ τὸ ἀπὸ τοῦδε μὴ ἀντιτείνειν μηδ' ὅλως τοῖς δόξασιν ἤδη συνοδικῶς, ἕπεσθαι δὲ τούτοις καὶ αὐτὸς κατετίθετο.

Ὁ μέν τοι Δυῤῥαχίου τὸν οἰκεῖον σκοπὸν καὶ οὗτος εἰπεῖν ἀπαιτούμενος, πρῶτα μὲν γνώμην δέδωκε κατὰ ῥῆμα ταῦτα διαλαμβάνουσαν· δέσποτα μου ἅγιε, καὶ ὑμεῖς δε-

suggestor, primus ecclesiarum praepositus, a supplicibus libellis, secundus ostiarius, secundus ecclesiarum praepositus, doctissimi patriarchales notarii, secundus diaconus, aliique; item non modica pars qui adstant patriarchali throno doctissimorum atque piissimorum diaconorum, qui firmo iudicio propositae circa vivifici sacrificii oblationem sententiae adeo favebant ut ne quaestionem quidem ullam cum iis habituri essent, qui huic dogmati prorsus adhaererent.

Post hos Deo carissimus primus defensor Michaël thessalonicensis, suam pariter sententiam proferre rogatus, ait: se quamvis antea de hac re dubitasset, posthinc tamen sententiae synodicae, quae iam dicebatur, omnino non adversaturum, immo eam secuturum spondebat.

Dyrrachiensis autem, quum et ab ipso postularetur ut sensum suum aperiret, primo quidem hanc ad verbum sententiam

σπόται μου καὶ συλλειτουργοὶ, περὶ μεγάλων πραγμάτων ῥᾳδίως οὐ δύναμαι ἀποφαίνεσθαι· διὰ τοιοῦτο, ὅπερ καὶ ἄλλοτε πολλάκις πρὸς τὴν ὑμετέραν εἶπον ἁγιωσύνην, καὶ νῦν διὰ τῆς παρούσης λέγω γραφῆς μου· ἀξιῶ τὴν ὑμῶν ἁγιωσύνην δοῦναι μοι ἐγγράφως τὰ κινούμενα ζητήματα, καὶ τίνα ἡ ὑμῶν ἁγιωσύνη περὶ τούτων φρονεῖ, ὡς ἂν ἀκριβῶς ταῦτα διασκεψάμενος, καὶ τοῖς τῶν ἁγίων συγκρούσας λόγοις, εἰ μὲν σύμφωνα νοήσω, ἀπαλλάξω ἐμαυτὸν ἀπορίας· καὶ σύμφρων (γενόμενος, εἰ ἔτι) διστάζω, ἐρωτῶ πάλιν καὶ μανθάνω· οὐ γὰρ αἰσχύνομαι τοῦτο· ἐπεὶ καὶ ὁ τῆς θεολογίας ἐπώνυμος ὁ μέγας Γρηγόριος λέγει, βούλομαι διὰ βίου παῖς εἶναι καὶ μαθητής· καί τις τῶν ἔξω σοφῶν, ἀγαθὸν ὅτῳ κἂν ἐν γήρᾳ σοφία καὶ φρόνησις πρόσεστιν· ἐνχωρεῖται γὰρ ἡμῖν παρὰ τῶν ἁγίων καὶ ἀπὸ τούτων ὠφελεῖσθαι· ἡ ἁγία ὑμῶν εὐχὴ χαρισθῇ μοι· ὁ εὐτελὴς μητροπολίτης Δυῤῥαχίου.

protulit: domine mi sancte, vosque domini mei atque consacerdotes, magnis ego de rebus haud facile iudicium meum pronuncio. Idcirco, veluti et aliâs saepe coram vestra sanctitate dixi, nunc etiam praesenti meo scripto aio. Rogo videlicet sanctitatem vestram, ut mihi perscriptae tradantur quae nunc moventur quaestiones, et vestrae sanctitatis de his iudicium; ut his sedulo consideratis, et cum sanctorum doctrina scripta collatis, siquidem haec consona agnovero, memet ipsum dubio expediam, vobisque sine ulla haesitatione adsentiar: et post consensum, siquid insuper dubitavero, vos iterum interrogem et erudiar. Neque enim id erubesco; quandoquidem magnus etiam ille Gregorius, qui theologi nomen sortitus est, ait velle per universam vitam tamquam puerum se gerere et discipulum. Itemque ex ethnicis quidam: recte est, si cuipiam vel in senectute sapientia ac prudentia obtingat. Sancti enim homines ab ethnicis quoque nos discere sinunt. Sanctae vestrae preces mihi faveant! Humilis metropolita Dyrrachii.

Ὡς δὲ ταῦτα περιεῖχε τὸ παρ' αὐτοῦ δεδομένον δελτάριον, καὶ ἤκουσε μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸ διαφόρων χρημάτων γραφικῶν ἐν τῷ μέσῳ προκομιζομένων εἰς συγκροτισμὸν καὶ παράστασιν ἐναργῆ τοῦ ἀμφιβαλλομένου αὐτῷ, τοῦ συνεδρίου αὐτίκα ἐξαναστὰς, ἐπιστὰς ἐπὶ τοῦ μέσου, εἰ καιρὸν ἔφθην ἐξαιτήσασθαι διασκέψεως, ἔφησεν, ἐξ ὧν γνωμοδοτήσας γέγραφα οἷα δειλαινόμενος, ἵνα μὴ λέγω καὶ εὐλαβούμενος, ἑτοιμότατα περὶ τῶν τοιούτων ἀπόκρισιν τίθεσθαι· ἀλλὰ γὰρ πεπεισμένος λοιπὸν ἀφ' ὧν ἐπὶ τοῦ παρόντος ἀκήκοα μαρτυριῶν πολλῶν γραφικῶν, σκέψεως μὲν ἁπάσης τὸ ἐντεῦθεν ἀφίσταμαι· κατατίθεμαι δὲ συμφρονεῖν ἐπὶ τῇ παρούσῃ ὑποθέσει κατὰ πάντα τῇ ἐμῇ ἀδελφότητι· ὅθεν καὶ διατόρῳ ςόματι ἀνακηρύττω τὲ καὶ ὁμολογῶ πιςεύειν ἀληθῶς μὴ τῷ πατρὶ μόνῳ, ἀλλὰ δὴ καὶ τῷ υἱῷ καὶ τῇ παναγίᾳ τριάδι, τὸ ζωοποιὸν αἷμα καὶ σῶμα τοῦ σωτῆρος Χριστοῦ καὶ πρώτως ἐπὶ τοῦ δεσποτικοῦ πάθους προσενηχθῆναι, καὶ ἔκ τοτε τὰς ὁσημέραι τελουμένας ἐν ταῖς ἱεραῖς τελεταῖς

Post oblatum huiusmodi ab eo libellum, quum eo lecto audivisset recitari publice de scriptis varias auctoritates, quae favebant lucideque id confirmabant quod ab eo dubitabatur, statim in consessu surgens et in medium progressus, si antea postulavi, inquit, tempus ad considerandum, ut scripto meo dixi, timidi id fuit ne dicam scrupulosi animi, hac super re nolentis ex abrupto respondere. Verumtamen iis iam convictus, quae recitari audivi huius dogmatis testimoniis, omnem posthinc dubitationem abiicio: aioque me prorsus subscribere vestrae fraternitatis sententiae: ideoque rotundo ore praedico atque confiteor sincere me credere, quod non patri soli, sed etiam filio, totique sanctissimae Trinitati, vivificus sanguis et corpus servatoris Christi, et tunc primum in dominica passione oblatum fuerit; et deinceps quotidianas, quae fiunt in

μυστικὰς ἁγιστείας τῇ τρισυποστάτῳ πάντως θεότητι παρὰ τῶν ταύτας ἱερουργούντων προσάγεσθαι.

Ταῦτα μὲν καὶ ὁ Δυῤῥαχίου· ὡς δὲ ζήλῳ θείῳ κεκίνηντο ξύμπαντες ἱερώτατοι ἀρχιερεῖς ἅμα τῇ ἡμῶν συμπνευσάσῃ μετριότητι, καὶ τῷ προδιαληφθέντι ἁγιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων, τοὺς τῆς κακοδόξου ταύτης θρησκείας γεννήτορας, εἴ τινες ἂν καὶ εἶεν, εἰ μὲν ἐμμένοιεν τῇ σφετέρᾳ καὶ ἔτι αἱρέσει, ἀναθέματι καθυπέγραφον· μετανοοῦντας δὲ οὐκ ἄλλως ἐδέχοντο, ἢ καθὼς οἵ τε θεῖοι καὶ ἱεροὶ κανόνες τὰ περὶ τούτων διακελεύονται, καὶ τῶν πατέρων αἱ παραδόσεις· ταῦτα παρεκβληθέντα τῶν ἡμετέρων σχεδαρίων τῶν συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι βεβαιωθέντα Ἰωάννου θεοφιλεστάτου χαρτοφύλακος τοῦ Παντεχνοῦς, ἐπεδόθη μηνὶ καὶ ἰνδικτιῶνι τοῖς προγεγραμμένοις, ἔτει ,ςχξδʹ· ἡ ὑπογραφὴ· ὁ χαρτοφύλαξ Ἰωάννης Παντεχνής.

sacris mysteriis, mysticas oblationes, deitati in tribus personis subsistenti, ab iis qui sacris operantur offerri.

Hactenus Dyrrachiensis. Tunc vero universi sacratissimi antistites, suffragante mea quoque mediocritate, praedictoque sanctissimo Hierosolymorum patriarcha, divino zelo commoti sunt, ut insanae huius doctrinae auctores, si qui essent, atque in sua adhuc haeresi perseverarent, anathemati subiicerent: quod si forte resipiscerent, non aliter eos esse recipiendos quam divini sacrique canones patrumque traditiones iubent. Haec ex commentariis actorum synodicorum excerpta, subscriptione et sigillo Iohannis Deo carissimi chartophylacis Pantechnis firmata, edita sunt mense et indictione praedictis, anno VIM.DLXIV. (Christi 1156.) Subscriptio. Iohannes Pantechnes chartophylax.

ΠΑΤΕΡΩΝ ΧΡΗΣΕΙΣ.

Περὶ τοῦ ὅτι ἑκάστης ἡμέρας θύεται ὁ ἀμνὸς τοῦ θεοῦ ὁ υἱὸς τοῦ πατρὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καθὼς καὶ οἱ τὴν μυστικὴν ἐπιτελοῦντες καθ' ἑκάστην θυσίαν καθ' ἑαυτοὺς ὑποφωνοῦσιν αὐτῷ ταῦτα ἐπιτελεῖν.

Ἀνδρέου Κρήτης ἀπὸ τοῦ λόγου τοῦ εἰς τὴν βαϊοφόρον.

Εἰ τοίνυν οὕτω τρέχομεν, δυνησόμεθα καὶ αὐτοὶ τὸν διὰ παντὸς ὑπὲρ ἡμῶν ἀθύτως θυόμενον, θύεται γὰρ ἐν ἀντιτύποις ὑπὲρ ἡμῶν συμβόλοις ἱεροθετούμενος, ὅλον αὐτὸν ἐν ἡμῖν ὑποδέξασθαι καὶ οὐσιωδῶς εἰσοικίσασθαι, ὡς ἄρτον μὲν ἐσθιόμενον, ὡς ἀμνὸν δὲ νοούμενον. (1)

Τοῦ κυροῦ Λέοντος τοῦ Βουλγαρίας τοῦ πρωτουπροβλήτου παρὰ τοῦ μακαρίτου καλοῦ ἤτοι Βασιλείου (2) ἐκ τῆς περὶ τῶν ἀζύμων ἐπιστολῆς αὐτοῦ.

Ὥσπερ ὁ Ἰσραὴλ διαβὰς τὴν Ἐρυθρὰν ἐτέλεσε τὸ πά-

PATRUM AUCTORITATES.

Quod singulis diebus immolatur agnus Dei, Patris filius, qui tollit peccata mundi; sicuti et illi, qui mysticum quotidie sacrificium peragunt, apud se submissa voce se ita agere adfirmant.

Andreae cretensis ex sermone de ramis palmarum.

Si igitur ita currimus, nos quoque poterimus pro nobis omnino sine cruore immolatum (etenim in symbolicis speciebus sacrificatur) totum ipsum intra nos recipere, et substantialiter introducere, manducatum quidem ceu panem, mente tamen uti revera agnum intellectum.

Domini Leonis Bulgariae, qui primus promotus fuit a beato Calaphate imperatore, ex eius epistola de azymis.

Sicuti Israël transmisso Erythraeo, pascha celebravit, im-

(1) Edit. Combefis. p. 81.

(2) Audeo corrigere Καλαφάτου βασιλέως. Nam Calaphates regnavit

σχα θύσας καὶ φαγὼν τὸν ἀμνόν. Καὶ μετ' ὀλίγα. Οὕτω καὶ ἡμεῖς ἐπὶ τὴν γῆν τῆς ἀπαθείας τῷ θείῳ διαβάντες βαπτίσματι, ἐθύσαμεν καὶ ἔτι θύομεν εὐδοκίᾳ τοῦ πατρὸς τὸν νοητὸν ἀμνὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Θεοδωρήτου ἐκ τοῦ κδʹ κεφ. τῶν εἰς τὸ ἀπόῤῥητον τῆς ἐξόδου ἑρμηνειῶν, οὗ ἡ ἀρχή· διὰ τί διαφεύγουσιν, ἐπιτελέσαι προσέταξε τοῦ πάσχα τὴν ἑορτήν; (1)

Παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν, καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας, τοὺς σταθμοὺς ἐπιχρίσαι καὶ τὴν φλιάν· ἵνα ὅταν εἰσέλθῃ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν ἑβραίων τὰς οἰκίας· οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἡ ἀσώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου τούτου κἀκείνους ἔδει μαθεῖν τὴν τοῦ θεοῦ κηδεμονίαν, καὶ ἡμᾶς τοὺς

molans agnum et comedens. Et paulo post. Sic et nos ad terram immortalitatis per divinum baptisma pergentes, immolavimus et adhuc immolamus, cum patris beneplacito, rationalem agnum dominum nostrum Iesum Christum.

Theodoreti ex vigesimo quarto capitulo interpretationum in obscuriores exodi locos, cuius est initium: cur fugientibus mandavit paschae festum celebrare.

Mandavit, accepto hyssopi fasciculo, et sanguine immolatae ovis tincto, postes ac limen inungi; ut cum exterminator ad percutiendos Aegyptiorum primogenitos veniret, viso sanguine, Hebraeorum domos praeterveheretur: non quod huiusmodi signis incorporea natura indigeret; sed quia per hoc

Constantinopoli anno 1041; Leo autem dicitur electus anno 1040. apud Coletum Illyr. sacr. T. VIII. p. 198. col. 2. Vix igitur tempora variant. Catalogus vero episcoporum achridensium apud Lequinium Or. chr. T. II. p. 292. dicit hunc primum ex byzantino clero fuisse electum. Porro huius epistola de azymis extat ms. in variis codicibus. Ceterum apud Bandinium quoque rer. graecar. T. II. p. 14. legitur Βασιλείου.

(1) Edit. Sirmond. T. I. p. 90.

τὸν ἄμωμον ἀμνὸν θύοντας, γνῶναι προδιαγραφέντα τὸν τύπον. Καὶ μετ' ὀλίγα. Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα· χρίομεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου ἀμνοῦ θυομένου οὐ μόνον τὴν φλιὰν, ἀλλὰ καὶ τοὺς δύο σταθμοὺς, τὴν γλῶσσαν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες· κατὰ δὲ τὸ νοούμενον, ἀντὶ μὲν φλιᾶς τὸ λογικὸν, ἀντὶ δὲ δύο σταθμῶν τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικόν.

Τοῦ μεγάλου Βασιλείου ἐκ τῆς εἰς τὸν προφήτην Ἡσαΐαν ἐξηγήσεως. (1)

Καὶ ἔοικεν ὁ πᾶς περὶ θυσιῶν καὶ ὁλοκαυτωμάτων λόγος, τῷ περὶ ἐλέους καὶ ἀγάπης ἐμπεριέχεσθαι λόγῳ· ἐπεὶ καὶ ὅλος ὁ νόμος ἀνακεφαλαιοῦται ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν· καὶ ὁ περὶ τῶν ἑορτῶν δὲ λόγος, τῷ αὐτῷ εἴδει τῆς ἐξηγήσεως ὑπαχθήσεται· ὥστε καὶ τὸ πάσχα μὴ ἑορτάζειν ἡμᾶς ἐν ζύμῃ κακίας καὶ πονηρίας,

symbolum oportebat et illos Dei providentiam, et nos quoque qui immaculatum agnum immolamus, typum iamdiu descriptum agnoscere. Et paulo post. His autem omnibus mysteria nostra portendebantur. Nam et nos quoque ungimus agni nostri immolati sanguine non tantum limen, verum etiam utrumque postem, linguam videlicet ac labra purgantes et sanctificantes. Porro intelligitur in limine quidem rationalis facultas, in duobus autem postibus iracundia et concupiscentia.

Magni Basilii, ex commentariis in Isaiam prophetam.

Quaecumque de victimis et holocaustis dicuntur, ea referri videntur ad misericordiae et charitatis rationem, quia lex quoque universa hoc praecepto comprehenditur, diliges proximum tuum sicut te ipsum. Festorum quoque institutum eidem interpretationi obnoxium erit: ita ut pascha celebre-

(1) Edit. Garner. T. I. p. 401, ubi perperam ἑορτῶν τόπος pro λόγος.

ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, θυομένου πρὸς ἑσπέραν, τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, τοῦ ἀληθινοῦ προβάτου Χριστοῦ, οὗ ἡ σὰρξ ἀληθής ἐστι βρῶσις.

Τοῦ Δαμασκηνοῦ ἐκ τοῦ περὶ τῶν ἁγίων καὶ ἀχράντων τοῦ κυρίου μυστηρίων, κεφ. πϛ'. (1)

Οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ κυρίου τεθεωμένον· αὐτοῦ τοῦ κυρίου εἰπόντος, τοῦτό μου ἐστὶν, οὐχ ὁ τύπος τοῦ σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐχ ὁ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα· καὶ πρὸ τούτου τοῖς ἰουδαίοις, ὅτι εἰ μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, οὐκ ἔχετε ζωὴν αἰώνιον· ἡ γὰρ σάρξ μου, ἀληθής ἐςι βρῶσις· καὶ τὸ αἷμα μου, ἀληθής ἐςι πόσις. Καὶ πάλιν. Ὁ τρώγων με, ζήσεται. Καὶ μετ' ὀλίγα. Αὕτη ἐστὶν ἡ καθαρὰ θυσία δηλαδὴ καὶ ἀναίμακτος, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου

mus non in fermento malitiae et improbitatis, sed in azymis sinceritatis et veritatis; immolata vespere, id est in saeculi fine, vera ove Christo, cuius caro verus est cibus.

Damasceni ex capitulo LXXXVI. de sanctis atque purissimis Domini mysteriis.

Panis vinumque haud sunt typi corporis et sanguinis Christi; absit; sed ipsum Christi corpus est quod oculis obiicitur, ipso Domino dicente: hoc est, non corporis typus, sed corpus; neque sanguinis typus, sed sanguis. Immo et antea Iudaeis dixerat: nisi manducaveritis carnem filii hominis, non habebitis vitam aeternam. Caro enim mea verus est cibus, et sanguis meus verus est potus. Et rursus: qui me manducat, vivet. Et paucis interiectis: haec est pura victima atque incruenta, quam ab ortu solis usque ad occasum ipsimet oblatum iri ait per prophetam Dominus. Et paulo post. Quod

(1) Edit. Lequinii T. I. p. 271-273.

ὁ κύριος ἔφησε. Καὶ μετ' ὀλίγα. Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος ἔφη Βασίλειος, οὐ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ τρίτου λόγου τοῦ περὶ ἱερωσύνης. (1)

Ὅταν γὰρ ἴδῃς τὸν κύριον τεθυμένον καὶ κείμενον, καὶ τὸν ἀρχιερέα ἐφεστῶτα τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ θείῳ φοινισσομένους αἵματι, ἆρα ἔτι μετὰ τῶν ἀνθρώπων εἶναι νομίζεις καὶ ἐπὶ γῆς ἑστάναι, ἀλλ' οὐκ εὐθέως ἐπὶ τοὺς οὐρανοὺς μετανίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβαλὼν, γυμνῇ τῇ ψυχῇ καὶ καθαρῷ τῷ νῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; ὢ τοῦ θαύματος· ὢ τῆς τοῦ θεοῦ φιλανθρωπίας· ὁ μετὰ τοῦ πατρὸς ἄνω καθήμενος, κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσὶ, καὶ δίδωσιν αὐτὸν τοῖς βουλομένοις περιπτύξασθαι

siqui antitypa corporis et sanguinis Domini panem et vinum appellaverunt, sicuti divus Basilius, haud post, sed ante santificationem, ita de oblatione locuti sunt.

Chrysostomi ex tertio libro de sacerdotio.

Quum videris immolatum Dominum et in mensa positum, sacerdotemque hostiae adsistentem atque orantem, cunctosque divino illo sanguine delibutos; num adhuc te existimas inter homines atque in hac terrestri regione versari, et non potius te protinus in caelos transferri, omnique carnali cogitatione ex animo abiecta, nudo spiritu puraque mente caelestia regna spectare! O miraculum! O Dei erga homines charitatem! Qui cum patre superne sedet, hora illa omnium manibus tenetur, seque tradit amplecti, teneri, et frui volentibus. Stat sacerdos, haud ignem sicut Helias ferens, sed sanctum

(1) Edit. Montfauc. T. I. p. 382.

καὶ περιλαβεῖν καὶ κατατρυφῆσαι· [a] ἕστηκεν ὁ ἱερεὺς, οὐ πῦρ καταφέρων κατὰ τὸν Ἠλιοῦ, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον· καὶ τὴν ἱκετηρίαν ἐπὶ πολὺ ποιεῖται, οὐχ ἵνα τὶς λαμπὰς ἄνωθεν ἀφθεῖσα [b] καταναλώσῃ τὰ προκείμενα, ἀλλ' ἵνα ἡ χάρις ἐπιπεσοῦσα τῇ θυσίᾳ, δι' ἐκείνης τὰς ἁπάντων ἀνάψῃ ψυχὰς, καὶ ἀργυρίου λαμπροτέρας ἀποδείξῃ πεπυρωμένου· ταύτης οὖν τῆς φρικωδεστάτης τελετῆς τὶς μὴ μαινόμενος μηδὲ ἐξεστηκὼς, ὑπερφρονῆσαι δυνήσεται; ἢ ἀγνοεῖς ὅτι οὐκ ἄν ποτε ἀνθρωπεία ψυχὴ τὸ πῦρ ἐκεῖνο τῆς θυσίας ἐβάστασεν, ἀλλὰ ἄρδην ἅπαντες ἠφανίσθησαν, εἰ μὴ πολλὴ τῆς τοῦ θεοῦ χάριτος ἦν ἡ βοήθεια; εἰ γάρ τις ἐννοήσειεν ὅσον ἐστὶν ἄνθρωπον ὄντα καὶ ἔτι σαρκὶ καὶ αἵματι πεπλεγμένον, τῆς μακαρίας καὶ ἀκηράτου φύσεως ἐκείνης ἐγγὺς δυνηθῆναι γενέσθαι, τότε εἴσεται καλῶς, ὅσης τοὺς ἱερεῖς τιμῆς ἡ τοῦ ἁγίου πνεύματος ἠξίωσε χάρις· δι' ἐκείνης γαρ καὶ ταῦτα τελειοῦται, καὶ ἕτερα τούτων οὐδὲν ἀποδέοντα.

Spiritum; precesque diu protrahit, non ut flamma desuper accensa propositam oblationem absumat, sed ut gratia in victimam decidens, per ipsam omnium animos inflammet, ignitoque argento lucidiores efficiat. Quis hoc ergo tremendum mysterium, nisi plane insanit ac furit, despicere poterit? An nescis, nullam humanam animam ignem huius sacrificii fore toleraturam, immo omnes destructum iri, nisi validum divinae gratiae adesset praesidium? Si quis enim cogitet quanti negotii sit, hominem carne adhuc et sanguine implicitum, ad beatam illam et incorruptam naturam proxime accedere, tunc praeclare intelliget, quantum sacerdotibus honorem sancti Spiritus gratia largita sit. Per hanc enim et haec et alia etiam his haud inferiora efficiuntur.

(a) Deest κατατρυφῆσαι in edit. (b) Edit. ἀφεθεῖσα.

Τοῦ αὐτοῦ ἐκ τοῦ ἕκτου περὶ ἱερωσύνης λόγου. (1)

Ὅταν δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον καλῇ, καὶ τὴν φρικωδεστάτην ἐπιτελῇ θυσίαν, καὶ τοῦ κοινοῦ πάντων συνεχῶς ἐφάπτηται δεσπότου, ποῦ τάξομεν, εἰπέ μοι; πόσην δὲ αὐτὸν ἀπαιτήσομεν καθαρότητα, καὶ πόσην εὐλάβειαν; ἐννόησον γὰρ ὁποίας τὰς ταῦτα διακονουμένας χεῖρας εἶναι χρή· ὁποίαν τὴν γλῶσσαν τὴν ἐκεῖνα προχέουσαν τὰ ῥήματα· τίνος δὲ οὐ καθαρωτέραν καὶ ἁγιωτέραν τὴν τοσοῦτον πνεῦμα ὑποδεξομένην ψυχήν· τότε καὶ ἄγγελοι παρεστήκασι τῷ ἱερεῖ, καὶ οὐρανίων δυνάμεων ἅπαν τὸ βῆμα, καὶ ὁ περὶ τὸ θυσιαστήριον πληροῦται τόπος εἰς τιμὴν τοῦ κειμένου· καὶ τοῦτο ἱκανὸν μὲν πεισθῆναι καὶ ἐξ αὐτῶν τῶν ἐπιτελουμένων τότε· ἐγὼ δὲ καί τινος ἤκουσα διηγουμένου ποτὲ, ὅτι αὐτῷ τίς πρεσβύτης θαυμαστὸς ἀνὴρ καὶ ἀποκαλύψεις ὁρᾷν εἰωθὼς, ἔλεγεν ὄψεως ἠξιῶσθαι τοιαύτης ποτὲ, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἄφνω πλῆθος ἀγγέλων ἰδεῖν, ὡς αὐτῷ δυνατὸν ἦν,

Eiusdem ex sexto de sacerdotio libro.

Cum autem et sanctum Spiritum invocat, et tremendum mysterium perficit, et communem continuo dominum contigerit, quidnam, oro, de sacerdote existimabimus? quantam in eo puritatem, quantam pietatem exigemus? Cogita enim quales esse debeant, quae talia tractant manus; qualis lingua, quae illa verba effundit; quid ni purissima et sanctissima anima, quae tantum Spiritum recipit. Tunc et angeli sacerdoti adstant, et caelestibus virtutibus totum sanctuarium atque omnis circa altare locus impletur, ob eum honorandum qui illic iacet. Quod quidem facile nobis persuadere potest ipsa mysteriorum, quae ibi fiunt, dignitas. Ego vero etiam quendam narrantem audire memini, se a sene viro admirabili, et revelationes videre solito intellexisse, quod is nimirum visionis huiusmodi beneficio fruitus esset, ut per illud tem-

(1) Edit. p. 424.

στολὰς ἀναβεβλημένων λαμπρὰς, καὶ τὸ θυσιαστήριον κυκλούντων, καὶ κάτω νευόντων, ὡς ἂν εἴ τις στρατιώτας βασιλέως παρόντος ἑστηκότας ἴδοι· ὃ ἐγὼ πείθομαι.

Τοῦ αὐτοῦ ἐκ τῆς κατὰ ἰουδαίων βίβλου. (1)

Προμηνύων ὁ θεὸς τὴν κατάλυσιν τῆς νομικῆς ἱερωσύνης, εἴρηκε διὰ τοῦ Δαβὶδ· σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ὃς οὐ θυσίας νομικὰς ἱέρευεν, ἀλλ' εὐχὰς καὶ ἄρτον καὶ οἶνον, ὡς ἡ ἱστορία διδάσκει· πρόδηλον δὲ ὡς τῇ μὲν ἱερωσύνῃ τοῦ Ἀαρὼν συνανῃρέθη καὶ ἡ νομικὴ πολιτεία· τῇ δὲ τοῦ Μελχισεδὲκ συναντεισήχθη πολιτεία προσήκουσα.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείας.

Καὶ ὥσπερ ἡ παλαιὰ πρόβατα καὶ μόσχους εἶχεν, οὕτως αὕτη ἡ καινὴ τὸ αἷμα τὸ δεσποτικόν· τοῦτο ποιεῖτε, φησὶν, εἰς τὴν ἐμὴν ἀνάμνησιν· εἶδες πῶς ἐξάγει τῶν ἰου-

pus multitudinem angelorum aspiceret, quantum homini liceret, vestibus indutam splendidis, circa altare diffusam, demissis humi oculis, ceu milites videre est qui regi praesenti adstant. Cui prorsus ego narrationi adsentior.

Eiusdem ex libro adversus Iudaeos.

Portendens Deus legalis sacerdotii dissolutionem, ait per Davidem: tu es sacerdos in aeternum secundum ordinem Melchisedec, qui nequaquam legales victimas offerebat, sed preces panemque et vinum, ut sacra historia tradit. Constat autem legalem quoque politiam simul cum Aaronis sacerdotio cessasse, Melchisedeci vero sacerdotium cum conveniente sibi politia successisse.

Eiusdem ex interpretatione evangelii secundum Matthaeum.

Et sicuti prisca lex oves vitulosque habuit, ita haec nova dominicum sanguinem: hoc facite, inquit, in meam comme-

(1) Confer orat. VII. adversus Iudaeos.

δαϊκῶν ἐθῶν καὶ ἀφίστησι· καθάπερ ἐκεῖνο ἐποιεῖτε, φησὶν, εἰς ἀνάμνησιν τῶν ἐν Αἰγύπτῳ θαυμάτων, οὕτως καὶ τοῦτο εἰς τὴν ἐμήν· ἐκεῖνο ἐξεχύθη εἰς σωτηρίαν τῶν πρωτοτόκων, τοῦτο εἰς ἄφεσιν ἁμαρτιῶν τῆς οἰκουμένης ἁπάσης· τί οὖν; χρὴ ποιεῖν κἀκεῖνο τὸ παλαιόν, φησίν; οὐδαμῶς· διὰ γὰρ τοῦτο εἶπε, τοῦτο ποιεῖτε, ἵνα ἐκείνου ἀπαγάγῃ· εἰ γὰρ τοῦτο ἄφεσιν ἁμαρτιων ἐργάζεται, ὥσπερ οὖν καὶ ἐργάζεται, περιττὸν ἐκεῖνο λοιπόν.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Ὅρα γάρ· ἄνω ἔχομεν τὸν ἱερέα, ἄνω τὴν θυσίαν· τοιαύτας ἀναφέρομεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι θυσιαστηρίῳ.

Τοῦ αὐτοῦ εἰς τὸν ἀπόστολον Θωμᾶν.

Οἶδα τὸν Χριςὸν τὸν υἱὸν τοῦ θεοῦ καὶ πατρὸς ὡς θεόν· οἶδα τὸν Χριστὸν τῆς δούλης αὐτοῦ καὶ μητρὸς ὡς υἱὸν φε-

morationem. Viden ut abducit a iudaicis ritibus et abstrahit? Sicut illud faciebatis, inquit, ob commemorationem aegyptiacorum miraculorum, ita et hoc, inquit, ob memoriam mei. Illud ob primogenitorum salutem effusum fuit, hoc in remissionem peccatorum universi orbis. Quid ergo? Num etiam antiquum illud, ait, sacrificium faciendum est? Nego enimvero. Propterea enim dixit, hoc facite, ut ab illo abstraheret. Nam si hoc remissionem peccatorum, ut reapse fit, operatur, superest ut illud iam sit inutile.

Eiusdem ex interpretatione epistolae ad Hebraeos.

Specta enim: superne sacerdotem habemus, superne victimam. Tales nos adducimus victimas, quae in illo queunt altari offerri.

Eiusdem ex sermone de Thoma apostolo.

Scio Christum Dei patris filium tamquam Deum. Scio Christum matris ancillae suae tamquam filium manibus gestatum.

ρόμενον· οἶδα τὸν Χριςὸν ὁμοούσιον τῷ Θεῷ καὶ πατρί· οἶδα τὸν Χριςὸν ὁμοούσιον τοῖς ἀνθρώποις, ὡς ἄνθρωπον ἐξ ἀνθρώπου· οἶδα τὸν Χριστὸν ἐπουράνιον καὶ ἐπίγειον, ἀόρατον καὶ ὁρωμένον· οἶδα τὸν Χριστὸν ἀψηλάφητον, καὶ παρὰ τοῦ Θωμᾶ ψηλαφώμενον· οἶδα τὸν Χριςὸν χιλιάδας ῥήματι θρέψαντα, καὶ νεκροὺς ἀναςήσαντα, καὶ μυρία ποιήσαντα θαύματα τῇ δυνάμει τῆς οἰκείας θεότητος· οἶδα τὸν Χριστὸν πεινάσαντα καὶ διψήσαντα καὶ ἀγωνιάσαντα καὶ κοπιάσαντα καὶ ἱδρώσαντα τῇ φύσει τῆς ἀνθρωπότητος· οἶδα τὸν Χριστον ἀποθανόντα σαρκί· γνωρίζων τῶν δύο φύσεων αὐτοῦ τὸ διάφορον, οὐ μερίζω τὸν ἕνα υἱὸν εἰς δύο υἱούς. (1)

Τοῦ αὐτοῦ εἰς τὰ φῶτα. (2)

Οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· υἱὸς ὁμοούσιος, οὐχ ἑτεροούσιος· ὁμοούσιος ἐμοὶ κατὰ τὸ ἀόρατον, καὶ ὁμοούσιος ὑμῖν κατὰ τὸ ὁρώμενον, χωρὶς ἁμαρτίας·

Scio Christum Deo patri consubstantialem. Scio Christum hominibus consubstantialem, uti hominem ex hominibus. Scio Christum caelestem et terrenum, invisibilem et visibilem. Scio Christum impalpabilem, et a Thoma palpatum. Scio Christum phalangem verbo prosternentem, eumdemque mortuos suscitantem, et plurima efficientem miracula suae divinitatis virtute. Scio Christum esurientem, sitientem, agonizantem, laborantem, sudantem in humana natura. Scio Christum in carne mortuum. Et quamquam naturarum eius differentiam agnosco, unicum filium in duos filios non divido.

Eiusdem in sancta lumina.

Hic est filius meus dilectus in quo mihi complacui. Filius consubstantialis non alius substantiae; consubstantialis mihi quatenus invisibilis, consubstantialis vobis quatenus visibilis,

(1) Conferantur haec cum edit. T. VIII. ubi de S. Thoma, sed aliter.

(2) De hoc argumento non semel concionatus est Chrysostomus, ut constat ex editis eius sermonibus.

οὐκ ἄλλος ἐστὶν ὁ υἱός μου· καὶ ἄλλος ὁ Μαρίας υἱός· μὴ διέλετε τὴν ἀνθρωπότητα αὐτοῦ ἀπὸ τῆς θεότητος αὐτοῦ· ἀχώριστα γάρ.

Τοῦ αὐτοῦ ἐκ τῆς εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἑρμηνείας.

Ἡνίκα προσέρχῃ τῷ θυσιαστηρίῳ, καὶ μεταλαμβάνεις τὸ αἷμα Χριστοῦ ἐκ τοῦ ποτηρίου, οὕτω νόμιζε, ὅτι τὸ στόμα σου τῇ πλευρᾷ Χριστοῦ προσέθηκας, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ πείνεις.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἑρμηνείας.

Ὥσπερ γὰρ ἰουδαῖοι περιτέμνονται, ἡμεῖς δὲ βαπτιζόμεθα· καὶ ὥσπερ ἐκεῖνοι τὸν πατέρα μόνον θεὸν ὁμολογοῦσιν, ἡμεῖς δὲ σὺν τῷ πατρὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· ὥσπερ τὲ ἔθυον ἐκεῖνοι πρόβατον, ἣν δὲ τύπος τοῦ Χριστοῦ, ἡμεῖς οὐκέτι τὸν τύπον θύομεν πρόβατον, ἀλλὰ τὸν Χριςὸν αὐτὴν τὴν ἀλήθειαν.

sed sine peccato. Non est alius filius meus, et alius Mariae filius. Ne separetis humanitatem eius ab eiusdem divinitate; sunt enim indivisibiles.

Eiusdem ex interpretatione evangelii secundum Iohannem.

Cum ad altare accedis, et Christi sanguinem ex calice hauris, existima te ad Christi latus os apponere, atque inde potare.

Eiusdem ex eadem interpretatione.

Sicuti enim Iudaei circumciduntur, ita et nos baptizamur. Sicuti illi unum Deum patrem confitentur, sic nos cum Patre Filium quoque et Spiritum sanctum. Sicut illi ovem mactabant quae Christi typus erat, sic nos haud amplius ovem typum immolamus, sed ipsam veritatem Christum.

Τοῦ θεολόγου ἐκ τοῦ λόγου τοῦ περὶ θεολογίας,
καὶ καταστάσεως ἐπισκόπων.

Κείμενον. Τοῦ μεγάλου θεοῦ καὶ θύματος καὶ ἀρχιερέως. Ἑρμηνεία τοῦ ἐλαχίστου [1] Βασιλείου. Μεγάλου μὲν θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγει, ἀλλ' οὐχὶ τοῦ πατρὸς νῦν· τοῦτο σημειούμεθα πρὸς τοὺς τὸ μεγάλου, τῷ πατρὶ μόνῳ περιγράφοντας, τῷ δ' υἱῷ τὰ δευτερεῖα διδόντας· θύματος δὲ καὶ ἀρχιερέως τὸ μὲν ὡς σφαγιασθέντος, καὶ ὑπὲρ τῆς ἡμετέρας προσενεχθέντος σωτηρίας· τὸ δὲ ὡς οὐχ ὑπ' ἄλλου, ὑφ' ἑαυτοῦ δὲ ἑαυτὸν τεθυκότος, καὶ εἰς σφαγὴν ἑκούσιον προτεθεικότος.

Τοῦ ἁγίου Μαξίμου. [2]

Ὁ τοῦ θεοῦ λόγος ἐφάπαξ κατὰ σάρκα γεννηθεὶς, ἀεὶ γεννᾶται, θέλων κατὰ πνεῦμα διὰ φιλανθρωπίαν τοῖς θέ-

Theologi ex oratione de theologia et episcoporum
constitutione.

Textus. Magni Dei et hostiae et pontificis. Basilii minimi interpretatio. Magnum quidem Deum, dominum nostrum Iesum Christum dicit, non tamen nunc patrem. Hoc adnotamus adversus illos qui vocabulum « magnum » patri tantum adscribunt, filio autem partes secundas dant. Hostiam porro et pontificem appellant, illud quidem ob passionem et pro nostra salute oblationem; alterum autem, quia non ab alio sed propria voluntate immolatus fuit, et ad voluntariam mortem accessit.

Sancti Maximi.

Dei Verbum semel in carne natum, his quidem qui volunt, sponte ob suam erga homines charitatem semper renascitur.

(1) Cod. μεγάλου, certo errore amanuensis de magno Basilio cogitare soliti. Atqui non *magni*, sed *minimi* Basilii habentur manuscripti commentarii ad Nazianzeni orationes, a me quoque observati in codd. De his loquitur Bandinius cod. gr. laurent. T. I. p. 536.

(2) In capitulis theologicis ed. Combefis. T. I. p. 512.

λουσι· καὶ γίνεται βρέφος ἑαυτὸν ἐν ἐκείνοις σωματικῶς διαπλάττων ταῖς ἀρεταῖς, καὶ τοσοῦτον φαινόμενος ὅσον χωρεῖν ἐπίσταται τὸν δεχόμενον, οὐ φθόνῳ σμικρύνων τοῦ οἰκείου μεγέθους τὴν ἔκφανσιν, ἀλλὰ μέτρῳ σταθμίζων τῶν ὁρᾶν * ποθούντων τὴν δύναμιν· οὕτως ἀεὶ φαινόμενος τοῖς τρόποις τῶν μετόχων ὁ τοῦ θεοῦ λόγος, ἀεὶ διαμένει κατὰ τὴν ὑπερβολὴν τοῦ μυστηρίου τοῖς πᾶσιν ἀθέατος· ὅθεν σοφῶς τοῦ μυστηρίου ὁ θεῖος ἀπόστολος τὴν δύναμιν διασκοπήσας φησίν· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· εἰδὼς ἀεὶ καινὸν μυστήριον, καὶ μηδέποτε περιλήψει νοὸς παλαιούμενον.

* cod. ἐρῶν.

Φωτίου πατριάρχου ἐκ τοῦ λόγου τοῦ περὶ τῆς τοῦ ἁγίου πνεύματος μυσταγωγίας.

Διὰ τοῦτο μετ' ὀλίγον ἐπιφέρει, ὅτι ἐκεῖνο ἐμὲ δοξάσει· πανταχοῦ τὸ ὁμοούσιον καὶ ὁμοφυὲς, καὶ τὸ τῆς ὁμοτιμίας ἀξίωμα, ἀκήρατον συντηρῶν· ὡς ἄν τις εἴπῃ, κοινόν ἐστι τὸ τῆς ὑπερουσίου καὶ ὑπερδεδοξασμένης τριάδος τὸ παρ'

Fitque infans, se ipsum virtutibus corporaliter in illis effingens, tantumque se demonstrans quantum continere valet ille qui capit; haud sane invidia aliqua suae magnitudinis speciem minuens, sed quia trutina veluti examinat illorum qui se videre cupiunt virtutem. Sic igitur semper apparens, pro recipientium merito Dei Verbum, semper manet per mysterii excellentiam invisibile. Unde sapienter divus apostolus mysterii virtutem discernens, ait: Iesus Christus heri et hodie, idemque in aeternum. Sciens semper novum esse mysterium, et nulla mentis comprehensione veterascens.

Photii patriarchae ex sermone de sancti Spiritus mystagogia.

Idcirco paulo post addit: ille me glorificabit; ubique scilicet consubstantialitatem, et unitatem naturae, parisque honoris dignitatem incolumem servans. Tamquam siquis di-

ἀλλήλων ἀῤῥήτῳ λόγῳ δοξάζεσθαι. Καὶ μετ' ὀλίγα. Καὶ ἔστιν αὐτῶν ὥσπερ κοινὸν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ τὸ κράτος· οὕτω καὶ ἡ δόξα, οὐ μόνον ἡ παρ' ἡμῶν ἀναφερομένη, ἀλλὰ καὶ ἣν αὐτοὶ δέχονται παρ' ἑαυτῶν.

Τοῦ μεγάλου Ἀθανασίου ἐκ τοῦ περὶ τῆς ἐνανθρωπήσεως λόγου.

Πρῶτον οὖν τὸ ἴδιον σῶμα ἤγειρεν ἐκ νεκρῶν ὁ κύριος καὶ συνύψωσεν ἑαυτῷ· μετὰ ταῦτα ἐγερεῖ καὶ τὰ μέλη τοῦ σώματος αὐτοῦ, ἵνα χαρίσηται αὐτοῖς τὰ πάντα ὡς Θεὸς, ὅσα αὐτὸς ὡς ἄνθρωπος ἔλαβεν· αὐτὸς οὖν ἑαυτῷ χαρίζεται ζωὴν, καὶ αὐτὸς ἑαυτὸν ἁγιάζει, καὶ αὐτὸς ἑαυτὸν ὑψοῖ· ὅτε οὖν λέγει, ὅτι ὁ πατὴρ ἡγίασεν αὐτὸν, καὶ ἤγειρεν αὐτὸν, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ ἔδωκεν αὐτῷ ζωὴν, δῆλον ὅτι δι' αὐτοῦ τὰ πάντα ποιεῖ ὁ πατήρ· δι' αὐτοῦ οὖν αὐτὸν ἐγείρει, καὶ δι' αὐτοῦ αὐτὸν ἁγιάζει, καὶ δι' αὐτοῦ αὐτὸν ὑψοῖ, καὶ δι' αὐτοῦ τὴν ζωὴν αὐτῷ δίδωσιν· καὶ ὅτε παρατίθεται τὸ πνεῦμα αὐτοῦ ὡς

ceret, supersubstantiali et gloriosissimae Trinitati commune esse, ut se invicem ineffabili oratione dilaudent. Et paucis interiectis. Est illis communis dominatio, virtus, potentia: sic rursus et gloria, non ea solum quae a nobis adtribuitur, verum etiam illa mutua quam inter se invicem accipiunt.

Magni Athanasii ex sermone de incarnatione.

Primo quidem suum à mortuis suscitavit corpus Dominus, secumque exaltavit. Deinde membra quoque corporis sui suscitabit, ut omnia illis largiatur utpote Deus, quaecumque ipse suscepit ut homo. Ipse igitur sibi impertitur vitam, ipse se sanctificat, ipse se exaltat. Cum ergo ait, quod Pater ipsum sanctificavit, et resuscitavit, sibique nomen super omne nomen largitus est, vitamque donavit, satis constat, quod per ipsum omnia Pater operatur. Per ipsum itaque eundem suscitat, per ipsum eundem sanctificat, per ipsum eundemmet

ἄνθρωπος εἰς χεῖρας τοῦ πατρὸς, ἑαυτῷ παρατίθεται ὡς θεῷ, ἵνα πάντας ἀνθρώπους παράθηται τῷ θεῷ· αὐτὸς γὰρ ἐστὶν ἡ χεὶρ τοῦ θεοῦ.

Τοῦ αὐτοῦ ἐκ τοῦ ψαλτηρίου ἑρμηνείας εἰς τὸ
γενέσθω ἡ χείρ σου τοῦ σῶσαι με.

Ζητῶ χεῖρα τοῦ θεοῦ περὶ ἧς εὔχεται ταῦτα λέγων· ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ὁ θεὸς τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου· τίς δὲ αὕτη; Χριστὸς Ἰησοῦς· οὗτος γάρ ἐστι καὶ χεὶρ καὶ δεξιὰ τοῦ θεοῦ· γενέσθω οὖν φησὶν ἡ χείρ σου τοῦ σῶσαι με· τάχα καὶ τὸ γενέσθω δηλοῖ τοιοῦτόν τι, οἷον, εἰς γένεσιν ἐλθέτω ἡ χείρ σου, καὶ γενέσθω ἐπὶ τοῦ σῶσαι με.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῶν κατὰ πνευματομάχων
ἀντιῤῥητικῶν λόγων. (1)

Δάκτυλον θεοῦ καλεῖν οἶδε γραφὴ τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ὁ Χριστὸς εἴρηκεν· εἰ δὲ ἐν τῷ δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ὅπερ ἄλλος εὐαγγελιστὴς ἐν πνεύματι

exaltat. Et cum Spiritum suum in Patris manus uti homo commendat, sibi ipsi commendat ut Deo, ut homines Deo commendet. Ipse enim Dei manus est.

Eiusdem ex interpretatione psalterii ad ea verba:
fiat manus tua ad salvandum me.

Quaero quaenam sit Dei manus, pro qua sic obsecrat dicens: in manu forti eduxit Israhelem Deus ex Aegypto. Quaenam haec est? Christus Iesus. Hic enim est manus et dextera Dei. Fiat igitur, ait, manus tua ad salvandum me. Fortasse et verbum « fiat » ita significat: veniat manus tua ad nativitatem, ut salvet me.

Sancti Cyrilli ex antirrheticis sermonibus
contra pneumatomachos.

Digitum Dei solet scriptura appellare Spiritum sanctum, sicuti Christus dixit: si ego in digito Dei eiicio daemonia; id

(1) De huiuš operis titulo alibi, ut puto, dicturi sumus.

θεοῦ εἶπεν· ὁμοίως δὲ προσονομάζει δεξιὰν καὶ βραχίονα τὸν υἱόν, ὡς τό, ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ· ὥσπερ οὖν ὁ βραχίων ὁμοούσιος ἐστὶν οὗ ἐστὶ βραχίων, οὕτως ὁ δάκτυλος οὗ ἐςὶ δάκτυλος· ὁμοούσιον ἄρα τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον.

Περὶ τοῦ, ὅτι αὐτὸς ἐστὶν ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος, ὡς ἀρχιερεύς, καὶ θῦμα, καὶ θεός, ἤτοι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Ἐκ τῆς εὐχῆς τοῦ μεγάλου Βασιλείου, ἧς ἡ ἀρχὴ οὐδεὶς ἄξιος.

Ἀξίωσον προσενεχθῆναι σοι ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος ὁ θεὸς ἡμῶν.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας εἰς τὸν μυστικὸν δεῖπνον.

Πίνωμεν αὐτοῦ τὸ αἷμα τὸ ἅγιον, εἰς ἱλασμὸν τῶν ἡμε-

quod alius evangelista « in Spiritu Dei » dicit. Sic item dexteram brachiumque Filium appellat, ut est illud: servavit eum dextera eius, et brachium sanctum suum. Sicuti ergo brachium consubstantiale est ei cuius est brachium, sic digitus ei cuius est digitus. Ergo Patri Filioque consubstantialis est Spiritus sanctus.

Quod idem unusque est qui offert et qui offertur et qui recipit, uti pontifex, hostia, Deus, nempe dominus noster Iesus Christus.

Ex precatione magni Basilii, cuius initium: nemo dignus.

Dignare, ut tibi offerantur pro me peccatore et indigno servo tuo haec dona. Tu enim es offerens, et oblatus, et receptor, et distributor Deus noster.

Sancti Cyrilli alexandrini in mysticam caenam.

Bibamus sanctum eius sanguinem, ad peccatorum nostro-

τέρων παραπτωμάτων, καὶ μέθεξιν τῆς ἐν αὐτῷ ἀθανασίας· πιστεύοντες ἅμα ὅτι περ αὐτὸς ἱερεὺς καὶ θυσία, αὐτὸς ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος· μὴ διαιροῦντες εἰς δύο πρόσωπα τὴν θείαν καὶ ἀδιάσπαστον καὶ πρός γε τούτων ἀσύγχυτον ἕνωσιν τοῦ ἑνὸς [a] τῆς παντίμου τριάδος. (1)

Τοῦ ἁγίου Κυρίλλου Ἱεροσολύμων ἀπὸ τοῦ εἰς τὴν ὑπαπάντην λόγου, οὗ ἡ ἀρχή, χαῖρε σφόδρα.

Βρέφος βλέπω, νομικὴν θυσίαν προσάγοντα ἐπὶ γῆς· ἀλλ' αὐτὸν τὰς πάντων εὐσεβεῖς θυσίας δεχόμενον ἐν οὐρανοῖς, αὐτὸν ἐν θρόνῳ χερουβικῷ θροπρεπῶς, αὐτὸν προσφερόμενον καὶ ἁγνιζόμενον, αὐτὸν τὰ πάντα ἁγιάζοντα καὶ καθαίροντα· αὐτὸς τὸ δῶρον, αὐτὸς ὁ ἀρχιερεὺς, αὐτὸς τὸ θυσιαστήριον, αὐτὸς τὸ ἱλαστήριον, αὐτὸς ὁ προσφέρων, αὐτὸς ὁ ὑπὲρ κόσμου θυσία προσφερόμενος, αὐτὸς τὸ πῦρ ὑπάρ-

rum remissionem, et immortalitatis cum ipso participationem; credentes simul, ipsum esse sacerdotem et hostiam, ipsum qui offert, et qui offertur, et qui recipit, et qui distribuit. Neque idcirco in duas personas dividimus divinam et inseparabilem atque inconfusam unionem unius de venerabili Trinitate.

Sancti Cyrilli hierosolymitani ex sermone in festo de occursu Domini, cuius est initium: gaude magnopere.

Infantem video, qui legalem in terris hostiam offert; sed hunc ipsum omnium pias oblationes in caelis recipientem, eundem in cherubico throno magnifice residentem, eundem oblatum et sanctificatum, eundem omnia sanctificantem et purgantem. Ipse donum est, ipse pontifex, ipse propitiatorium, ipse offerens, ipse victima pro mundo oblata, ipse

(a) Deest in edit. τοῦ ἑνός.

(1) Edit. Auberti T. V. part. 2. p. 378

χων, αὐτὸς ὁλοκαύτωσις, αὐτὸς τὰ ξύλα τῆς ζωῆς καὶ τῆς γνώσεως, αὐτὸς ὁ ἀμνὸς, αὐτὸς ἡ μάχαιρα τοῦ πνεύματος, αὐτὸς ὁ ποιμὴν, αὐτὸς τὸ ἀρνίον, αὐτὸς ὁ θύτης, αὐτὸς ὁ νόμος, καὶ αὐτὸς ὁ τὸν νόμον πληρῶν.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τῶν ιβ′ κεφ. τῶν κατὰ Θεοδωρήτου.

Ἐπεὶ δὲ γέγονεν ἄνθρωπος, κεχρημάτικε καὶ ἱερεὺς, οὐχ ὡς μείζονι θεῷ προσκομίζων τὴν ἱερουργίαν, ἀλλ' ἑαυτῷ τὲ καὶ τῷ πατρὶ, τῆς πίστεως ἡμῶν τὴν ὁμολογίαν πραγματευόμενος· ἐρυθριᾷς δὲ ἀκούων ὅτι κεχρημάτικεν ἱερεὺς διὰ τὸ ἀνθρώπινον; εἶτα πῶς οὐ τεθαύμακας ὅτι μὴ κατὰ τὸ τῶν ἱερέων ἔθος ἑτέρων ποιεῖται τῆς ἱερουργίας τὸν τρόπον, ἑαυτῷ δὲ μᾶλλον καὶ τῷ πατρί;

Τοῦ αὐτοῦ ἀπὸ τοῦ πρὸς βασιλίσσας λόγου.

Αὐτὸς οὖν ἄρα γέγονεν ἀρχιερεὺς κατά γε τὸ ἀνθρώπινον, καί τοι παρὰ πάντων θυσίας δεχόμενος θεϊκῶς· αὐτὸς τὸ θῦμα κατὰ τὴν σάρκα· αὐτὸς ὁ ταῖς ἁμαρτίαις ἱλασκόμενος ἡμῶν κατά γε τὴν τῆς θεότητος ἐξουσίαν.

ignis, ipse holocaustum, ipse lignum vitae et scientiae, ipse agnus, ipse gladius spiritûs, ipse pastor, ipse agniculus, ipse sacrificator, ipse lex, ipse denique legem implens.

Sancti Cyrilli alexandrini ex duodecim capitulis adversus Theodoretum.

Cum autem factus est homo, sacerdotis quoque gessit officium, haud sane ut Deo tamquam maiori rem sacram faceret, sed ut et sibi et Patri nostrae fidei confessionem exhiberet. Pudet te audientem, quod sacerdos fuerit quatenus homo? Cur deinde non miraris, quod non ceterorum sacerdotum more sacrificat, sed sibi ipsi potius ac Patri?

Eiusdem ex sermone ad reginas.

Ipse igitur fuit sacerdos quatenus homo, quamquam omnium excipiebat sacrificia quatenus Deus. Ipse hostia secun-

Τοῦ αὐτοῦ ἀπὸ τοῦ περὶ ὑπακοῆς τοῦ Χριστοῦ. (1)

Ἄθρει δὲ ὅπως ἱερατεύει μὲν ἀνθρωπίνως, καὶ μεσίτης τέθειται θεοῦ καὶ ἀνθρώπων· μεσιτεύει γὰρ πᾶς ἱερεύς· τὸν δὲ τῆς θυσίας τρόπον οὐκέτι καθ' ἕνα τῶν καθ' ἡμᾶς ἱερέων προκομίζει δουλοπρεπῶς, μηδὲν αὐτὸς ἐπικοινωνῶν τῶν εἰς τὸ λαβεῖν αὐτήν· ἀλλ' ἑαυτῷ πραγματεύεται καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τῷ θεῷ καὶ πατρί. Καὶ μετ' ὀλίγα. Οὐκοῦν κἂν ἱερουργεύειν ἀνθρωπίνως λέγεται, ἀλλὰ δέχεται τὴν θυσίαν αὐτὸς θεϊκῶς, ὁ αὐτὸς ὢν ὁμοῦ καὶ θεὸς καὶ ἄνθρωπος.

Ἐκ τοῦ τετραυαγγέλου, ἑρμηνεία τοῦ Βουλγαρίας.

Λουκᾶς δὲ λέγει καὶ τοῦτο εἰπεῖν τότε τὸν κύριον ὅτι τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· τοῦτο, φησί, τὸ καινὸν μυστήριον· καὶ μὲν ἐκεῖνο τὸ παλαιόν· ἐκεῖνο μὲν γὰρ τὸ θυσίασμα εἰς ἀνάμνησιν ἐγένετο τῆς ἐν Αἰγύπτῳ σωτηρίας

dum carnem, idemque peccata nostra condonans pro deitatis suae potestate.

Eiusdem ex loco ubi de obedientia Christi.

Animadverte quomodo sacerdotium gerit uti homo, fitque mediator Dei et hominum. Cuiusvis enim sacerdotis est intercedere. Verumtamen sacrificium haud illa ratione, qua ceteri sacerdotes, id est serviliter offert; ita ut nihil ex sacrificio ad ipsum redundet: sed sibi ipsi operatur, et per se ipsum, atque in sepse Deo et Patri. Et paucis interiectis. Igitur etiamsi sacrificare secundum humanam naturam dicitur, nihilo tamen minus hostiam ipsemet suscipit quatenus Deus; idem scilicet Deus simul atque homo.

Ex tetraevangelio, interpretatio archiepiscopi Bulgariae.

Lucas autem ait, id quoque dixisse Dominum: hoc facite in meam commemorationem. Hoc, inquit, est novum mysterium; illud vero vetus. Et illud quidem ob memoriam fiebat servatorum in Aegypto hebraicorum primogenitorum, et illius

(1) Particula est haec eiusdem sermonis cyrilliani ad reginas.

τῶν ἑβραϊκῶν πρωτοτόκων, καὶ τῆς τῶν ἰουδαίων ἐλευθερίας· τοῦτο δὲ εἰς ἀνάμνησιν τοῦ δεσπότου· διὰ τῆς τοιαύτης γὰρ θυσίας ἀναμιμνησκόμεθα ὅτι τὸ σῶμα αὐτοῦ παρέδωκεν εἰς θάνατον, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεε· καὶ τῇ συνεχείᾳ τὴν μνήμην ἀνανεούμεθα· εἶδες πῶς μετέθηκε τοὺς μαθητὰς ἀπὸ τῆς παλαιᾶς θυσίας ἐπὶ τὴν καινήν; ποία γὰρ εἰκόνος ἔτι χρεία τοῖς ἤδη τὸ πρωτότυπον ἔχουσι; φησὶ δὲ καὶ ὁ Χρυσόστομος, ὅτι καὶ ὁ Χριστὸς πρῶτος τότε μετέσχε τοῦ μυστηρίου, ἵνα μὴ ἀηδισθῶσι σαρκὸς καὶ αἵματος μεταλαβεῖν ἐπιτρεπόμενος· καὶ τούτου δὲ τεκμήριον τοῦ εἰπεῖν αὐτὸν, λέγω δὲ ὅτι οὐ μὴ πίω ἀπάρτι ἐκ τούτου γενήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου· εἰ δὲ τοῦ ποτηρίου μετέσχε, μετέλαβεν ἄρα καὶ τοῦ ἄρτου.

Τοῦ αὐτοῦ εἰς ῥητὸν τῆς πρὸς Κολασσεῖς ἐπιστολῆς τοῦ μεγάλου Παύλου, τὸ φάσκον· καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν.

Δι' αὐτοῦ, τουτέστιν αὐτὸς ὁ ἐνεργήσας τὴν σωτηρίαν,

quam Iudaei adepti sunt libertatis; hoc autem in Domini commemorationem fit. Per hoc enim sacrificium in memoriam nobis revocamus, quod is suum corpus morti tradiderit, suumque sanguinem fuderit; perpetuoque hoc ritu memoriam rei renovamus. Viden, quomodo a vetere sacrificio ad novum transtulit? Cur enim diutius opus erat imagine his qui prototypum iam tenebant? Porro ait Chrysostomus, Christum ipsum initium fecisse participandi ei mysterio, ut ita impelleret quominus a vescendo carne et sanguine propter rei insolentiam non abhorrerent. Id quod eius dicto satis demonstratur: dico enim vobis non bibam ulterius ex hoc genimine vitis, usque ad diem illam cum illud novum vobiscum bibam in regno patris mei. Quod si calicem gustavit, utique et panem.

ταύτην ἡμῖν περιποιήσατο· ἵνα δὲ μὴ νομίσῃς ὅτι ὑπηρέτου τάξιν ἔλαβε, φησὶν εἰς αὐτὸν, τουτέστιν αὐτὸς ἑαυτῷ τοὺς ἀνθρώπους κατήλλαξε· καὶ μὴν ἀλλαχοῦ εἶπεν ὅτι τῷ Θεῷ κατήλλαξεν· ἄρα οὖν κοινὰ καὶ υἱοῦ τὰ τοῦ πατρός· οὐκ εἶπε δὲ καταλλάξαι, ἀλλὰ ἀποκαταλλάξαι, τουτέστιν ἀποδοῦναι ὡς ὀφειλὴν τινὰ πάλαι ἐχρεωστημένην.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τῆς ἑρμηνείας τῆς εἰς τὸ βασίλειον ἱεράτευμα.

Μελχισεδὲκ τίς βασιλεὺς Σαλήμ, δύναται δὲ τοῦτο, εἰρήνης τύπος Χριστοῦ γενόμενος, οὐ μόνον ὡς ἀπάτωρ τὲ καὶ ἀμήτωρ, ἀλλὰ καὶ ὡς ὁ αὐτὸς τὰ τῶν βασιλέων τὲ καὶ ἱερέων ποιῶν, καὶ τὴν ἀναίμακτον θυσίαν τυπῶν διά τε ἄρτου καὶ οἴνου· (1) καὶ οὗτος γοῦν τὸ βασίλειον κατέδειξεν ἱερά-

Eiusdem de dicto illo epistolae ad Colossenses magni Pauli: et per ipsum omnia reconciliare in se ipsum.

Per ipsum, id est ipse qui salutem operatus est, hanc nobis contulit. Ne autem forte existimes eum famuli ordinem suscepisse, dicit de se ipso, quod ipse sibi homines reconciliaverit, quum alibi dixisset Deo eosdem reconciliasse. Est ergo id commune Filio Patrique. Haud porro dixit conciliasse sed reconciliasse, hoc est ceu debitum quoddam iamdiu solvendum reddidisse.

Sancti Athanasii ex interpretatione quid sit regale sacerdotium.

Melchisedec quidam rex Salem. Postremum hoc vocabulum pacem significat, erat quippe hic homo Christi typus, non solum quia sine patre ac matre, sed quia et regum et sa-

(1) Melchisedeci sacrificium incruentum ex pane vinoque, portendisse ss. eucharistiam, satis communis et recta Patrum sententia est. Quod vero quidam Armenii heterodoxi hinc sumunt argumentum pro vini meri oblatione, ut ipsi faciunt, aquae admixtione exclusa, mera haec vanitas est. Namque utrum proprie meracum Melchisedecus ipse obtulerit, incertum est; ab evangelico autem vocabulo *κεράσας miscens*, atque ab ecclesiarum traditione, aquae mixtio perspicue suadetur vel potius praecipitur.

τευμα· κατὰ δὲ τὴν νῦν πολιτείαν αὐτὸς Χριστὸς ὁ ἀληθινὸς ἡμῖν Μελχισεδὲκ, ὡς ἐπ' ἀληθείας ἀπάτωρ τὲ καὶ ἀμήτωρ· τὸ μὲν τὸ πρότερον, τὸ δὲ τὸ δεύτερον, καὶ ἄρχων εἰρήνης· βασιλεὺς μὲν ὡς Θεὸς, καὶ ἱερεὺς δὲ ὡς ἑαυτοῦ θύτης τὲ καὶ προσαγωγεύς· ὁ γὰρ αὐτὸς καὶ ἱερεὺς καὶ ἱερεῖον.

Κοσμᾶ ἰνδικοπλεύστου ἐκ τοῦ εἰς τὸν ψαλτῆρα προϊμίου ἐξηγουμένου ὡς ἐν παρόδῳ τὸ ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, καὶ τὰ ἑξῆς. (1)

Περὶ τῆς ἀνθρωπότητος αὐτοῦ φησὶν ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· οὐ γὰρ ἡ Θεότης διὰ τὸ ἀγαπῆσαι δικαιοσύνην καὶ μισῆσαι ἀδικίαν χρίεται· οὔτε γὰρ ὅλως χρίεται, οὔτε Θεὸν ἔχει, αὐτὸ γὰρ τὸ χρίσμα Θεός ἐστιν· ἀλλ' ἡ ἀνθρωπότης αὐτοῦ χρίεται ἔλαιον ἀγαλλιάσεως, ἵνα εἴπῃ τῷ πνεύματι τῷ ἁγίῳ παρὰ τοὺς μετόχους αὐτῆς, τουτέςι παρὰ πάντας τοὺς χρι-

cerdotum officio fungebatur, et incruentum sacrificium pane ac vino portendebat. Hic ergo exhibuit in se regale sacerdotium. Secundum autem praesentem politiam Christus nobis verus est Melchisedec, utpote qui vere est sine patre et sine matre; hoc quidem antea, illud vero postea; et princeps pacis. Rex quidem ut Deus, sacerdos vero utpote sui ipsius sacrificator et oblator. Ipse enim et sacerdos et victima est.

Cosmae indicopleustae ex eius prohoemio ad psalterium, dum enarrat tamquam in transitu verba illa: dilexisti iustitiam et odisti iniquitatem, et reliqua.

De sua humanitate dicit: dilexisti iustitiam et odisti iniquitatem; propterea unxit te Deus, Deus tuus, oleo laetitiae prae consortibus tuis. Non enim deitas, propter iustitiae amorem et iniquitatis odium ungitur: neque haec ungitur, neque Deum supra se habet, ipsa enim unctio Deus est: sed utique

(1) Extat in Cosmae topographia christiana ed. Montf. p. 226-228.

στοὺς· ἡ γὰρ θεότης μετόχους ἄλλους οὐκ ἔχει· εἷς γάρ ἐςι θεὸς, ὅ τε πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἡ δὲ ἀνθρωπότης τοῦ Χριστοῦ, παρὰ πάντας τοὺς ἀνθρώπους, μάλιστα τοὺς χριστοὺς ἔχει μετόχους· διὰ τοῦτο γὰρ εἶπεν ὅτι παρὰ πάντας ἐχρίσθη ἡ ἀνθρωπότης τοῦ Χριστοῦ, χρισθεῖσα πνεύματι ἁγίῳ καὶ δυνάμει· ὅπερ οὐδενὶ τῶν ἄλλων χριστῶν ὑπῆρξεν οὕτως ἐξειπεῖν παρὰ πάντας τοὺς μετόχους σου· ὅλον δὲ αὐτὸν ψαλμὸν περὶ τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας ὡς ἐπὶ βασιλέως νυμφίου καὶ νύμφης βασιλίδος ἐξειπὼν ἐτέλεσεν· ὁμοίως δὲ καὶ τὸν ρθʹ ψαλμὸν εἰς αὐτὸν εἴρηκε· καὶ μαρτυρεῖ αὐτὸς ὁ κύριος λέγων πρὸς ἰουδαίους· πῶς οὖν Δαβὶδ ἐν πνεύματι ἁγίῳ κύριον αὐτὸν καλεῖ λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἰ υἱὸς αὐτοῦ ἐστὶν, πῶς κύριος αὐτοῦ ἐστί; τὸ μὲν κύριος αὐτοῦ, ὡς θεὸν σαφῶς προειπών· τὸ δὲ κάθου ἐκ δεξιῶν μου, σαφῶς τῇ ἀνθρωπότητι ἁρμόζει· τὸ γὰρ κάθου τῷ μὴ καθ-

humanitas eius ungitur oleo laetitiae, videlicet sancto Spiritu, prae consortibus eius, id est prae omnibus unctis. Deitas enim consortem non habet; unus est enim Deus, Pater, Filius, et Spiritus sanctus. Christi autem humanitas, prae cunctis hominibus, praecipue chrismate delibutos habet consortes. Propterea dixit, Christi humanitatem prae cunctis unctam fuisse sancto Spiritu et virtute; quod nulli aliorum unctorum sic dicere contigit, prae cunctis participibus tuis. Universum vero psalmum de Christo et ecclesia, tamquam de rege et regali sponsa dixit ad finem usque David. Similiter et quinquagesimum nonum psalmum de eodem recitavit. Quam rem testatur ipse Dominus Iudaeis dicens. quomodo ergo David in Spiritu sancto vocat eum dominum his verbis: dixit dominus domino meo, sede a dextris meis? Si filius eius est, quomodo dominus eiusdem est? Ergo verbis, dominus eius, Deum manifeste appellat. Tum verba, sede a dextris meis, perspicue

ἑζομένῳ λέγει· ἡ δὲ θεότης ἵδρυται εἰς τὴν οἰκείαν μακαριότητα τιμήν τε καὶ δόξαν, παρ' ἑτέρου μείζονος μὴ ἐπιτρεπομένη ἢ προτρεπομένη εἰς τοῦτο· ἀλλ' ἡ ἀνθρωπότης τοῦ Χριστοῦ ὑπὸ τῆς ἡνωμένης αὐτῇ ἀχωρίστως θεότητος ἐπιτρέπεται ἀκούουσα, κάθου ἐκ δεξιῶν μου, ὡσανεὶ ἐν τῇ ἐμῇ τιμῇ· οὔτε γὰρ δεξιὰ οὔτε ἀριστερὰ ἔχει ὁ θεὸς ἀπερίγραπτος ὑπάρχων· ἀλλὰ τοῦτο αὐτὸ λέγει, ὅτι κάθου ἐν τῇ ἐμῇ τιμῇ, ὡσανεὶ εἰς πρόσωπον ἐμὸν, ὡς εἰκὼν θεοῦ παντὶ τῷ κόσμῳ δεικνυμένη· οὕτω γὰρ καὶ Δανιὴλ λέγει· καὶ αὐτῷ ἐδόθη ἡ βασιλεία καὶ ἡ τιμὴ καὶ ἡ ἐξουσία, καὶ τὰ λοιπά· ἀλλὰ καὶ αὐτὸς ὁ κύριος φησίν· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· παρακατιὼν δὲ λέγει πάλιν ἐν τῷ αὐτῷ ψαλμῷ περὶ τῆς θεότητος· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ὡσανεὶ τοῦ πατρὸς πρὸς τὸν υἱὸν κατὰ τὴν θεότητα λέγοντος, ὅτι πρὸ πάσης κτίσεως ἀπὸ γαςρὸς· τὸ ὁμοούσιον θέλων σημᾶναι· οὐχ ὕστερον προσλαβὼν, ἀλλ'

humanitati conveniunt: nam vocabulum, sede, de nondum sedente dicitur. Atqui deitas in sua beatitudine honore gloriaque fundata sedet, quin ab aliquo maiore ad id vocetur aut compellatur: sed utique Christi humanitas ab unita sibi inseparabiliter deitate invitatur dum audit, sede a dextris meis, id est veluti in honoris mei paritate. Neque enim vel dexteram vel sinistram Deus habet, utpote non circumscriptus. Dicit ergo: sede in honore meo, tamquam mea persona, utpote imago Dei universo mundo ostentata. Quippe ita Daniel quoque ait: et ipsi datum est regnum, honor, potestas, et reliqua. Quin adeo ipse Dominus dixit: data est mihi omnis potestas in caelo et in terra. Mox vero in eiusdem psalmi progressu ait de divinitate: ex utero ante luciferum genui te: tamquam si pater ad filium ratione divinitatis dicat, ante omnem creaturam ex utero, hoc vocabulo consubstantialitatem denotare volens; non postea assumens, sed in me ipso te

ἐν ἐμαυτῷ σε ἔχων ἀνάρχως καὶ ἀπεράντως· ὡς ἀπὸ γαστρὸς ἐκ τῆς ἡμετέρας οὐσίας σε ἐγέννησα συνόντα καὶ συνυπάρχοντα· εἶτα πάλιν εὐθέως καὶ περὶ τῆς ἀνθρωπότητος δηλῶν φησιν· ὤμοσε κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· οὐ γὰρ ἡ θεότης ἱερατεύει, ἀλλὰ μᾶλλον λατρεύεται, καὶ τὰ ἱερεῖα προσδέχεται· μέμνηται δὲ καὶ τῆς χρήσεως ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς ἑβραίους ἐπιστολῇ λέγων οὕτως· καθάπερ ὁ Ἀαρὼν, οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενέσθαι ἀρχιερεὺς, ἀλλ᾽ ὁ λαλήσας πρὸς αὐτὸν υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· καθὰ καὶ ἐν ἑτέρῳ λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· πάντα περὶ τῆς ἀνθρωπότητος ἐκλαβών.

Συλλογισμὸς τοῦ μεγάλου δρουγγαρίου κυροῦ Στεφάνου.

Ὅλῃ τῇ θεότητι προσκεκρούκαμεν ἡμεῖς διὰ τῆς παραβάσεως, τῇ ἐν ταῖς τρισὶν ὑποστάσεσι θεωρουμένῃ, πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος, ἢ μόνῳ τῷ πατρί; εἰ μὲν μόνῳ

habens sine principio vel fine: tamquam ex utero ex nostra substantia te genui coniunctum mihi et coëxistentem. Deinde rursus illicoque de humanitate praedicat: iuravit Dominus, et non paenitebit eum, tu es sacerdos in aeternum secundum ordinem Melchisedec: non enim deitas sacrificat, sed potius colitur et hostias recipit. Meminit huius testimonii Paulus quoque apostolus in epistola ad Hebraeos sic: sicuti Aaron, sic et Christus nequaquam sibi sacerdotii honorem vindicavit, sed qui dixit ei: filius meus es tu, ego hodie genui te. Sicut et alibi ait: tu es sacerdos in aeternum secundum ordinem Melchisedec. Videlicet omnia de humanitate intelligens.

Syllogismus magni drungarii domini Stephani.

Num universam deitatem, quae deitas scilicet in tribus spectatur personis, Patre, Filio, et Spiritu sancto, offendimus nos praecepti transgressione, an potius solum Patrem? Si Pa-

τῷ πατρὶ, καὶ αὐτῷ μόνῳ κατὰ τοὺς φληναφοῦντας καταλλάγημεν διὰ τοῦ αἵματος τοῦ ἐνανθρωπήσαντος υἱοῦ αὐτοῦ· εἰ δὲ ὅλῃ τῇ τριάδι, ὅλῃ τῇ τριάδι προσηνέχθη καὶ τὸ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ αἷμα· ὥσπερ γὰρ ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ, ἤτοι τῇ μιᾷ τούτου ὑποστάσει, θεωρεῖται τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, οὕτω καὶ τὸ προσάγον καὶ τὸ προσδεχόμενον· ὁ αὐτὸς γὰρ ὡς ἄνθρωπος προσήγαγε, καὶ ὡς θεὸς προσεδέξατο.

Εὐστρατίου τοῦ Νικαίας ἐκ τοῦ δευτέρου περὶ τῶν ἀζύμων λόγου. (1)

Ἀλλὰ καὶ ὅτε χαριστήριον τοῦ σωτηρίου πάθους τῷ ὑπὲρ ἡμῶν παθόντι προσφέρεται, καὶ ὅτε ὑπὲρ ζωῆς ἡμῶν τῆς ἐν σώματι, καὶ ὅτε ἵνα ἀφεθῇ ταῖς ψυχαῖς ἡμῶν ἃ ζῶντες ἐνταῦθα προσκεκρούκαμεν, καὶ ὅτε ὑπὲρ τῶν ἐντεῦθεν οἰχομένων πιστῶν, ἀναγκαῖον ζυμῷ τὸν ἄρτον εἶναι τὸν προσφερόμενον, τὸν ψυχῆς ἔχοντα σύμβολον (2)· τό τε γὰρ δι' ἡμᾶς

trem tantummodo offendimus, utique huic soli, iuxta hos blaterones, reconciliati sumus per filii eius incarnati sanguinem. Quod si totam Trinitatem offendimus, utique toti Trinitati oblatus fuit unigeniti filii Dei sanguis. Sicut enim in uno eodemque Christo, qui in unica persona subsistit, agnoscitur corruptibilitas et incorruptibilitas, mortalitas et immortalitas, sic etiam oblatio et receptio. Idem enim quatenus homo obtulit, quatenus Deus recepit.

Eustratii nicaeni ex secundo de azymis sermone.

Revera et cum salutaris passionis sacrificium, ei qui pro nobis est passus offertur, sive pro nostra corporali vita, sive pro animabus nostris ut remittantur ea quae in vita peccavimus, sive pro iis qui hinc migraverunt, necesse est panem

(1) Non extant hi de azymis sermones Eustratii.

(2) Levem oppido hanc obiectionem Graecorum iudicat Ciampinius in suo de azymo opusculo cap. I. Tum cap. III. apud eundem dissolvit

πεπονθὸς σῶμα τοῦ σωτῆρος Χριστοῦ ζῶν τε καὶ ἔμψυχον, τά τε ἡμέτερα ὡσαύτως, καὶ τὰ ὑπὲρ ἀφέσεως σφαλμάτων, εἴτε τὸ ἐν τῇ παρούσῃ ἔτι ἐνδημούντων ζωῇ, εἴτε τῶν ἐκ ταύτης ἤδη ἀπολυθέντων πιστῶν, ὑπὲρ ψυχῶν ἐστὶ προσφερόμενα· οὐδὲν δέ τι πάντως προσίσταται, εἰ χαριστήριόν ποτε τῆς ζωῆς ἡμῶν τῆς ἐν σώματι, τὸν ἄρτον προσφέρομεν· ὡς γὰρ τὸ ἡμέτερον ὁ σωτὴρ ἑαυτῷ διὰ τῆς προσλήψεως ᾠκειώσατο, οὕτως καὶ τὸ ὑπὲρ ἑαυτοῦ προσφερόμενον ἑαυτῷ οἰκειούμενος, ἑαυτοῦ σῶμα ποιεῖται, καὶ ἡμῖν αὐτοῦ μεταδίδωσι.

Φωτίου πατριάρχου ἐκ τοῦ λόγου, οὗ ἡ ἀρχή· πῶς θελητός τε καὶ ἀθέλητος τῷ πατρὶ ὁ θάνατος λέγοιτ' ἂν εἶναι τοῦ Χριστοῦ; καὶ πῶς πάλιν ὁ αὐτὸς συνέλθοι τῷ πονηρῷ θελητὸς τὲ ἅμα εἶναι καὶ ἀθέλητος; (1)

Ἐπεὶ τὸ λύτρον πρὸς δύο τινὰ τὴν ἀναφορὰν ὡς ἐπίπαν

illum qui offertur esse fermentatum, quia fermentum animae symbolum est. Nam et Christi in passione corpus vivum erat et animatum; et nostra similiter sacrificia, pro remissione peccatorum, sive adhuc viventium fidelium sive defunctorum, pro animabus offeruntur. Nihil vero prorsus officit, quod aliquando ob gratiarum actionem pro corporali nostra vita, panem offerimus: sicuti enim corpus nostrum Dominus per incarnationem fecit suum, ita panem quem pro se quisque offert, sibi vindicans suum corpus efficit, nobisque retribuit.

Photii patriarchae, ex sermone, cuius initium est: quomodo et voluntaria simul et involuntaria Patri mors Christi dici queat. Et quomodo rursus accidat ut eadem mors diabolo voluntaria simulque involuntaria fuerit.

Redemptionis pretium duplici sub notione generatim consi-

eam graecus Gennadius, qui concludit utrumque ritum sive latinum sive graecum recte se habere.

(1) Est haec Photii quaestio amphilochiana XXIV, quam nos edidimus Script. vet. T. I. Fragmentum hoc legitur ibi p. 79. ed. nov.

ἔχει, ῥύσιόν τε τῶν κατεχομένων εἶναι, καὶ δῶρον ὁρᾶσθαι τῷ κατέχοντι· ὡς μὲν ῥύσιον τῶν κατεχομένων, λύτρον ἂν εἴη τὸ σωτήριον αἷμα· ὡς δὲ δῶρον τοῦ κατέχοντος, οὐδαμῶς· ἐπεὶ καὶ πολλὰ ἄλλα τῷ κυρίως λεγομένῳ προσόντα λύτρῳ, τῇ ἀφράστῳ ταύτῃ καὶ ὑπὲρ λόγον οὐ πρόσεστιν οἰκονομίᾳ· καὶ γὰρ ὁ μὲν τὸ λύτρον διδοὺς, οὐκέτι δυνάμενος κυριος εἶναι ὧν παρέσχε, τὴν ζημίαν ἔχει κατὰ τὸ ἀπαραίτητον ἀκολουθοῦσαν· κερδαίνει δ' ὁ λαβὼν, καὶ καθίσταται δεσπότης ὧν πρότερον τὴν ἐξουσίαν οὐκ εἶχεν· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν· ὁ μὲν καταθέμενος τὸ λύτρον (καὶ γὰρ πάντα ἐν τῇ χειρὶ αὐτοῦ, καὶ οὐδὲ τὸ τοῦ Ἄβελ αἷμα, οὐδὲ μὲν τῶν μαρτύρων, ἔξω τῆς αὐτοῦ καθέστηκε προνοίας καὶ χειρὸς) οὐδὲν μὲν δηλονότι ἐζημίωται· τίς γὰρ ἂν ὅλως εἰπεῖν ἐννοήσοι ὡς μὲν τῶν θεραπόντων αὐτοῦ, καὶ ὧν ἐκενώθησαν αἱμάτων, ἔστι λόγος αὐτῷ, καὶ μετὰ θάνατον ὡς ἀθανάτων βοώντων ἀκούει; τὸ δὲ σωτήριον καὶ ζωοποιὸν

deratur, nimirum ut captivorum redimiae, atque ut captivorum domino donum oblatum. Christi sanguis, quatenus redimiarum vice fungitur, sane pretium redemptionis dici potest; verumtamen quatenus donum mangoni est, illo nomine uti nequit. Et quidem alia multa redemptionis proprie dicto pretio insunt, quae arcanae huic et inenarrabili oeconomiae non congruunt. Siquidem qui pretium dedit, quia rei eius deinceps dominus esse non potest, detrimentum necessarium patitur: contra qui accipit, lucro augetur, fitque rei dominus quae in eius potestate antea non erat. Nunc omne contra est. Qui pretium obtulit (quandoquidem omnia in Dei potestate sunt, neque ipsius Abelis neque martyrum sanguis ab eius providentia dominioque abfuit) hic inquam nullum cepit detrimentum. Nam quis omnino existimare velit, ab eo qui famulorum suorum, et quorum sanguis exhaustus fuit, curam gerit, quique mortuorum tamquam viventium clamores au-

αἷμα τοῦ κόσμου, οὐκ ἐν τοῖς ἀθανάτοις τῆς αὐτοῦ προνοίας ταμείοις συνέχει ἀνώλεθρον αὐτῷ, καὶ φθορᾶς σωμάτων ἀνέπαφον συντηρούμενον; οὐκ ἐζημίωται τοίνυν οὐ μὲν οὖν ὁ τὸ λύτρον καταθέμενος, ἀλλὰ καὶ τοῦ γένους ἡμῶν παντὸς ὁ φιλάνθρωπος προσεκέρδησε τὴν σωτηρίαν.

Τοῦ Δαμασκηνοῦ.

Ὁ τῶν ὅλων θεὸς καὶ πατὴρ, καθ' ὃ πατὴρ θέλει, ἢ καθ' ὃ θεός; ἀλλ' εἰ μὲν καθ' ὃ πατὴρ, ἄλλο τὸ αὐτοῦ ἔσται παρὰ τὸ τοῦ υἱοῦ θέλημα· οὐ γὰρ πατὴρ ὁ υἱός· εἰ δὲ καθ' ὃ θεὸς, θεὸς δὲ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἄρα τὸ θέλημα φύσεως, ἤγουν φυσικόν· καὶ σὺ γοῦν κατὰ τοῦτον συλλογισάμενος ἐρώτησον· ὁ τῶν ὅλων θεὸς καὶ πατὴρ καθ' ὃ πατὴρ προσεδέξατο τὸ τοῦ μονογενοῦς αἷμα, ἢ καθ' ὃ θεός; ἀλλ' εἰ μὲν καθ' ὃ πατὴρ, ἄλλη αὐτοῦ ἔσται παρὰ τὴν τοῦ υἱοῦ δύναμις τὲ καὶ ἐνέργεια· οὐ γὰρ πατὴρ ὁ υἱός· εἰ δὲ καθ' ὃ θεὸς, θεὸς δὲ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα

dit; quis inquam putet, salutarem et qui orbem vivificat sanguinem, in thesauris providentiae suae ab eo non fuisse incolumem conservatum, atque ab omni corporea corruptione defensum? Non igitur damnum passus est qui pretium contulit, immo universi generis nostri clemens Iesus salutem lucratus est.

Damasceni.

Universorum Deus et pater vultne quatenus pater est, an quatenus Deus? Si quatenus Pater, alia erit voluntas eius quam Filii; neque enim Pater idem est qui Filius. Sin vult quatenus Deus, Deus autem aeque est Filius et sanctus Spiritus, utique voluntas naturae est, id est naturalis. Ergo tu quoque similiter syllogismum instrue. Universorum Deus et Pater, num quatenus Pater est, sanguinem unigeniti excepit, an quatenus Deus? Si quatenus Pater, alia erit eius virtus et operatio quam Filii; non enim idem Pater ac Filius. Sin qua-

τὸ ἅγιον, ἄρα τὸ τοῦ μονογενοῦς αἷμα τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, ἡ αὐτὴ ἁγία τριὰς καθ' ὁ θεὸς προσεδέξατο.

Ἐκ τοῦ συνοδικοῦ τοῦ ἀναγινωσκομένου ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. (1)

Τοῖς λέγουσιν ὅτι τὴν ἐν τῷ καιρῷ τοῦ κοσμοσωτηρίου τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προσαχθεῖσαν ὑπὲρ τῆς ἡμῶν σωτηρίας παρ' αὐτοῦ θυσίαν τοῦ τιμίου αὐτοῦ σώματός τε καὶ αἵματος, ὡς ἀρχιερέως κατὰ τὸ ἀνθρώπινον δι' ἡμᾶς χρηματίσαντος, ὅτι περ ὁ αὐτὸς καὶ θύτης καὶ θῦμα, κατὰ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον, προσήγαγε μὲν αὐτὸς τῷ θεῷ καὶ πατρὶ, οὐ προσεδέξατο δὲ ὡς θεὸς μετὰ τοῦ πατρὸς αὐτὸς τὲ ὁ μονογενὴς καὶ τὸ πνεῦμα τὸ ἅγιον· ὡς διὰ τούτων ἀποξενοῦσιν αὐτόν τε τὸν θεὸν λόγον, καὶ τὸ ὁμοούσιον καὶ ὁμόδοξον τούτου παράκλητον πνεῦμα, τῆς θεοπρεποῦς ὁμοτιμίας τὲ καὶ ἀξίας, ἀνάθεμα.

tenus Deus est excepit, Deus autem aeque est Filius et Spiritus sanctus, sequitur ut unigeniti sanguinem idest unius de sancta Trinitate, eadem sancta Trinitas, quatenus Deus est, exceperit.

Ex libro synodico qui in magna ecclesia legitur.

Iis qui dicunt, quod dominus et servator noster Iesus Christus, tempore salutaris suae passionis, pretiosi sui corporis sanguinisque sacrificium, tamquam pontifex in humana pro nobis assumpta natura, quia et sacrificator est et victima, ut magnus ait theologus Gregorius, obtulerit quidem Deo Patri, non tamen ipse unigenitus exceperit quatenus Deus, itemque Spiritus sanctus; ita ut hac adfirmatione excludant ipsum Dei Verbum, nec non consubstantialem et congloriosum Spiritum paracletum, a divini honoris puritate ac dignitate; anathema.

(1) Libri synodici magnae id est constantinopolitanae ecclesiae bonas particulas nos recitavimus ex cod. vat. Spicileg. T. VII. in praefatione.

Τοῖς τὴν καθ᾽ ἑκάστην προσαγομένην θυσίαν ὑπὲρ τῶν παραλαβόντων ἀπὸ Χριστοῦ τῶν θείων μυστηρίων ἱερουργίαν, μὴ δεχομένοις τῇ ἁγίᾳ τριάδι προσάγεσθαι, ὡς ἀντιφθεγγομένοις ἐντεῦθεν τοῖς ἱεροῖς καὶ θείοις πατράσι Βασιλείῳ τε καὶ τῷ Χρυσοῤῥήμονι, οἷς συμφωνοῦσι καὶ οἱ λοιποὶ θεοφόροι πατέρες ἐν τοῖς οἰκείοις λόγοις τε καὶ συγγράμμασιν, ἀνάθεμα.

Τοῖς ἀκούουσι μὲν τοῦ σωτῆρος περὶ τῆς παρ᾽ αὐτοῦ παραδοθείσης τῶν θείων μυςηρίων ἱερουργίας, λέγοντος, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, μὴ ἐκλαμβανομένοις δὲ ὀρθῶς τὴν ἀνάμνησιν, ἀλλὰ τολμῶσι λέγειν, ὅτι καινίζει φανταστικῶς καὶ εἰκονικῶς τὴν ἐπὶ τοῦ τιμίου σταυροῦ παρὰ τοῦ σωτῆρος ἡμῶν πραχθεῖσαν θυσίαν τοῦ ἰδίου σώματός τε καὶ αἵματος εἰς κοινὸν τῆς ἀνθρωπίνης φύσεως λύτρον τε καὶ ἐξίλασμα, ἡ καθ᾽ ἑκάστην προσαγομένη θυσία παρὰ τῶν τὰ θεῖα ἱερουργούντων μυστήρια, καθὼς ὁ σωτὴρ ἡμῶν καὶ δεσπότης τῶν ὅλων παρέδωκε· καὶ διὰ τοῦτο ἄλλην εἶναι

Iis qui peractum quotidie sacrificium a Christi sacerdotibus divina mysteria tractantibus non concedunt sanctae Trinitati offerri, contradicentes sanctis divinisque patribus Basilio et Chrysostomo, quibuscum consentiunt et reliqui pleni Deo Patres in suis sermonibus atque scriptis; anathema.

Iis qui cum audiunt Servatorem in instituto a se divinorum mysteriorum sacrificio dicentem: hoc facite in meam commemorationem, haud recte intelligunt vocabulum « commemorationem » sed dicere audent quod sacerdotes phantastice et imaginarie renovant peractum a Servatore nostro in pretiosa cruce sacrificium sui corporis atque sanguinis ob communem humanae naturae redemptionem ac propitiationem, dum quotidianam hostiam offerunt eo ritu quem Servator dominusque noster tradidit; ideoque diversum esse hoc sacrificium adstruunt ab illo quod Servator noster olim pe-

ταύτην παρὰ τὴν ἐξ ἀρχῆς τῷ σωτῆρι τετελεσμένην εἰσάγουσι, καὶ πρὸς ἐκείνην φανταστικῶς καὶ εἰκονικῶς ἀναφερομένην· ὡς κενοῦσι τὸ τῆς φρικτῆς καὶ θείας ἱερουργίας μυστήριον, δι' οὗ τὸν τῆς μελλούσης ζωῆς ἀῤῥαβῶνα λαμβάνομεν· καὶ ταῦτα τοῦ θείου πατρὸς Ἰωάννου τοῦ πανσόφου καὶ χρυσοῤῥήμονος διατρανοῦντος τῆς θυσίας τὸ ἀπαράλλακτον, καὶ μίαν καὶ τὴν αὐτὴν εἶναι φάσκοντος ἐν πολλαῖς τῶν τοῦ μεγάλου Παύλου ῥητῶν ἐξηγήσεσιν, ἀνάθεμα.

Τοῖς χρονικὰς διαστάσεις ἐπὶ τῆς καταλλαγῆς τῆς ἀνθρωπίνης φύσεως πρὸς τὴν θείαν καὶ μακαρίαν φύσιν τῆς ζωαρχικῆς καὶ πανακηράτου τριάδος ἐπινοοῦσι καὶ παρεισάγουσι· καὶ πρότερον μὲν τῷ μονογενεῖ λόγῳ νομοθετοῦσιν ἐξ αὐτῆς κατηλλάχθαι ἡμᾶς τῆς προσλήψεως, ὕστερον δὲ τῷ θεῷ καὶ πατρὶ κατὰ τὸ σωτήριον πάθος τοῦ δεσπότου Χριστοῦ, καὶ διαιροῦσι τὰ ἀδιαίρετα, τῶν θείων καὶ μακαρίων πατέρων διὰ τοῦ τῆς οἰκονομίας μυστηρίου παντὸς, καταλλάξαι ἡμᾶς ἑαυτῷ τὸν μονογενῆ διδασκόντων, καὶ δι' ἑαυτοῦ

regit, ad idemque nonnisi phantastice et imaginarie referri; his, inquam, tamquam evacuantibus tremendi divinique sacrificii mysterium, per quod futurae vitae arrham accipimus; praesertim cum divus pater et sapientissimus Iohannes chrysostomus perspicue docuerit nullam esse utriusque sacrificii differentiam, unumque et idem adfirmaverit in multis magni Pauli interpretationibus; anathema.

Iis qui temporum distantias in conciliatione humanae naturae cum divina beataque vivificae immortalisque Trinitatis excogitant atque invehunt; et primo quidem statuunt nos fuisse conciliatos unigenito Verbo vi adsumptae ab ipso humanitatis, postea vero conciliatos quoque Deo patri tempore salutaris passionis Christi domini; atque ita dividunt indivisibilia; quum contra divi beatique patres per universum simul incarnationis mysterium sibi nos conciliatos ab unige-

τέ καὶ αὐτῷ τῷ Θεῷ καὶ πατρὶ, ἀκολούθως δὲ πάντως καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, ὡς καινῶν ζητημάτων καὶ ἐκφύλων ἐφευρεταῖς, ἀνάθεμα.

ΤΟ ΕΠΙ ΤΩ ΑΝΑΦΥΕΝΤΙ ΔΟΓΜΑΤΙ

ΠΑΡΑ ΤΟΥ ΠΑΝΤΕΥΓΕΝΟΥ ΣΩΤΗΡΙΧΟΥ

ΓΕΓΟΝΟΣ ΣΗΜΕΙΩΜΑ.

Μηνὶ μαΐῳ, ιβʹ, ἡμέρᾳ, ἰνδ. εʹ. Προκαθημένου τοῦ θεοστέπτου ἡμῶν βασιλέως αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν, παρισταμένων τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ τῶν περιποθήτων ἀνεψιῶν αὐτοῦ καὶ υἱῶν, τοῦ ἀοιδίμου σεβαστοκράτορος κυροῦ Ἀνδρονίκου τοῦ πρωτοσεβαστοῦ.

nito doceant, et per ipsum Deo patri, consequenterque omnino etiam sanctissimo et vivifico Spiritui; his, inquam, tamquam novarum quaestionum et peregrinarum auctoribus, anathema.

ACTA SYNODICA

DE DOGMATE CUIUS AUCTOR FUIT

PANTEUGENUS SOTERICHUS.

Mensis maii die duodecima, indictione quinta. Praesidente a Deo coronato imperatore potentissimo domino Manuele Comneno, in Blachernarum palatio, adsistentibus sanctae maiestati eius valde amabilibus eiusdem consobrinis, filiis illustris sebastocratoris domini Andronici protosebasti.

Καὶ πρωτοβεστιαρίου κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ, καὶ τοῦ αὐταδέλφου αὐτοῦ κυροῦ Ἀλεξίου.

Τοῦ περιποθήτου ἀνεψιοῦ τῆς κραταιᾶς καὶ ἁγίας αὐτοῦ βασιλείας, κυροῦ Ἀλεξίου τοῦ Κοντοστεφάνου.

Τοῦ πανσεβάστου σεβαστοῦ καὶ γαμβροῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, κυροῦ Ἰωάννου τοῦ Καντακουζηνοῦ.

Τοῦ πανσεβάστου σεβαστοῦ καὶ γαμβροῦ τῆς μακαριοτάτης πορφυρογεννήτου καὶ περιποθήτου αὐταδέλφης τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρᾶς Θεοδώρας, κυροῦ Ἰωάννου Ἀγγέλου.

Τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἰωάννου τοῦ Κοντοστεφάνου.

Τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Κωνσταντίνου τοῦ Παλαιολόγου.

Τοῦ πανσεβάστου σεβαστοῦ κυροῦ Ἀλεξίου τοῦ Παλαιολόγου.

Τοῦ πανσεβάστου σεβαστοῦ καὶ ἐπάρχου κυροῦ Ἀνδρονίκου τοῦ Καματηροῦ.

Protovestiario domino Iohanne Comneno, eiusque fratre domino Alexio.

Valde amabili consobrino potentis sanctique imperatoris domino Alexio Contostephano.

Pansebasto sebasto genero potentis sanctique nostri imperatoris domino Iohanne Cantacuzeno.

Pansebasto sebasto genero beatissimae porphyrogenitae valdeque amabilis sororis potentis sanctique nostri imperatoris, dominae Theodorae, domino Iohanne Angelo.

Pansebasto sebasto domino Iohanne Contostephano.

Pansebasto sebasto domino Constantino Palaeologo.

Pansebasto sebasto domino Alexio Palaeologo.

Pansebasto sebasto et eparcho domino Andronico Camatero.

Τοῦ μεγαδοξοτάτου μεγάλου λογαριαστοῦ τοῦ σεβαστοῦ καὶ πρωτονοταρίου κυροῦ Ἰωάννου.

Τοῦ μεγαδοξοτάτου πρωτονοταρίου καὶ ἐπὶ τοῦ Κανικλείου κυροῦ Θεοδώρου τοῦ Στυπειώτου.

Τοῦ μεγαδοξοτάτου μυστικοῦ κυροῦ Νικηφόρου τοῦ Βορβνοῦ.

Τοῦ μεγαδοξοτάτου μεγάλου δρουγγαρίου κυροῦ Ἰωάννου τοῦ Μακρεμβολίτου.

Τοῦ μεγάλου ἐπιφανεστάτου πρωτασηκρῆτις κυροῦ Νικολάου τοῦ Ζωναρᾶ.

Τοῦ μεγάλου ἐπιφανεστάτου πρωτοκουρατῶρος καὶ ἐπὶ τῶν δεήσεων κυροῦ Μιχαὴλ τοῦ Καματηροῦ.

Τοῦ μεγάλου ἐπιφανεστάτου πρωτοκουρατῶρος νομοφύλακος καὶ ἐπὶ τῶν οἰκειακῶν κυροῦ Θεοδώρου τοῦ Παντεχνοῦς.

Τοῦ μεγάλου ἐπιφανεστάτου πρωτοκουρατῶρος καὶ φύλακος κυροῦ Ἠλία τοῦ Βουρτεοῦ.

Συμπαρισταμένης καὶ τῆς συγκλήτου, καὶ συνεδριαζόντων αὐτῇ καὶ συνδιαιτώντων τῇ ὑποθέσει

* Sic et p. 16. Gloriosissimo magno logariasta * sebasto et protonotario domino Iohanne.

Gloriosissimo protonotario, et Canielei praeposito, domino Theodoro Stypiota.

Gloriosissimo mystico domino Nicephoro Borbno.

Gloriosissimo magno drungario domino Iohanne Macrembolita.

Magno perillustri protoasecretis domino Nicolao Zonara.

Magno perillustri protocuratore et a supplicibus libellis domino Michaële Camatero.

Magno perillustri protocuratore nomophylace, et domesticis rebus praeposito Theodoro Pantechne.

Magno perillustri protocuratore et custode domino Elia Burteo.

Τοῦ Κωνσταντινουπόλεως Κωνσταντίνου.

Τοῦ Ἱεροσολύμων μοναχοῦ Ἰωάννου.

Συνεδριαζόντος ἡμῖν καὶ τοῦ ὑποψηφίου θεοῦ πόλεως μεγάλης Ἀντιοχείας Σωτηρίχου τοῦ Παντεύγνου.

Συνδιαιτώντων ὡσαύτως τῇ ὑποθέσει καὶ ἡμῶν

Τοῦ ἀρχιεπισκόπου πάσης Βουλγαρίας μοναχοῦ Ἰωάννου.

Καὶ τοῦ Κύπρου μοναχοῦ Ἰωάννου.

Καὶ συνδιαγνωμονούντων καὶ ἡμῶν τῶν ἀρχιερέων, τοῦ Καισαρείας Στεφάνου. Τοῦ Κυζίκου Ἰωάννου. Τοῦ Νικομηδείας Θεοφυλάκτου. Τοῦ Σίδης Ἰωάννου. Τοῦ Θεσσαλονίκης Βασιλείου. Τοῦ Νεοκαισαρείας Κωνσταντίνου. Τοῦ Λαοδικείας Καλοῦ. Τοῦ Κορίνθου Θεοδώρου. Τοῦ Ἀθηνῶν Γεωργίου. Τοῦ Μωκησοῦ Λέοντος. Τοῦ Ναυπάκτου Βασιλείου. Τοῦ Φιλιππουπόλεως Θεοδώρου. Τοῦ Ἀδριανουπόλεως Λέοντος. Τοῦ Ἀπαμείας Γεωργίου. Τοῦ Κερκύρας Κωνςαντίνου. Τοῦ Ἀτταλείας Νικολάου. Τοῦ Παροναξίας Ἰωάννου. Τοῦ

Praesente senatu, et considentibus negotiumque simul agentibus

Constantinopoleos patriarcha Constantino.

Hierosolymorum patriarcha monacho Iohanne.

Considente nobiscum electo quoque magnae Dei urbis Antiochiae Soterícho Panteugeno.

Rem propositam simul urgentibus

Archiepiscopo totius Bulgariae monacho Iohanne.

Archiepiscopo Cypri monacho Iohanne.

Pariter simul censentibus nobis episcopis Caesareae Stephano. Cyzici Iohanne. Nicomediae Theophylacto. Sidae Iohanne. Thessalonicae Basilio. Neocaesareae Constantino. Laodiceae Calo. Corinthi Theodoro. Athenarum Georgio. Mocesi Leone. Naupacti Basilio. Philippopoleos Theodoro. Hadrianopoleos Leone. Apameae Georgio. Corcyrae Constantino. Attaliae Nicolao. Paronaxiae Iohanne. Mesembriae Theodoro.

Μεσημβρίας Θεοδώρου. Τοῦ Βιζύης Θεοδώρου. Τοῦ Ἀρκαδιουπόλεως Κωνσταντίνου. Τοῦ Παρίου Νικήτα. Τοῦ Σηλυβρίας Ἰωάννου. Τοῦ Ἀραβιζύης Γρηγορίου. Τοῦ Λήμνου Μιχαήλ. Τοῦ τῆς Ἡρακλέος μοναχοῦ Ἀκακίου.

Καὶ τῶν παρευρεθέντων ἐν τῇ πόλει θεοφιλεστάτων ἐπισκόπων

Τοῦ Πατρῶν Γεωργίου. Τοῦ Τραχάλης. . . . Τοῦ Ὑρκανίας Διονυσίου. Τοῦ Δαλισάνδων Κωνσταντίνου. Τοῦ Ἄργους Λέοντος. Τοῦ Δημητριάδος Ἰωάννου. Τοῦ Ἄρτης Βασιλείου. Τοῦ Ἀντάνδρου . . .

Συμπαρισταμένων καὶ τῶν θεοφιλεστάτων ἐκκλησιαστικῶν ἀρχόντων.

Ὅτι καρδία βασιλέως εὐσεβοῦς ἐν χειρὶ θεοῦ, ὡς γέγραπται, καὶ ὅτι μὴ πόῤῥω θείας βουλῆς τὸ κατ' αὐτὸν περαίνεται διαβούλιον, ἀτεχνῶς αὐτοῖς ἔργοις ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ καὶ ἄρτι παρέδειξεν· ὃν καὶ Χριστοῦ νοῦν εἰπών τις πεπλουτηκέναι φάναι κατὰ τὸν θεῖον καὶ μέγαν ἀπόστο-

Arcadiopoleos Constantino. Parii Niceta. Selybriae Iohanne. Arabizyae Gregorio. Lemni Michaële. Heracliadis monacho Acacio.

Itemque aliis qui versabantur in urbe Deo carissimis episcopis

Patrarum Georgio. Trachalae. . . . Hyrcaniae Dionysio. Dalisandorum Constantino. Argorum Leone. Demetriadis Iohanne. Artae Basilio. Antandri. . . .

Praesentibus etiam Deo carissimis ecclesiasticis praepositis.

Quod pii regis cor in manu Dei sit, ut ait scriptura; et quod non procul a divina voluntate consilia eius recedant, manifeste nobis actibus ipsis coronatus a Deo imperator nunc ostendit; quem mente Christi factum divitem dicere possumus, ut divi magnique apostoli verba usurpemus. Etenim qui animam suam corpusque divinae gubernationi commisit, fieri

λον· ἅτε δὲ καὶ ψυχὴν καὶ σῶμα τῇ θείᾳ κυβερνήσει προσαναθέμενον, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος· τἄλλα μὲν οὖν ἐπὶ τοῦ παρόντος ἀπαριθμεῖσθαι τούτου πλεονεκτήματα, ὅσα τε τὸν ἐκτὸς καὶ φαινόμενον βασιλέα μεγαλουργὸν παρίστησιν ὑπὲρ ἄνθρωπον· καὶ ὅ γε τὸν ἐντὸς καὶ κρυπτόμενον διαδείκνυσιν ἐμφανέστατα πρὸς τὸ τοῦ θείου κάλλους ἀρχέτυπον ἀκριβῶς ἐξεικονιζόμενον, περιττὸν ἴσως δόξει καὶ ἄκαιρον.

Πλὴν ἀλλὰ ταῦτα μόνα ῥητέον, ἐφ' οἷς ἄρα τὸν παρόντα συγκεκρότηκε σήμερον σύλλογον· ὡς γὰρ ἀπόφημά τινα καὶ τῆς ὀρθοτόμου δόξης ἀλλότρια περί τε τῆς παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν καιρῷ τοῦ πάθους γενομένης ἱλαστηρίου τῶν ἡμετέρων ἁμαρτημάτων προσαγωγῆς τοῦ ἰδίου σώματός τε καὶ αἵματος, καὶ δὴ καὶ τῆς ὁσημέραι παρὰ τῶν θεῖα μεταχειριζομένων ἱεροτελεστῶν γινομένης ἐν ταῖς ἱεραῖς ἁγιστείαις τῶν ζωοποιῶν μυστηρίων, ὡς αὐτὸς ἐν τῷ μυστικῷ δείπνῳ κατήρξατο, ὡς ἱστοροῦσι τὰ ἱερὰ καὶ θεόπνευστα εὐαγγέλια, φρονεῖν τε καὶ

nequit ut ab officio discedat. Itaque reliquas nunc quidem enumerare eiusdem virtutes, sive quae exterius regem sistunt supra humanam conditionem magnificum, sive quae interius et reconditae demonstrant eum ad divinae pulchritudinis archetypum egregie conformatum; has, inquam, recensere supervacuum fortasse videretur atque importunum.

Nunc itaque illud solum dicemus, cur praesentem synodum congregandam iudicaverit. Statim ac enim intellexit, sacerdotes quosdam fovere animo ac verbis pronunciare absurda quaedam dogmata et a recta fide abhorrentia circa illud quod dominus Deus ac servator noster Iesus Christus suae passionis tempore pro peccatorum nostrorum propitiatione obtulit sacrificium proprii corporis sanguinisque, nec non circa illud quod fit quotidie in sacra vivificorum mysteriorum liturgia a sacerdotibus, cuius rei initium fecit ipse Iesus in sacra cae-

δογματίζειν τῶν τινας ἱερωμένων ἐπύθετο· ἀλλὰ καὶ εἰς ἑτέρους ἤδη τὴν νόσον ταύτην ὑφέρπουσαν κατεμάνθανεν, ἣν δυσέριδές τινες καὶ φιλόνεικοι ἄνθρωποι, οὐκ ἴσμεν ὅπως φρενοβλαβῶς νενοσήκασιν, ἔνθεον ζῆλον ἀναλαβὼν ὁποῖος οὗτος τὰ πρὸς εὐσέβειαν ζηλωτὴς τῷ ὄντι διάπυρος· καὶ πάσαις ἄλλαις εἰπὼν ἐῤῥῶσθαι τέως κατεπειγούσαις κοσμικαῖς ὑποθέσεσιν, ὁπόσα τούτου τὸ ἔνθεον κράτος ἀλλεπαλλήλως περιστοιχίζουσι· τοῦτο ἐκεῖνο τὸ ἐν εὐαγγελίοις εὖ ποιῶν καὶ αὐτὸς εὐσεβέστατα συνεπράξατο· ἐξαπέστειλε τοὺς ἀγγέλους αὐτοῦ συγκαλέσασθαι τοὺς συλλέξοντας ἐκ τοῦ μέσου ταῦτα δή που τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν· διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν εἴτ' οὖν συλλογισμοῖς· καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν.

Ἔνθέν τοι καὶ ἐν ἁγίῳ συναθροισθέντες ἅπαντες πνεύματι ὁπόσοι τῇ βασιλίδι τῶν πόλεων ἐκ τῶν ἔγγιστά τε καὶ

na, ut sancta et a Deo inspirata evangelia narrant; cumque ad alios quoque manare sensim morbum hunc cognovisset, quo morosi quidam contentiosique homines temere laborabant; divino statim zelo correptus, pro suo rectae fidei inflammato amore; sepositis interim quae instabant mundanis curis; his enim sanctus eius thronus sine intermissione pulsatur; evangelicum illud exemplum recte ac religiosissime secutus est, videlicet ut angelos suos mitteret ad tollenda de medio haec scandala, et eos qui operantur iniquitatem: qui agnoscentes quidem Deum, non tamen uti Deum glorificabant, sed in cogitationibus suis syllogismisque evanuerant, quorum insipiens cor obscuratum erat; et dum sapientes se dictitabant, facti sunt stulti.

Quamobrem in sancto congregati Spiritu omnes quotquot in hac regia urbe et in proximis longinquisque provinciis

πόῤῥω ταύτης ἐπαρχιῶν ἐπιδεδημήκαμεν, βουλῇ καὶ γνώμῃ τοῦ θεοκυβερνήτου ἡμῶν αὐτοκράτορος· προκαθημένου μὲν τοῦ ἐνθέου κράτους αὐτοῦ, παριςαμένης δὲ τῆς συγκλήτου, ἀλλὰ καὶ ἡμῶν τῶν πατριαρχῶν τοῦ Κωνςαντινουπόλεως, καὶ τοῦ Ἱεροσολύμων τὰ τῆς ὑποθέσεως τῷ κράτει τούτου συνδιαιτώντων, καὶ τοῦ ὑποψηφίου θεουπόλεως Ἀντιοχείας συνεδριάζοντος, οὐ μὴν οὐδὲ ἡμῶν τῶν ἀρχιεπισκόπων, τοῦ Βουλγαρίας, καὶ τοῦ Κύπρου, τῆς τοιαύτης ἀπολιμπανομένων συνδιαιτήσεως, αὐτὰ ἐκεῖνα καὶ νῦν ὁμοφρονοῦντες ἐπικρατύνομεν ἃ κἂν τῷ γινομένῳ συνοδικῷ σημειώματι κατὰ τὴν κϛ´ τοῦ ἰανουαρίου μηνὸς τῆς ἤδη παρελθούσης τετάρτης ἐπινεμήσεως τοῦ ͵ϛχξδ´ ἔτους, οἱ τότε συνελθόντες ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἱερώτατοι ἀρχιερεῖς καὶ λοιποὶ, οἷς καί τινες ἐξ ἡμῶν τῷ τότε συμπαρελήφθησαν, ὡς πρὸς ἐρώτησιν εἰσαχθεῖσαν τὸ τηνικαῦτα παρὰ τοῦ ἱερωτάτου συναδέλφου ἡμῶν καὶ μητροπολίτου Ῥωσίας Κωνσταντίνου, εὐσεβῶς ἀπεκρίναντο.

Εἰ γὰρ καὶ πολλαχοῦ τῆς γραφῆς τὸν ἐν μιᾷ τῇ ὑπο-

versamur, sic volente ac censente a Deo gubernato imperatore nostro; praesidente sancta maiestate eius, adstante senatu nobisque patriarchis Constantinopoleos, et Hierosolymomorum, negotium hoc cum maiestate eius gerentibus; nec non nobis Bulgariae et Cypri archiepiscopis cooperantibus, eademque sentientibus et firmantibus quae et in actis synodicis die XXVI. ianuarii, quarta iam praeterita indictione, anno VI.DC.LXIIII. (Christi 1156.) quotquot tunc convenerunt in sanctissima magna ecclesia episcopi reliquique homines (quibuscum et nonnulli ex nobis fuerunt) ad propositam a sanctissimo confratre nostro Russiae metropolitano Constantino quaestionem orthodoxe responderunt.

Etsi enim saepe in scriptura adfirmatur et in confesso est,

στάσει νοούμενον θεόν τε καὶ ἄνθρωπον, υἱὸν καὶ λόγον τοῦ συναϊδίου τούτου πατρὸς, τὰ τῆς ἡμετέρας σωτηρίας οἰκονομήσαντα, ὡς μέγαν καὶ πρῶτον ἀρχιερέα προσαγαγεῖν ἑαυτὸν τῷ πατρὶ θυσίαν ζωοποιὸν καὶ κοσμοσωτήριον διείληπται καὶ ὡμολόγηται, ἀλλ' οὐχ, ὥς τινες φασὶν, οὐδὲν ἐπικεκοινώνηκεν εἰς τὸ ταύτην λαβεῖν, οὔτ' αὐτὸς ὁ ὑπὲρ ἡμῶν ἑαυτὸν προσαγαγὼν ἄμωμον ἱερεῖον ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ, οὔτε μὴν τὸ ὁμοούσιον ζωαρχικόν τε καὶ θεῖον πνεῦμα· οὔτε δὲ τὴν παρ' ἡμῶν τελουμένην ζωοποιὸν θυσίαν προσαγομένην κατ' αὐτὸν τῷ πατρὶ, ὁ υἱὸς καὶ τὸ πνεῦμα οὐ συμπροσδέχονται· εἰ γοῦν καὶ οὕτω τὰ περὶ τῆς εἰρημένης πρώτης προσαγωγῆς πολλαχῶς ὡς δεδήλωται γέγραπται, ἀλλ' οὐχὶ καὶ ὑποστατικῶς αὐτὸν, ὡς καὶ καθ' ἑαυτὴν τῆς θείας προσαγούσης φύσεως κατὰ τὴν αὐτῶν ληρῳδίαν προσαγαγεῖν τῷ πατρὶ τὴν σωτήριον ἐκείνην τοῦ ἡμετέρου γένους θυσίαν, ὅπου δήποτε τῆς θεοπνεύστου γραφῆς παραδεδομένην ἐφεύροι τις, οὐδ' ὅτι μὴ ταύτην συμπροσεδέξατο καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον.

aeterni huius Patris Verbum filiumque, quem Deum simul et hominem in una persona intelligimus, quo tempore nostram salutem operabatur, ceu magnum primumque pontificem obtulisse semet patri hostiam vivificam et mundo salutarem; nequaquam tamen, ut certe nonnulli aiunt, hostiae particeps vel ipse unigenitus Dei filius fuit qui pro nobis se victimam immaculatam sistebat, vel etiam consubstantialis eidem vitaeque auctor sanctus Spiritus: neque item oblatam a nobis ex eius instituto hostiam Patri, Filius et Spiritus recipiunt. Quamquam igitur de illa oblatione sic saepe praedicto modo locuta est scriptura, ut constat; nusquam tamen in eadem divina scriptura traditum quis inveniet, quod hypostatice Verbum se obtulerit, id est quod natura divina ipsa per se Patri

Ἵνα δὲ καὶ χρήσεων γραφικῶν φανότατα τὸ τοῦ δόγματος ἀληθὲς παραστήσαιμεν, ἄγε καὶ μάρτυρες παρ' ἡμῶν παραγέσθωσαν ἀπαράγραπτοι θεοφόροι πατέρες, οἱ καὶ ῥητῶς ἤδη τὰ περὶ τούτου διατρανώσαντες· καὶ πρῶτον ὁ πολὺς τὰ θεῖα καὶ μέγας Βασίλειος, οὗ καὶ τὴν φωνὴν ὡς θεοῦ φωνὴν κατέχομεν ἄντικρυς ἐν ταῖς τῆς παρ' αὐτοῦ ἐκτεθείσης μυσταγωγίας εὐχαῖς, οὕτω γράφων σαφῶς, ἡνίκα πρὸς τὸν σωτῆρα Χριστὸν ἀναφέρει τὸν λόγον· ἀξίωσον ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου προσενεχθῆναι σοὶ τὰ δῶρα ταῦτα· σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ θεὸς ἡμῶν· ἃ δῆτα καὶ ὁ χρυσοῦς τὴν γλῶσσαν ἐν ταῖς εὐχαῖς ταῖς παρ' αὐτοῦ ἐκτεθείσης ἱεροτελεστίας δεξάμενος, οὐκ ἠλλίωσεν. Ἀλλὰ καὶ ὁ ἐν θαύμασι περιβόητος θεῖος Γρηγόριος ἐν τῷ παρ' αὐτοῦ ἐκτεθέντι λόγῳ εἰς τὸ εὐαγγελικὸν ῥητὸν, τὸ, οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς,

obtulerit, ut isti nugantur, salvificam illam nostri generis victimam; neque quod illam Filius simul cum sancto Spiritu non receperit.

Ut autem scripta quoque testimonia sistamus, quae dogmatis huius veritatem evidenter demonstrant, age testes procedant irrefutabiles divi patres, qui disertis verbis rem hanc ad liquidum deduxerunt. Atque in primis magnus et in divinis valde versatus Basilius, cuius vocem haud secus quam Dei vocem auscultamus, in compositae ab eo mystagogiae precibus sic manifeste scribit, ubi servatorem Christum alloquitur: dignare, ut a me peccatore et indigno haec tibi dona offerantur. Tu enim es qui offers, et qui offereris, et qui recipis, et qui distribuis, Christe Deus noster. Quae verba Chrysostomus in precibus a se editae liturgiae admittens nullo modo immutavit. Quin etiam miraculis celeberrimus divus Gregorius in edito a se sermone super evangelico dicto: hic

κατὰ ῥῆμα οὕτω διεξιὼν, οὗτός ἐστιν ὁ υἱός μου καὶ ἀμνὸς, ὁ αὐτὸς ἱερεὺς καὶ ἱερεῖον, ὁ αὐτὸς προσφέρων καὶ προσφερόμενος, ὁ αὐτὸς ἱερουργῶν καὶ ἱερουργούμενος, ὁ αὐτὸς θυσία γινόμενος καὶ αὐτὸς τὴν θυσίαν δεχόμενος. (1)

Συνῳδὰ τούτοις καὶ ὁ τῆς Ἱεροσολύμων ἐκκλησίας λαμπτὴρ ἐφθέγξατο Κύριλλος ἐν τῷ εἰς τὴν θείαν ὑπαπάντην πονηθέντι παρ' αὐτοῦ λόγῳ· αὐτὸς ὁ θύτης εἰπὼν, καὶ αὐτὸς ὁ τὴν θυσίαν δεχόμενος. Ἔτι δὲ καὶ ὁ πάμμεγας καὶ θεσπέσιος Κύριλλος ὁ τῆς Ἀλεξανδρέων φωστὴρ ἐν τῷ εἰς τὸν μυστικὸν δεῖπνον καὶ νιπτῆρα λόγῳ αὐτοῦ, διαῤῥήδην οὕτως ἀποφαινόμενος· πίνωμεν αὐτοῦ τὸ αἷμα etc. usque ad παντίμου τριάδος. Ὃς καὶ ἐν τῷ εἰς τὰς βασιλίσσας λόγῳ αὐτοῦ, πολλαχοῦ τῆς κατὰ Χριστὸν ἱερωσύνης μεμνημένος, οὕτω διέξεισι· ἄθρει δὲ ὅπως etc. usque ad ὁμοῦ θεὸς καὶ ἄνθρωπος. Ἀλλὰ καὶ ὁ σοφὸς Θεοδώρητος τὸ ἀποστολικὸν ῥητὸν διηγούμενος τὸ λέγον, ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγ-

est filius meus dilectus, ad litteram ita ait: hic est filius meus et agnus, idem sacerdos ac victima, idem offerens et et oblatus, idem immolans et immolatus, idem hostia factus idemque hostiam recipiens.

Consona his ecclesiae quoque hierosolymitanae lampas Cyrillus in eo quem de occursu Domini scripsit sermone: idem, inquit, est sacrificator, idemque victimae receptor. Insuper et maximus ac divus Cyrillus Alexandriae luminare in suo de mystica caena et lotione sermone, diserte sic ait: bibamus *etc. usque ad* de venerabili Trinitate (ut p. 41.) Idem in suo pariter ad reginas sermone, sacerdotio Christi saepe commemorato, sic prosequitur: animadverte quomodo *etc. usque ad* Deus simul et homo (ut p. 44.) Praeterea sapiens Theodoretus

(1) Hic S. Gregorii thaumaturgi locus excidisse videtur ex calce sermonis ab eo dicti de Christi baptismo, ubi optime haec verba quidem quadrant, minime tamen nunc leguntur.

κην πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίαν ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ, οὕτως ἐπάγει· καὶ ἐκεῖνοι μὲν ἕτερα προσέφερον θύματα, οὗτος δὲ τὸ ἑαυτοῦ προσενήνοχε σῶμα· αὐτὸς ἱερεὺς καὶ ἱερεῖον γενόμενος· καὶ ὡς θεὸς, μετὰ πατρὸς καὶ πνεύματος τὸ δῶρον δεχόμενος. Ἐξηγούμενος δὲ καὶ τὸ δαυιτικὸν ῥητὸν, τὸ σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, περὶ τῆς καθ' ἡμέραν γινομένης ἱεροτελεστίας, οὕτως ἡρμήνευσεν· ἱερατεύει δὲ καὶ νῦν ὁ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας Χριστὸς, καίτοι μηδὲν αὐτὸς προσφέρων, ἀλλὰ τῶν προσφερόντων κεφαλὴ χρηματίζων· σῶμα γὰρ ἑαυτοῦ τὴν ἐκκλησίαν καλεῖ· καὶ ἱερατεύει μὲν ὡς ἄνθρωπος, δέχεται δὲ τὰ προσφερόμενα ὡς θεός.

Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα παρὰ τῶν θείων πατέρων ἐρανισάμενοι πρὸς ἐναργῆ τῆς ἀληθείας παράστασιν, τῇ παρούσῃ γραφῇ ἐνετάξαμεν, τὸ μῆκος τοῦ λόγου ἐκφεύγοντες· ἔξεστι δὲ τοῖς βουλομένοις φιλοπονεῖν, καὶ ἐξ ἄλλων μυρίων συνάγειν τοῦ θείου δόγματος τὴν ἀκρίβειαν· τῶν οὖν

apostolicum locum enarrans ubi dicitur: qui non habet necessitatem quotidie prius pro suis delictis hostiam offerre, deinde pro populi, haec addit: hic autem suummet obtulit corpus; idem sacerdos et victima; et quatenus Deus, cum Patre et Spiritu donum recipiens. Enarrans autem davidicum textum, tu es sacerdos in aeternum secundum ordinem Melchisedec, sic interpretatur: sacrificat nunc quoque Christus de Iuda secundum carnem natus, etsi nihil is offert, sed offerentium caput est. Corpus enim suum ecclesiam appellat. Et sacrificat quidem ut homo, hostiam vero recipit ut Deus.

Pauca haec de multis ex divis patribus decerpentes ad evidentem veritatis demonstrationem, in hunc commentarium inseruimus, prolixitatem verborum vitantes. Licebit autem lucubrare volentibus, ex aliis quoque permultis locis colligere sacri dogmatis demonstrationes. Quum igitur pleni Deo pa-

θεοφόρων πατέρων οὕτως ὁμοφρόνως εἰρηκότων τὰ περὶ τούτου, εὔδηλον ὡς ὁπηνίκα καὶ ὁ δεσπότης Χριστὸς ἑαυτὸν ἑκουσίως ἱέρευσε, προσήγαγε μὲν ἑαυτὸν κατὰ τὸ ἀνθρώπινον, ὡς δὲ θεὸς καὶ αὐτὸς συνάμα τῷ πατρὶ καὶ πνεύματι τὴν θυσίαν ἀνεδέξατο· ἀλλ' ἐν τούτοις μὲν τὰ τῆς ὑποθέσεως ἐφ' ᾗ καὶ πρώτως συνήλθομεν· καὶ οὕτω δεῖ φρονεῖν τοὺς τῆς ἐκκλησίας τροφίμους ὡς τῆς τριάδος προσκυνητάς· καὶ κατ' ἀρχὴν ἐπὶ τοῦ δεσποτικοῦ πάθους τὸν θεάνθρωπον λόγον τὸ σωτήριον θῦμα προσενεγκεῖν τῷ πατρί τε καὶ ἑαυτῷ ὡς θεῷ καὶ τῷ πνεύματι· παρ' ὧν κἀκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὁ ἄνθρωπος· οἷς καὶ προσέπταισε τὴν ἐντολὴν παραβάς· οἷς καὶ διὰ τοῦ πάθους τοῦ Χριστοῦ καταλλάγημα· ἀλλὰ καὶ νῦν ὡσαύτως τὰς ἀναιμάκτους θυσίας τῇ παντελείῳ καὶ τελειοποιῷ τριάδι προσάγεσθαι, καὶ ταύτην ταύτας προσαποδέχεσθαι.

Ἐπεὶ δὲ οὐκ ἦν τῆς τοῦ βασιλέως μεγαλονοίας, οὐ μὴν οὐδὲ τῆς καθ' ἡμᾶς ἀδελφικῆς συμπνοῆς καὶ ὁμονοίας, τὸ

tres tam concorditer de hac re loquantur, palam est quod cum Christus dominus se ipsum sponte sacrificio obtulit, quatenus quidem homo erat, se obtulit; quatenus vero Deus, ipse quoque cum Patre et Spiritu hostiam recepit. Atque in hoc proposita quaestio vertitur, cuius causa superiore quoque tempore congregati fuimus. Sic autem omnino credere oportet ecclesiae alumnos et Trinitatis cultores: nempe et olim in passione dominica Verbum theanthropum salutarem hostiam exhibuisse tum Patri, tum ipsi sibi uti Deo nec non Spiritui: a quibus ex nihilo ad existendum productus est homo; quos ipse transgressione sua offendit; quibus denique per Christi passionem reconciliatus fuit. Immo nunc quoque incruentas hostias creatrici rerum omnium et auctrici Trinitati reapse offerri, easque ab eadem recipi.

Quoniam vero fieri non poterat quin magnanimus impera-

μὴ καὶ τοὺς σπορέας τῶν ζιζανίων σπεῦσαι πάντα τρόπον ἐφευρεθῆναι καὶ ἐλεγχθῆναι, τὸ φαῦλον τοῦτο καὶ ἀκανθῶδες σπέρμα τῷ καθαρῷ τῆς εὐσεβείας σίτῳ ἐγκαταμίξαντας, καὶ λόγοις ἀλλοκότοις ἐπιχειροῦντας κατασκευάζειν, ὅτι τῆς Νεστορίου λύσσης ἐστὶ παραπλήρωμα τὸ παρὰ τῆς ἐκκλησίας ὀρθοδόξως δογματιζόμενον, ὡς εἰς δύο Χριστοὺς, βαβαὶ τῆς ἀπονοίας, οἰομένους ἐντεῦθεν διαιρεῖσθαι τὸν θεάνθρωπον κύριον, ἐφ' οἷς ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ παρ' ἡμῶν καταγγέλλεται προσφέρειν μὲν ὡς ἄνθρωπος, ὡς δὲ θεὸς καὶ προσδέχεσθαι· ἐδέησε λοιπὸν διὰ ταῦτα καὶ ὑμῶν τοῦ καθ' ἕνα πυθέσθαι, ὅπως ἕκαστος ἔχει περὶ τούτου φρονήματος· ναὶ δὴ καὶ τούτων ὁπόσοι τοῦ συλλόγου μέρος ὄντες, καὶ οὗτοι τὸ τίμιον ἐν διακόνοις συνεξετάζονται. Ἀλλὰ τῶν μὲν ἄλλων ἁπάντων ἐντίμων διακόνων ὅσοι τῷ βασιλείῳ τούτῳ καὶ ἱερῷ παρίστανται βήματι μιᾷ ψυχῇ καὶ γλώττῃ συμφρονούντων καὶ συνομολογούντων τὰ δεδογμένα, ὁ τῶν ἀποστόλων διδάσκαλος Νικηφόρος ὁ Βασιλά-

tor, itemque nostra concors ac fraterna caterva, horum zizaniorum satores omni studio detegere atque arguere curaret, qui nempe malum hoc spinosumque semen orthodoxiae frumento immiscuerunt; absurdisque sermonibus ausi sunt dicere, quod rectum ecclesiae dogma nestorianae vesaniae additamentum sit; quia videlicet putant, quasi in duos Christos (hem vesaniam!) isto modo dividi theanthropum hominem, dum unigenitus filius et Verbum Dei a nobis dicitur offerre quidem ut homo, recipere vero quatenus Deus; quocirca optavit imperator, ut singuli vestrûm rogarentur de hac re sententiam, nec non quicumque huius concilii participes sunt, si modo sint honore diaconatus praediti, interrogentur. Tum quidem cum reliqui omnes honorabiles diaconi, quotquot regali huic sacroque throno adstant, uno animo ac voce dogma id confiterentur eique consentirent, Nicolaus Basilaces aposto-

κης [1], αὐτίκα κατ' ἀρχὰς τῆς ἡμῶν συνελεύσεως εἰς μέσον τήμερον ἑαυτὸν ἐμβαλὼν, πολὺν ἄρχηθεν ἐποιήσατο τὸν κατάλογον, ἐν ὑπηκόῳ πάντων ὑφηγησάμενος τὸ συμπεσὸν αὐτῷ αἴτιον τῆς περὶ δόγματος τούτου ἀμφιβολίας· καὶ διὰ πάντων ἐξ ὧν εἶπε δεικνὺς ὅτι πρῶτος αὐτὸς ἐπὶ τούτῳ ἠγανάκτησεν ὡς ἔφησε· τῷ τοι καὶ ὡς καινοφανὲς αὐτὸ λογιζόμενος, ὅλως τοῦτο οὐκ ἤθελε παραδέχεσθαι.

Ἐπεὶ δὲ τῶν δύο πατριαρχῶν ἡμῶν ὁμοφώνως γνωμοδοτούντων τὰ περὶ τούτου, ἀλλὰ καὶ ἡμῶν τῶν ἀρχιεπισκόπων τοῦ τε Βουλγαρίας καὶ τοῦ Κύπρου, καὶ τῆς λοιπῆς ἡμῶν τῶν ἀρχιερέων ὁμηγύρεως εἰς μίαν γνώμην συνερχομένων, καὶ κατὰ μηδέν τι περὶ τούτου διαφερομένων πρὸς ἀλλήλους, ἔδει καὶ τὸν ὑποψήφιον πατριάρχην Θεουπόλεως μεγάλης Ἀντιοχείας Σωτήριχον ὡς συνεδριάζοντα καὶ τοῦτον ἐρωτηθῆναι· ἐνταῦθα μᾶλλον ἦν ἰδεῖν τὸ ζητούμενον εὑρισκόμενον· νῦν μὲν γὰρ καιρὸν ἐζήτει διασκέψεως πρὸς ἀπό-

licarum lectionum magister, statim initio nostri congressùs, et hodie etiam in medium prosiliens, longum abs rei initio verborum ambitum orsus, cunctis audientibus rationes exposuit quarum causa de hoc dogmate dubitabat; omnino his quae dixit significans, se principem eius discidii fuisse: ideoque id dogma a se novum existimatum, prorsus nolle admittere.

Iam vero cum nos duo patriarchae in hoc dogmate consentiremus, nec non et nos archiepiscopi Bulgariae et Cypri, ceterique omnes in synodo episcopi unanimem sententiam nemine discrepante teneremus, necesse fuit etiam electum civitatis Dei Antiochiae magnae patriarcham Soterichum, qui nobiscum considebat, propriam sententiam rogare. Tum vero, quod quaerebatur, manifeste compertum est. Is enim modo

(1) Basilacis huius ethopoeias seu declamationes aliquot edidit Leo Allatius in suis rhetorum excerptis. Manu scriptas ego vidi in cod. vat. 1409.

κρισιν, ὡς οὐ τοσούτου καιροῦ ἐξ οὗ παρεισεφθάρη τοῦτο τὸ δυσσεβῶς κατὰ Χριστοῦ βλασφημούμενον μὴ ἀρκοῦντος καὶ τούτῳ εἰς διασκόπησιν τοῦ τῆς ὑγιαινούσης δόξης φρονήματος· νῦν δὲ ἄλλ' ἄττα καὶ οὐ συμβαίνοντα ἑαυτῷ ἀπεκρίνατο· ἐρωτώμενος οὖν καὶ αὐτὸς παρ' ἡμῶν τήμερον, πότερον τῇ μακαρίᾳ τριάδι λέγει τὴν θυσίαν προσῆχθαι τὲ καὶ προσάγεσθαι, ὡς ὁ λόγος φθάσας διετράνωσεν ἄνωθεν, ἢ τῷ πατρὶ μόνῳ, οὔτε μόνῳ ἔλεγε τούτῳ προσάγεσθαι, οὔτε οὐ μόνῳ· ποτὲ δὲ καὶ εἰς ἀλλοκότους δόξας ἔπιπτε· τὸ μὲν γὰρ προσάγειν, ὑποστατικὴν ἀπένεμε τῷ υἱῷ ἰδιότητα, οὐκ ἴσμεν ταύτην πόθεν εὑρών· τὸ δὲ προσδέχεσθαι, τῆς πατρικῆς ὑποστάσεως ἴδιόν τι καὶ τοῦτο ἐτίθετο γνώρισμα, μετὰ τῆς ἀγεννησίας, ἣν ἰδιότητα μόνην τοῦ προανάρχου πατρὸς ἡ ἐκκλησία παρέλαβεν ἐκ πάλαι· εἶτα δὴ καὶ ἐντεῦθεν ἡμᾶς πρὸς τὸ δοκοῦν αὐτῷ κατεσυλλογίζετο· εἰ γὰρ μὴ, καθὼς αὐτός φησιν, ἰδιαίτατον εἴη τῆς πατρικῆς ὑπο-

tempus poscebat considerandi ante responsum, quasi vero tanta temporis intercapedo post huius adversus Christum blasphemiae initium, ipsi haud suffecisset ad sani dogmatis cognitionem; modo autem alia atque alia parum sibi constantia respondebat. Ergo hodie interrogatus a nobis, utrum existimaret beatae Trinitati sacrificium et olim fuisse oblatum et nunc etiam offerri, ut superior nostra explicavit oratio, an potius soli Patri fuisse oblatum; neque soli Patri respondit offerri, neque non soli. Interdum ad absurdas sententias divertebat: nam vocabulum offerre, hypostaticam Filio tribuere proprietatem aiebat, nescio unde hanc doctrinam expiscatus. Recipere autem, paternae personae propriam quandam adfirmabat esse qualitatem, aeque ac ingeniti adtributum, quod unicum peculiare patris esse adtributum ecclesia a vetere traditione accepit. Deinde nitebatur nos quoque in suam sententiam contrariis syllogismis pertrahere. Si enim, ut ipse aie-

στάσεως τὸ προσδέχεσθαι, ἀλλὰ τῆς θείας ὡς ἡμεῖς φαμὲν φύσεως, ἄτοπόν τι τάχα συμβήσεται· ἔσται καθ' ἡμᾶς ὁ θεὸς ποτὲ μὲν θεὸς, ποτὲ δὲ οὔ· οὐ γὰρ ἀΐδιος φησὶν ἡ προσαγωγὴ, ἀλλὰ μετὰ τὴν ἐνανθρώπησιν καὶ γεγενημένη· διὰ δὲ τοῦτο πάντως ἔν τινι χρόνῳ καὶ τὸ προσδέχεσθαι· ὥσπερ ἂν εἰ τῆς ἀκαταλήπτου καὶ ὑπερουσίου θεότητος ὅρον τινὰ καὶ λόγον ἡμεῖς τὸ προσδέχεσθαι ἐτιθέμεθα, ἀλλὰ μὴ τῷ θεϊκῷ ταύτην ἀφοσιοῦντες ἦμεν τοῦτ' αὐτὸ δὲ ἀξιώματι· ταῦτα μὲν ὁ Ἀντιοχείας, ἵνα μὴ τὸ καθ' ἕκαστον τῶν παρ' αὐτοῦ λεχθέντων ἐπεξιόντες, ἐπὶ πολὺ τὸν λόγον ἐκτείνωμεν.

Ὡς δὲ πρὸ πάντων ἡμῶν ὁ πολὺς τῇ φρονήσει καὶ γεραρὸς τῷ νοεῖν, ὁ θεοδίδακτον ὄντως φέρων κατὰ τὸν Σολομῶντα διάνοιαν, κράτιστος καὶ ἅγιος ἡμῶν βασιλεὺς, καὶ ἐς λόγους αὐτῷ συνελθεῖν διαλεκτικῶς οὐκ ἀπώκνησε, καὶ ῥήμασι παραινετηρίοις ὑπαγάγεσθαι σπεύδων αὐτὸν οὐ διέλιπε, καὶ τοῖς ἐλέγχοις βάλλων αὐτοφυῶς ὁ μεγαλοφυὴς καὶ

bat, haud proprium paternae personae esset τὸ recipere, sed divinae potius ut nos dicimus naturae, absurdum quid consequeretur: esset enim Deus modo Deus, modo nequaquam. Non enim est sempiterna oblatio, sed et sumpta humanitate posterior, et res creata est: propiereaque receptio quoque in quodam temporis spatio fit. Haec ille aiebat; quasi vero nos statueremus τὸ recipere instar esse cuiusdam definitionis atque rationis (sive pertinere ad essentiam) incomprehensibilis et supersubstantialis deitatis; et non potius hanc proprietatem a divina dignitate arceremus. Haec fuit antiocheni electi summa orationis, ne singula ab eo dicta percurrentes, diutius hunc sermonem protrahamus.

Sed enim ante nos omnes sapientissimus et augusta prudentia plenus, et aeque ac Salomon divinitus doctam mentem gerens, potentissimus et sanctus noster imperator, non detrectavit usque ad dialecticos sermones cum Soterícho descen-

ἐπιστημονάρχης οὐκ ἐνάρκησε, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιῶν ἀγχιστρόφοις ἐπιχειρήμασιν οὐκ ἀπέκαμεν· ἐν οἷς ἐκεῖνα παρακαλῶν αὐτὸν ἐφιλανθρωπεύετο, ἅττα δήπου καὶ Κορινθίοις ἐπιστέλλων ὁ μέγας Παῦλος προέγραψεν, ἵνα τὸ αὐτὸ δηλονότι λέγωμεν πάντες, καὶ μὴ ᾖ ἐν ἡμῖν σχίσματα, ὁ μὲν δὲ κατηρτισμένος ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ, εἴτ' οὖν ὁ ταράσσων τὴν ἐκκλησίαν, αὐτὸς βαστάζει τὸ κρίμα· ὡς οὖν οὕτω ταῦτα, ὁ δὲ καὶ ἔτι τῆς οἰκείας ἐνστάσεως οὐ μεθίστατο, καὶ τοιοῦτόν τι φησὶ πρὸς αὐτὸν ὁ σοφὸς τὰ θεῖα τῷ ὄντι κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεύς· ποῖος φόβος ἐπήρτηται σκοπητέον τῷ λέγοντι τὴν ὁμοούσιον καὶ ἀδιαίρετον τριάδα τὴν ὑπὲρ ἡμῶν θυσίαν προσδέχεσθαι· καὶ τίνι τῶν τριῶν ὑποστάσεων τὴν κατ' αὐτοῦ ἀγανάκτησιν ἐπενδείξασθαι οἴεται· πότερον ὁ πατὴρ τῷ τοιούτῳ ἀνθρώπῳ ἀγανακτήσει ὅτι τὸν υἱὸν ἰσότιμον τίθησιν; ἄπαγε· ἀλλ' ὁ υἱὸς ἐν τούτῳ δυσχερανεῖ ὅτι τῷ ἰδίῳ πατρὶ παρ' ἡμῶν συνδοξάζεται; καὶ μὴν αὐτὸς τῆς δόξης τῆς πα-

dere, verbisque adhortatoriis eundem diu nitebatur a sua sententia retrahere; argumentis etiam urgens pro sua ingenita regali scientia, et modo huc modo illuc adversarium contortis epichirematibus versans. Inter cetera amanter illi in mentem revocabat Pauli verba ad Corinthios, ut id ipsum videlicet omnes dicamus, et in nobis non sint schismata; qui autem in suo proposito sententiaque perseverat, id est ecclesiam conturbat, ipse iudicium portabit. His auditis, quum ille nihilominus resistendo non desisteret, haec divina doctrina instructus vere potens et sanctus imperator noster addidit: age videamus quisnam timor impendeat dicenti, quod consubstantialis et individua Trinitas hostiam pro nobis oblatam recipiat; et cuiusnam e tribus personis indignationem formidare queat. Num pater indignabitur huic homini, qui filium aeque secum honorandum statuit? apage. Num filius aegre feret se

τρικῆς ὢν ἀπαύγασμα, ἐν εὐαγγελίοις εἶπεν· ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐδὲ τὸν πατέρα τιμᾷ· καὶ ὅτι ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· ἀλλὰ τὸ πνεῦμα, ὃ συναΐδιον ἐστὶ τούτοις καὶ σύνθρονον; οὐ μὲν οὖν· οὐδὲ γὰρ οὐδὲν τῆς τριάδος καθέστηκεν ἄτιμον· ὡς παράλογος ἄρα ὁ περὶ τούτου φόβος, ἵνα μὴ λέγω πάντη καὶ ἀλογώτατος.

Τοῖς γοῦν τοιοῖσδε λόγοις πολὺ μὲν ἔχουσι τὸ σοφὸν, οὐχ ἧττον δὲ τούτου καὶ τὸ ἀναγκαστικὸν πρὸς πειθώ τε καὶ συγκατάθεσιν, τὸ σκληρὸν τῆς τούτου ἐνστάσεως καὶ ἀνένδοτον καταμαλάξας ὀψέ ποτε μόλις αὐτὸν μεταμέλῳ χρησάμενον μεταβουλεύσασθαι πέπεικεν· ἐφ᾽ οἷς ὁμοφρονεῖν ἡμῖν καὶ αὐτὸς συγκατέθετο τοσοῦτον, ὥς τε τὴν οἰκείαν γνώμην ἐγγράφως ἐκθέμενος, ἀναθέματι καθυποβαλεῖν τοὺς μὴ οὕτω φρονοῦντας, μὴ δὲ πιστεύοντας ὡς τῇ ἐκκλησίᾳ δοκεῖ· ἣν δὲ γνώμην ἐν μέσῳ τοῦ βασιλείου τοῦδε καὶ ἱεροῦ συνεδρίου αὐτὸς ἀναστὰς ὑπανέγνωσεν, τάδε πρὸς ἔπος διαλαμβάνουσαν· ὁμοφρονῶ τῇ ἱερᾷ καὶ ἁγίᾳ συνόδῳ ἐπὶ τῷ τὴν θυσίαν

cum suo patre conglorificatum? Atqui ipse cum sit paternae gloriae splendor, in evangelio ait: qui filium non honorat, ne patrem quidem honorat; et ego ac pater unum sumus. Num denique irascetur sanctus Spiritus, qui cum his sempiternus est et in eodem residens throno? Minime gentium. Nihil enim in Trinitate caret honore. Stultus igitur hac super re timor, ac paene dixerim, stultissimus.

Hisce igitur valde doctis sermonibus persuadentibus aeque et ad adsensum compellentibus, contentionis suae duritiem ac pertinaciam sero vix molliens, persuaderi sibi contrarium tandem est passus; ac per propriam sententiam scripto traditam, aliter sentientes neque ecclesiae doctrinam amplectentes anathemati subiecit: quam suam sententiam in medium progressus huius regii sacrique synedrii stans legit, quae ita ad litteram se habebat: adsentior sacrae sanctaeque synodo in hoc

καὶ τὴν νῦν προσαγομένην, καὶ τότε προσαχθεῖσαν παρὰ τοῦ μονογενοῦς καὶ ἀνθρωπήσαντος λόγου, καὶ τότε προσαχθεῖσαν, καὶ νῦν πάλιν προσάγεσθαι, ὡς τὴν αὐτὴν οὖσαν καὶ μίαν· καὶ τῷ μὲν οὕτω φρονοῦντι ἀνάθεμα· κἄν τι πρὸς ἀνατροπὴν εὑρίσκηται γεγραμμένον, ἀναθέματι καθυποβάλλω· ἡ ὑπογραφή· Σωτήριχος Παντεύγενος.

Τούτων οὖν συνενεχθέντων, ἔδοξεν ἡμῖν δέον εἶναι τὸ κατασκοπῆναι λοιπὸν καὶ τὰ περὶ τῆς αὐτοῦ καταστάσεως, εἰ ἄρα χρὴ τοῦτον ἐν ἱερατικῇ καταστάσει μένειν τὸ ἀπὸ τοῦδε, εἴτε καὶ εἰς ἀρχιερέα προβιβασθῇ· αὐτίκα οὖν ὁ κράτιστος καὶ ἅγιος ἡμῶν βασιλεὺς τὴν περὶ τούτου ζήτησιν μὴ ἀνήκειν τῷ μεγίστῳ κράτει αὐτοῦ ἐπειπὼν, κατὰ τὸ δοκοῦν ἡμῖν ἐνδεχόμενον κανονικῶς τὰ περὶ τούτου ἐπέτρεψε διαπράξασθαι· ἐν πᾶσι γὰρ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκριβεστάτην συντήρησιν ἀποδεκτέαν λογίζεται· συνδιασκεψαμένοις οὖν ἡμῖν ἐν κοινῷ περὶ τούτου, ἀπεντεῦθεν πάσης ἱερατικῆς ἀξίας ἀνάξιος κέκριται ὁ ὑποψήφιος Ἀντιο-

dogmate, quod sacrificium tam quod nunc offertur, quam illud ab unigenito olim incarnato Verbo oblatum, et tunc oblatum fuerit et nunc offeratur, tamquam unum idemque. Et qui minime sic censet, eum anathematizo; et si quid contrarium reperiatur scriptum, id pariter anathematizo. Soterichus Panteugenus subscripsi.

His ita compositis, visum est nobis dispiciendum quoque fore de huius ordinatione, nempe utrum oporteret hunc deinceps in ecclesiastico statu manere, vel ad ipsum pontificatum promoveri. Statim igitur potentissimus sanctusque noster imperator, hanc quoque quaestionem minime esse differendam sua maxima auctoritate annuens, quicquid nobis canonice facere placuisset concessit. Putat enim sacrorum divinorumque canonum exactam observantiam in cunctis tenendam. Ergo communi consilio deliberantibus, omni in posterum sacerdo-

χείας Θεουπόλεως Σωτήριχος ὁ Παντεύγενος· ἑπτὰ τοίνυν ἐξ ἡμῶν τῶν κατωτέρω ῥηθησομένων αἰτησαμένων κατασκέψασθαι πρότερον περὶ τούτου τὸ τελεώτερον, καὶ ἐν ἑτέρᾳ συνελεύσει τὸ δοκοῦν αὐτοῖς ἀποφήνασθαι.

Ἐγὼ μὲν ὁ Κωνσταντινουπόλεως ἀπαράδεκτον εἰς ἱερωσύνην τοῦτον φημὶ εἶναι, ὡς ἐπὶ δύο ἤδη χρόνους οὐ κρύφα οὐδ' ἐν γωνίᾳ ἀλλὰ φανερῶς κατὰ τοῦ ὀρθοῦ παῤῥησιαζόμενον δόγματος, καὶ συνήγορον ὄντα λαμπρὸν τῆς ἀσεβείας καὶ πρόμαχον.

Ἐγὼ δὲ ὁ Ἱεροσολύμων αὐτὰ ταῦτα καὶ αὐτὸς γνωματεύω ἅπερ ὁ ἁγιώτατος ἐμοῦ δεσπότης καὶ συλλειτουργὸς ὁ Κωνςαντινουπόλεως ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει θεαρέςως ἄγαν καὶ εὐσεβῶς ἀπεφήνατο.

Ἐγὼ δὲ ὁ Βουλγαρίας λέγω ἀδύνατον εἶναι τὸ παραδεχθῆναι τοῦτον ἔχειν ἱερωσύνην, ὅτι τὲ τοιοῦτον σκάνδαλον κατὰ τῆς ἐκκλησίας ἐξήγειρε, καὶ ὅτι καὶ διάφοροι τούτῳ οἶμαι συνηκολούθησαν, καὶ ἀγνοοῦμεν εἰ πρὸς ἀλήθειαν μετὰ

tali dignitate indignus iudicatus est Sotericbus Panteugenus Antiochiae Dei civitatis electus patriarcha. Quum vero septem ex nobis infra nominandi postulassent, ut primo accuratius de hac re dispiceremus, deinde in alia sessione sententiam quisque suam proferrent;

Ego quidem Constantinopolitanus, non admittendum ad sacerdotium aio hunc, quia iam biennio non clam neque in angulis, sed manifeste recto dogmati contradicit, seque publicum pravae doctrinae fautorem defensoremque profitetur.

Ego Hierosolymitanus idem censeo quod sanctissimus dominus meus et consacerdos Constantinopolitanus de hoc proposito pie et secundum Dei voluntatem statuit.

Ego Bulgarus aio fieri non posse ut hic sacerdotium retinere sinatur, quia tantum contra Dei ecclesiam scandalum suscitavit, et quia complures huic esse asseclas puto, nesci-

ὀρθοῦ φρονήματος καὶ τότε ἐπιγραφήσονται· καὶ εἴπερ κατὰ τὰ κυριακὰ λόγια τῷ ἕνα τινὰ τῶν μικρῶν σκανδαλίσαντι τῶν πιστευόντων εἰς τὸν Χριστὸν, συμφέρον ἐστὶν ἵνα λίθος μυλωνικὸς εἰς τὸν τράχηλον αὐτοῦ κρεμασθῇ, καὶ εἰς βυθὸν θαλάσσης ἀποῤῥιφῇ, ὁ πολλοὺς σκανδαλίσας ἐπὶ τῷ δόγματι, ὁποίᾳ ἔσται τιμωρίᾳ ὑπόδικος; ἀλλὰ καὶ ἐκ διαφόρων θείων κανόνων τὸ ἀπαράδεκτον πρὸς ἱερωσύνην καὶ καθῃρημένον τοῦτον εἶναι διαγινώσκεται.

Ἀλλὰ κἀγὼ ὁ Κύπρου τοῦτο φημὶ, ὡς τὰ μὲν ἄλλα τοῦ ἀνδρὸς ἀπόδημος ὢν, τὸ πρότερον οὐ σύνοιδα ἀκριβῶς ὅσα καὶ βλασφημῆσαι λέγεται κατὰ τοῦ ὀρθοῦ δόγματος τῆς ἐκκλησίας· ἀφ' ὧν δὲ σήμερον ἐνώπιον τοῦ βασιλικοῦ καὶ ἱερατικοῦ βήματος τοῦδε ἠκροασάμην λέγοντος τούτου, οὐ μόνον εἰς ἀρχιερωσύνην ἀπαράδεκτον εἶναι παντάπασιν ἀποφαίνομαι αὐτὸν, ἀλλὰ καὶ αὐτοῦ τοῦ διακόνου βαθμοῦ ὃν δοκεῖ τέως ἔχειν, ἀνάξιος πάντη καθέστηκεν, ὡς ἀφαιρετέου καὶ τούτου τυγχάνοντος ἐξ αὐτοῦ.

musque utrum ad veritatem sincero iudicio reversuri aliquando sint. Quod si iuxta effatum dominicum, homini qui minimum aliquem Christo credentem scandalizaverit, expedit ut lapide molario in eius collum immisso praecipitetur, et in maris profunditatem iaciatur; qui multos circa dogma scandalizavit, quantae erit poenae obnoxius? Insuper ex diversis divinis canonibus satis cognoscitur, hunc ad sacerdotium minime admitti posse, immo deponendum.

Ego quoque Cyprius aio, me utpote extraneum, antea quidem non satis cognovisse quas iste vomit blasphemias adversus rectum ecclesiae dogma. Sed enim ex his quae hodie ipsum audivi dicentem ante regium et ecclesiasticum thronum, non pontificatui tantummodo eum prorsus ineptum iudico, verum etiam diaconali gradu, quem hactenus tenuisse videtur, indignum, ita ut ex hoc etiam eiiciendus videatur.

Ἐγὼ δὲ ὁ Καισαρείας ὡς πολλάκις κατὰ τῆς ὀρθοδοξίας αὐτὸν ἐνστάντα, εἰς ἱερωσύνην οὐ παραδέχομαι.

Ἐγὼ δὲ ὁ Κορίνθου κρίνω τοῦτον πάσης ἱερωσύνης ἀνάξιον, ὡς ἀσεβῆ τε καὶ βλάσφημα φρονήσαντα καὶ λαλήσαντα· εἰ γὰρ καὶ ἀναθέματι νῦν καθυπέβαλεν, ἀλλὰ τῆς ἱερωσύνης καὶ τοῦ κλήρου ἐκβέβληται, κατὰ τὸν Ἀλεξανδρείας μέγαν Ἀθανάσιον πρὸς Ῥουφινιανὸν ἐπίσκοπον γράψαντα, καὶ καθ' ἑτέρους θείους κανόνας· ὁ μὲν τοι συνοδικὸς ὅρος τῆς ἁγίας ἕκτης συνόδου οὕτως ἐν μέρει διέξεισι· « Τούτων τοίνυν μετὰ πάσης ἀκριβείας τε καὶ ἐμμελείας πανταχόθεν παρ' ἡμῶν διατυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι πίςιν ἑτέραν, ἢ προκομίζειν ἢ διδάσκειν ἢ παραδιδόναι ἕτερον σύμβολον. Καὶ μετά τινα· ἢ καινοφωνίαν ἤτοι λέξεων ἐφεύρεσιν πρὸς ἀνατροπὴν εἰσάγειν τῶν νῦν παρ' ἡμῶν διορισθέντων· ἐπισκόπους μὲν ὄντας ἢ κληρικοὺς, ἀλλοτρίους

Ego Caesariensis hunc, utpote saepe orthodoxiae adversatum, ad sacerdotium non admitto.

Ego Corinthius iudico hunc omni sacerdotio indignum, utpote irreligiosum et blasphemias non solum mente foventem verum etiam loquentem. Quamvis enim illis nunc anathema dixit, nihilominus sacerdotio et clero excluditur iuxta magnum Athanasium alexandrinum in epistola ad Rufinianum episcopum, iuxtaque alios divinos canones. Certe synodica sexti concilii definitio ita partim se habet. « His itaque cum omni diligentia curaque eximia a nobis constitutis, definimus nemini licere aliam fidem proferre seu conscribere, vel componere, neque aliud symbolum exponere aut docere vel tradere. Et paucis interpositis. Vel novum loquendi genus, seu vocabulorum inventionem invehere, ad dogmatum quae definivimus subversionem. Quod si id faciant episcopi aut clerici, episcopatu et clericatu extorres fiant; si monachi

εἶναι τῆς ἐπισκοπῆς καὶ τοῦ κλήρου· μονάζοντας δὲ ἢ λαϊκοὺς, ἀναθεματίζεσθαι. » Τούτῳ συμφθέγγονται καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίας συνόδου ὅρος, καὶ ἕτεροι θεσμοὶ τῶν ἁγίων καὶ θεοφόρων πατέρων.

Ἐγὼ δὲ ὁ Ἀθηνῶν ὀψέ φημι καὶ μόλις μεταμαθόντα αὐτὸν τὴν ἀσέβειαν, καὶ ταῦτα ὑποψήφιον ὄντα πατριάρχην, εἰς ἱερωσύνην οὐκ ἄν ποτε παραδέξωμαι· ἀλλὰ κἄν τινες παραδέξωνται, ἑαυτὸν ἐξ αὐτῶν ἀποῤῥήγνυμι.

Ἐγὼ δὲ ὁ Λαρίσσης τῷ Ἀθηνῶν ἐς τὰ λοιπὸν συμφρονῶν, ἀπὸ τῆς τοῦ μεγάλου μᾶλλον Ἀθανασίου ἐπιστολῆς, ἀποκηρύττω τοῦτον τοῦ ἱερατικοῦ παντὸς ἀξιώματος.

Ἐγὼ δὲ ὁ Ἀδριανουπόλεως τοῦτο λέγω, ὅτι ἐὰν ἀπὸ τῶν θείων καὶ ἀχράντων εὐαγγελιστῶν, καὶ τῶν ἱερῶν καὶ θείων κανόνων, οὐ δύναται τῆς ἱερωσύνης (τυγχάνειν) κἂν ἅπαξ ἐλεγχθῇ ἑαλωκὼς ἐπί τινι ἁμαρτήματι, οἵοις δὴ περιπίπτομεν ἄνθρωποι ὄντες, καὶ τὸν πηλὸν τοῦτον καὶ σαρκικὸν περικείμενοι, πῶς ἐστι δυνατὸν εἰς ἱερωσύνην προβιβασθῆναι

aut laici, anathemate feriantur. » Canoni huic consonat secundae quoque nicaenae synodi definitio, atque aliae etiam sanctorum atque a Deo afflatorum patrum auctoritates.

Ego Atheniensis hunc vix seroque a sua impietate recedentem, et quidem cum iam esset patriarcha electus, ad sacerdotium numquam admittam. Quin siqui eum admiserint, me ab his segrego.

Ego Larissaeus cum Atheniensi ceteroqui consentiens, fretus magni praesertim Athanasii epistola, huic homini omnem ecclesiasticam dignitatem abiudico.

Ego Hadrianopolitanus aio, quod si iubentibus divis incorruptisque evangelistis, sacrisque et divis canonibus, haud licet sacerdotium adsequi homini illi qui vel semel alicuius peccati convictus fuerit, cuiusmodi accidunt hominibus hoc limo et carne circumdatis, qui liceat ad sacerdotium prove-

τὸν ὑποψήφιον Ἀντιοχείας, ἄνθρωπον ὑπὲρ τὰ ἑξήκοντα ἔτη γενόμενον, δοκοῦντα τὲ λόγοις σοφοῖς ἐνευδοκιμεῖν, καὶ εἰς πατριαρχικὸν θρόνον προβεβλημένον, καὶ νῦν φάντα οὐ μόνον λόγους τῆς ὀρθοδόξου ἀλλοτριόφρονα πίστεως, ἀλλὰ καὶ λόγον συγγραψάμενον πλήρη βλασφημιῶν καὶ ἀποφημιῶν δυσσεβῶν, καὶ μόλις ποτὲ μεταπεισθέντα καὶ μεταμαθόντα τὸ εὐσεβὲς καὶ τὸ ὀρθόδοξον; διὰ τοῦτο τοίνυν οὐδὲ αὐτὸς ἄξιον ἱερωσύνης τὸν τοιοῦτον λογίζομαι.

Καὶ εἰς ἀνασκοπὴν συνελθόντες οἱ αὐτίκα τὴν κατ' αὐτὸν ψῆφον ἐκθέμενοι, ἀποφαινόμεθα τοῦτον ἱερωσύνης πάσης ἀνάξιον· οὐ διὰ τὰ σήμερον μόνον παρ' αὐτοῦ λαληθέντα μετὰ πολλῆς τῆς ἐνστάσεως, ἀλλ' ὅτι περ ἐξ ὅτου τὸ βλάσφημον τοῦτο διεθρυλλήθη δόγμα, καὶ λόγος ἐξέθετο τῆς καινοφανοῦς ταύτης αἱρέσεως συνήγορος· καὶ οὐ μόνον προστάτης ἐγγράφως καὶ πρόμαχος τῆς τοιαύτης ἀσεβείας ἐδείκνυτο, ἀλλὰ καὶ ἀγράφως πλειστάκις διαλεγόμενος πρός τε

here hunc electum antiochenum, hominem sexagenariam aetatem praetervectum, litteratura clarum, patriarchali sedi destinatum, nunc autem non modo sermonibus utentem ab orthodoxa fide abhorrentibus, verum etiam libelli auctorem, qui blasphemiis impiisque absurditatibus scatet, vixque demum resipiscentem, et ad pietatem orthodoxiamque redeuntem? Quae cum ita se habeant, ego quoque a sacerdotio hunc repello.

Ergo ad scrutinium convenientes, qui modo sententiam contra illum diximus, declaramus eum omni sacerdotio indignum, non ob ea tantummodo quae is hodie multa cum pertinacia locutus est, sed quia ab ipso blasphemum hoc dogma divulgatum est, et libellus etiam perscriptus novae huius haereseos adsertor. Neque solum antesignanus atque defensor scripto suo huiusce impietatis extitit, verum etiam absque scripto saepe colloquens modo cum aliis multis modo etiam

ἄλλους πολλοὺς καὶ τινὰς ἐξ ἡμῶν, οὕτως ἀναφανδὸν ἐκύρου τὴν τοιαύτην ἀσέβειαν, καὶ τὰς τῶν χριστιανῶν ψυχὰς ἐσκανδάλιζε. Καὶ ἡμῖν μὲν οὕτω τὴν σήμερον τοῖς πλείοσι τοῦ συλλόγου τὰ κατ' αὐτοῦ ἀποπέφανται, ἐν ᾗ καὶ ἡ τῶν ἐν Νικαίᾳ συναθροισθέντων θείων πατέρων ὁμήγυρις ἐπὶ τῇ τοῦ ματαιόφρονος Ἀρείου καθαιρέσει, τῇ ἐκκλησίᾳ εὖ ποιοῦσα συνέδραμε. Τισὶ δὲ ἐξ ἡμῶν, ἤγουν τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Σίδης, τῷ Θεσσαλονίκης, τῷ Καισαρείας, τῷ Φιλίππων, καὶ τῷ Λαοδικείας, οὐκ ἀπεντεῦθεν γνωμοδοτῆσαι περὶ τούτου δεῖν ἔδοξεν, ἀλλὰ σκοπῆσαι, καὶ οὕτω τὸ δόξαν ἀποφήνασθαι.

Μηνὶ μαΐῳ, ιγ' ἡμέρᾳ, β' ἰνδικτιῶνι, προκαθημένου τοῦ θεοστέπτου βασιλέως ἡμῶν καὶ αὐτοκράτορος ἡμῶν Μανουὴλ τοῦ Κομνηνοῦ, ἐν τῷ παλατίῳ τῶν Βλαχερνῶν, παρισταμένων τῇ ἁγίᾳ βασιλείᾳ αὐτοῦ πάντων τῶν ἀναγεγραμμένων, ἄνευ τοῦ πρωτονοταρίου, τοῦ μεγάλου δρουγγαρίου, τοῦ πρω-

cum nostrûm nonnullis, sic manifeste impium hunc errorem sanciebat, et christianorum animabus scandalo erat. Et nos ergo synodi huius pars maior in hunc hominem hoc die sententiam dicimus, quo collectum quoque Nicaeae sanctorum patrum concilium ad vesani Arii damnationem, similiter ecclesiae laboranti iustas suppetias tulit. Attamen nonnullis nostrûm, nimirum Heracleensi, Cyziceno, Sidensi, Thessalonicensi, Caesariensi, Philippensi, Laodiceno, haud visum est in praesenti de hoc decernere, sed adhuc considerandum, et tum demum sententiam ferendam.

Mensis maii die tertia decima, indictione secunda, praesidente a Deo coronato imperatore nostro et domino Manuele Comneno, in Blachernarum palatio, assistentibus sanctae maiestati eius cunctis praedictis, exceptis protonotario, magno

*

τασηκρήτις, καὶ τοῦ νομοφύλακος, συνεδριαζόντων αὐτῷ ἄνευ τοῦ Ἀντιοχείας ἡμῶν τῶν καὶ διαιτώντων τῇ ὑποθέσει πατριαρχῶν, συνδιαιτῶντος ὁμοίως καὶ ἐμοῦ τοῦ Βουλγαρίας, ἄνευ τοῦ Κύπρου μὴ συμπαρουσιάζοντος, συνδιαγνωμονούντων ἡμῶν τῶν προαναγεγραμμένων πάντων ἀρχιερέων.

Ἐπεὶ τὸ κατὰ τὴν χθὲς γεγονὸς σημείωμα μὴ φθάσαν ἀναγνωσθῆναι διὰ τὸ στενὸν τοῦ καιροῦ, ἔμελλεν ἀναγνωσθῆναι τὴν σήμερον, οὐ παρῆν δὲ ὁ φθάσας πατριάρχης θεουπόλεως μεγάλης Ἀντιοχείας Σωτήριχος ὁ Παντεύγενος, καὶ ταῦτα παραγγελθεὶς παρὰ τῆς βασιλείου καὶ θείας περιωπῆς [1] παρουσιάσαι ἀνυπερθέτως τὴν σήμερον, ἐδέησε διὰ ταῦτα καὶ πάλιν δοθῆναι αὐτῷ εἴδησιν ὡς ἂν παρουσιάσῃ ἐπὶ τῇ ἀναγνώσει τοῦ τοιούτου σημειώματος· εἰ μὴ βούλοιτο, καὶ ἀπόντος αὐτοῦ τὴν τούτου γενέσθαι ἀνάγνωσιν· ἀπεστάλησαν οὖν πρὸς αὐτὸν ἀπὸ μὲν τῶν ἀρχιερέων ἡμῶν ὁ Κορίνθου Θεόδωρος, ὁ Ἁδριανουπόλεως Λέων, ὁ Παρίου Νι-

drungario, protoasecretis, et nomophylace; considentibus nobis patriarchis, absque antiocheno, et de hac re iudicantibus: socio iudicii nostri Bulgaro, absque Cyprio qui non interfuit, nobis inquam suprascriptis episcopis adstipulantibus;

Quandoquidem hesterna acta quae propter temporis angustias lecta non fuere, hodie demum legenda erant, neque aderat magnae Dei civitatis Antiochiae electus olim patriarcha Soterichus Panteugenus, etsi is a regia divaque circumspectione sine dilatione comparere hodie iussus fuerat; idcirco necesse fuit illi iterum intimare notitiam, ut actorum lectioni interesset; quod si forte nollet, nihilominus actorum lectionem fieri oportere. Delegati sunt igitur ad ipsum e nostris

(1) Περιωπή, latine *circumspectio*, vocabulum honoris, quo utitur erga Cardinales Hadrianus VI. PP. apud nos Spicileg. T. II. praef. p. XIII. Equidem absque hoc synodalis scripturae exemplo, numquam putassem Latinos a Graecis huiusmodi titulum sumpsisse.

κόλαος· συνδιεστάλη δὲ τούτοις ὁ κριτὴς τοῦ βήλου Θωμᾶς Ἁπλούχρης· καὶ διεμηνύσαντο τούτων, παραγγελίαν ἔγγραφον θέμενοι πρὸς αὐτὸν, ἵνα παρουσιάσῃ ὡς εἴρηται· ἔσχεν τὸ παρ' αὐτῶν ἐκτεθὲν σημείωμα ῥητῶς οὑτωσί.

Μηνὶ μαΐῳ, ιγ' ἡμέρᾳ, ἰνδικτιῶνι β', παρουσίᾳ διακόνου Θεοδώρου τῆς μεγάλης ἐκκλησίας τοῦ Βελισσαριώτου, Γεωργίου ἀναγνώστου Ἀντιοχείας τοῦ ἐπὶ τῆς εὐταξίας, Γεωργίου ἀναγνώστου Ἁδριανουπόλεως τοῦ Σκουταριώτου, Νικολάου ἀναγνώστου τοῦ ἀττικοῦ, καὶ Λέοντος τοῦ ἀδριανοπολίτου. Ἀπὸ βασιλικῆς καὶ θείας προσκυνητῆς ἀγράφου προστάξεως, ἡμεῖς οἱ ἀρχιερεῖς ἐξ ἐπιτροπῆς τοῦ τε ἁγιωτάτου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων μοναχοῦ κύρου Ἰωάννου, ἔτι δὲ καὶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου πάσης Βουλγαρίας καὶ περιποθήτου θείου τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν βασιλέως μοναχοῦ κυροῦ Ἰωάννου τοῦ Κομνηνοῦ, ἀλλὰ καὶ τῆς ἐν τῷ παλατίῳ

praesulibus Corinthi Theodorus, Hadrianopoleos Leo, Parii Nicolaus; quibuscum missus fuit etiam iudex veli Thomas Hapluchres. Hi vero rem significantes, scriptam denuntiationem apud eum reliquerunt comparendi, uti dictum est. Scheda autem tradita ita ad litteram se habebat.

Mensis maii die tertia decima, indictione secunda, praesentibus diacono magnae ecclesiae Belissariota Theodoro, Georgio lectore Antiochiae modestiae praeposito, Georgio Scutariota lectore Hadrianopoleos, Nicolao attico lectore, et Leone hadrianopolitano. Regali divoque et venerando iussu, licet non scripto, nos episcopi auctoritate demandata a sanctissimo domino et oecumenico patriarcha, et a sanctissimo Hierosolymorum patriarcha monacho domino Iohanne, insuper etiam a sanctissimo archiepiscopo totius Bulgariae, carissimo patruo potentis sanctique nostri imperatoris, monacho inquam domino Iohanne Comneno; nec non ab ea quae in Blacherna-

τῶν Βλαχερνῶν συνδραμούσης τὴν σήμερον ἱερᾶς καὶ θείας συνόδου, παρεβάλομεν τῇ σεβασμίᾳ μονῇ τῶν Ὁδηγῶν, καὶ εἰς ὄψιν ἐλθόντες τῷ φθάσαντι προβληθῆναι πατριάρχῃ θεουπόλεως μεγάλης Ἀντιοχείας κυρῷ Σωτηρίχῳ τῷ Παντεύγενῳ, ἀνηγγείλαμεν αὐτῷ τὰ ἐνταλθέντα ἡμῖν, εἰπόντες· Ὡς ὁ κράτιστος καὶ ἅγιος ἡμῶν βασιλεὺς ὥρισε κατὰ τὴν χθὲς, συνελθεῖν κατὰ τὴν σήμερον τὴν ῥηθεῖσαν ἁγίαν σύνοδον καὶ σὲ ἐπὶ τῷ ἀναγνωσθῆναι τὰ σημειωθέντα ἐπὶ τοῖς λαληθεῖσι καὶ πραχθεῖσιν ἐπ' ἀκροάσει σου, κατὰ τὴν χθὲς ιβ' τοῦ παρόντος μηνὸς, ἐπὶ τοῦ βασιλικοῦ βήματος καὶ τῆς ἱερᾶς καὶ θείας συνόδου· ἐπεὶ δὲ οἱ μὲν ῥηθέντες ἁγιώτατοι πατριάρχαι καὶ οἱ λοιποὶ ἀρχιερεῖς συνῆλθον εἰς τὸ ἐν Βλαχέρναις παλατίῳ, καὶ προκαθίσαντος τοῦ θεοστεφοῦς ἡμῶν αὐτοκράτορος καὶ τοῦ συλλόγου παντὸς πλήρους ὄντος, σὺ οὐκ ἐνεδήμησας, ἀπεστάλημεν ἡμεῖς, ὡς δεδήλωται, μετακαλέσασθαί σε, ἐφ' ᾧ ἀνυπερθέτως παρουσιάσαι τὴν σήμερον ἐπὶ τῇ ἀναγνώσει τῶν σημειωθέντων κατὰ τὴν χθὲς· ὀφείλοντα εἰδέναι ὡς εἰ μὴ τοῦτο ποιήσαις, καὶ

rum palatio convenit sancta divaque synodo; pervenimus ad venerandum Hodegorum coenobium, atque in conspectum admissi electi olim patriarchae Dei urbis Antiochiae magnae domini Soterichi Panteugeni, nunciavimus ei quae in mandatis habuimus, his verbis. Potentissimus et sanctus imperator noster iussit heri, ut dicta sancta synodus tuque etiam hodie conveniatis ad lectionem audiendam commentarii de rebus disputatis et actis, te audiente, hesterna die quae fuit praesentis mensis duodecima coram regali throno, sanctaque et divina synodo. Quoniam vero dicti sanctissimi patriarchae ceterique antistites convenerunt in Blachernarum palatio, ac iam praesidente a Deo coronato imperatore, et synodi pleno numero, tu non adfuisti, missi nos fuimus, uti dictum est, ad te invitandum, ut sine mora adsis hodie lectioni actorum

σοῦ μὴ ἐνδημήσαντος ἀναγνωσθήσεται τὸ τοιοῦτον· κατεπειγόμενος γὰρ ὁ θεοπρόβλητος καὶ κράτιστος ἡμῶν αὐτοκράτωρ ἐξελθεῖν εἰς τὴν προκειμένην εὐτυχῶς σὺν Θεῷ ἐκστρατείαν, διὰ τὰς ἐπικειμένας κοσμικὰς ἀναγκαίας φροντίδας, οὐκ ἔχει πλέον ἀναρτᾷν τὴν ἐξέλευσιν· καὶ διὰ τοῦτο χθές τε ὥρισε συνελθεῖν πάντας κατὰ τὴν σήμερον, καὶ νῦν προκάθηται πανημέριος τὴν σὴν ἀναμένων ἐπιδημίαν.

Ὁ δὲ πρὸς ταῦτα ἀντεφθέγξατο, μὴ δύνασθαι παρουσιάσαι μήτε σήμερον μήτε αὔριον διὰ τὸ πυρέττειν, ὡς ἔλεγεν, ἐπὶ κλίνης γὰρ ἀνέκειτο, καὶ ἀγνοεῖν εἰ ἐπιταθῇ αὐτῷ τὰ τῆς νόσου· προσθέμενος, ὅτι ἐμοῦ ἀπόντος, ὃ αἱροῦνται ποιησάτωσαν· ἡμεῖς δὲ καὶ αὖθις διελαλήσαμεν πρὸς αὐτὸν, ὡς εἰ μὴ παρουσιάσει ἄρτι, ἀναγνωσθήσεται τὸ διαληφθὲν σήμερον, καὶ πᾶσα θύρα δικαιολογίας τούτῳ ἀποκλεισθήσεται· ἀνεγνώσθη τοίνυν αὐτὸ ἐπὶ βασιλικοῦ βήματος· καὶ ἠρωτήθημεν οἱ παρουσιάσαντες πατριάρχαι, κἀγὼ ὁ Βουλ-

hesternorum. Scito enim, quod si minime id facias, vel te absente acta nihilominus legentur. Coactus enim a Deo electus sanctissimus noster imperator procedere ad paratam Deo favente militarem expeditionem, propter instantes necessariasque imperii curas, haud diutius discessum suum potest differre. Proptereaque heri mandavit, ut cuncti hodie convenirent; et nunc tota die sedet in solio tuum prestolans adventum.

Ad haec respondit Soterichus, haud se posse vel hodie vel cras adesse, propter febrim qua se correptum dicebat; nam et in lecto iacebat, et ignarum se num morbus augeretur aiebat. Addidit tamen, ut se quoque absente, quod placitum foret decernerent. Tum nos rursus ipsi significavimus, quod nisi statim compareret, hodie legenda esset res praedicta, atque omni deinceps defensioni fores praecludendae. Lectum fuit igitur synodale decretum coram regali throno; moxque fuimus interrogati nos patriarchae ibi praesentes, et ego Bul-

γαρίας, καὶ οἱ ἀρχιερεῖς ἡμεῖς, εἰ δεῖ λοιπὸν τὴν ἀνάγνωσιν γενέσθαι τοῦ ἐκτεθέντος κατὰ τὴν χθὲς ὡς δεδήλωται σημειώματος· καὶ ὡς οὐδεὶς ἐξ ἡμῶν ἀμφιβάλλων πρὸς τὸ ἀναγνωσθῆναι τοῦτο ἐτύγχανεν, ἀνεγνώσθη αὐτό· ἐπεὶ οὖν συμπαρῆμεν καὶ οἱ κατὰ τὴν χθὲς ζητήσαντες ἀρχιερεῖς σκέψασθαι περὶ τοῦ εἰ δεῖ ἐν ἱερᾷ καταστάσει τὲ εἶναι, εἴτε καὶ εἰς ἀρχιερέα προβιβασθῆναι τὸν δηλωθέντα Παντεύγενον εἴ τε καὶ μὴ, τῶν ἄλλων ἁπάντων εἰπόντων ἀνάξιον αὐτὸν πάσης ἱερατικῆς καταστάσεως εἶναι, εἴπομεν καὶ ἡμεῖς, ὁ Ἡρακλείας δηλονότι, ὁ Κυζίκου, ὁ Σίδης, ὁ Θεσσαλονίκης, ὁ Νεοκαισαρείας, ὁ Φιλίππων, ὁ Λαοδικείας, τὰ αὐτὰ, καὶ περὶ τούτου φρονεῖν καὶ λέγειν τοῖς λοιποῖς συλλειτουργοῖς ἡμῶν, καὶ μηδὲν ἔχειν ἀμφίβολον.

Ὁ ταπεινὸς μοναχὸς Λουκᾶς καὶ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος νέας Ῥώμης τοῖς ἐν τῷ παρόντι τόμῳ γεγραμμένοις ἐπὶ τοῦ πρὸ ἡμῶν μακαριωτάτου πατριάρχου κυροῦ Κωνσταντίνου στοιχήσας καὶ αὐτὸς καὶ ὁρίσας ὑπέγραψα.

garus, ceterique nos episcopi, num reapse facienda esset lectio hesternorum, uti dictum est, actorum. Postquam vero nemo ex nobis quominus ea legerentur ambiguum se demonstravit, lecta fuerunt. Quum autem adessemus etiam nos alii episcopi, qui adhuc deliberandum heri censebamus, num vel in ecclesiastico statu retinendus esset vel etiam ad patriarchatum promovendus praedictus Panteugenus, nec ne; ceteris omnibus omni ecclesiastico statu indignum adfirmantibus, nos quoque, Heracleensis scilicet, Cyzicenus, Sidensis, Thessalonicensis, Neocaesariensis, Philippensis, Laodicenus, pedibus in sententiam ivimus, neque eadem et sentire et loqui cum reliquis consacerdotibus nostris absque ulla dubitatione edidimus.

Humilis monachus Lucas, Dei miseratione archiepiscopus novae Romae, actis in praesenti tomo scriptis sub praeces-

Ὁ ταπεινὸς μοναχὸς Ἰωάννης καὶ ἐλέῳ θεοῦ πατριάρχης τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν ἁγίας Σιὼν πόλεως Ἱερουσαλὴμ ὁρίσας ὑπέγραψα.

Ὁ ταπεινὸς μοναχὸς Ἰωάννης καὶ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος πρώτης Ἰουστινιανοῦ καὶ πάσης Βουλγαρίας ὁ Κομνηνὸς ὁρίσας ὑπέγραψα.

Εἰ καὶ μετὰ τὸν μακαριώτατον ἀρχιεπίσκοπον Βουλγαρίας ὑπέγραψα, διὰ τὸ θεῖον καὶ ἀναγκαῖον τῆς ἐκκλησιαστικῆς ὑποθέσεως, ἀλλ᾽ οὖν οὐδὲν ἐκ τούτου τῷ θρόνῳ τῆς Κύπρου γενήσεται πρόκριμα ἐκ τῆς ἐμῆς ὑπογραφῆς, τὸν ἄνω τόπον ὡς ἐγὼ λέγω ἐκ διαφόρων δικαίων ἔχοντι· διὸ στοιχῶν καὶ αὐτὸς τοῖς ἐν τῷ τόμῳ ὁρισθεῖσι, φυλάττω καὶ ἐμαυτῷ τὸ τοῦ θρόνου δίκαιον· ἀσπάζομαι δὲ καὶ τὰ γεγραμμένα, καὶ ταύταις ταῖς ἐννοίαις καὶ πίστεσι συναποθανεῖν εὔχομαι· ὁ μοναχὸς ἐλάχιστος καὶ ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κύπρου Ἰωάννης.

sore nostro beatissimo patriarcha domino Constantino consentiens ego quoque et definiens subscripsi.

Humilis monachus Iohannes, Dei miseratione patriarcha matris omnium ecclesiarum sanctae Sion urbis Hierusalem, definiens subscripsi.

Humilis monachus Iohannes Comnenus, Dei miseratione archiepiscopus primae Iustinianae et totius Bulgariae, definiens subscripsi.

Quamquam ego post beatissimum Bulgariae archiepiscopum subscripsi, coactus sacra ecclesiastici argumenti necessitate, nullum hinc sedi cypriae fiet praeiudicium; quippe qui adfirmo me multos ob titulos superiorem tenere locum. Quamobrem et ipse consentiens definitis in tomo, attamen ius sedis meae mihi vindico. Ceteroquin scripta amplector, atque in hac sententia fideque mori opto. Monachus minimus, et Dei miseratione archiepiscopus Cypri Iohannes.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Καισαρείας Καππαδοκίας Στέφανος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἡρακλείας Πέτρος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μετροπολίτης Ἀγκύρας Στέφανος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Κυζίκου Ἰωάννης ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Νικομηδείας Θεοφύλακτος ὁρίσας ὑπέγραψα.

Ὁ μητροπολίτης Νικαίας Λέων, εἰ καὶ μὴ παρῆμεν ἐπὶ τῇ ζητήσει τῆς παρούσης ὑποθέσεως, ἐφ' ᾗ καὶ τὸ παρὸν σημείωμα γέγονεν, ἀλλὰ στοιχῶν τῇ παρούσῃ πράξει ὑπέγραψα καὶ αὐτός.

Ὁ εὐτελὴς μετροπολίτης Χαλκηδόνος, εἰ καὶ ἀνάξιος, Κωνσταντῖνος στοιχήσας καὶ αὐτὸς ὁμοίως ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Σίδης Ἰωάννης καὶ αὐτὸς ὁρίσας ὑπέγραψα.

Vilis archiepiscopus Caesareae metropoleos Cappadociae Stephanus definiens subscripsi.

Vilis metropolita Heracleae Petrus definiens subscripsi.

Vilis metropolita Ancyrae Stephanus definiens subscripsi.

Vilis metropolita Cyzici Iohannes definiens subscripsi.

Vilis metropolita Nicomediae Theophylactus definiens subscripsi.

Metropolita Nicaeae Leo, quamquam huic quaestioni ventilandae non interfui, de qua in praesenti commentario agitur, nihilominus consentiens praesenti actioni et ipse subscripsi.

Vilis metropolita Chalcedonis, etsi indignus, Constantinus consentiens et ipse pariter subscripsi.

Vilis metropolita Sidae Iohannes ipse quoque definiens subscripsi.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Θεσσαλονίκης Κάλος, οὕτω θεοῦ χάριτι φρονήσας τὲ καὶ φρονῶ, διδάσκων τὲ καὶ διδάξας, καὶ ἄχρι τέλους τῆς ἐλεεινῆς μοῦ ζωῆς φρονεῖν τὲ καὶ διδάσκειν κατατιθέμενος, ὡς ἐν τῷ παρόντι τόμῳ διείληπται, ἀκολούθως τοῖς ἄλλοις καὶ αὐτὸς ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Κλαυδιουπόλεως Γρηγόριος ὁρίσας ὑπέγραψα.

Ὁ ταπεινὸς ἐπίσκοπος τῆς ἁγιωτάτης μητροπόλεως Νεοκαισαρείας ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Λαοδικείας Κάλος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Κορίνθου ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἐπίσκοπος τῆς μητροπόλεως Ἀθηνῶν Γεώργιος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἀμάστριδος Ἰωάννης ὁρίσας ὑπέγραψα.

Vilis archiepiscopus metropoleos Thessalonicae Calus, ita semper per Dei gratiam sensi et sentio, docui et doceo; et sic usque ad vitae meae miserandae terminum sentire et docere spondens, uti in praesenti tomo continetur, secutus ceterorum exemplum ipse quoque definiens subscripsi.

Vilis metropolita Claudiopoleos Gregorius definiens subscripsi.

Humilis episcopus sanctissimae metropoleos Neocaesareae definiens subscripsi.

Vilis metropolita Laodiceae Calus definiens subscripsi.

Vilis archiepiscopus metropoleos Corinthi definiens subscripsi.

Vilis episcopus metropoleos Athenarum Georgius definiens subscripsi.

Ὁ εὐτελὴς μητροπολίτης Μωκησῶν Λέων ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Πατρῶν Κωνσταντῖνος, εἰ καὶ μὴ παρῆμεν ἐπὶ τῇ ζητήσει τῆς παρούσης ὑποθέσεως, ἀλλὰ στοιχῶν τῇ παρούσῃ πράξει καὶ αὐτὸς ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Λαρίσσης Γεώργιος καὶ αὐτὸς ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἐπίσκοπος τῆς ἐν Νικοπόλει ἁγίας τοῦ Θεοῦ ἐκκλησίας Βασίλειος καὶ αὐτὸς ὑπέγραψα.

Θεόδωρος ὁ εὐτελὴς μητροπολίτης Φιλίππων ὁρίσας ὑπέγραψα.

Γεώργιος ὁ εὐτελὴς μητροπολίτης Ἀπαμείας ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Κερκύρας Κωνσταντῖνος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Μηθύμνης Μιχαὴλ στοιχήσας καὶ ὁρίσας ὑπέγραψα.

Vilis metropolita Amastridis Iohannes definiens subscripsi.

Vilis metropolita Mocesorum Leo definiens subscripsi.

Vilis metropolita Patrarum Constantinus, etsi huius quaestionis examini nequaquam interfui, tamen consentiens praesenti actioni et ipse subscripsi.

Vilis metropolita Larissae Georgius et ipse definiens subscripsi.

Vilis episcopus Nicopolitanae sanctae Dei ecclesiae Basilius et ipse subscripsi.

Theodorus vilis metropolita Philipporum definiens subscripsi.

Georgius vilis metropolita Apameae definiens subscripsi.

Vilis metropolita Corcyrae Constantinus definiens subscripsi.

Vilis metropolita Methymnae Michaël consentiens definiensque subscripsi.

Ἰωάννης ὁ εὐτελὴς μητροπολίτης Παροναξίας καὶ αὐτὸς ὁρίσας ὑπέγραψα.

Νικόλαος ὁ εὐτελὴς μητροπολίτης Ἀτταλείας ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς Ἀρκαδιουπόλεως Κωνσταντῖνος ὁρίσας ὑπέγραψα.

Μιχαὴλ ὁ εὐτελὴς ἐπίσκοπος Λήμνου ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς Ἡρακλέος Ἀκάκιος μοναχὸς ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Ὑρκανίας Διονύσιος ὁρίσας ὑπέγραψα.

Ἀρχιερέων νείατος εἰνὶ * λόγῳ ἠδὲ τιμῇ σκεπτὴρ νωνύμου Δαλισανδῶν Κωνσταντῖνος, ἰσοβριθῆ μοι τὰ ζυγὰ τοῦ νοῦ φέρω τῷ δεσπότῃ μου Σκουταριώτῃ Σίδης.

* ita cod.

Ὁ εὐτελὴς ἐπίσκοπος Πατάρων Γεώργιος ὁρίσας ὑπέγραψα.

ΤΕΛΟΣ.

Iohannes vilis metropolita Paronaxiae et ipse definiens subscripsi.

Nicolaus vilis metropolita Attaliae definiens subscripsi.

Vilis metropolita Arcadiopoleos Constantinus definiens subscripsi.

Michaël vilis episcopus Lemni definiens subscripsi.

Vilis archiepiscopus Heracleae Acacius monachus definiens subscripsi.

Vilis archiepiscopus Hyrcaniae Dionysius definiens subscripsi.

Antistitum ultimus, et sermone et honore, ignobilium Dalisandorum excubitor, mentis meae lancem gero parem domino meo Scutariotae sidensi.

Vilis episcopus Patarorum Georgius definiens subscripsi.

FINIS.

ΚΩΝΣΤΑΝΤΙΝΟΥ

ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΧΑΡΤΟΦΥΛΑΚΟΣ

ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ

ΕΚΚΛΗΣΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΠΑΝΤΑΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΕΝΔΟΞΟΥΣ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥΣ ΜΑΡΤΥΡΑΣ ΤΟΥΣ ΥΠΕΡ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΥ ΗΜΩΝ ΚΑΤΑ ΤΗΝ ΟΙΚΟΥΜΕΝΗΝ ΑΘΛΗΣΑΝΤΑΣ.

α. Αἱ μὲν Χριστοῦ πανηγύρεις, ὅσαι τὸ φῶς τῆς περὶ ἡμᾶς οἰκονομίας αὐγάζουσι, τῷ ἀπροσίτῳ τῆς καταλήψεως ἀνθρωπίνους λογισμοὺς ὑπερπίπτουσαι, παντὸς ὑπερίσανται λόγου τὲ, νικῶσι πᾶσαν ἐγκωμίων ὑψηγορίαν τὲ καὶ λαμπρότητα· ἡ δὲ νῦν κειμένη διαβόητος καὶ περιφανεστάτη

CONSTANTINI

DIACONI ET CHARTOPHYLACIS

S. ECCLESIAE CONSTANTINOPOLITANAE

LAUDATIO OMNIUM SS. GLORIOSORUM INCLYTORUMQUE MARTYRUM, QUI PRO CHRISTO DEO NOSTRO PER UNIVERSUM ORBEM PASSI SUNT.

1. Sacrae festorum Christi conciones, quotquot lumen incarnationis pro nobis operatae illustrant, utpote argumenti sui difficultate humanos intellectus excedentes, omnem loquendi vim superant, omnem laudis sublimitatem ac magnificentiam vincunt. Quod autem nunc celebratur insigne ac

πανήγυρις τῶν γενναίων τῆς εὐσεβείας ἀγωνιστῶν, εἰ καὶ πάντας ἐπαίνων λόγους καὶ αὕτη σαφῶς ὑπερβέβηκε τῷ μεγέθει τῆς ἀξίας σεμνυνομένη, ἀλλ' ὅμως πᾶσαν ὄψιν καὶ πᾶσαν γλῶσσαν, τὴν μὲν πρὸς θέαν, τὴν δὲ πρὸς εὐφημίαν καλεῖ τῆς οἰκείας μεγαλειότητος, νόμῳ πνεύματος οὐχ ἧττον ἢ σώματος ἡμᾶς τοῖς θεολέκτοις συνάπτουσα, ὡς ἂν τὰς μεγίςας ἐκείνων ἀριςείας ζηλώσαιμεν· ἀλλὰ δεῦρο θέατρον ἡ οἰκουμένη παρείτω μοι, ἡλικίᾳ πάσῃ καὶ ἔθνει παντὶ συμπληρούμενον, καὶ ὑπὸ μεγαλοφώνῳ κήρυκι τῷ βασιλεῖ Δαβὶδ συγκροτούμενον, δεῦτε βοῶντι καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

β. Ἐπειδὴ γὰρ τοῖς προγόνοις ἐν παραδείσῳ νόσος ἐνέσκηψε, τὸν πικρὸν τῆς ἀπάτης ἰὸν τοῦ ὄφεως αὐτοῖς τῷ τοῦ φθόνου δήγματι προσεμέσαντος, ὡς ἐντεῦθεν τῆς τε ἀθανασίας ἀπομορφωθῆναι τὸ κάλλος αὐτοὺς, καὶ ζωὴν ἐκείνην προσαποβαλεῖν τὴν ἄλυπόν τε καὶ ἄμοχθον, ἐπειδὴ ταῦτα

splendidissimum fortium religionis athletarum festum, etsi cuncta pariter laudum praeconia manifeste superat illustri suae dignitatis magnitudine; nihilominus omnium oculos omniumque linguas, illos quidem ad videndam, has autem ad praedicandam gloriam suam vocat; et lege tum spiritus tum etiam corporis nos istis a Deo electis copulat, ut maximas illorum res gestas imitemur. Sed iam age, theatrum mihi mundus exhibeat omni aetate omnique gente repletum, et a magniloquo praecone rege David convocatum, qui venite clamat et videte opera Dei, et quae fecit prodigia super terra, auferens bella usque ad terminos terrae.

2. Postquam enim progenitoribus in paradiso morbosa calamitas accidit, quo tempore amarum doli venenum serpens illis per invidiae morsum adflavit, ita ut mox et immortalitatis pulchritudo obscurata ipsis fuerit, et vitam illam ami-

οὕτως, καὶ τὸ δεινὸν ἑρπύσαν, ὥσπέρ τι ῥεῦμα κακόηθες, τὸ γένος ἅπαν ἐπενεμήθη, ὑφ' οὗ καὶ πρὸς βλάβην ἀνίατον ἀπονένευκε, μήτε ταῖς κατὰ διαφόρους καιροὺς ἐπενεχθείσαις μετὰ πολλὴν μακροθυμίαν καὶ χρηστότητα καύσεσι, πρὸς δὲ καὶ ἐπικλύσεσι καὶ τομαῖς, οἷόν τισι στύφουσι φαρμάκοις πρὸς ὑγείαν ἐπαναγόμενον, μήτε τῷ πράῳ τῆς ἰατρείας ἧκον, λόγῳ καὶ νόμῳ καὶ θαύμασι μηχανωμένῳ τὴν σωτηρίαν, ὡς τῷ τῆς πληγῆς ἀθεραπεύτῳ παντελεῖ παραδοθῆναι φθορᾷ, τοῦ θανάτου μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας βασιλεύσαντος, ὥς φησιν ὁ ἀπόστολος, ὁ ἄριστος τῆς φύσεως κηδεμὼν, καθάπέρ τις πατὴρ φιλόπαις υἱοὺς ἀθετήσαντας, κἀκ τῶν οἰκείων τρίβων χωλάναντας ἀνακαλεσόμενος, πρὸς θεραπείαν ἐπιστημόνως ἐχώρησε τοῦ συντρίμματος· τὴν γὰρ τοῦ ἠῤῥωστηκότος μορφὴν ἐνδυσάμενος, αὐτὸς μώμου παντὸς ἐλεύθερος ὢν, τάς τε ἁμαρτίας ἦρεν ἡμῶν καὶ τὰς νόσους ἐβάστασε· καὶ τῷ περιόντι

serint dolore ac labore carentem; ex quo, inquam, haec ita evenerunt, malumque gliscens, ceu quidam maleficus fluxus, universum genus pervasit; unde accidit ut in insanabilem morbum decideret, neque cauteriis per diversa tempora multa cum patientia clementiaque adhibitis, neque diluviis, neque sectionibus, veluti quibusdam acerbis pharmacis ad sanitatem revocaretur, quia nimirum neque lenitati medelae cederet, quae doctrina et lege et prodigiis salutis ergo adhibita fuerat, et vulnus iam desperatum ad corruptionem omnigenam vergeret, morte nimirum usque ad Moysem super eos quoque qui non peccaverant regnante, ut ait apostolus; tunc denique optimus naturae curator, ceu philostorgus parens filios suos contumaces et a propriis viis declinantes revocaturus, ad contritionem sanandam sapienter accurrit. Namque aegroti formam is sibi induens, qui omni labe carebat, peccata nostra tulit, et infirmitates portavit; suaeque sapientiae ac consilii

τῆς σοφίας τὲ καὶ συνέσεως, ξένῳ τινὶ καὶ παραδόξῳ τρόπῳ χρησάμενος, διὰ μὲν πάθους ἀπάθειαν ἡμῖν περιεποιήσατο· τοὺς δὲ προσωζέσαντας ἐν ταῖς ψυχαῖς ἡμῶν μώλωπας ἐκλύσας τῷ αἵματι, καὶ τῷ ξύλῳ τὴν φθορὰν περικόψας, ὅλην φλεγμαίνουσαν τὴν κοσμικὴν ἁμαρτίαν κατέσβεσεν, καὶ τῶν ὠδυνῶν ἐμῶν τὸν ὄγκον κατέπαυσε· καὶ καταλύσας τὸν θάνατον, αὖθις ἡμᾶς εἰς τὴν ἀρχαίαν ζωὴν ἐπανήγαγεν, ὁλοκλήρους ἀπεργασάμενος. Καὶ ὄντως ἀρτίους, καὶ οἵους εἰκὸς ἦν τοὺς ὑπὸ τοιούτῳ θεραπευτῇ τηλικαύτης ἐπιμελείας τυχόντας, ἐῤῥῶσθαι καὶ διαφαίνεσθαι, ὡς ἂν δὲ μὴ γυμνοῖς τὲ καὶ ἀφυλάκτοις ὁ πονηρὸς ἐπελθὼν αὖθις πλήξοι σφοδρότερον, καὶ ὑγιασθέντας λυμήνηται, τῇ παντευχίᾳ τοῦ πνεύματος ἡμᾶς ὁ λυτρωτὴς πολεμικῶς διεσκεύασεν, λαμπροῖς τε καὶ καταλλήλοις φραξάμενος· καὶ τῇ μὲν κεφαλῇ σωτηρίου κράνος ἐπέςησε, δικαιοσύνης δὲ ἡμᾶς ἐνέδυσε θώρακα, καὶ ἀληθείας ζωςῆρι τὴν ὀσφὺν ἡμῶν ἐνειλήσας, καὶ ὑποδήσας τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, οὕτω τὴν τοῦ πνεύματος μάχαιραν, ὅ ἐςιν ῥῆμα θεοῦ,

abundantia, miram quandam peregrinamque rationem excogitans, passione sua impassibilitatem nobis conciliavit; et foetentia animarum nostrarum vulnera suo sanguine eluens, et cruce saniem abradens, omne mundi fervens peccatum extinxit, dolorumque nostrorum tumorem sedavit, destructaque morte, denuo nos in pristinam vitam reposuit, et ex asse heredes instituit. Iamque sanos, ac tanta incolumitate praeditos, cuiusmodi eos esse decebat qui tantam tanti medici curam experti fuissent; ne forte nudos et incautos malignus hostis adortus denuo gravius feriret, et valetudini iam restitutos pessumdaret, spiritûs armatura redemptor nos instruxit, splendide et circumquaque nos muniens. Et capiti quidem galeam salutis imposuit, iustitiae thorace nos induit, veritatis baltheo latus praecinxit, pedes evangelii pacis apparatu calcea-

καὶ τὸν θυρεὸν ἡμῖν τῆς πίστεως ἐνεχείρισεν, ἐν ᾧ σβέσαι πάντα τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ δυνησόμεθα· εἶτα καὶ ῥώμην πλείστην ὅσην ἐνθεὶς, καὶ πάντοθεν ἀσφαλεῖς πρὸς παράταξιν ποιησάμενος, ἀπτόητον πρὸς πᾶσαν ἐπιβουλὴν τοῦ ὄφεως τὸ γένος ἡμῶν κατεστήσατο.

γ. Ἀλλ' οὐκ ἔμελλεν ἡ τύραννος φύσις τούτοις ἐφηρεμεῖν, οὐδὲ τὴν ὠδῖνα κατέχειν τῆς βασκανίας· συλλαβὼν γὰρ πόνον ὁ ἀλαζὼν, τάχιστα τὴν ἀνομίαν ἀπέτεκεν· εὐθέως γὰρ ὡς οἰκεῖον στῖφος τὴν ἀποστατικὴν ἀνθώπλισε δύναμιν, τοῖς τῆς ἀσεβείας ὅπλοις καὶ μηχανήμασιν ὑποχειρίους ῥᾶστα λαβὼν τοὺς ὅσοι περ πρὸς τὴν θείαν παράταξιν καταλεγῆναι οὐχ εἵλοντο· βασιλεῖς τοιγαροῦν καὶ ὑπάτους καὶ στρατηγοὺς καὶ τοπάρχας, ἡγουμένους τε καὶ τυράννους, καὶ τοὺς ὑπ' ἐξουσιῶν καὶ τοὺς ἄρχοντας τῶν χωρῶν, λαούς τε καὶ φυλὰς καὶ γλώσσας, συμμάχους παραστησάμενος, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης τὸν κατὰ τῶν εὐσεβῶν ἀνεκίνησε πόλεμον· οἱ πῦρ καὶ δεσμὰ καὶ σίδηρον

vit, tum gladio spiritûs, quod est verbum Dei, et fidei clypeo manus nostras armavit, quo cuncta maligni hostis ignea tela possimus retundere: postremo robur plurimum inspirans, atque undique protectos contra vim belli efficiens, invictum contra quaslibet serpentis insidias genus nostrum constituit.

3. Sed enim tyrannica daemonis indoles quietura non erat, neque suae invidiae dolorem patienter latura. Ecce enim superbus ille concepto labore, illico peperit iniquitatem. Statim ergo, tamquam proprium agmen, apostaticas copias armavit, suis falsae religionis armis ac machinis sibi facile subiiciens illos, qui in divina phalange conscribi noluerant. Itaque reges, consules, praefectos, toparchas, duces atque tyrannos, subditos aeque ac magistratus regionum, populos, tribus, et linguas, auxiliares sibi adiungens, ab oriente et occasu, a borea et mari, contra verae religionis adseclas bel-

προβαλλόμενοι, καὶ βόθρους ὀρύσσοντες, καὶ θῆρας ἀτιθάσσους συνεπαγόμενοι, καὶ παντοίων κολαστηρίων ὀργάνων εἰδέαν τοῖς ἀνταγωνισταῖς ἐπισείοντες, φοβερὰν μὲν ἐμποιοῦσαν ὄψιν τοῖς δειλοῖς τὲ καὶ ἀπολέμοις, θράσος δὲ τοῖς ἀσφαλέσι καὶ γενναίοις τὸ φρόνημα, ὄχλῳ τὲ ἀνδρῶν θρασυνόμενοι, καὶ τυραννίδος δυνάμει καὶ κράτει τῆς ἀσεβείας, ποικίλην καὶ πολυσχιδῆ τὴν παράταξιν ἐποιήσαντο.


δ. Ἀλλ' οὐδὲν ἧττον οἱ ἀντιτεταγμένοι καὶ τῆς πίστεως πρόμαχοι, οἱ πρὸς τὸν θεῖον ἀριθμηθέντες κατάλογον, καὶ σωμάτων ῥώμῃ, καὶ ἀρετῶν ἀσκήσει, καὶ γυμνασίᾳ πόνων τοὺς ἀνόμους ὑπερβαλλόμενοι, ἑκατέρῳ γένει καὶ ἡλικίᾳ πάσῃ, καὶ ἐπιτηδευμάτων διαφοραῖς, καὶ βίων αἱρέσεσι, καὶ φωνῶν καὶ πατρίδων ἀλλοτριότησιν, ὁμοτρόπως τὴν οἰκείαν κατεκόσμησαν φάλαγγα· ἦν γὰρ τὸ στῖφος αὐτοῖς ὥσπέρ τις λειμὼν ποικίλος ἐκ πολυχρόων ἄνθεων ἐστεμμένος καὶ ἀποστίλβων, νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων·

lum commovit. Porro praedicti persecutores ignem, vincula, ferrum expedientes, foveas effodientes, bestias immanes immittentes, et omne genus cruciantium machinarum adversariis suis admoventes, quae terribilem quidem timidis et imbellibus speciem obiiciebant, fortibus autem et robore suo securis animos augebant, satellitum multitudine, potentia tyrannica, et idololatriae viribus variam multiplicemque aciem conficiebant.

4. Neque vero segnius his oppositi fidei defensores, qui divino catalogo nomina dederant, et corporum constantia, et virtutum exercitio, et laborum experimento impiis facti superiores, utroque ex sexu, aetate quavis, variis studiorum generibus, vitae professionibus, linguarum et patriarum diversitatibus distincti, concordibus tamen animis phalangem suam conflaverunt. Erat enim illorum caterva ceu quoddam varium pratulum multicoloribus ornatum renidensque flori-

καὶ γὰρ καὶ τὸ θῆλυ γένος ἀῤῥενωθὲν καὶ τῆς οἰκείας φύσεως ἐκληθόμενον προαιρέσεως φιλοτιμίᾳ, τὴν ἀνδρικὴν μεγαλοψυχίαν ἐζήλωσεν· πρὸς δὲ καὶ νηπίων ἄωρον πλῆθος βραχύτητι φύσεως καὶ γνώμης ὁλοκληρίᾳ τὸν συνασπισμὸν ἀνεπλήρωσεν· ἄρχοντές τε ἐν αὐτοῖς καὶ ἀρχόμενοι, καὶ δεσπόται δούλοις συντεταγμένοι, ἄδοξοι τὲ καὶ ἔνδοξοι, δυσγενεῖς τε καὶ εὐγενεῖς, ἕλληνες οἱ πάντες ἅμα καὶ βάρβαροι, μακεδόνες, καὶ θετταλοὶ, παίονες, καὶ ἰλλυριοὶ, καὶ λάκωνες, καὶ οἱ τὸν Εὔξεινον πόντον περικαθήμενοι, θρᾶκες τὲ καὶ βυζάντιοι, καὶ οἱ πρὸς τῷ Βοσπόρῳ κιμμεριοὶ, βιθυνοί τε καὶ καππαδόκαι, φρύγες, καὶ κᾶρες, καὶ λύκιοι, γαλάται, καὶ ἴσαυροι, λυδοὶ, καὶ πισίδαι, καὶ πάμφυλοι, λυκάονες τὲ καὶ κίλικες, σκύθαι, καὶ πέρσαι, καὶ βάκτριοι, κόλχοι, καὶ ἀσσύριοι, πάρθοι, καὶ μῆδοι, καὶ ἐλαμῖται, ὀσροηνοί τε, καὶ βλέμμυες, ἰνδοὶ καὶ αἰθίοπες, ἰσμαηλῖται, καὶ αἰγύπτιοι, σύροι, καὶ παλαιστινοὶ, κύπριοι, καὶ κρῆτες, καὶ ῥόδιοι, αἰολεῖς τὲ καὶ ἴωνες, φοίνικές τε καὶ ἄραβες,

bus, adolescentuli nimirum et virgines, senes cum iunioribus. Namque ipsum femineum genus masculo vigore roboratum, suaeque naturae oblitum, propositi ardore virilem animi excelsitatem aemulabatur. Puerorum quoque impuberum multitudo, in naturae parvitate integram mentem gerentium agmen complebant: erantque in ipsis magistratus et subditi, domini cum servis ordinati, ignobiles et illustres, humiles ac nobiles, graeci simul omnes ac barbari, macedones, thessali, paeones, illyrii, lacones, Euxini maris accolae, thraces ac byzantini, cimmerii ex Bosphoro, bithyni, cappadoces, phryges, cares, lycii, galatae, isauri, lydi, pisidae, pamphylii, lycaones, cilices, scythae, persae, bactriani, colchi, assyrii, parthi et medi, elamitae, osrhoeni, blemmyes, indi, aethiopes, ismaëlitae, aegyptii, syri, palaestini, cyprii, cretenses, rhodii, aeoles, iones, phoenices, arabes, romani, cyrenaei et lybes,



ῥωμαῖοι, καὶ κυρηναῖοι, καὶ λίβυες, δάκες, καὶ γέται, καὶ σαυρομάται, κελτοί τε, καὶ βάνδηλοι, καὶ ἴβηρες· προσέτι καὶ μωαβῖται, καὶ ἀμμανῖται, χαναναῖοι, καὶ χετταῖοι, καὶ ἀμοῤῥαῖοι, καὶ φερεζαῖοι, καὶ εὐαῖοι, καὶ γεργεσαῖοι, καὶ ἰεβουσαῖοι, καὶ οἱ κατοικοῦντες νήσους βρεττανικὰς, καὶ τὰ Γάδειρα, καὶ ὥς φησιν ἡ βίβλος τῶν πράξεων, ἐκ πάντων τῶν ὑπὸ τὸν οὐρανὸν ἐθνῶν συνετάττοντο· οἳ τῆς πολεμικῆς ὑποφωνούσης σάλπιγγος, καὶ τοὺς ἀθλητὰς εἰς μέσον προσκαλουμένης ὡς ὄντως ἀριστεῖς τὰς ὑλικὰς ἐσθῆτας ἀποδυσάμενοι, καὶ Χριστὸν δι' ὃν ὁ ἀγὼν ἐνδυσάμενοι, σύνθημά τε δόντες ἀλλήλοις τὸ σωτήριον ὄνομα, πρὸς τοὺς κινδύνους ἐῤῥωμένως ἐχώρησαν· καὶ συμπλακέντες τῇ ἀμάχῳ τῶν ἐναντίων θρασύτητι, πίπτοντες οἱ γεννάδαι, τοὺς πολεμίους ἀνέτρεπον, καὶ θανατούμενοι ταῖς πληγαῖς, τοὺς ἀναιροῦντας ἐσκύλευον παρ' ἐλπίδας ᾐσχυμμένους καὶ ἡττημένους τοῖς ὑπὸ τῶν νεκρῶν σωμάτων ἀνδραγαθήμασιν· καὶ ἦν πῶς παράδοξος ἡ νίκη καὶ διαλλάττουσα· ἀνεκηρύττετο γὰρ οὐχ ὅσπερ ἀνῄρει τὲ καὶ κατέσφαττεν, ἀλλ' ὅστις τραύμασιν ἐπ-

daci et getae, sarmatae, celtae, vandali, iberes; insuper moabitae, ammanitae, chananaei, chettaei, amorrhaei et pherezaei, evaei et gergesaei, ac iebusaei, et britannicarum insularum incolae, et gaditani; atque ut ait actorum liber, ex omnibus quae sub caelo sunt gentibus in acie constiterunt: moxque bellico canente classico, atque athletas in arenam vocante, ceu veri pugiles materialem vestem abiicientes, et Christum cuius causa fiebat agon sibi induentes, tesseram invicem dantes Servatoris nomen, in pericula alacriter se coniecerunt. Sic ergo insuperabilem adversariorum audaciam aggressi, dum praeclari heroës succumberent, hostes suos profligabant, et vulneribus ad internecionem caesi, interfectores suos spoliabant, praeter spem pudore suffusos et victos a mortuorum corporum facinoribus. Porro mirabilis victoria erat et

απέθνησκεν· ἅμιλλα γὰρ ἦν ἑκατέροις, τοῖς μὲν ὅπως τεθναίεν ὑπὲρ τοῦ καλοῦ κινδυνεύσαντες, τοῖς δὲ ὅπως τοὺς ἀριστέας περιποιήσονται, καὶ τῶν δεινῶν ἐξαιρήσονται δουλωθέντας τῇ ἀσεβείᾳ, καὶ τοῖς ἐκείνων προστάγμασι καὶ τεχνάσμασι, καὶ πρὸς ἑαυτοὺς μεταστήσαιεν· οὕτω μὲν οὖν τὸ τρόπαιον οἱ νικηφόροι λαμπρὸν κατὰ πάσης τῆς οἰκουμένης ἀνέστησαν, τὸν ἰσχυρὸν δήσαντες, καὶ μετὰ θάνατον τὴν νίκην ἐν τῷ Χριστῷ θριαμβεύσαντες.

ε. Ἀλλ' ἴδωμεν ὅπως καὶ ὅθεν ἑκατέροις ἡ πάλη κατήρξατο, καὶ τὴν τέχνην τῶν παλαισμάτων, καὶ οἷον καὶ ὅσον τῶν ἀγώνων τὸ μέγεθος· πῦρ μὲν πρὸ τῶν εἰδωλικῶν εἰκόνων ἐπιβώμιον ἀνεκαίετο, καὶ τὰ πρὸς θυσίαν ἐπιτήδεια προὔκειτο, στάκτη καὶ σμύρνα καὶ λίβανος καὶ ζώων γένη καὶ πόπανα· βασιλικὰ δὲ προγράμματα κατὰ πάσης ἐφήπλωτο πόλεως, τὸ ἑλληνικόν τε καὶ ἄθεον δόγμα διακηρύττοντα, καὶ τὴν ἀληθῆ τῶν χριστιανῶν πίστιν παραχαράτ-

praepostera: praedicabatur enim victor non qui caedendo interfecerat, sed qui vulneribus erat immortuus. Erat quippe inter eos certamen, hi ut pro virtute pugnando morerentur, illi ut praeclaros athletas ad se pertraherent, et idolis addictos suaque auctoritate artificiisque victos, cruciatibus eximerent, atque in suas partes seducerent. Sic ergo victores nostri trophaeum splendidum in toto orbe erexerunt, fortem vincientes, et post necem, insignem in Christo triumphum agentes.

5. Modo iam videamus quomodo et unde his lucta conflabatur, ac palaestrae artificium, et qualis quantaque fuerit certaminum magnitudo. Ignis ante idolorum imagines super aris incendebatur, necessariaque ad sacrificium aderant, stacte, smyrna, thus, victimarum genera, et liba: regalia interim edicta tota urbe proponebantur, quae impium gentilium dogma intimabant, veramque Christianorum fidem abrogabant; cunctisque imperabant peregrinis aeque ac civibus ut veram re-

τοντα· καὶ πᾶσι μὲν διακελευόμενα ξένοις καὶ ἀξυνοῖς ἐξόμνυσθαι μὲν τὴν εὐσέβειαν, λατρεύειν δὲ τῇ κτίσει παρὰ τὸν κτίσαντα· τοῖς δὲ μὴ τοῖς τοιούτοις θεσπίσμασιν εἴκουσιν, διὰ πασῶν ἐλθοῦσι τιμωριῶν, θάνατον ζωῆς ἀντιδιδόσθαι, μηδεμιᾶς ἡλικίας ἢ τύχης οἰκτειρομένης, ἢ γυναικῶν ἢ παίδων τινὸς ἀξιουμένων φειδοῦς, ἢ διὰ τὸ τῆς φύσεως ἀσθενὲς, ἢ τῆς γνώμης τὸ ἄπλαστον· θρόνοι δὲ καὶ βήματα προετίθεντο κατὰ τοὺς ἐπισημοτάτους τόπους καὶ δημοσίους· οἷς οἱ δικάζοντες ἐφεζόμενοι, σὺν τάχει τὸ κελευσθὲν ἐκπληρωθῆναι προσέταττον· περιΐστήκει δὲ δημίων πλῆθος καὶ δορυφόρων πρὸς πᾶν ὁτιοῦν τοῖς ἡγεμόσιν ὑπηρετήσοντες· παρῆν δὲ καὶ λαῶν συστήματα καὶ ἐθνῶν, οἱ μὲν ὅπως θύσαιεν, οἱ δὲ ὅπως τὴν τῶν δρωμένων ὄψιν ἐφίδοιεν.

ς. Ἐπενενόητο δὲ βασάνων εἴδη ποικίλα τε καὶ πολύμορφα ἐκ παντοίας ὕλης καὶ τέχνης πολυτρόπως κατηρτισμένα, φρίκην καὶ δέος τοῖς ὁρῶσι καὶ πρὸ τῆς πείρας ἐπάγοντα· πυράγραι καὶ ἐσχάραι καὶ λέβητες, μάχαιραί τε

ligionem eiurarent, et rei creatae loco creatoris obsequium exhiberent: qui vero his mandatis minime obtemperarent, eos omni tormentorum genere inflicto, mortem cum vita commutaturos, sine ulla aetatis aut fortunae miseratione, ne feminarum quidem aut puerorum habita ratione vel propter naturae infirmitatem, vel propter mentis nondum iustam integritatem. Throni autem ac tribunalia in publicis ac insignioribus locis statuebantur, quibus iudices insidentes, celeriter mandata compleri iubebant. Circumstabat carnificum atque apparitorum multitudo nutibus imperantium illico obsecutura. Aderant quoque populorum ac gentium globi, partim ut sacrificarent, partim ut ea quae fiebant spectarent.

6. Porro fuerant excogitata tormentorum genera varia ac multiformia ex omni materia ac artificio plurifariam fabricata, horrorem metumque etiam ante experimentum viden-

καὶ ἔμπηγες, δεσμά τε καὶ μάστιγες, ποδάγραι καὶ στρεβλωτῆρες, προσέτι καὶ περῶναι καὶ ὄνυχες, ξυστῆρες καὶ μοχλοὶ καὶ τροχοὶ καὶ ἀρθρέμβολα, πλεῖστα τὲ ἄλλα πρὸς ἔκπληξιν τῶν θεωμένων κακούργως ἐξηυρημένα τοῖς ἀνόμοις ἐπεσκευάζετο· λεόντων δὲ καὶ ἄρκων ἀγέλαι καὶ ἀγρίων συῶν καὶ παρδάλεων πρὸς θοίνην σωμάτων ἡλίσκοντο, γῆς τε ταμιεῖα καὶ σκότος ψηλαφητὸν καὶ ἀὴρ κρυμώδης αὐτοῖς καὶ θαλάσσιος ὑπούργει βυθός· εἶτα πῦρ νάφθῃ καὶ πίσσῃ καὶ στιππύῳ καὶ κληματίδι τρεφόμενον, καὶ πρὸς μεγίστην φλόγα αἰρόμενον· καὶ ἡ θεοποιουμένη κτίσις, αὐτοῖς ἀνθρωπίνοις νεύμασιν εἰκῆ περιήγετο καὶ πρὸς κόλασιν τῶν εὐσεβῶν ὑπηρετεῖν ἠναγκάζετο, καὶ τὸ νῦν τιμώμενον αὐτοῖς στοιχεῖον καὶ προσκυνούμενον, νῦν ἐφ᾽ ὕβρει σωμάτων δουλικῶς ἐπετάττετο· ἐπὶ πᾶσιν ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ θύειν δαιμονίοις παρακελευόμενος, καὶ μήτε Χριστὸν ὁμολογεῖν, μήτε πρὸς τὴν θυσίαν μέλλειν τὲ καὶ διαναβάλλεσθαι.

ζ. Πολλὴ τοίνυν ἡ χύσις τῆς ἀσεβείας τηνικαῦτα τὴν

tibus iniicentia: forcipes, craticulae, lebetes, gladii, unci, vincula, lora, flagella, tendiculae, torturae, insuper subulae, ungulae, scalpra, vectes, rotae, equulei, atque alia plurima malitiosa impiorum inventa, ut intuentes terrefacerent. Leonum quoque, et aprorum, ac pantherarum greges ob devoranda corpora capiebantur: terrae quoque cavernae, et palpabiles tenebrae, et aër rigidus, et maris profunditas: praeterea ignis pice, naphtha, stuppa, sarmentis nutritus, et in maximam flammam elatus. Et condita a Deo creatura, humana voluntate temere cogebatur cruciandis piis deservire: atque elementum pridem ab ethnicis cultum et in honore habitum, nunc vexandis corporibus serviliter adhibebatur. Denique praeco valide clamabat adhortans ut immolarent daemonibus, neque Christum confiterentur, neque omnino sacrificium differrent.

οἰκουμένην ἐπέκλυζεν, ποταμοῦ δίκην τὰς ἀῤῥίζους τὲ καὶ ἀκάρπους ψυχὰς ὁμοῦ καὶ σώματα καθάπέρ τινα δένδρα πίπτοντα κατασύρουσα, καὶ πρὸς ἓν ἀπωλείας βάραθρον ἀποπέμπουσα· ζωοθυσίαι τὲ καὶ οἱ διὰ κνίσσης καπνοὶ κατὰ τὰς ἀγυιὰς, καὶ τὰ τέμενη δαψιλῶς τοῖς εἰδώλοις προσήγοντο, τὴν μέλλουσαν ὅσον οὐδέπω γενήσεσθαι αὐτῶν προμαντευόμενα καθαίρεσιν καὶ διάλυσιν· γνόφος δὲ τὸ πᾶν συνεκάλυπτεν ἀγνοίας καὶ ἀνομίας, καὶ ἀφεγγής τις πλάνης ὁμίχλη τὰς ὄψεις τῶν ἀσεβῶν συνετάραττεν, οὐ βουληθέντων μᾶλλον ἢ οὐ δυνηθέντων τῷ φωτὶ τῆς ἀληθείας καὶ γνώσεως καταυγάζεσθαι· οἱ μὲν γὰρ μηδὲ καλούμενοι προθύμως ὑπέκυπτον τοῖς προστάγμασιν, αὐτόχειρες τῆς ἑαυτῶν σφαγῆς καθιστάμενοι· οἱ δὲ μιξόλεθρόν τινα γνώμην ἐπιδεικνύμενοι πρὸς τὴν θυσίαν ἐπεῖχον ἔτι καὶ διεσκέπτοντο· ἄλλοι κολακείαις χαυνούμενοι καὶ χρημάτων ἡττώμενοι ἔρωτι, καὶ δόξης ἐπιθυμίᾳ τὰς ψυχὰς ἐταπείνουν τοῖς προσχηθίσμασιν· ἕτεροι δὲ πρὸς βίαν μὲν, ὅμως δ' οὖν μηδὲ

7. Multa igitur idololatriae colluvies tunc orbem inundavit, torrentis instar animas radice et fructu carentes, simulque corpora ceu quasdam deciduas arbores abripiens, atque in unum perditionis barathrum mittens. Animales itaque hostias, fumumque nidore mixtum in plateis ac fanis ante idola passim videre erat, quibus tamen non adeo remotum ipsorum excidium ac dissolutio portendebatur. Cuncta vero ignorantiae atque impietatis tenebris obnubebantur, et obscura quaedam erroris nebula ethnicorum oculos perturbabat, nolentium magis quam impotentium verae doctrinae lumine illustrari. Alii enim ne vocati quidem sponte mandatis parebant, et voluntariam animabus suis necem inferebant. Alii vacillante animo fluctuantes, cogitabundi et morosi erant ad sacrificandum. Alii assentationibus inflati, et divitiarum amore aut gloriae cupiditate capti, animas suas detrimento adficiebant. Alii uti-

πρὸς βραχὺ πρὸς τὴν ἀπειλὴν τῶν τυράννων ἀντέχοντες, προδόται τῆς ἑαυτῶν σωτηρίας ἐγίνοντο· καὶ τί δεῖ λέγειν τοῦ τότε καιροῦ τὴν σκοτόμαιναν, καὶ τὸ πολυειδὲς ἐκεῖνο τῆς συγχύσεως θέατρον, καὶ τὸν κυκεῶνα τῶν δυσχερῶν πάντων ἑαυτοὺς ἀγνοούντων σχεδὸν καὶ μεριζομένων; παραλόγως ταῖς προαιρέσεσι, καὶ οὐκ ἐπί τινος βεβαίας ἐλπίδος ἐρειδομένων; ἀλλὰ τῶν μὲν καὶ παῤῥησίᾳ καὶ κατὰ τῆς ἀληθείας λυττώντων καὶ μεμηνότων, καὶ τέλος ἀνομούντων διὰ κενῆς· τῶν δὲ τῇδε κἀκεῖσε νευόντων τῇ τῶν λογισμῶν διπλόῃ καὶ τῷ ἀπαγεῖ καὶ ἀστηρίκτῳ τῆς περὶ τὰ χρηστὰ διαθέσεως.

η. Ἀλλ' οὐχ οἱ τοῦ ὄντως καλοῦ ἐρασταὶ, καὶ τὴν βασιλικὴν εἰκόνα τηρήσαντες ἀθόλωτόν τε καὶ ἄτρωτον οἱ καλλίνικοι μάρτυρες· οἱ τὰς ψυχὰς Θεῷ προκαθιερώσαντες, εἶτα καὶ τὰ σώματα θύσαντες, οἱ κατ' ἀμφότερα κάλλει καὶ ῥώμῃ διαπρεπεῖς, ἢ τῇ πεπλανημένῃ γνώμῃ τῶν δυσμενῶν ἐδουλώθησαν, τῷ καιρῷ καὶ τῷ κράτει συναλλοιούμενοί τε καὶ

que vim passi, sed ne brevi quidem momento tyrannorum minis obsistentes, salutis suae proditores extiterunt. Quid autem referre interest temporis illius profundam noctem, varium illud confusionis theatrum, cinnumque hominum infelicium, qui semet paene ignorabant, et in absurdas sectas divisi, nullius spei fundamento insistebant? Multi etiam proterve veritatem oderant, in eamque insaniebant, et sine causa peccabant. Alii denique modo huc modo illuc cogitationum ambiguitate, infirmoque et inconstante virtutis proposito pendebant.

8. Non ita tamen virtutis vere amatores, qui dominicam imaginem in semet immaculatam inviolatamque servaverant, invicti martyres qui suas animas Deo iampridem consecraverant, deinde et corpora sacrificanda obtulerant, puritate simul et fortitudine illustres, non ita, inquam, hi inimicorum

συμμορφούμενοι, ἢ ὥσπέρ τινες, ὡς ἂν εἴποι τίς, ἡμιμόχθηροι καὶ ἡμίφαυλοι τοῦ καθήκοντος ἀπεσφάλησαν χωλάναντες τὴν διάνοιαν· ἀλλὰ μέχρι μὲν αὐτοὺς οὐ πρὸς τὴν ἀποστασίαν οἱ τύραννοι προὔτρεπον καὶ πρὸς τὸ θύειν κατήπειγον, νόμον πληροῦντες ἀθλητικὸν, ἡσυχῇ πῶς διεκαρτέρουν τὰς ψυχὰς παραθήγοντες, καὶ πρὸς τοὺς ἀγῶνας προὔπαλείφοντες ἔν τε νηστείαις καὶ προσευχαῖς διανυκτερεύοντες καὶ διημερεύοντες, κἀν τῇ λοιπῇ τῶν ἀρετῶν ἀσκήσει παιδοτριβούμενοι, καὶ κατὰ τῶν παθῶν φιλοπονώτερον γυμναζόμενοι, καὶ τὸ σῶμα δουλαγωγοῦντες, καὶ πρὸς τὸν ἔνδοθεν ἄριςα διαγωνιζόμενοι πόλεμον, ῥάστην ἑαυτοῖς τὴν ἔξωθεν πάλην προπαρεσκεύαζον· ὁπηνίκα δὲ καιρὸς ἐκάλει πρὸς τὰ παλαίσματα, ἀμελητὶ ἐπεξῄεσαν, ἄοπλοι μὲν τοῖς σώμασιν, πεφραγμένοι δὲ τῇ πίστει καὶ τῷ θάρσει τῆς προαιρέσεως, προθύμως ἐπιδόντες ἐπὶ τὰ σκάμματα· καὶ δὴ φαιδροὶ καὶ γεγηθότες ἀντιπρόσωποι τοῖς ἐναντίοις κατέςησαν, τὸ τῆς ψυχῆς ἀνδρικὸν καὶ πρὸς πᾶν ὁτιοῦν τῶν δυσχερῶν

suorum erroribus se vinci sinebant, tempori ac potentiae se conformantes ac subservientes, quasi ut ita dicam semipravi ac semistulti ab officio recedentes, et mente claudicantes: sed quamdiu eos ad apostasiam non hortabantur atque ad sacrificia non cogebant, more athletarum silentium servabant, animos acuebant, seque ad agones comparabant, atque in ieiuniis et precibus diem noctemque transigentes, et aliis se virtutum exercitiis erudientes, atque apprime cupiditatibus resistentes, corpora in servitutem redigentes, bellum interius optime gerentes, facillimam sibi exteriorem pugnam praeparabant. Mox autem ubi tempus ad certamina vocabat, sine mora prodibant, corporibus quidem inermibus, sed armati fide et propositi pervicacia, prompte admodum ad stadium volabant, laetique et alacres in acie contra adversarios se sistebant, suam animi fortitudinem, et ad quaevis aspera im-

ἀκατάπληκτον διὰ τῆς ἐπιφαινομένης ὄψεως τοῖς ὁρῶσιν ἐπισημαίνοντες· πρὸς οὓς οἱ προκαθήμενοι τύραννοι δριμύ τε καὶ τιτανῶδες μετ᾽ ὀργῆς ἀποβλέψαντες τοιαύτας, ἵν᾽ ὡς ἐν τύπῳ τὰς ἑκατέρων κοινῇ καὶ καθ᾽ ἕνα διαλέξεις κεφαλαιωδῶς περιλάβοιμεν [1], τὰς πεύσεις τοῖς ἀθλοφόροις προσήνεγκαν· τίνες ὄντες καὶ ὅθεν ὁρμώμενοι, δέον ὑποπτήσσειν τὴν ἐξουσίαν καὶ δεδιέναι τοὺς θρόνους, γαύρῳ μᾶλλον φρονήματι καὶ παῤῥησίᾳ τοῖς δικαστικοῖς παρέστητε βήμασι; προσαπήτουν δὲ καὶ τύχην φράζειν, καὶ ἐπιτήδευμα, καὶ θρησκείας εἶδος, καὶ ὅπως ἔχοιεν γνώμης περὶ τὴν τῶν εἰδώλων προσκύνησιν· οἱ δὲ πραείᾳ τῇ τῆς ψυχῆς καταστάσει, μειλιχίοις οὕτω πῶς πρὸς αὐτοὺς διεξῆλθον τοῖς ῥήμασιν, εὔκαιρον τὴν ἀπολογίαν ποιούμενοι.

θ. Ἡμεῖς μὲν, ἄνδρες δικασταὶ, τῆς αὐτῆς ὑμῖν ἐλά-

perterritam mentem vultu ipso intuentibus demonstrantes. Quos e subselliis tyranni torve instar Titanum atque iracunde spectantes, his ferme quaestionibus (ut harum quamdam formam, sive quae communiter sive quae singillatim fiebant summatim comprehendamus) athletas exagitabant. Quinam vos estis, aiebant, aut unde profecti, qui cum potestatem ac regias sedes vereri deberetis, elato potius atque audaci animo, iudicum subselliis adstatis? Insuper exigebant, ut conditionem suam dicerent, et vitae institutum, et religionis genus, et quid de idolorum cultu sentirent. Illi autem tranquillo animi affectu verbisque placidis sic fere iis tempestiva cum apologia respondebant.

9. Nos quidem, o iudices, eandem quam vos naturam sor-

(1) En adamussim panegyricae huius orationis argumentum; proponit sibi videlicet Constantinus uno sermone ea globatim complecti, quae per innumeros SS. martyrum agones evenerunt, sive in eorum disputationibus cum iudicibus ac tyrannis, sive in mutuis cohortationibus, sive in precibus ad Deum, sive denique in variis cruciatuum mortiumque generibus. Neque aliter ab eo fieri poterat, qui generalem omnium martyrum laudationem lucubrabat.

χομεν φύσεως, οὐκ ἐκ θελήματος δὲ σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ πατρὸς ἐγεννήθημεν, παρ' οὗ καὶ χριστιανοὶ καὶ εἶναι καὶ καλεῖσθαι κατεξιώθημεν· κοινὸν γὰρ ἡμῖν πᾶσιν ὄνομα τοῦτό γε· πατρὶς δὲ ἡμῖν καὶ τροφὸς ἡ δεδοξασμένη τοῦ θεοῦ πόλις, ἡ νοητὴ μήτηρ Σιὼν, ἣν ὁ ὕψιστος δεσπότης ἐθεμελίωσεν· γένος δὲ καὶ φυλέται καὶ φράτορες οἱ πρῶτοι νόες καὶ θεῷ πλησιάζοντες, ὁμογενεῖς μὲν ἡμῖν κατὰ τὸ ὑπὸ θεοῦ καὐτοὺς ἐκτίσθαι καὶ ἐκ μὴ ὄντων, ἴσοι δὲ διὰ τὸ πρὸς τὸ θεῖον σέβας ὁμόζηλον καὶ τὴν φυλακὴν τοῦ καλοῦ· εἰ καὶ διὰ τὴν τῆς ἀξίας ὑπεροχὴν καὶ τὸ τῆς φύσεως καθαρόν τε καὶ ἄκρατον, καὶ τὸ πρώτως ὑπὸ τῆς ἀκτῖνος ἐλλάμπεσθαι, πλείονα τὴν δόξαν περιεβάλοντο· ἀξίωμα δὲ καὶ ἐπιτήδευμα, φρόνησις, ἀνδρεία, δικαιοσύνη καὶ σωφροσύνη, τῆς ἀρετῆς τὰ κεφάλαια δι' ὧν ἀεὶ τὸ ἀγαθὸν ἐργαζόμενοι, τὰ πρὸς τὴν ὄντως ζωὴν φιλοτιμότερον πορίζόμεθα· θρησκεία δὲ ἡμῖν ἡ εὐσέβεια, καὶ τὸ

titi sumus; verumtamen non ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo patre nati sumus, qui etiam ut Christiani et simus et appellemur, dignanter nobis concessit. Communis quidem haec nobis appellatio est; patria vero nostra est et nutrix, gloriosa Dei civitas, rationalis mater Sion, quam altissimus dominus fundavit. Gens autem nostra, et contribules, ac populares, primae illae mentes sunt quae Deum circumstant, homogeneae quidem nobis quatenus ipsae quoque a Deo ex nihilo creatae fuerunt, pares autem quod adtinet ad concors religionis studium et iusti observantiam: quamquam ob dignitatis excessum, et naturae puritatem ac simplicitatem, et quia ante omnes ex divino lumine prodierunt, maiore quam nos gloria exornantur. Conditio porro nostra et studium in eo versatur, ut prudentiam, fortitudinem, iustitiam ac temperantiam exerceamus, quae totidem sunt virtutis capita, quibus quod bonum est semper agentes, veram

μὴ ἀντανιστᾷν τὴν κτίσιν κατὰ τοῦ κτίσαντος, ἢ τὴν ἀλήθειαν κατέχειν ἐν ἀδικίᾳ, μηδὲ τὴν εἰκόνα τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν μεταλλάττεσθαι, ἀλλ' ἐν ὅροις μένοντας τῆς ἀκλινοῦς ἐπιγνώσεως, διαφορὰν εἰδέναι ποιητοῦ καὶ ποιήματος· καὶ τὸν μὲν ἐν τρισὶν ὁμολογεῖν ὑποστάσεσιν, πατρὶ τῷ ἀνάρχως γεννήσαντι, καὶ υἱῷ τῷ ἀνάρχως γεννηθέντι εἶτα καὶ δι' ἡμᾶς ἐν χρόνῳ ἀνθρωπισθέντι, καὶ πνεύματι ἁγίῳ ζωοποιοῦντι πάντας καὶ ἁγιάζοντι, μιᾷ δὲ τῇ οὐσίᾳ καὶ θεότητι καὶ δυνάμει καὶ κυριότητι· τὸ δὲ δοῦλον γνωρίζειν καὶ ὑποχείριον, ὅσον τὲ ἐν ὁρατοῖς καὶ ὅσον ἐν ἀοράτοις νοεῖται τὲ καὶ πιστεύεται· γνώμης δὲ οὕτως ἔχομεν περὶ τὴν τῶν εἰδώλων σπουδὴν, ὡς εἴ τις ἔχει συντόμως φράσαι τῷ λόγῳ περὶ τὰ βλαβερά τε καὶ φθείροντα φάρμακα, καὶ τῶν ἑρπετῶν τὰ δεινότατα, ὧν ἡ κακία τῶν εἰδωλικῶν δηγμάτων κουφότερον ἐμποιεῖν τὸν ὄλεθρον πέφυκεν,

vitam impensius affectamus. Cultus noster in recta religione versatur, nempe ut ne creatura adversus suum creatorem insurgat, nec veritatem detineat in iniustitia, neque imaginem incorruptibilis Dei in similitudinem imaginis hominis mortalis, et volucrum, quadrupedum, atque serpentium, commutet; sed contra in immutabilis scientiae finibus consistentes, differentiam novimus creaturae et creatoris: nempe hunc in tribus confitemur personis, Patre qui sine principio genuit; Filio genito item sine principio, deinde vero pro nobis homine facto; et demum Spiritu sancto, qui omnes vivificat et sanctificat; in una tamen substantia ac deitate, virtute ac potestate. Cetera omnia serva existimamus et subdita, quotquot visibilia atque invisibilia mente concipimus atque credimus. Iam quid de idolorum cultu sentiamus, paucis verbis absolvitur, nempe haec instar esse noxiorum atque exitialium pharmacorum, serpentiumque saevissimorum, quorum tamen ma-

εἴπερ ἡ μὲν μέχρι σωμάτων ἵσταται καὶ τῆς ῥεούσης ὕλης, τὰ δὲ πρὸς τοῖς σώμασιν καὶ ψυχὰς αὐτὰς πυρπολεῖ, σπαράττοντά τε καὶ κατεσθίοντα, πικρότερόν τε καὶ βιαιότερον.

ι. Συμβέβηκε δὲ τούτων ἐπακούσαντας τῶν λόγων τοὺς δυσμενεῖς, καὶ προκύπτουσαν ἤδη τὴν ὀργὴν χαλινώσαντας, ὡς ἂν μὴ ταχέως παθοκρατούμενοι φαίνοντο· ἀλλ' ἐφ' ὅτῳ, φάναι, τὰ σαρκὸς ἀφέντες γνωρίσματα, καὶ τὴν ἐπὶ γῆς πολιτείαν καὶ δίαιταν, δι' ὧν φανεροὺς ἑαυτοὺς καταστήσαιτε, μετεωρολέσχαι γεγόνατε, ξένοις ἡμᾶς καὶ ἀήθεσι λόγοις μορμολυττόμενοι; περὶ γὰρ ὧν θρησκεύειν ὡμολογήσατε, καὶ ὧν ἐξυβρίσατε θρασέως οὕτω καὶ τολμηρῶς, εἰς αὖθις διασκεψόμεθα· μηδὲ γὰρ τοσαύτην ἡμᾶς περιόψεσθαι ῥημάτων ἀδολεσχίαν καὶ τερατείαν οἰηθείητε ἄν. Καὶ ποῖον ἄν, φῆσαι τοὺς ἀθλητάς, ὧν προειρήκαμεν γνώρισμα μεῖζον τε καὶ περιφανέστερον πρὸς τὸ δειχθῆναι τοῖς ἀγνοοῦσιν, οἵτινες ὄντες ἡμεῖς ἀφοριστικοῖς χαρακτῆρσι τῶν ἄλλων διενηνόχαμεν; κατὰ μὲν γὰρ τὸν χοῦν καὶ τὴν τῆς ὕλης παχύτητα

ligni morsus levius quam ipsa idola nocent, quandoquidem illi corporum et fragilis materiae tenus, haec autem corpora simul animasque afflant, ac maiore saevitia violentiaque discerpunt.

10. Porro dum haec audirent rabidi hostes, erumpentem nihilominus iram cohibentes, ne tam subito commoti viderentur; et curnam, aiebant, vos humanitatis atque huius vitae conversationis cura omissa, quae vos in praeclaro statu componeret, de rebus caelestibus fabulamini, vana et inaudita verba quasi magice apud nos iactantes? Nam de vestro quidem cultu, et de nostro cui adeo audacter acerbeque convicium facitis, paulo post dispiciemus: neque enim existimetis, nos tantam verborum futilitatem ac paene portentum aequis animis laturos. Ecquaenam vero, responderunt martyres, praeter ea quae diximus nota maior est atque evidentior, ad demonstrandum ignaris, quibus nos singularibus characteribus

τε καὶ σύμπηξιν, κατ' οὐδὲν ὑμῶν διαλλάττομεν, ἔν τε μορφαῖς ταῖς αὐταῖς καὶ σχήμασιν ὁμοίως ὅσον εἰς τὸ κοινὸν εἶδος ἥκει τῆς φύσεως καθορώμενοι, καὶ ὄγκῳ καὶ μεγέθει καὶ πηλικότητι, καὶ τοῖς αὐτοῖς ὀνόμασιν ἐπισημαινόμενοι· προσέτι καὶ γενέσει καὶ φθορᾷ τὸν βίον ὡς οὕτως ὑμῖν διαμείβοντες· τοῖς δέ γε τῆς ψυχῆς ἰδιώμασι, τῆς πρὸς ὑμᾶς ἐπιμιξίας μεγάλῳ χάσματι διειργόμεθα, μήτε τρόπων καὶ ἠθῶν ὁμοιότητι, μηδ' αὖ κινήσεων καὶ ὁρμῶν ἢ προαιρέσεων ταυτότητι συμφερόμενοι· ὅθεν εἰ γηΐνοις γνωρίσμασιν ἑαυτοὺς ἐμφαίνειν ὑμῖν ἐπειρώμεθα, πρόδηλον ὡς ἐν τῷ κοινῷ τὸ ἰδιάζον παρεκαλύπτομεν· ἐπειδὴ δὲ καθαρὸν καὶ οὐ συγκεχυμένον τὸ τῶν γνωρισμάτων εἶδος ὑμῖν ποιεῖσθαι διενοήθημεν, καὶ τὸ κρυπτὸν καὶ μὴ πρόχειρον τῆς καθ' ἡμᾶς πολιτείας διαφωτίσαι, ὡς ἂν τρανὴν καὶ διακεκριμένην τὴν περὶ ἡμῶν διάγνωσιν κατοπτεύσοιτε, οὐκ ἂν ἑτέρως ἐδείχθημεν ἢ οὕτως ἐπαληθεύοντες, τὴν τῶν ἐν οἷς ζῶμεν καὶ

ab aliis mortalibus differamus? Nam quod adtinet ad luteam materiam densamque atque compositam, nihil a vobis differimus, atque ipsa figura habituque similem omnino et communem speciem exhibemus, uti etiam pari mole, magnitudine et qualitate ac nominibus denotamur. Sic denique aeque ac vos nativitatem ac mortem vita nostra sortitur. Sed enim ad animam quod spectat grandi prorsus intervallo a vobis distamus; quippe qui neque vitae aut morum similitudine, neque motuum aut studiorum aut voluntatum ratione pares sumus. Constat ergo quod si terrenis notis nosmet vobis demonstrare vellemus, re communi propriam obnuberemus. Nunc quia puram vobis minimeque fucatam vitae nostrae speciem exhibere voluimus, quodque latet minimeque in propatulo est politiae nostrae in lucem proferre, ut liquidam defaecatamque cognitionem nostri habeatis, haud aliter id agendum erat quam genuinis veritatis coloribus, eorum quae in vita agimus

κινούμεθα καὶ ἐσμέν, γυμνὴν ὑμῖν εἰκόνα διαχαράξαντες· ἄλλως καὶ ὑμεῖς οὐκ ἂν ἀρνηθείητε τὴν ψυχὴν τῷ χείρονι συνδεδεμένην, ἡγεμονεύειν τε καὶ κρατεῖν καὶ φύσεως ὑπεροχῇ φέρειν τε καὶ ἄγειν τὸ ὑποχείριον, ἕως ἂν αὐτῆς σώζηται τὸ ἀξίωμα· ὡς εἴ τις μὴ τοῖς τοῦ κυριωτέρου μέρους σημάντροις ἐγκαλλωπίζεται, μικροπρεπῶς δὲ ὡς ἐπί τισι μεγίστοις μεγαλαυχεῖται τοῖς τῆς σαρκὸς προκαλύμμασι, ἔοικεν φαύλῃ τινὶ ψήφῳ τῷ χείρονι προστιθέμενος, καὶ τὴν κτίσιν τοῦ καλοῦ παραιρούμενος· γνῶτε τοίνυν ὡς οὐκ εἰκῇ τε καὶ παραλόγως οὐδὲ σεσοφισμένως καὶ σκολιῶς, καιρίως δὲ μᾶλλον τῶν προσόντων ἡμῖν τοὺς χαρακτῆρας ἐν ταῖς ὑμετέραις διανοίαις ἀπετυπώσαμεν· ἀλλ' εἰ δοκεῖ λοιπὸν περὶ τῆς θρησκείας ὡς ἤδη περ ἠπειλήσατε, ποιήσασθε τὴν ἐξέτασιν, ὡς ἡμεῖς ἕτοιμοι παντὶ τῷ ἐρωτῶντι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος ἀπολογεῖσθαι.

ια. Τοὺς δὲ πρὸς ταῦτα εἰπεῖν, ὡς εὖ γε ὑμῖν μὴ παρ-

ac molimur, et quinam simus, imaginem vobis depingendo. Iam et vos ipsi nequaquam negabitis animam deteriori corpori illigatam, tamen huic dominari ac moderari, ac suae naturae praestantia subiectam sibi materiam pro suo libito regere, quamdiu certe dignitatem suam conservat. Si quis igitur non tam praecipuae partis ornamentis gloriatur, quam obscuro carnis velo ceu re magna misere delectatur, hic videtur stulto suffragio quod deterius est eligere, et rem creatam honestati anteferre. Quamobrem vobis persuasum volumus, nos neque temere, neque absurde, neque malitiose aut fraudulenter, sed tempestive admodum nostrae vitae rationem mentibus vestris quasi typo impressisse. Reliquum est, ut de religione nostra, prout minati estis, quaestionem adgrediamini; etenim nos parati sumus cuivis interroganti de spe nostra rationem reddere.

11. Ad haec iudices respondebant: recte vos ea in pretio

ἔργως θεμένοις τὰ περὶ ὧν καὶ ἡμῖν λίαν ἐπιμελῶς διεσπούδασται· ἀλλὰ τίς ὁ λόγος ὑμῖν τῆς περὶ τὴν θρησκείαν νεωτεροποιΐας καὶ τῆς τῶν δογμάτων καινότητος; ξενίζοντα γάρ τινα εἰσφέρετε εἰς τὰς ἀκοὰς ἡμῶν τὴν προγονικὴν δόξαν τῶν θεῶν παρωθούμενοι, χρόνῳ καὶ ἔθει καὶ νόμῳ κραταιωθεῖσαν· ὑφ' ὧν καὶ τόδε τὸ πᾶν ἐξ ἀσυμφώνων καὶ ἀντιθέτων μερῶν συνδεῖται, καὶ συγκέκραται νόμῳ φιλίας καὶ τάξεως πρὸς μίαν ἁρμονίαν καὶ σύμπνοιαν, καὶ τῆς ἡμετέρας ζωῆς διαμονὴν καὶ ἀσφάλειαν· ἢ δι' ὅν τινα λόγον τοσαύτην ἀφθονίαν καταλελοιπότες θεῶν, τρισὶ καὶ μόνοις καὶ ταῦτα ἀγνώτοις θεοῖς συνεκλείσθητε, καινῶς ὑφ' ὑμῶν ἀνα-
Iliad. γ 363. πλασθεῖσι καὶ συντεθεῖσιν; εἰ δὲ καὶ τριάδα παρ' Ὁμήρου λέγειν ὑμῖν ἐξεγένετο, κατὰ τὸ, τριχθὰ δὲ πάντα δέδασται, ἀλλ' οὐ διατέμνειν τὴν ποίησιν χρὴ, καὶ τὸ μὲν αὐτῆς ἐξανθίζεσθαι, τὸ δὲ τελείως ἀποῤῥίπτειν· εἰ γὰρ καὶ τοῖς ἡγεμονικωτέροις καὶ οἱονεὶ κορυφαίοις ὥς τισι πρώταις αἰ-

habetis, quorum nos quoque magnopere curam gerimus: verumtamen cur recenter fictum religionis genus, atque hanc dogmatum novitatem invehitis! Nam peregrina quaedam nostris auribus obtruditis, avitam de Diis sententiam eiicientes, saeculis, moribus, legibusque iamdiu firmatam. A Diis enim universum hoc ex discordibus oppositisque partibus colligatur, ac lege veluti amicitiae et ordinis ad harmoniam consensumque compingitur, atque ad vitae nostrae conservationem et securitatem. Quanam porro ratione ducti, tanto numero Deorum omisso, tribus tantummodo et quidem ignotis Diis adhaeretis a vobis nuper confictis et fabricatis? Quod si trinitatem Homero auctore nominare vobis licet, iuxta illud, trifariam cuncta distincta sunt, haud idcirco oportet universum hoc secare, et eius quidem partem praelibare, reliquam prorsus abiicere. Etsi enim nonnullis principalibus et quasi coryphaeis, ceu quibusdam primis causis, mundi imperium

τίαις ὁ ποιητὴς τὰς τοῦ παντὸς ἀρχὰς ἀπεκλήρωσεν, οὐ μὴν τοὺς συνεπιμελητὰς ἀποκηρύττει θεούς, ἀλλὰ δι' ὅλης αὐτοῦ τῆς ποιήσεως καὶ κοινῇ διασκεπτομένους περὶ τῶν πρακτέων εἰσάγει, καὶ συνευωχουμένους, καὶ συνδιέποντας, καὶ προπολεμοῦντας καὶ συμμαχοῦντας, καὶ πάντα πράττοντας, δι' ὧν ἄν τίς αὐτοὺς θεοὺς μεγίστους ἡγήσοιτο, προνοίᾳ τὴν κτίσιν διακοσμοῦντας καὶ διατάττοντας· οὓς ἅπαντας ὁμοίως προσίεσθαι δεῖ, καὶ ταῖς τιμαῖς ἡμᾶς ἐκμειλίσσεσθαι· τῆς τοίνυν κατεχούσης πλάνης καθάπερ λύμης ἀπαλλαγέντες, μεταμάθετε, τὸ καλὸν φωτιζόμενοι τὴν διάνοιαν, καὶ πείθεσθε συμβουλεύουσιν· ἔτι γὰρ ὑμῶν φειδόμεθα, καὶ τῆς ἀνοίας οἰκτείρομεν· διὸ καὶ ἐπιεικέστερον πῶς ποιούμεθα τὸν διάλογον, τὸν ὄγκον τῆς ἀρχικῆς ἐξουσίας κατατιθέμενοι, καὶ παιδαγωγοῦ τρόπῳ παιδεύειν ὑμᾶς πρὸς τὸ συμφέρον ἐκβιαζόμενοι.

ιβ. Καὶ πῶς ἂν δειχθείητε, πρὸς ταῦτα τοὺς ἀθλητὰς ὑποκρίνασθαι, φιλότεκνοί τε καὶ ἀρχικοί, μὴ τοιούτοις ἡμᾶς

poëta attribuit, minime tamen reliquos Deos a rerum cura excludit; immo vero toto suo poëmate, et una de rebus agendis deliberantes inducit, et convivantes, simulque gubernantes, et in bello propugnantes, et opem ferentes, cunctaque agentes ob quae maximos esse Deos credere oportet, creatisque rebus providentia sua ac regimine consulentes; quos idcirco ambire necesse est, et oblatis honoribus propitios facere. Quapropter errorem vestrum, tamquam pestem quandam expellentes, dediscite, veri honestique lumine mentes vestras purgantes, nobisque suadentibus auscultate. Adhuc enim vobis parcimus, insaniae vestri miserti; ideoque et humaniter vobiscum confabulamur, deposito imperativae dignitatis tumore, et paedagogi ritu ad ea quae vobis sunt utilia compellimus.

12. Atqui, responderunt martyres, quî fieri potest ut benivolorum parentum ac magistratuum loco habeamini, nisi

λόγοις δαψιλῶς ἐκτρέφοντές τε καὶ ἐκπαιδεύοντες; οἵ γε περὶ τῶν μεγίστων οὕτω διανοεῖσθε λίαν μεγαλοπρεπῶς καὶ ἐνδόξως, ὡς παιδαγωγοῦ τινὸς ἀληθῶς δεῖσθαι μάστιξιν ἡμᾶς ἐπιστρέφοντος· καὶ τοῦτο δὲ ὡς χαρίεν ὑμῶν καὶ φιλάνθρωπον, ὅτι μὴ πρὸς ὀργὴν, πράως δὲ ἡμῖν διαλέγεσθε· ἐπεὶ δὲ τοῦτο οὑτωσὶ μέχρι παντὸς ἀκέραιον φυλάττοιτε τὴν ὑπόσχεσιν, καὶ οὐδέ τι πάθος ἐπιτηροσθεῖ, δεῦρο ἅμα συνεξετάσωμεν περὶ τῶν ἄγαν σπουδαιοτάτων τὲ καὶ καιρίων, ὥσπερ ἐν σταθμῷ τινὶ καὶ ζυγῷ, τοὺς λόγους ποιούμενοι· καὶ τὸ ῥέπον νικήσειεν, καὶ μετὰ τοῦ νικῶντος γενώμεθα· καὶ πρῶτον, εἰ δοκεῖ, περὶ τῆς κατὰ τὴν θρησκείαν ἀρχαιότητος διαλάβωμεν.

ιγ. Ὁ μὲν ἡμέτερος λόγος τὸν πρῶτον ἄνθρωπον παραδίδωσι τὴν περὶ τοῦ ὄντος δόξαν ἐκδιδαχθέντα θεόθεν θεολογικώτατον γενέσθαι καὶ γνωστικώτατον· τοῦτον ἐπιβουλῇ καὶ φθόνῳ τοῦ πονηροῦ τῆς ὑψηλῆς θεωρίας ἀπωλισθήσαντα, καὶ πρὸς τὸ γεῶδες ἀπονεύσαντα φρόνημα, πρὸς μὲν

dignis nos hoc nomine doctrinis imbuatis apprime atque erudiatis? Qui interim in re maxima, adeo de vobis magnifice et gloriose sentitis, ut vere tamquam a paedagogo nos oporteat a vobis emendari: benigneque et humaniter agere putatis, quod non iracunde sed mansuete nos alloquimini. Iam vero quoniam huc usque promissum hoc inviolatum servastis, neque ulla animi perturbatione movemini, age nunc simul dispiciamus de re gravissima et momenti maximi, tamquam in statera quadam sermonem librantes, quae ubivis inclinaverit victoriam pariet, nosque ipsi victorem sequemur. In primis igitur, si vobis placet, de religionis antiquitate tractemus.

13. Nostra igitur doctrina tradit, primum hominem, de Entis existentia divinitus edoctum, et summum theologum et sapientia plenum extitisse. Hunc tamen insidiis invidiaque diaboli a suae scientiae sublimitate depulsum, atque ad ter-

τὴν κατὰ νοῦν ἰσχνοτάτην τε καὶ εἰλικρινῆ ἐποψίαν ἀμβλυωπῆσαι, παχεῖαν δέ τινα νεφέλην αὐτοῦ τῆς τῶν καλῶν ἀμνημοσύνης κατασκιάσαι· καὶ οὕτως τὰς φωτοειδεῖς ὄψεις ἀποβαλόντα, τῆς ἐν παραδείσῳ λαμπρᾶς ἐξωσθῆναι διατριβῆς· ἐντεῦθεν τοῖς ἐκγόνοις ἀμυδρότερόν τε καὶ ἀδιάκριτον τὸ φῶς τῆς θεολογικῆς ἀκτῖνος, ὡς διά τινος κλειθρίας ἐπηύγασεν· Ἀβραὰμ δὲ καλούμενον οὕτω τὸν ἡμέτερον πρόγονον σοφίας ἔρωτι διαπρέποντα, καὶ πολλῇ μὲν τῇ ζητήσει, πλείονι δὲ τῇ πίστει κατὰ τὸ ἐφικτὸν ἐν περιλήψει τῶν τελεωτέρων γενόμενον, καὶ τοὺς περὶ τῆς τριάδος καὶ τῆς σεπτῆς ἡμῶν θρησκείας μυηθῆναι λόγους σαφέστερόν τε καὶ διαυγέστερον· ᾧ τῇ συνέσει πρὸς τὸ μεῖζον προκόπτοντι, καὶ φιλοπονώτερον περὶ τὴν τῶν θείων ἔρευναν ἐγκειμένῳ, καὶ τῆς κατὰ τὸν ἕνα τῆς αὐτῆς τριάδος θεὸν λόγον χρόνοις ὕστερον γενομένης οἰκονομίας τὸ παράδοξον συμβολικῶς προυπεδείχθη μυστήριον· μεθ' ὃν Μωϋσῆς θεοπτίας ἀξιωθεὶς,

renas cogitationes deiectum, mentis acumen subtilissimum et purissimum sensisse hebetatum, crassam vero quandam nebulam sibi circumpositam quae honesti oblivionem induceret: atque ita claro lumine amisso, de splendido paradisi habitaculo fuisse eiectum. Ex eo tempore nepotibus quidem nonnisi subobscuram et indistinctam theologici radii lucem, tamquam per transennam, splendescere solitam. Ceteroqui Abrahamum progenitorem nostrum, sapientiae amore praestantem, multa quidem meditatione ac maiore fide, quantum licuit, sublimiorum rerum notitiam comprehendisse, atque ipsis Trinitatis sanctique nostri cultus mysteriis manifestius et clarius fuisse initiatum: cui demum intellectu suo ad maiora tendenti, et res divinas studiosius laboriosiusque scrutanti, mysterium quoque unius de Trinitate personae, Dei scilicet Verbi posterioribus saeculis incarnati, symbolice praeostensum est. Post illum Moyses ad Dei visionem dignanter admissus, a

καὶ νόμους ἐν γράμμασιν εἰληφὼς, τῷ λαῷ τὴν περὶ τοῦ ὄντος γνῶσιν ἐξήστραψεν ἐκτυπώτερον, ἀφ᾽ οὗ καὶ ἡ ἔλλαμψις κατὰ βραχὺ πρὸς τὸ μεῖζον ὁδοποιουμένη προέβαινεν· μέχρις ἂν ἡμῖν ὁ τοῦ πατρὸς υἱὸς ὁμιλήσας διὰ σαρκὸς, τὴν ἐπὶ γῆς σωτηρίαν εἰργάσατο· παρ᾽ οὗ τὸ ἐντελὲς τῆς ἀκριβοῦς κατέχομεν πίστεως, οὐκέτι μὲν ἐν σκιαῖς καὶ ἰνδάλμασιν, ἀνακεκαλυμμένῳ δὲ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι· οὕτως οὖν ἡμῖν προκατήγγελτο τῆς ἀληθείας τὸ κήρυγμα χρόνου πρεσβείοις τῶν μυθικῶν ὑμῶν δοξῶν ὑπερκείμενον· εἴπερ Ἀβραὰμ μὲν κατὰ τοὺς Νίνου χρόνους διέλαμπεν· καὶ Μωϋσῆς κατὰ τὴν Σικυωνίων ἀρχὴν ἡγεμονεύοντος Ὀρθοπόλιδος, ὃς τοῦ λεγομένου διφυοῦς προήκμαζε Κέκροπος· ὁ δὲ καθ᾽ ὑμᾶς πάντων πατὴρ ἀνδρῶν τε θεῶν τε Ζεὺς ὑπ᾽ αὐτοῦ Κέκροπος ἐδημιουργήθη θεὸς (1)· ἐξ ἐκείνου τε λοιπὸν ἐφ᾽ ἑξῆς αἱ τῶν ἄλλων ὑμῖν θεῶν ἀγέλαι συνέστησαν· καὶ τά τε ἐν Ἰλίῳ κακὰ, καὶ ἡ τῆς ὁμηρικῆς ποιήσεως διέκυψε πήρωσις· λίθοι τε καὶ ξύλα θεοὶ πλουσίως διεμορφώ-

quo scriptam legem accepit, Entis notitiam populo expressius impertitus est; exinque id lumen paulatim dimanans crevit, donec Patris filius nobiscum in carne versans salutem in terris patravit; a quo fidei accuratae perfectionem habemus, ita ut haud iam in umbris atque imaginibus, sed revelata facie gloriam Domini speculemur. Sic igitur nobis praenunciata fuit veritatis doctrina, quae temporis vetustate mythicas vestras opiniones superat. Etenim Abrahamus circa Nini tempora inclaruit; Moyses autem regnante apud Sicyonios Orthopolide, qui ante Cecropem dyphyem extitit. Vester autem ille hominum Deorumque pater Iupiter ab ipso Cecrope factus est Deus; ex eoque deinceps reliquus vobis Deorum grex propagatus fuit; atque Ilii calamitates, et homericae poëseos caecitas or-

(1) Haec omnino consonant cum secundo libro chronici eusebiani, cuius vide editionem nostram vel mediolanensem vel romanam.

θησαν πρὸς πᾶσαν ἐξεικασθέντα τῶν δημιουργησάντων ἐπίνοιάν τε καὶ βούλησιν· τί οὖν μὴ τῇ ἀπλανεῖ καὶ χρόνῳ προκεκηρυγμένῃ πίστει προστίθεσθε, τὴν κτηνώδη δόξαν κατατιθέμενοι, καὶ τοῖς ὁμολογουμένοις προσέχοντες;

ιδ. Καὶ πόθεν, ἔφησαν οἱ δικάζοντες, τὰς περὶ τῶν εἰρημένων ἀποδείξεις παρέξετε; τοῦτο μὲν ἐκ τῶν ἱερῶν ἡμῶν βίβλων, εἶπον οἱ ἀθληταὶ, τοῦτο δὲ καὶ ἐκ πολλῶν τῶν καθ᾽ ὑμᾶς ἱστορικῶν τὲ καὶ συγγραφέων καὶ φιλοσόφων πρὸς τὸ ἀληθὲς συνιστάμεθα· Εὐπόλεμός τε γὰρ καὶ Ἀρταπάνος, πρὸς δὲ καὶ Δημήτριος καὶ Πορφύριος, καὶ ἕτεροι πλεῖστοι, οὓς διὰ τὸ πλῆθος παρήκαμεν, τῇ Μωϋσέως ἐν χρόνοις προσεμαρτύρησαν ἀρχαιότητι (1)· μὴ οὖν κατ᾽ εἰκόνα κτισθέντες θεοῦ, καὶ τῷ τοῦ αὐτεξουσίου δώρῳ φιλοτιμούμενοι πρὸς ἀλογίαν ἐκπίπτωμεν, καὶ δίκην συῶν συστρεφόμενοι, τὴν μὲν τῶν καθαρῶν ναμάτων χάριν ἀποσειώμεθα, βορβόρῳ δὲ καὶ

tum habuerunt; lapidesque et ligna affatim in Deos transformata sunt, et speciem quamlibet pro artificum ingenio et voluntate induerunt. Quid ni igitur constanti et temporum auctoritate subnixae religioni nomina vestra datis, et beluinis sepositis opinionibus, evidentem veritatem amplectimini?

14. Undenam vero, dixerunt iudices, dictorum vestrorum deprometis demonstrationes? Partim quidem, responderunt martyres, ex sacris apud nos libris, partim etiam ex multis de vestro numero historicis, scriptoribus, atque philosophis, rei veritatem possumus confirmare. Eupolemus enim et Artabanus, Demetrius atque Porphyrius, aliique plurimi, quos ob nimiam multitudinem praetermittimus, Moysis antiquitati testimonium dant. Ne igitur, ad imaginem Dei creati, et liberi arbitrii dono exornati, ad irrationalem mentem declinemus, neque more porcorum conversi, purorum fontium gratiam vitemus, in luto autem et materiali errore volutemur,

(1) Apud Eusebium praep. evang. IX. 26. 27. 29. et X. 11.

ἰλύϊ πλάνης ἐγκαλινδούμεθα, τὸ βέλτιον οὐχ αἱρούμενοι· καὶ γὰρ αἰσχρὸν ἀληθῶς καὶ λίαν ἄτοπον καὶ ἀνόητον, τὴν ἔννουν φύσιν καὶ ἔμψυχον, λόγῳ τε τιμηθεῖσαν, καὶ ἀρετῶν τοσούτοις πλεονεκτήμασι, χαλκῷ καὶ λίθοις τὰς ἐλπίδας τῆς ζωῆς ἐπιτρίβειν, καὶ πρὸς τὴν πεπατημένην καὶ δούλην ὕλην ἀποπετροῦσθαι ταῖς ἀναισθήτοις τῆς διανοίας ὁρμαῖς.

ιε. « (1) Εἶτα οἴεσθε γάρ, ὦ οὗτοι, ἔφησαν οἱ δικάζοντες, ὡς ἐν χαλκῷ καὶ λίθοις τὴν σωτηρίαν ποιούμεθα, » οὐχὶ δὲ πρός τινα δύναμιν προνοητικήν τε καὶ συνεκτικὴν » ἀποβλέπωμεν, παρ' ἧς τὰ κάλλιστα ἡμῖν περιγίνεται; » Καὶ πῶς πλάσται καὶ λιθουργοὶ, οἱ μάρτυρες ἔφησαν, » ἀγαλμάτων πλῆθος κατασκευάζουσι, ποικίλαις μορφαῖς

deteriora secuti. Turpe enim revera est et valde absurdum atque fatuum, naturam mente et anima praeditam, rationis munere ornatam, totque virtutum privilegiis abundantem, in aere et lignis spem suae vitae fundare, et cum calcata pedibus servaque materia quodammodo lapidem fieri per mentis suae impetus brutos.

15. « Ergone vos, dixerunt iudices, existimatis nos ab aere » et lignis salutem expectare, et non potius ad providam » quandam et quae cuncta continet vim spectare, a qua optima quaeque nobis proveniunt? Cur itaque, responderunt » martyres, plastae ac statuarii signorum multitudinem elaborant, variis figuris conformatorum, eaque in fanis con-

(1) Totus subsequens tractus a nobis virgulis distinctus, extat citatus in Concilio II. nicaeno, anno DCC.LXXXVII. celebrato, act. V. ed. Labbei T. VII. p. 373. his verbis: Κωνσταντίνου διάκονου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως εἰς πάντας τοὺς ἁγίους μάρτυρας, οὗ ἡ ἀρχή· αἱ μὲν Χριστοῦ πανηγύρεις. Εἶτα οἴεσθε, ὦ οὗτοι, ἔφησαν οἱ δικάζοντες, ὡς ἐν χαλκῷ καὶ λίθοις τὴν σωτηρίαν ποιούμεθα etc. Ergo scriptor, cuius saeculo octavo citatur a generali synodo auctoritas, saeculo saltem uno vel fortasse duobus antiquior credendus est. Igitur saeculi sexti vel septimi scriptum edimus, non genuinum tantummodo, sed eximio testimonio munitum.

» διασχηματίζοντες, καὶ τοῖς ναοῖς προσηλοῦσιν; ὑμεῖς δὲ » θυσίαις ταῦτα γεραίρετε, τὴν τῶν ἀπόρων λύσιν παρ' αὐ- » τῶν ἐξαιτούμενοι; τί δὲ καὶ παρ' ὑμῖν οἱ τύραννοι διεξῆλ- » θον; ὃ φατὲ θεῖον, ἐν εἰκόσιν οὐκ ἐγχαράττεται; πῶς » οὖν ἡμῖν διαλοιδορεῖσθε δεισιδαιμονέστερον, ἐφ' ὁμοίαις » πράξεσιν διακείμενοι; οὐκοῦν ἐπείπερ ἡμῖν, ὦ δικασταὶ, » τοῖς εὐεξελέγκτοις ψόγοις τὴν τῶν εἰκόνων γραφὴν παραρ- » τύετε, φέρε τῆς περὶ τοῦτο πλάνης καὶ ἀμφιβολίας ὑμᾶς » ἀπαλλάξωμεν.

» ις. Οὐ γὰρ τὸ θεῖον ἁπλοῦν ὑπάρχον καὶ ἄληπτον » μορφαῖς τισὶ καὶ σχήμασιν ἀπεικάζομεν, οὔτε κηρῷ καὶ » ξύλοις τὴν ὑπερούσιον καὶ προάναρχον οὐσίαν τιμᾶν ἡμεῖς » διεγνώκαμεν· ἀλλ' ἐπὶ τοῦ πρώτου καταπαλαισθέντος ἀν- » θρώπου διὰ τῆς παραβάσεως καὶ τῆς καθελούσης ἀποστα- » τικῆς θρασυνομένης δυνάμεως, ἡ φύσις ἐδεῖτο τοῦ ἀνα- » στήσοντος· οὐ γὰρ οἵα τε ἦν ἐξ ἑαυτῆς κάτω κειμένη τὴν » ἧτταν ἀναπλάσαι τε καὶ ἀνακαλέσασθαι, τοῦ ἐχθροῦ τῷ

» stituunt? Vos autem cur eadem sacrificiis colitis, atque ab » iis dubiorum solutionem postulatis? Quid autem tyranni » vestri persequuntur? Deitas, quam dicitis, nonne imagini- » bus exprimitur? Cur ergo nobis tam acerbe conviciamini, » qui in iisdem actibus versamini? Quia igitur nobis, o iu- » dices, criminationibus facile refutandis, de imaginibus ac- » cusationem infertis, age ab hoc quoque errore et ambigui- » tate vos eripiamus.

» 16. Nos deitatem, quae simplex est et incomprehensibi- » lis, nequaquam certis formis aut figuris expressam volu- » mus, neque cera aut lignis supersubstantialem et sine initio » substantiam honorandam censemus; sed quia primo homini » ab apostatica audacique potentia per suum lapsum devicto, » opus erat adiutore qui erigeret (neque enim iacens natura » per se ipsa reformare semet poterat atque instaurare, ini-

» πτώματι ἐπεμβαίνοντος· οὔτε μὲν εἰκὸς ὑπῆρχεν μὴ ἐπὶ
» δευτέροις παλαίσμασι τῆς νίκης τὸν τύραννον ἐκτεινάξα-
» σθαι· αὐτὸς ὁ δημιουργὸς τοῦ οἰκείου ποιήματος, ὁ τῆς
» τριάδος εἷς, ὁ Θεὸς λόγος, ὥσπερ οὐ τῇ πλάσει πάλαι
» τῆς φύσεως ὑπουργόν τινα παρεστήσατο, οὕτως οὐδὲ νῦν
» τὴν εἰκόνα φθαρεῖσαν ἀνανεούμενος, ἄλλῳ τὴν ἀνάκτησιν
» ἐνεχείρισεν, ἀλλ' αὐτουργῷ δυνάμει χρησάμενος, τοὺς ὑπὲρ
» ἡμῶν ἀγῶνας ἀνθρωπικῶς ἀνεδέξατο· τοῦτο γὰρ ἦν πως
» οἰκεῖον Θεῷ καταλλήλως τῷ ἀγωνίσματι διαπράξασθαι·
» ἐπειδὴ δὲ πᾶς ὁ ἀγωνιζόμενος τρισὶ τρόποις ἢ ἑνί γε τού-
» των ὑπερμάχεται τὸν ἀντίπαλον, ἢ γὰρ ἀπάτῃ, ἢ νόμῳ,
» ἢ τυραννίδι, τοὺς μὲν δύο παντελῶς ἐπαφεὶς ὡς ἀχρή-
» στους καὶ οὐκ οἰκείους, οὔτε μὲν τοῖς δι' οὓς ὁ ἀγὼν λυ-
» σιτελεῖς τε καὶ ὠφελίμους ὁ ἡμέτερος πρόμαχος, ἥ τε γὰρ
» ἀπάτη διεψευσμένην ἔχει τὴν νίκην φαύλως τὸν ἀνταγω-
» νιστὴν ἀνατρέπουσα, ἥ τε τυραννὶς παραλόγῳ βίᾳ κρα-
» τεῖ, μὴ ἐξ ἴσου ποιουμένη τὴν συμπλοκήν· τὸν δὲ λοιπὸν

» mico suo sibi incumbente, cuius tyrannidem nonnisi se-
» cundo certamine depelli aequum erat) ipse creator, unus
» de Trinitate Deus Verbum, sicuti olim creaturae plasmati
» conficiendo nullum adiutorem habuerat; ita ne nunc qui-
» dem cum corruptam imaginem instauraturus erat, cuivis
» alii hanc reparationem commisit, sed sua potentia operante
» usus, certamen pro nobis in humana forma suscepit. Hoc
» enim conveniens quodammodo erat Deo, ut certamen ex
» aequo cum hoste patraret. Quoniam vero omnis certator
» tribus modis, aut uno ex his vincere solet adversarium,
» vel fraude scilicet vel lege vel tyrannide; propugnator nos-
» ter primo quidem postremoque prorsus omissis, utpote ine-
» ptis nec sibi idoneis, nec illis ipsis pro quibus agon fiebat
» utilibus aut proficuis (nam et fraus falsam victoriam parit,
» dum improbo modo adversarium superat; tyrannis autem

» ἐγκρίνας τῶν τρόπων, ἐπὶ τὴν κατὰ νόμον πάλην ἐχώρησε·
» καὶ σάρκα λαβὼν ἐκ τοῦ πεσόντος φυράματος, ἐψυχωμέ-
» νην ψυχῇ λογικῇ τὲ καὶ νοερᾷ, μείνας ὅπερ ἦν, καὶ τῶν
» ἑαυτοῦ μὴ ἐκστὰς, πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας,
» ὅσα καὶ ἐξ ὧν περ ὁ ἄνθρωπος· καὶ μήτε δοκήσει τὸ σὰρξ
» φανῆναι σχηματισάμενος » (1), μήτε γυμνῇ τῇ θεότητι
συμμίξας τῷ πονηρῷ· τὸ μὲν γὰρ ἀπατηλόν τε καὶ ἄτολμον, τὸ δὲ τυραννικόν τε καὶ βίαιον· οὐκ ἄλλως ἢ τῇ ἡττημένῃ φύσει δικαιοσύνης περιουσίᾳ, τὸν ἀπάτῃ καθελόντα διεχειρίσατο, πρότερον διὰ πασῶν τῶν ἀνθρωπίνων ἐκτὸς ἁμαρτίας παθῶν, ὧν ἡ κακία μήτηρ ἐγένετο, νόμῳ φύσεως ὁδεύσας ὑπερφυῶς, πείνης φαμὲν καὶ δίψης, κόπων τὲ, καὶ δακρύων, καὶ ἱδρώτων, καὶ ἀγωνίας, καὶ μώλωπων, καὶ φθορᾶς, καὶ θανάτου· ὡς ἂν ἐν αὐτῷ προσπίπτοντα ταχέως

» irrationali vi vincit, dum sine aequitate luctam init) reli-
» quum modum praeoptans, certamen legitimo iure patran-
» dum delegit; sumensque de lapsa natura carnem, rationali
» et intelligente anima praeditam, manens quod erat, et nihil
» proprium amittens, omnia in se recepit, excepto peccato,
» quae hominis naturam constituunt; neque phantastice in
» carne apparuit » neque simplici cum divinitate diabolum expugnavit (illud enim dolosum fuisset et quasi timidum, hoc vero tyrannicum et violentum) haud aliter quam lapsa natura indutus, summo iustitiae iure eum qui dolo vicerat vicit, primo quidem per omnes, absque peccato, humanas passiones, quarum mater malitia est, naturali lege incedens supernaturaliter, per famen dico, et per sitim, per labores, lacrimas, sudores, agoniam, et vulnera, fragilitatem denique corporis atque obitum; nempe ut haec in se incidentia cito destrueret, veluti arte fusoria omne supervacuum et spurium

(1) Abhinc usque ad ἐπιστώσατο omittuntur reliqua in synodo, interposita admonitione καὶ μετ᾽ ὀλίγα, *et post pauca*. Tum sequitur ut infra p. 124. τοῦτον τοιγαροῦν etc.

ἐξαφανίζοιτο, καθάπερ ἐν χωνείᾳ πᾶν τὸ περιττὸν καὶ μὴ δόκιμον, καὶ τὸ γένος ῥύπου παντὸς ἐκκαθαίροιτο, καὶ μένοι ὅπερ ἦν πρὸ τοῦ πτώματος· ἐπὶ πᾶσιν ἐκ τῶν νεκρῶν ἀναστὰς καὶ εἰς οὐρανοὺς ἀνελθὼν, αὖθις τὲ κριτὴς ἥξειν ἐπαγγειλάμενος, τὸ ἀσφαλὲς τῆς τῶν σωμάτων ἐγέρσεως, καὶ τῆς κατὰ τὴν φύσιν διηνεκοῦς ἀφθαρσίας ἐντεῦθεν ἡμῖν ἐπιστώσατο. (1) « Τοῦτον τοιγαροῦν ἐν ᾗ παρεδείχθη μορφῇ καὶ » τοῖς ἀνθρώποις συνανεστράφη, τοῖς πίναξιν ἐπιγράφομεν, » ὑπόμνησιν τῆς δι' αὐτοῦ σωτηρίας τὸν θεῖον τύπον ποιού- » μενοι· καὶ οὐ καθ' ὑμᾶς ποικίλας εἰδέας παράγοντες, καὶ » σχήματα κατὰ τὸ δοκοῦν διαγλύφοντες· » ὁ μὲν γὰρ ὑπηνήτης ὑμῖν θεὸς, ὁ δὲ θηλύμορφος, καὶ ἡμίανδρος· καὶ ὁ μὲν παρηβηκὼς καὶ τὴν ὥραν ἀπολιπὼν, ὁ δὲ τὴν ὄψιν φέρων ἀκμάζουσαν· καὶ ὅλως πολυειδεῖς καὶ διάφοροι τῶν θεῶν ὑμῖν εἰκόνες ἐπινενόηνται· πόθεν τοίνυν λαβόντες οὕτω τοιαῦτα γράφειν ἐδοκιμάσατε;

excoquitur, et hominum generi omnem maculam abstergeret, atque in eum, quem ante casum habuit, statum restitueret. Postremo ex mortuis resurgens et in caelum conscendens, denuo se iudicem venturum denuntians, certam corporum resurrectionem, et perpetuam eiusdem naturae imputribilitatem hinc nobis effecit. « Hunc itaque secundum illam in qua ap- » paruit formam, et in qua cum hominibus versatus est, nos » imaginibus repraesentamus, memoriam patratae ab eo sa- » lutis hoc divino typo refricantes; non autem, ut vos faci- » tis, varias formas oculis obtrudentes, figurasve pro libito » confingentes. » Apud vos enim alius est barbatus Deus, alius femineus, alius hermaphroditus, alius iam provectus et iuventutem praetergressus, alius aspectu adhuc florenti: atque ut summatim dicamus, multiformes ac diversae a vobis Deo-

(1) Sequens particula recitata fuit pariter in conc. nicaeno II. loc. cit. ut diximus

ιζ. Ἀλλ᾽ εἰ καὶ τὰς μορφὰς τῶν θεῶν, ἔφησαν οἱ δικάζοντες, διαφόρους εἶναι συμβέβηκε, κατὰ τὴν τῶν εἰκόνων παράδειξιν, ἀλλά τις λόγος ἡμῖν θειότερος παραδίδοται πρός τινα θεωρίαν ἀκραιφνῆ τε καὶ ὑψηλὴν ἀναβιβάζων ἡμῶν τὴν διάνοιαν, καὶ συνάγων πρὸς τὸ ἀρχέτυπον, καὶ οὐκ ἐῶν πρὸς τὸ τῆς ὕλης εὐτελές τε καὶ μεριστὸν κατάγεσθαι καὶ διασκεδάννυσθαι, ἢ τοῖς τῶν χρωμάτων ἐναπομένειν ποικίλμασιν· ὧν ἐξηγεῖσθαι ὑμῖν ἀμυήτοις οὖσιν καὶ ἀλλοτρίοις, οὐκ εὐαγὲς οὐδὲ ὅσιον· ἀλλ᾽ εἰ μύσται καὶ θιασῶται τῶν ἡμετέρων γενέσθαι προθυμηθείητε, πᾶν ἐμφανίζομεν ὑμῖν, οὐκ ἀποκρυπτόμενοι τὸ ἀπόῤῥητον· περὶ γάρ, τοῦτον μὲν πρεσβύτερον, τὸν δὲ νεώτερον ἐμφαίνειν θεόν, τοῦτο καὶ ὑμῖν συνδοκεῖ, πατέρα καὶ υἱὸν ὀνομάζουσι· πρόδηλον γὰρ ὡς ὁ γεννῶν τοῦ γεννήματος προεπινοεῖται καὶ προϋπεστιν.

ιη. Ἔστω ταῦτα, ἔφησαν οἱ ἀθληταί, καὶ καθ᾽ ὑμᾶς οἱ ἀνθρωποειδεῖς θεοὶ ἐν ὑπονοίαις καὶ τροπαῖς ἀναγέσθω-

rum imagines excogitatae fuerunt. Undenam porro has ita esse pingendas didicistis?

17. Etsi Deorum formae, responderunt iudices, variare in imaginum specie solent, attamen divinior quaedam nobis tradita doctrina est, quae ad veriorem sublimemque mentes nostras theoriam elevat, atque ad archetypum ducit, neque nos sinit ad materiae vilitatem trituramque deiici atque dispergi, aut colorum varietati inhaerere. Sed hanc doctrinam vobis pandere profanis et alienis neque fas neque pium est: verum si initiari et consortes fieri sacrorum nostrorum ausitis, cuncta vobis revelabimus, nihilque arcanum habebimus. Nam quod alium quidem seniorem, alium vero iuniorem effingimus, par vobis sententia est, qui patrem filiumque appellatis: constat enim, parentem et intelligi et esse ante suum natum.

18. Esto haec, dixerunt martyres, ut ex vestra quoque sententia Dii per tropum atque phantasiam humana figura

σαν, καὶ συμβολικῶς ἐθεάσθωσαν· πῶς δ' ἂν κυνοπρόσωπος ἀλληγορηθείη θεὸς, ἢ κεράσφορος, καὶ τραγοσκελὴς, καὶ μιξόθηρ, καὶ τὴν φύσιν ἀμφίβολος [1]; δέον μεγαλοπρεπεῖς καὶ τὰς κατ' αἴσθησιν περιλήψεις τῶν θειοτέρων ὑπάρχειν, εἴπερ μὴ μέλλοιμεν περὶ τὸ τῆς ἐλπίδος ἀκρότατον διασφάλλεσθαι· ἀσεβὲς γὰρ ὄντως, καὶ οὐ λογικῶν οἰκεῖον ἀνδρῶν, δι' αἰσχρῶν συμβόλων τὸ θεῖον χαρακτηρίζειν, καὶ κυνώδεις ἐμφάσεις ἐφαρμόζειν τῇ πρώτῃ φύσει καὶ κρείττονι, καὶ τῆς προνοίας καθυλακτεῖν· πρεσβύτερον δὲ θεὸν καὶ νεώτερον λέγειν παραιτητέον ἡμῖν· τῶν γὰρ ποιημάτων ταῦτα τῶν ἐν χρόνῳ· ἀνάρχῳ δὲ φύσει καὶ ἀϊδίῳ τούτων οὐδὲν μέτεστιν ὡς ὁ ἡμέτερος λόγος· ἐπέκεινα γὰρ τὸ θεῖον χρόνου παντὸς καὶ ἀρχῆς καὶ πάσης τῆς νοουμένης ἐν τοῖς κτίσμασιν ἰδιότητος, εἰ καὶ κλήσεσιν ἀνθρωπικαῖς οὐ καιρίως τοῦτο κατονομάζομεν, φύσεως ἀσθενείᾳ καὶ ταπεινότητι· οὔτε οὖν πα-

exhibeantur, et symbolice repraesententur. Verum enimvero cur cynocephalus fingitur Deus, et corniger, et paniscus, et semifer, et hermaphroditus, quum rerum divinarum ideas, etiam sensiles, oporteat esse dignitate plenas, nisi forte volumus in salutis speratae summa periclitari? Vere enim impium, et rationalium hominum minime proprium, turpibus symbolis Deum designare, et caninum aspectum primae meliorique naturae imponere, et adversus providentiam latrare. Tum vero seniorem ac iuniorem Deum dicere, detestabile nobis est; id enim temporalium creaturarum proprium. Naturae autem initio carenti et sempiternae nihil ad nostram rationem inest: quippe Deus supra omne tempus, principium, atque omnem quae intelligitur in creaturis proprietatem est, etiamsi humanis appellationibus hunc haud opportune aliquando nuncupamus, ob nostrae naturae infirmitatem. Neque igitur pater

(1) Similia fere dicuntur de singulis ethnicorum diis a martyre Chrysantho in actis eius a Varino et Armenio conscriptis, apud Surium ad diem 25: octobr. T. V. p. 1049-1050.

τὴρ υἱοῦ δίχα, οὔτε υἱὸς πατρὸς, ἐπινοηθήσεται κατὰ τοὺς πρέποντας λόγους καὶ ἀψευδεῖς, ὥσπερ οὐδὲ πῦρ λαμπηδόνος, οὐδ' ἥλιος ἀκτῖνος· ἵν' ὡς ἐν εἰκόνι βραχείᾳ καὶ πόῤῥω διεστηκυίῃ κατὰ τὸ ἐγχωροῦν τὰ ὑπὲρ ἔννοιαν κατοπτεύσωμεν.

ιθ. Ἄναρχον τοιγαροῦν τὸν πατέρα δοξάζοντες, σύναρχον ὁμολογοῦμεν καὶ τὸν γεννηθέντα υἱὸν, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον τὸ πνεῦμα τὸ ἅγιον· οὐ γὰρ ἦν εἰκὸς καθορᾶσθαι λόγου καὶ πνεύματος τὸ θεῖον ἐστερημένον· ταῦτα δὲ μὴ ἄλλως εἶναι δυνάμεις ἐν αὐτῷ διαῤῥεούσας, καὶ καθάπερ ἐφ' ἡμῖν λυομένας, ἀλλ' ἐν ὑπάρξει πιστεύεσθαι, καὶ διακεκριμένως μὲν ἀφορίζεσθαι τοῖς ὑποστατικοῖς ἰδιώμασιν, ἡνωμένως δὲ προσκυνεῖσθαι μιᾷ τῇ φύσει τὲ καὶ θεότητι· οὐδὲ γὰρ ἐπὶ τῆς ἁπλῆς οὐσίας καὶ ἀσυνθέτου, καὶ κατὰ μηδένα λόγον δεχομένης τροπὴν, πρὸς τὸ αἴτιον τὸ γεννητὸν ἠλλοιῶσθαι, ἢ τὸ ἐκπορευτὸν εἴποι τίς σωφρονῶν· οὐ γὰρ ἑτεροφυές τι καθ' ὁντιναοῦν τρόπον εἰς ἑαυτὸ

sine filio, neque filius sine patre cogitabitur, si certe decora nec falsa ratione uti volumus; sicuti nec ignis sine splendore, nec sol sine radio est: ut in brevi imagine proculque a veritate distante, quantum licet, incomprehensibilia illa speculemur.

19. Cum itaque sine initio Patrem dicimus, consempiternum confitemur etiam genitum Filium, et procedentem a Patre sanctum Spiritum. Neque enim aequum erat, ut verbo et spiritu carentem Deum contemplaremur. Has haud fluxas in Deo potentias dicimus, neque ut in nobis contingit dissolutas, sed ipsi substantiae inhaerentes credimus; et distincte quidem quod ad personalia idiomata adtinet, coniuncte autem ceu in una natura ac deitate adoramus. Etenim in simplici substantia et incomposita, et quae nullam conversionem patitur, nemo sanus dicet, vel genitum, vel procedentem in primitivam causam commutari. Nam quod est simplex, nihil heteroge-

παντελῶς παραδέξεται τὸ ἁπλοῦν· ἢ γὰρ ἂν σύνθεσίς τις ἐν αὐτῷ θεωροῖτο, καὶ τῆς ἁπλότητος ἀποπέπτωκεν· πῶς οὖν θεῖον κυρίως τὸ ἀλλοιούμενον καὶ μεταποιούμενον; ἢ τελειωτικὸν τῶν ἄλλων, τὸ δεηθὲν ἑτέρου πρὸς συμπλήρωσιν τῆς οἰκείας ὁλότητος; γεννήσεως δὲ τρόπος καὶ ἐκπορεύσεως μηδ᾽ ἐξαιτείσθω ὑμῖν, μηδὲ προσύλως νοείσθω καὶ χαμαιῤῥεπῶς· εἰ γὰρ οὐ περιγραπτὸν τὸ θεῖον οὐδ᾽ ὁρατὸν οὐδὲ νοήσει καταληπτὸν, ὡς ἄπειρον καὶ ἀνείδεον, ἐν τίνι τῶν καθ᾽ αὐτὸ λοιπὸν ἐξερευνηθήσεται, ἢ εὐκρινηθήσεται; οὗτος ὁ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεολογικώτατος ὅρος καὶ λόγος ἡμῖν ἐν βραχυλογίᾳ παραδειχθείς.

κ. Ἀλλὰ καὶ παρ᾽ ἡμῖν, ἔφησαν οἱ δικάζοντες, ἐν διαιρέσει προσώπων μία θεότης γνωρίζεται καὶ πιστεύεται. Μέχρι μὲν λόγων, ἔφησαν οἱ ἀθληταὶ, παρυφίστασθαι ταυτηνὶ τὴν δόξαν ὑμῖν οὐκ ἀρνούμεθα· προσωτέρω δὲ μὴ χωρεῖν· πράγματι γὰρ πολλῷ τῷ περιόντι προτεθέντων λόγων διέ-

neum ullo prorsus in se modo unquam recipiet: secus, compositio quaedam in eo cerneretur, atque a sua simplicitate decideret. Quomodo ergo proprie divinum, quod in aliud convertitur ac mutatur? Quomodo rursus alia perficiet, quod alio indiget ad suae universitatis complementum? Postremo tum generationis tum processionis modum, cavete ne scrutemini, vel materialiter humiliterque cogitetis. Si enim incircumscriptus est Deus, invisibilis, mente incomprehensibilis, infinitus, et forma carens, quî fieri potest, ut eum in aliqua proprietate sua rimemur et discernamus? Atque haec est circa Patrem et Filium ac Spiritum sanctum theologica apprime definitio et doctrina, brevi verborum ambitu demonstrata.

20. Atqui apud nos quoque, dixerunt iudices, in personis distinctis una deitas intelligitur et creditur. Verbotenus quidem, responderunt martyres, hanc vos opinionem gerere non negamus, sed ulterius minime progredi: reapse enim longe a

στηκεν· πῶς γὰρ ἕν, τὸ πρὸς ἑαυτὸ φιλονεικοῦν καὶ μαχόμενον καὶ ἀνωμάλως ἔχον καὶ στασιάζον, καὶ τὸ μὲν δυναστεῦον, τὸ δὲ τυραννούμενον; τὰ γὰρ τιτανικὰ πάθη, καὶ αἱ ἐν Ἰλίῳ θεομαχίαι, καὶ κρονικαὶ τεκνοφαγίαι, πατρελασίαι τὲ καὶ δεσμὰ, καὶ τὸ σχιζόμενον κράτος ἔν τε ἀρχαῖς καὶ τόπων ἀποκληρώσεσι, συνειδεῖν οὐκ ἔχομεν ὅπως τὸ ἑνιαῖον καὶ ταὐτὸν τῆς μιᾶς φυλάττει θεότητος· ἐπίγνωτε τοίνυν ὡς διεψεύσθητε· ὁ γὰρ τοιοῦτος τῆς δόξης λόγος ὑμῖν ὑπὸ τῆς ἀληθείας βληθεὶς διεῤῥύη τε καὶ διόλωλεν.

κα. Πρὸς ταῦτα τοὺς τυραννικοὺς δικαστὰς τοὺς ἐλέγχους οὐκ ἐνεγκόντας τῶν ἀηττήτων ἀγωνιστῶν, τὸ μὲν προσωπεῖον ἀποῤῥίψαι τῆς ὑποκρίσεως λέγεται, τοῖς δὲ τῶν σωμάτων σχηματισμοῖς, καὶ ταῖς τῶν προσώπων ἐνστάσεσι, γυμνὸν καὶ οἷον ἀπαρακάλυπτον τὸ τῆς ψυχῆς ἐνδεικνυμένους θυμοειδὲς, γεγωνότερον, ἢ κατὰ τὸ σύνηθες, ἐξεστηκότων δίκην ἐμβοῆσαι τοῖς ἀθληταῖς καὶ φάναι, ὡς οὐχ

praedictorum verborum sensu distatis. Quomodo enim unum illud sit, quod mutuo rixatur et pugnat, et in anomalia ac seditione versatur, et aliud dominatur aliud autem tyrannidi obtemperat? Nam titanica bella, et Deorum apud Ilium pugnae, et liberi a Saturno vorati, et patris expulsio ac vincula, et divisa potentia in dynastias, et regionum sortitio, haud intelligimus quo pacto unum eumdemque Deum esse patiantur. Scitote igitur vos errore vagari; haec enim sententiae vestrae oratio, veritatis repulsa viribus, prorsus concidit atque evanescit.

21. His auditis, tyrannici iudices argumenta invictorum martyrum non ferentes, hypocriseos personam abiecisse dicuntur, et corporum habitu, ac vultuum motibus, nudam intectamque animi iracundiam significantes, elatiore ac solebant voce, et dementium instar martyribus inclamarunt dicentes: haud vos profecto absurdae huius orationis, sed nos potius

ὑμεῖς τῶνδε τῶν εἰκαίων λόγων, ἀλλ' ἡμεῖς τῆς εἰς θεοὺς βλασφημίας κατέστημεν αἴτιοι, φιλανθρωπίᾳ τὴν ἄνοιαν ὑμῶν ἐπιτρέψαντες, καὶ τὸ καλὸν διαφθείραντες· οἵ γε καὶ θεοῖς ἐχθροῖς καὶ ἀνθρώποις δύσνοις ὑπάρχουσιν, ἔτι καὶ παῤῥησίας μεταδεδώκαμεν· ἐντέτραφθαι γὰρ ἀπονοία καὶ ἀλογία καὶ γλῶσσα πολυρήμων ὑμῖν, παρ' ᾗ πᾶν μὲν ἄχρηστον φίλιον, ἄφθεγκτον δὲ τὸ εὐσεβές· ἐπεὶ καὶ προχείρου φρονήματος οἰκεῖον τὸ ἀπερίσκεπτον, καὶ φιλεῖ τὸ θράσος τὴν ἑτοιμότητα· καὶ θᾶττον πῦρ τοῦ φλέγειν ἐπισχεθήσεται, ἢ στόμα προπετὲς καὶ φιλόκενον· ἀλλ' ὁρῶντες ἄνω που τέως ἐπηρτημένην τὴν δίκην, ὑπὲρ κεφαλῆς δὲ τὸν κίνδυνον καὶ τὴν δικάζουσαν χεῖρα ἔτι ἀνατεταμένην τε καὶ μετέωρον, φειδοῖ καὶ οἴκτῳ τῆς φύσεως πρὸς τιμωρίαν ὀκνοῦσαν καὶ ἀναμένουσαν, τὰς δυσελίκτους καὶ λαβυρινθώδεις ἀφέντες

* al. cod. πολυδινίας. τῶν λόγων πολυοδίας *, καὶ τὸν ἐπίκρημνον νοῦν, ἐπὶ τὴν βασιλικωτάτην καὶ τετριμμένην τρίβον τοὺς πόδας ἐῤῥείσατε· ἡ δὲ ἔστιν θῦσαι τοῖς καλλινίκοις θεοῖς, οἷς κοινῇ παρὰ τοῦ

blasphemiae in Deos auctores sumus, qui benignitate nostra vesaniam vestram aluimus, et quod fas iusque est corrupimus, dum vobis et Deorum et hominum infestis hostibus audendi copiam dedimus. Inest quippe vobis vecordia et insania cum lingua loquace, quae et congenitam habet omnigenam fatuitatem, et nihil pium eloqui potest: praeter quam quod effrenem animum comitari solet inconsiderantia, et audacia in subitos motus erumpit; faciliusque ignem a comburendo cohibeas, quam os temerarium novitatis flabellum. Sed iam intentum vobis iudicium, et impendens periculum, manumque vindicem extentam adhuc et elatam videntes, quae naturali clementia et misericordia ad poenam torpet et differt, omissis tot contortis labyrinthi instar sermonum ambagibus, et opinionibus ad praecipitium ducentibus, in regiam tritamque viam gressus dirigite, idest Diis invictis sacrificate, quibus

γένους τιμὴ καὶ χάρις ὀφείλεται δι' εὐνοίας ἀμειβομένου τὴν πρόνοιαν, καὶ τοῖς τῶν σεβαστῶν βασιλέων ὑποκύψαι προστάγμασιν· ἴστε γὰρ ὡς ἀθάνατον τῆς παρακοῆς ἐπιτίμιον.

κβ. Τούτων εἰρημένων οὐκ ἐκπλαγέντες οἱ ἀθληταὶ, ἀλλ' ὥσπερ ἐν ἁμίλλαις τὸ τῆς ψυχῆς μεγαλοφυὲς καὶ φιλότιμον ἀντεπιδεικνύμενοι, καὶ τόν τε θυμὸν ἐξοιδοῦντα τῶν ἀσεβῶν καταστέλλοντες, καὶ τὸ τραχὺ τῆς γνώμης ἐπιλεαίνοντες, ἐν ἤθει σεμνῷ, καὶ ἀτρεμοῦντι τῷ σχήματι, καὶ τῷ κοσμίῳ τῆς φωνῆς, ἀπεκρίναντο· τὴν μὲν περιττολογίαν, ἣν ὑμεῖς φατὲ δικασταὶ, σπουδαίαν ἡμῖν καὶ χρειωδεστάτην ὁ περὶ τῆς ὑμετέρας σωτηρίας πόθος πεποίηκεν· ἄλλως τε καὶ ταῖς παρ' ὑμῶν ἐρωτήσεσιν ἀκολούθους εἶναι τοὺς λόγους, ἐχρῆν· οὐδὲ γὰρ περὶ τῶν ἐλαχίστων ἡμῖν ὁ διάλογος συνέστη, καὶ ἡ πρὸς ἀλλήλους διάσκεψις· ἐπειδὴ δὲ προεκπηδᾷ τοῦ καθήκοντος τὸ παράλογον, καὶ τῦφος ὑμῖν ἐξογκοῖ τὴν διάνοιαν, καὶ οὐ δικαίως παρακεκίνησθε, κἂν πρὸς βραχὺ μετριάσαι καταξιώσατε, λύσιν τῷ ἀπορουμένῳ προσάγοντες·

communiter ab universo hominum genere honor et gratia debetur, benivolentiae nomine erga illorum providentiam: denique et augustorum imperatorum iussibus obtemperate. Scitis enim immortalem poenam renuentibus esse propositam.

22. His dictis minime territi martyres, sed ut fit in luctis excelsitatem animi nobilitatemque ostendentes, ut impiorum tumentem iram parumper sedarent, mentisque acerbitatem lenirent, modesto modo, firmo corporis habitu, temperataque voce responderunt: quod vos iudices dicitis multiloquium, id nobis accuratum et valde proficuum indidit vestrae salutis amor. Praeter quam quod et vestris interrogationibus congruos oportuit nostros esse sermones: neque enim de minimis rebus fuit inter nos dialogus, et instituta vobiscum disceptatio. Nunc quia vecordia honesto praevalet, et superbia vobis mentem inflat, nec recte commovemini; dignamini breviter

ποίοις θεοῖς καὶ ὅπως θύειν παρακελεύεσθε; Οἱ δὲ προθύμως ἀντιφθεγξάμενοι ἔφησαν· πρόδηλον ὡς Διῒ καὶ τοῖς ἐκ Διὸς, καὶ Ποσειδῶνι, καὶ Ἥρᾳ, καὶ τῇ μητρὶ τῶν θεῶν, ἡμέρων ζώων σφαγῇ καὶ λιβανωτῷ τούτους ἐκμειλισσομένους, καὶ τὸ σέβας ἀποπληροῦντας.

κγ. Ὦ τοῦ γέλωτος, οἱ μάρτυρες ἔφησαν, ὡς ἀγάμεθα τῆς ἀγχινοίας ὑμᾶς, ὅτι περ κοινῇ καὶ κατ᾽ ἔθνος οὐ περὶ τρόπον μόνον τῶν θυσιῶν διαιρούμενοι καὶ πρὸς μηδὲν ἀλλήλοις συμβαίνοντες, ἀλλὰ καὶ τὴν περὶ τὸ θεῖον δόξαν οὐχ ὁμοίως πρεσβεύοντες, ἔτι καὶ ἡμᾶς συμφώνους ἔχειν βιάζεσθε, ὥσπερ οὐχ ἑτέρως ἐνὸν ἀσεβεῖν, εἰ μὴ καὶ ἄλλους τῇ πλάνῃ συνεπαγάγοισθε· ἄλογον δὲ καὶ λίαν σκαιὸν τῶν οἴκοι κακῶς καὶ ἀῤῥώστως διακειμένων, ἑτέροις ὑγιείαν ἐπινοεῖν, ὅπερ ἐγχειροῦσιν ὑμῖν οὐ προσῆκεν· ὥσπερ οὐδὲ πόλει σφαλερᾷ τε καὶ στασιώδει βραβεύειν εἰρήνην τῷ γείτονι, αὐτόθεν ἀπιστουμένῃ τῷ ὑποδείγματι· εἰ γάρ τισιν ὑμῶν συμ-

adhuc adquiescere, nostrisque quaestionibus respondere. Quibusnam Diis, quave ratione sacrificare iubetis? Illi vero statim respondentes aiebant: sine dubio Iovi, eiusque liberis, et Neptuno, Iunoni, ac matri Deorum, cicurum victimis ac thure illos placantes, et reliquum cultum reddentes.

23. O rem ridiculam, martyres responderunt, quam est mirabile vestri ingenii acumen! qui vulgo in singulis gentibus non solum victimarum ratione discrepatis, et invicem prorsus non conspiratis, verum ne in sententia quidem de natura Deorum congruitis, et tamen nos hac in re concordes esse cogitis: quasi vobis non sufficiat in religionibus errare, nisi et alios in eundem errorem inducatis. Absurdum quippe et valde importunum est, eos qui domi suae male pestifereque se habent, ceteris medelam excogitare, quod vos facere haud decet: sicuti ne civitatem quidem periclitantem et seditiosam conciliare pacem finitimis decet, quam exemplo suo

φρονήσαιμεν, πάντως ἂν ὁ τἀναντία δοξάζων, παρ' αὐτῷ τὸ κάλλιστον εἶναι φήσειεν καὶ ὠφελιμώτατον, καὶ πρὸς ἑαυτὸν λόγοις πιθανοῖς τὸν ἀκροατὴν μεταστήσειεν· αὖθις τε τοῦτο δράσοι ὁ ἕτερος, καὶ πάλιν ἄλλος τὰ ὅμοια διαπράξηται, καὶ οὕτως οὐκ ἐπιλείψει τὸ θεῖον ἡμῖν εἰς ἀλλοκότους πλάνας ὑπὸ τῶν ἀντιδόξων καὶ ἀντιθέτων διασπώμενον καὶ μετατιθέμενον, μέχρις ἂν ἀποκαμὼν ὁ νοῦς εἰς ἀθεΐαν ἐκπέσοι πρὸς τὴν τοσαύτην ἀπαγορεύσας ψευδολογίαν τε καὶ ἀπάτην· τί γάρ; οὐχὶ παρ' ἐνίοις μὲν ὑμῶν θεοὶ οὗτοι γε οὕς περ εἰρήκατε, παρὰ δ' ἐνίοις πίθηκοι καὶ τράγοι καὶ ἴβεις κροκόδειλοί τε καὶ αἴλουροι καὶ τὸ νειλῷον ῥεῖθρον καὶ ὁ μεμφίτης Ἄπις ποηφαγῶν θεὸς καὶ μυκώμενος, καὶ πρὸ μὲν τοῦ θανεῖν ἱκετευόμενος, μετὰ δὲ νέκρωσιν θρηνούμενός τε καὶ ἐλεούμενος, ὁ αὐτὸς ἱερὸς ὁμοῦ καὶ ἐξωδωδηκὼς, χρόνῳ πρὸς ἑκάτερον νεύων; καὶ παρὰ μὲν τοῖς θεοὶ νομίζονται τῆς ἡμετέρας ἔφοροι φύσεως ὕδωρ καὶ πῦρ καὶ ἵπποι καὶ τιθασσευόμενοι δράκοντες· παρὰ δὲ τοῖς μάχαιρα καὶ δένδρον λά-

dissuadet. Nam si quibusdam vestrûm adsentiremur, prorsus alius qui contrariam sectam foveret, optimam apud se et utilissimam sententiam manere potius clamaret, sibique auditorem persuadentibus verbis conciliare niteretur; idemque mox alius faceret, rursusque alius id conaretur; atque ita semper divinitas in absurdas sectas a contrariarum sententiarum auctoribus discerpta distraherentur, donec mens nostra fessa in atheismum declinaret, tot mendacia erroresque fastidiens. Quid? Nonne Dii vestri apud nonnullos quidem ita se habent ut vos dicitis, apud alios vero simiae sunt, et hirci, et ibes, et crocodili, et feles, et ipsum Nili fluentum, et memphiticus Apis, Deus herba pastus et mugiens, et ante obitum quidem precibus cultus, post autem cum miseratione defletus, idem sacer simul et computrescens, utramque pro tempore conditionem sortitus. Et apud alios quidem Dii existimantur na-

σιόν τε καὶ σύσκιον, καὶ παρ' ἑτέροις μυῖα, τῶν ἐντόμων τὸ κιβδηλότατον καὶ ἀσθενέστατον· ὡς δὲ κἀν ταῖς θυσίαις διακρίνεσθέ τε καὶ διαλλάττετε· οἱ μὲν γὰρ ἀνδροκτονοῦσιν, οἱ δὲ ζωοθυτοῦσιν· ἄλλοι τοῖς ἐκ γῆς φυομένοις τὴν θυσίαν ἀφοσιοῦνται· καὶ ἕτεροι τὰς χεῖρας μόνον ὕδατι νίζονται· καὶ ἄλλοι τὸ σῶμα ξίφεσι διατέμνοντες θεραπεύειν οἴονται τῷ ἀπορρέοντι αἵματι· καὶ τί δεῖ λέγειν τὰς ἀμίκτους καὶ διεσπασμένας ἀριθμοῦ πλείονας παρὰ πᾶσιν ἐπί τε θρησκείαις καὶ τοῖς θύμασιν ἰδιότητάς τε καὶ ἑτερότητας;

κδ. Ἵνα δὲ τοὺς μὲν ἄλλους παρῶμεν θεοὺς, τοῖς δὲ παρὰ τοῖς πλείστοις γε ὑμῶν σεμνοτέροις προσθώμεθα, ἆρα καλῶς ἂν γένοιτο θύειν μοιχοῖς θεοῖς καὶ συγγενικαῖς παρὰ τὸ δοκοῦν τῇ φύσει μίξεσι χαίρουσι, θηλυδρίαις τε καὶ ἡμιάνδροις καὶ πρὸς ἀνηκέστους συμφορὰς ἀποπίπτουσιν; καὶ πῶς ἂν ἔχοι λόγον τοῦτό γε παρὰ τοῖς ἀρτίφροσιν; εἰ γὰρ καὶ ἡμεῖς, οὐκ οἴδαμεν ἀνθ' ὅτου, ταῦτα προστάσσουσιν

turae nostrae praesides aqua, ignis, equi, et cicurati dracones: apud alios vero gladius, arborque horrida et umbrosa: apud alios musca insectorum vilissimum et infirmissimum. Item sacrificiorum diversa ratione utimini. Alii enim homines immolant, alii animalia, alii fruticibus terra ortis sacra sua peragunt, alii manus tantummodo aqua abluunt, alii corpora gladiis incidentes fluente sanguine cultum exhibere se putant. Sed quid dicere interest tot abhorrentes invicem et dissidentes atque innumerabiles per orbem religionum et sacrificiorum species et discrepantias?

24. Atque ut alios omittamus Deos, et illos tantum qui apud plerosque vestrum venerabiliores sunt commemoremus, num recte sacrificabimus adulteris Diis, et qui incestis praeter naturae legem copulis gaudent, pathicis, semiviris, et in gravissimas calamitates deciduis? Quî, inquam, hoc sit rationale apud homines mente integra praeditos? Profecto si nos,

ὑμῖν ἐξακολουθήσομεν, ἀλλ' ἐπαναστήσονται ταχέως ἡμῖν οἱ νόμοι, καὶ ἀντιφθέγξονται μεγαλοφώνοις βοαῖς, ὡς οἱ ἐπ' αἰσχροῖς ἐγκλήμασιν ἁλισκόμενοι κολαστέοι ἡμῖν εἰσίν· ἡμεῖς δὲ τὸ θεῖον μιμεῖσθαι βουλόμεθα τὸ πρῶτον αἴτιον τῶν καλῶν, εἴπερ φιλοσοφίας ὅρος κατὰ τὸν ὑμέτερον Πλάτωνα, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ὅθεν ἀμήχανον ψῆφον αἱρεῖσθαι τὴν σώζουσαν· ὁποτέρως γὰρ νεύσομεν, πρὸς θάνατον ἀποκλινοῦμεν· εἰ γὰρ τοῖς νόμοις πεισθῶμεν, θεοῖς οὐ καλλιερήσομεν, οὓς οὐδὲ θεοὺς ἡγησόμεθα· εἰ δὲ πρὸς τοὺς θεοὺς ἀπονεύσομεν, τοῖς νόμοις δίκην ἐκτίσομεν· πάντοθεν οὖν πολυκύμονι ζάλῃ τῶν ὑμετέρων λόγων πολυκλυζόμενοί τε καὶ καταντλούμενοι, καὶ ταῖς ὑφάλοις τῆς ἀσεβείας πέτραις περιῤῥηγνύμενοι, θᾶττον ἐπὶ τὸν εὔδιον καὶ γαληνὸν λιμένα τὴν ἄγκυραν καταθήσομεν, καὶ τὸν ἀληθῆ θεὸν ποιησόμεθα κυβερνήτην καὶ ἀρωγὸν, ὥσπερ οὖν καὶ ἐποιησάμεθα· δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα

quavis ex causa, talia imperantibus vobis morem gereremus, statim consurgerent ex adverso leges, et magnis clamoribus contradicerent, quia nimirum hi qui in turpibus flagitiis deprehensi fuerunt, poenis coërcendi sint. Nos autem Deum imitari volumus, qui est prima honesti causa; siquidem philosophiae praeceptum est, iuxta vestrum Platonem, ut sit homini, quantum licet, similitudo cum Deo. Porro in hac ambiguitate fieri nequit, ut salutarem ullam sententiam deligamus. Nam si legibus obediverimus, Diis nequaquam sacrificabimus, quos ne Deos quidem iudicabimus. Sin Diis obsequemur, legibus poenas dabimus. Quaquaversus itaque fluctuante sermonum vestrorum pulsati procella ac paene absorpti, et caecis veluti marinis scopulis idololatriae attriti, citius in placido tranquilloque portu ancoram iaciemus, verumque Deum gubernatorem nobis ac praesidium faciemus, quod et reapse

ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ὑφ' ᾧ καὶ τὸν τῶν ἀγωγίμων φόρτον ἐν ἀσφαλείᾳ διασώσομεν· τούτῳ θύσομεν θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· εἰ δὲ καὶ ἱερείων δεῖ πρὸς τὴν ὁλοκάρπωσιν, τὰ ἡμέτερα προσοίσομεν σώματα θυσίαν ζῶσαν εὐάρεστον, τὴν λογικὴν λατρείαν ποιούμενοι, καὶ οὐκ ἀλόγων αἵμασιν τῆς ζωῆς ἐλπίδος καταπιστεύοντες· ἀντὶ δὲ θυμιαμάτων τὴν εὐώδη πίστιν τῆς ψυχῆς ἀνενέγκομεν, κονιορτὸν μυρεψοῦ, σύνθεσιν ἀποπνέουσαν, καὶ πρὸς τὸ νοηρὸν ἀκωλύτως ἀνιοῦσαν θυσιαστήριον, πάσης δὲ καπνώδους καὶ φθαρτῆς ἐλευθεριάζουσαν ἐξατμήσεώς τε καὶ διαχύσεως· αὕτη τῶν ἡμετέρων λόγων ἡ κορωνὶς καὶ παντὸς διαλόγου κεφάλαιον.

κε. Ἔχετε τοίνυν ἡμᾶς μήτε πειθομένους κελεύουσι, μήτε ἐξισταμένους ἐπαπειλοῦσι· λόγῳ γὰρ ὑμῖν καὶ θάρσει παρατετάγμεθα, τῷ μὲν τῇ πίστει, τῷ δὲ τῇ ἐλπίδι θωρακιζόμενοι· καὶ τῷ μὲν τῶν προβλημάτων ὑμῶν τὴν ἰσχὺν ἀνα-

fecimus; quo favente ad hanc etiam fidei gratiam accessimus, in qua consistimus, et spe gloriae Dei laetamur, cuius ope nostram sarcinam ad salutarem stationem vehemus. Huic offeremus sacrificium iustitiae, oblationem et holocausta. Quod si victimis quoque ad sacrificii complementum opus fuerit, nostra offeremus corpora, vivam victimam et placentem, rationalem cultum potius exhibentes, quam irrationalium cruoribus vitae spem nobis firmantes. Pro suffitibus autem odoram animae fidem adferemus, pulverem unguentarii, bene olentem cinnum, cuius suavis anima ad rationale altare nemine impediente adspirat, atque omni fumoso et corrupto halitu effluentiaque liberat. Haec nostrorum sermonum coronis est, et universi dialogi summa.

25. Habetis itaque nos neque obedientes imperantibus, neque territos a minantibus: nam et verbis et vigore animi vobis resistimus, fide simul ac spe armati. Et verbis quidem

τρέπομεν, τῷ δὲ τὸν φόβον ἀποκρουόμεθα· ἔχετε τοιούτους ἡμᾶς· δεσμὰ γὰρ, καὶ στρεβλώσεις, καὶ μάστιγας, καὶ ξίφους ἀκμὴν, καὶ τὴν τύραννον δυναστείαν καὶ τὸν πολλοῖς ἀνανταγώνιστον θάνατον ἐν ἴσῳ τιθέμεθα τοῖς καθ' ὕδατος ἀνισταμένοις πομφόλυξι ταχέως ἀποφυσωμένοις ὑπὸ τοῦ ἐξογκοῦντος καὶ συνέχοντος πνεύματος, ἢ τοῖς ὑπὸ τῶν θαυματοποιῶν ἐπὶ σκηνῇ στελλομένοις, οἱ τῇ τῆς παιδιᾶς ἀπάτῃ πληγαῖς ἀστίκτοις τὰ σώματα διαχρίουσι, καὶ μετὰ γέλωτος ἀλγύνειν καθυποκρίνονται ψευδόμενοι τὴν ἀλήθειαν· μὴ οὖν ἡμῖν ὡς δή τι μέγα φόβους καὶ ἀπειλὰς ἐπισείετε· πρὸς οὐδὲν γὰρ τῶν δεινῶν ἀποδειλιάσομεν· οὐδ' εἴ τι γένηται προησόμεθα τὴν εὐσέβειαν, ἐξ ἧς ἡμῖν τὸ μὴ ἐνδοῦναι πρὸς τὰ φρικτὰ περιγίνεται.

κς. Τούτων ὥσπερ ἀπό τινος ὀξυβελοῦς μηχανήματος εὐστόχως τῇ τῶν ἐναντίων πυργοποιΐᾳ διαφεθέντων, ἣν ἐπὶ κακῷ συμφωνήσαντες ἐξ ὕλης ἀτίμου τῆς κακοδοξίας ἀνῳκοδόμησαν, ἀπατηθέντες θεμέλιον, διασεισθείσης τε πάσης

argumenta vestra ac vim reprimimus, animi autem vigore metum excludimus. Cuiusmodi ergo nos simus, probe intellexistis. Vincula, torsiones, lora, gladiorum aciem, potestatem tyrannicam, et prorsus formidabilem plerisque mortem perinde habemus ut emergentes ex aqua bullas, quae repente spiritu interno inflatae tumescunt; vel eos qui a praestigiatoribus in scenam inducti, lusoria fraude plagis fictis corpora inscribunt, et cum risu dolere simulant, veritati fucum facientes. Ne ergo nobis ceu magnum quid timores minasque intendatis; nihil enim asperum formidamus; nec si quid eiusmodi accidat, idcirco pietatem abiiciemus, a qua nobis adversus haec terribilia vires suppeditantur.

26. His tamquam a iaculatoria machina perite telis in adversariorum turrim emissis, quam ipsi concordia pessima ex vili pravae religionis materia construxerant, fundamento sub-

αὐτοῖς ψευδοεπίας καὶ φλυαρίας τοῖς στερεμνίοις καὶ ἀρτιτύποις λίθοις τῆς ἀληθείας, καὶ συγχυθείσης τῆς βλασφήμου γλώσσης ταῖς ἀλωβήτοις τῶν μαρτύρων καὶ θεολήπτοις φωναῖς, ἐν ἀπόρῳ λοιπὸν τοῖς ἀσεβέσιν ἡ κατὰ λόγους συμπλοκὴ διεφαίνετο· καὶ δὴ κατὰ τὴν ἔξωθεν σοφίαν, ἣν χρόνῳ καὶ πόνῳ πολλῷ συνελέξαντο, προχείρως οὕτω καὶ ἀγεννῶς διακινδυνεύσαντες, ἐπ' αὐτοδίδακτον τέχνην τὴν ὠμότητα τρέπονται, ὃ μόνον ὄργανον αὐτοῖς πρὸς ἄμυναν ὑπελείπετο· κἀντεῦθεν ἀντὶ τῆς κατὰ φύσιν αἰδοῦς ἡττημένοις μετὰ κρίσεως ἕπεται, τοὺς τῆς ἀγριότητος χολώδεις σπίλους περὶ πᾶν τὸ πρόσωπον ἐξανθήσαντες πρὸς ἄλογον λογισμῶν μανίαν ἐξεβακχεύθησαν, ὥσπερ οὐκ οἰκεῖον ἀνθρώπων ἡγούμενοι τὸ φιλάνθρωπον, κατάλληλον δὲ μᾶλλον τὴν πρὸς τὸ ὁμογενὲς ἐκθηρίωσιν.

κζ. Καὶ πρῶτον μὲν τῶν ἀθλητῶν χιτῶνας περιαιρεθῆναι προσέταττον, καὶ παντὸς δίχα τούτους παραστῆναι περικαλύμματος· καὶ οἱ μὲν ὡς ὑβρισταὶ τοῦ γένους τοῖς τῶν

verso, atque omni vanitate verborum depulsa firmis atque politis veritatis petris, confusaque blasphema lingua a puris martyrum divinitus inspiratis vocibus; deinceps ethnicorum verbale certamen ad incitas redactum est; ac de sua profana doctrina, quam multo labore congesserant, adeo facile turpiterque periclitantes, ad congenitam sibi artem, id est crudelitatem, convertuntur, quod iam solum vindictae instrumentum ipsis reliquum erat: atque hinc pro naturali pudore qui causa cadentibus accidit, liventibus iracundiae maculis toto vultu conspersi, immanibus animi motibus furebant, iam non existimantes propriam hominum humanitatem, sed consentaneam potius adversus consimiles suos saevitiam.

27. Et primo quidem martyribus vestes detrahi iusserunt, atque omni operimento nudatos in medio consistere; atque ut generis conviciatores, secretorum verendorumque membrorum

κρυφίων καὶ ἀμώμων μελῶν ἀναιδῶς ἐνετρύφων θεάμασι· καὶ ὧν ἡ φύσις ἑαυτῇ τετήρηκε τὸ ἀπόῤῥητον ἀντ' ἄλλου τινὸς σεμνοῦ τὸ αἶσχος ἑαυτοῖς ἡδοποιούμενοι· οἱ δὲ τὸ τῆς ψυχῆς ἀπαθὲς ὡς ἀληθῶς καὶ φιλόσοφον τῷ ἀπαρακινήτῳ τοῦ σχήματος ὑπεσήμαινον· δοκῶ μοι τηνικαῦτα τὴν ἀρετὴν ἐν μέσῳ συστρεφομένην τῶν ἀθλητῶν περιστέλλειν τὴν γύμνωσιν, ὡς μηδὲ τὸ θῆλυ γένος πρὸς τοὺς ὁρῶντας ἀκατακάλυπτον ὂν παντελῶς ἐπιστρέφεσθαι τῷ τῆς διανοίας καθαρῷ τε καὶ ἀκλινεῖ παραστήματι· κἀν τούτῳ τὴν γραφὴν οἱ εὐσεβεῖς ἐπαληθεύουσαν ἔδειξαν, ὅτι περ τοῖς πρωτοπλάστοις ἐν παραδείσῳ τὸ ἴσον ἦν πρὸ τῆς παραβάσεως· ἦσαν γάρ, φησιν, οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο· ὅπου γε καὶ νῦν μετὰ τὴν παρακοὴν καὶ τὸν ὄλισθον ταυτὸ τοῖς ἀπογόνοις πλείονι περιουσίᾳ τῶν καλῶν περιγέγονεν, ἐν φθορᾷ σαρκὸς καὶ παχύτητι καταπαλαίσασι, τῆς σαρκὸς τὰ κινήματα καὶ τὸ τῆς ψυχῆς εὐγενὲς διασώσασιν· ἔπειτα κατὰ νώτου πληγὰς τοῖς ἀηττήτοις ἐκτεί-

impudenter aspectu gaudebant; et quorum natura arcanum sibi reservavit, prae alia quavis verenda re, eorum ignominiam sibi voluptati ducebant. Porro martyres animi sui tranquillitatem, vere philosopham, quiete membrorum significabant. Ac mihi tunc videtur virtus in martyrum medio versans sic eorum nuditatem texisse, ut ne femineo quidem sexu spectantibus exposito, propter suum mentis purum immotumque habitum, prorsus adficerentur. Atque in hoc pii homines veritatem sacrae scripturae testati sunt narrantis, quod protoplasti perinde fuerint in paradiso ante peccatum. Erant enim, inquit nudi, Adam atque Eva, et non erubescebant: siquidem nunc quoque post inobedientiam et lapsum, idem nepotibus maiore cum honestatis gradu contigit, nempe ut in carne corruptibili et crassa certantes, carnis motum et animae integritatem tenuerint. Deinde invictorum martyrum terga fla-

ναντες, ὄνυξι μέχρις ὀστέων καὶ μυελῶν τούτους ξέειν τοῖς ὑπηρέταις παρεκελεύσαντο· καὶ δὴ πάντα λόγου θᾶττον ἠνύετο· καὶ προθυμίᾳ προέφθανεν ὁ δρῶν τὸν προστάττοντα· καὶ γὰρ ἴσος ἦν ἑκατέροις ἀγὼν ἀντιφιλοτιμουμένοις ταῖς πονηρίαις, καὶ οὗτος ἄριστος αὐτοῖς ὁ πρὸς ἐπίδειξιν τῶν δεινῶν χαλεπώτερος· ψόφος τοιγαροῦν μαστίγων καὶ θροῦς ἄσημος ἐξηκούετο, τῶν μὲν τυράννων ὡς αὐτῶν αἰκιζομένων δῆθεν τραχυνομένων καὶ ἐκβοώντων, τῶν δὲ παρεστώτων συγκλύδων ὄχλων ἐν ἀλλοφώνοις γλώσσαις καὶ πολυφθόγγοις περιβομβούντων τὸ δικαστήριον· ἀντεπήχουν δὲ καὶ τὰ παρὰ τῶν μαρτύρων ἐπισημότερόν τε καὶ εὐφωνότερον, ἀντὶ μὲν θρήνων καὶ οἰμωγῶν ψαλμῳδίαι τὲ καὶ εὐχαὶ ἡ πρὸς θεὸν ἐπὶ πᾶσιν εὐχαριστία· ἀντὶ δὲ τῶν πρὸς τοὺς τυράννους ἱκεσιῶν τὲ καὶ δεξιώσεων, ἡ δι' ἀλλήλων καὶ πρὸς ἀλλήλους προτροπὴ καὶ παραίνεσις, ἐν τοιούτοις δῆτα τοῖς ῥήμασιν.

κη. Ἄνδρες ἐμοῦ καὶ γυναῖκες, νέοι τὲ καὶ πρεσβῦται, οἱ πρὸς τόνδε κλήσει θείᾳ τὸν διπλοῦν παραταττόμενοι πό-

gellis caedebant, atque ut ungulis usque ad ossa et medullas scalperent, ministris mandabant: quae quidem dicto citius fiebant, lictoris celeritate iussum praevertente: erat enim inter eos aemulatio et certamen improbitatis, eumque iudices putabant meliorem, qui plus saevitiae exsereret. Sonitur igitur verberum, et inconditum murmur exaudiebatur, tyrannis simul et carnificibus cum clamore saevientibus, circumstante autem turba diversis linguis ac dissonis tribunal personante. Sed et martyres vicissim dignioribus ac suavioribus vocibus adsonabant: pro luctibus gemitibusve psalmodiae erant et preces, et in primis actiones gratiarum Deo: et nedum tyrannis preces supplicationesve facerent, inter se potius hortabantur et acuebant his verbis.

28. Viri simul ac mulieres, iuvenes atque senes, qui divina vocatione duplex hoc certamen inimus (est enim spiri-

λεμον, ὁ αὐτὸς γὰρ καὶ νοητός ἐστι καὶ ὁρώμενος, καὶ τῶν ὑπὲρ Χριστοῦ κινδύνων γευσάμενοι, προθύμως τὸν βρίθοντα τῶν σωμάτων φόρτον ἐκτιναξώμεθα, τοῦ κατὰ τὴν νίκην εὐσταλοῦς προμηθούμενοι, κἀκ τῆς τῶν ἐχθρῶν ἐπηρείας γυμνιτεύοντες συνσκευασώμεθα, ἀντὶ περιβολαίων καὶ θυρεῶν ἡμῖν γενέσθαι σκέπη τὰ τραύματα· ὅσον πλείω καὶ σφοδρότερον τρώσουσι, τοσοῦτον ἡμᾶς περιφράξουσιν ἀσφαλέστερον· περιλιμνήσοι τὰ αἵματα καθάπερ ἕρκος ἡμῖν· ἀντιπρόσωπος δὲ τοῖς ἐναντίοις βυθὸς τῷ πλήθει τῆς ἐπικλύσεως συνπνίγει αὐτῶν τὴν διάνοιαν· ὑπομονῇ τὴν ἀντίπαλον ἔνστασιν διαῤῥήξωμεν· μὴ προδῶμεν τὸν ἡγεμόνα Θεὸν μέσον ἡμῶν ταττόμενόν τε καὶ προμαχόμενον· φάλαγξ ἐσμὲν καρτερὰ καθάπερ τεῖχος ἀνάλωτον· μὴ δειλίᾳ τὸν συνασπισμὸν διαλύσωμεν· μηδεὶς λειποταξίου γραφὴν ἀπενέγκηται· ὑπὸ θεαταῖς ἀγγέλοις καὶ ἀθλοθέτῃ Χριστῷ τῷ πρώτῳ μάρτυρι τὸν τηλικοῦτον ἀγῶνα ποιούμεθα· μὴ ἐκλυθῶμεν πρὸς τὰ

tale simul et materiale) et pro Christo periculis nos obiicimus, alacriter grave hoc corporum pondus excutiamus, ut victoria facilius potiamur, atque ex hostium impetu nudi nosmet expediamus: pro thoracibus atque scutis, ipsa nobis vulnera tutelae sint, quae quanto magis ac vehementius ferient, tanto nos tutius munient: fluenta sanguinis nos vallabunt, ac fossae instar adversariis opposita, inundationis copia illorum mentes obruent: patientia contrarium impetum frangamus. Ne ducem Deum deseramus, qui in medio nostri versatur, immo in acie pugnat. Phalanx valida sumus tamquam murus inexpugnabilis; ne metu aliquo confertum scutorum globum dissolvamus. Nemo crimen desertae militiae incurrat. Spectatoribus angelis, Christo autem agonis praeside primoque martyre luctam hanc decertamus. Ne quovis incidente infortunio despondeamus animum, scit enim Christus, ob ea quae ipse passus est, vim patientibus auxiliari. Una veluti anima nobis

πράγματα προσπίπτοντα, καὶ γὰρ οἶδεν οἷς πέπονθεν τοῖς πειραζομένοις ἐπικουρεῖν· μία ψυχὴ μορφωθείη πᾶσιν ἡμῖν, εἰ καὶ τοῖς ἔξωθεν χρώμασι διαιρούμεθα· καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν· ἀμείψωμεν ἀλλήλοις τὴν φύσιν, ἐν τοῖς οἰκείοις μένοντες ἰδιώμασιν, ἵν' ὁμοτίμως ἡμῖν ὑπάρξῃ τυχεῖν τῆς τῶν ἀγαθῶν ἀντιδόσεως· ἔστω τὸ ἄῤῥεν καὶ θῆλυ τῇ ἀπανουργεύτῳ πρὸς τὸ θεῖον σέβας ἁπλότητι, καὶ τὸ θῆλυ ἀνδρωθείη τῇ πρὸς τὰ δεινὰ καρτερίᾳ καὶ γενναιότητι· ὁ νέος, φρόνημα πρεσβυτικὸν περιζωσάσθω, καὶ ὁ γηραιὸς ἀκμαζέτω τῇ προαιρέσει· καὶ μηδεὶς ἕτερος θατέρου σμικροπρεπέστερον ἐπιδείξηται· εἰ γὰρ τοῖς τοῦ πηλοῦ ῥεύμασιν ἄλλος ἄλλου διενηνόχαμεν, πλούτῳ καὶ γένει καὶ τοῖς τῶν ἀρχῶν ἀξιώμασιν, ὥσπερ χρυσὸς καὶ ἄργυρος καὶ δέῤῥεις καὶ τρίχες καὶ ὕφασμα, ἀλλ' οὖν πάντες ἡμεῖς εἰς ἱερὸν ἀνάθημα συνηρμόσθημεν, καὶ πάντες ὡς ἐκλογῆς μία σκηνὴ καὶ κιβωτὸς ἄσυλος ἐφιλοτεχνήθημεν, τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα βαστάζειν ἀξιωθέντες ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων.

omnibus conformetur, etsi externis coloribus discrepamus; nam et in uno spiritu omnes nos quasi unum corpus baptizati fuimus: commutemus invicem naturam, proprietates licet quisque suas retinentes, ut parem praemii retributionem consequamur: mas quidem sit instar feminae, quod adtinet ad sinceram divinae religionis culturam; femina autem ceu virum se gerat constantia ac strenuitate adversum res asperas: iuvenis senioris maturo sensu se muniat, senior vigore propositi iuvenescat. Alius alio vilior nemo videatur. Etsi enim luti fluentis alius ab alio differimus, opibus nimirum, nobilitate generis, et dignitatis ornamentis, sicuti inter se differunt aurum, argentum, pelles, cilicia, et tapetes, attamen omnes nos in unum sacrum donarium coaluimus, omnesque tamquam unum electionis tabernaculum, vel arca securitatis,

κθ. Στεναγμοὶ καὶ λῦπαι τὴν ἐν παραδείσῳ τῶν προγόνων ἡδονὴν διεδέξαντο· τὴν τάξιν μεταποιήσωμεν, τρυφὴν τοῖς πόνοις κτησόμεθα, τοῖς ὀλλυμένοις τὴν μένουσαν· μηδεὶς φίλτρον συγγενῶν τοῦ θείου προκρίνειεν ἔρωτος· μὴ μαλακισθῶμεν περὶ τὰς κάτω σχέσεις καὶ ταπεινάς· τὰ τῆς ἀγχιστείας ἀλλήλοις ἀντιπαράσχωμεν, καὶ υἱὸς πατὴρ γενέσθω τοῦ φύσαντος, καὶ ὁ τεκὼν τῷ παιδὶ τεκνωθείη· ὁ μὲν τῇ διαθέσει, ὁ δὲ τῇ πρὸς τὸ λυσιτελὲς εὐπειθείᾳ· καὶ ὁ τῆς ὑποταγῆς νόμος ἔστω κοινὸς· ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· καὶ ὁ μὲν νουθετείτω λόγῳ καὶ ὁδηγείτω, ὁ δὲ τῷ ἔργῳ καλὸν προκείσθω ὑπόδειγμα· καὶ πάντες ἀμοιβαδὸν τῇ πνευματικῇ καταστάσει τὴν σωματικὴν ὀφειλὴν τοῖς πέλας ἀνταποδῶμεν· Χριστοῦ δικτύοις ἐσαγηνεύθημεν ἐν τῇ πικρᾷ τοῦ βίου θαλάσσῃ, μὴ ἐκβληθῶμεν ὡς ἄχρηστοί τε καὶ εὐτελεῖς ἐκ τῆς ἄγρας ἀπο-

fabricati fuimus, nomen quod est super omne nomen coram gentibus atque regibus portare dignanter sortiti.

29. Gemitus ac maerores voluptatem progenitorum in paradiso subsecuti sunt: ordinem immutemus, delicias laboribus adquiramus, rem mansuram re peritura. Nemo cognatorum amorem Dei amori anteferat: ne animos demittamus circa humiles terrenasque species: consanguineorum officia invicem impertiamur; filius sit loco parentis genitori suo, pater autem gerat se tamquam filius erga natum suum; ille quidem animi affectu, hic autem in eo quod prodest obedientia: communis sit lex subiectionis, et unusquisque nostrum proximo suo placeat in bono ad aedificationem: et alius quidem verbis moneat viamque demonstret, alius autem opere bonum praebeat exemplum: cunctique invicem spiritali morum habitu corporalem utilitatem proximis suppeditemus. Christi retibus in amaro vitae huius pelago capti fuimus; ne eiiciamur ut inutiles et viles e laqueis palpitantes ac dilabentes, atque ad

σκαίροντες καὶ διολισθαίνοντες, καὶ πρὸς τὴν ἁλμυρὰν καὶ ἄποτον πάλιν τῆς παλαιᾶς τε καὶ κεχυμένης ἀγωγῆς ζωὴν καταπέσωμεν· ἀλλ' ὑπὸ τὴν σαγήνην τὴν ἀγρεύσασαν ἀποθάνωμεν, ἵν' ἐν τοῖς θείοις ἀγγείοις εὐαγγελικῶς ἀποτεθῶμεν εἰς τήρησιν· τὰ τῶν τυράννων βασανιστήρια μὴ ἄλλό τι οἰηθῶμεν ἢ ὄργανα τῶν ἡμετέρων ἀῤῥωστιῶν ἀμυντήρια· αἱ μάστιγες τὴν φλεγμονὴν τῆς παρακοῆς ἐκλεπτύνουσιν, καὶ τοὺς ἰχῶρας τῆς φθορᾶς ἀποψήχουσιν· τὸ πῦρ τὴν φρυγανώδη τῆς κακίας ὕλην ἐκδαπανᾷ, καὶ τὸ σῶμα χοῦν ἀπεργάζεται πρὸς θεοειδεστέραν ἀναστοιχείωσιν καὶ δόξαν εὐτρεπιζόμενον· τὸ ξίφος τμητικὸν ἔστω τοῦ τῶν παθῶν περιττώματος, καὶ τὴν ἐκ τοῦ κόρου πληθώραν ἀποκενούτω· αἱ τῶν ὀνύχων ἀκμαὶ καθάπερ ἀνδριάντος χαλκοῦ τὸν προστεθέντα διὰ τῆς ἁμαρτίας ῥύπον ἡμῖν ἀποξέουσαι, διαυγεστέραν καὶ χρυσοφανῆ τὴν εἰκόνα κατασκευάσουσιν.

λ. Καὶ τί δεῖ πάντα λέγειν; πόνῳ πόνον ἀνέλωμεν, τῷ παρόντι τὸν μέλλοντα· καὶ ζωὴν ζωῆς προτιμήσωμεν· τῆς προσκαίρου τὴν ἀτελεύτητον, ἣν οὐκ ἄν τις ἑτέρως ἀλλάξη-

turbulentam et salsam prioris lascivae conversationis vitam denuo revolvamur; verum in ea qua capti sumus sagena moriamur, ut in divinis vasis prout dicitur in evangelio conservandi reponamur. Iam tyrannorum tormenta nihil aliud esse putemus quam instrumenta ad morborum nostrorum curationem: verbera tumorem inobedientiae deprimunt, et putredinis cruores abstergunt: ignis arentem malitiae materiem absumit, corpusque in pulverem redigit diviniori mox instaurationi gloriaeque aptandum: gladius cupiditatum luxuriam amputet, et superbiae redundantiam evacuet: ungularum acumina, tamquam in aeneo signo adspersas a peccato sordes nobis abradentia, splendidiorem et aurosam iconem efficient.

30. Cur vero opus est singula persequi? Labore praesenti vitemus futurum: temporalem vitam immortali anteferamus,

ται, μὴ τὴν μὲν προϊέμενος, τῆς δὲ ἐφιέμενος· τί μὴ πάντων ὧν ἔχομεν τὸν πολύτιμον μαργαρίτην ὠνούμεθα; τί δὲ ὧν ἔχομεν τοῦ σώματος κάλλιόν τε καὶ τιμαλφέστερον; τοῦτο πρὸς τοῖς ἄλλοις ἐπὶ τὴν τιμὴν καταθώμεθα· καὶ γὰρ οὐδ᾽ οὕτως τῷ κτήματι τὸ κατ᾽ ἀξίαν συνεισενέγκοιμεν· διττὸς ὁ ἀγὼν, ἀδελφοὶ, διττοὶ δὲ καὶ ἡμεῖς, καὶ πρὸς συζυγίαν ἐχθίστην παραταττόμεθα· ἥ τε γὰρ μάχη κατὰ νοῦν τε καὶ αἴσθησιν· καὶ ἡμεῖς ἐκ πνεύματος καὶ σαρκός· καὶ οἱ πολεμοῦντες οἱ μὲν ἐξ ὕψους ἀοράτως ἐν σκοτομήνῃ κατατοξεύουσιν· οἱ δὲ συνίστανται κατ᾽ ὀφθαλμοὺς συμπλεκόμενοί τε καὶ βάλλοντες, τὴν φύσιν ἡμῖν ὁμόκληροι καὶ ὁμότιμοι· πάντοθεν οὖν περισκοπῶμεν, μή που περί τι τῶν μερῶν εἰς θάνατον ἀφυπνώσωμεν ἐπὶ πολυπροσώπῳ καὶ ἀγχιστρόφῳ τῇ πάλῃ, καὶ τοῖς ἑκατέρωθεν βέλεσί τε καὶ μηχανήμασι, μή ποτέ τις εἴπῃ τῶν πολεμίων, ἴσχυσα πρὸς αὐτούς· καὶ γὰρ οἱ θλίβοντες ἡμᾶς ἐὰν σαλευθῶμεν, ἀγαλλιάσονται· ὥστε

quam certe nemo aliter mercabitur, nisi illam quidem omittendo, hanc appetendo. Cur his omnibus quae possidemus pretiosum margaritum non emimus? Quid autem ex his, quae possidemus, corpore pulchrius et pretiosius habemus? Et hoc, inquam, reliquo pretio superaddamus. Etenim ne sic quidem iustam mercis aestimationem faciemus. Duplex nobis certamen, fratres; duplices nos quoque sumus; et contra par iniquissimum in aciem prodimus: est enim pugna et mentis simul et sensûs; nos autem ex spiritu et carne: et hostes quidem partim ex alto invisibiliter in tenebris iaculantur, partim vero palam nos adgredientes ac ferientes, natura scilicet nobis similes et consortes. Undique igitur circumspiciamus, ne in parte aliqua letaliter obdormiamus, quum tam varia et insidiosa lucta sit, totque utrimque tela et machinae; ne quis hostium dicat, praevalui adversus eos. Etenim qui nos vexant, si forte nutemus, laetabuntur; namque et leviter in-

καὶ τὸ μικρὸν παρεγκλῖναι, τοῦ παντός ἐστιν ἐκπεσεῖν, καὶ προδοσία τούτου τῆς νίκης· ἐπειδὴ οὖν φυλάττειν φυλακὰς ἐπιστεύθημεν, ἔτι μικρὸν ἀγρυπνήσωμεν· ἐπιστήσεται γὰρ ὁ νυμφίος ἡμῖν, καὶ τὴν εὔνοιαν καθορῶν, καὶ τὸν κόπον ἐπιμετρῶν, τοὺς μισθοὺς καταβάληται δαψιλῶς τε καὶ φιλοτίμως· ὡς ἀπαρχὰς ἡμᾶς ἅλωνος ὁ κόσμος προσοίσει τῷ λυτρωτῇ· γνωστὸν γὰρ ἔστω τοῦτο ἡμῖν, ὡς διὰ τῆς τῶν σωμάτων ἡμῶν καὶ τῶν αἱμάτων ἀποκαθάρσεως ζύμη νέα καὶ ἅλας ἐσόμεθα τοῦ ὅλου κατὰ τὸ γένος φυράματος· καὶ τῇ μὲν ζυμωθήσεται, τῷ δὲ ἁλισθήσεται· καὶ οὕτως τῷ θείῳ πυρὶ τῷ πνεύματι πρὸς ἐντελῆ ζωὴν ἀρτοποιηθήσεται, τῆς κατὰ τὴν κακίαν καὶ πονηρίαν παλαιᾶς καὶ ἀπέπτου ζύμης ἀλλοτριούμενον· δοξάσωμεν οὖν τὸν θεὸν ἐν τῷ σώματι ἡμῶν καὶ ἐν τῷ πνεύματι ἡμῶν, ἅ τινά ἐστιν τοῦ θεοῦ.

λα. Τούτοις τοῖς παρορμητικοῖς τε καὶ ὑπαλείφουσι λόγοις ἀλλήλους στομώσαντες, ὡς μετὰ πῦρ τῷ ὕδατι σίδηρος, οἱ γενναιότατοι καὶ στομωθέντες, ὡς τὸ εἰκός, ἔμενον

clinari, omnimoda subversio est, et victoriae iactura. Quoniam ergo custodiae nobis concreditae sunt, parumper adhuc vigilemus; superveniet enim nobis sponsus, qui amorem contemplans, et labores iusta lance ponderans, largam abundantemque mercedem retribuet. Utique mundus nos veluti areae primitias redemptori offeret. Namque exploratum nobis est, quod per corporum nostrorum et sanguinis purgationem, fermentum novum salque efficiemur universae generis massae, quae una fermentabitur ac salietur; atque ita divino igne, id est spiritu, panis fiet perfectae vitae idoneus, omni malitiae et improbitatis vetere et crudo fermento carens. Deum itaque tam corpore quam spiritu nostro honoremus, quorum utrumque a Deo habemus.

31. His adhortatoriis roburque adiicientibus verbis invicem confirmantes, ut post ignem ferrum aqua temperando dura-

οὐδὲν ἧττον ἄσειστοί τε καὶ ἀῤῥαγεῖς πρὸς τὰς πληγὰς, τῷ ἀντιτύπῳ τῆς ψυχῆς οὐχ ὑπείκοντες· οὓς οἱ τύραννοι θεασάμενοι διαλυομένους μὲν ταῖς σαρξὶν, καταῤῥεομένους δέ γε τῷ αἵματι, διαχλευάζοντες ἔλεγον· πῶς ὑμῖν ἡ πρώτη πεῖρα κατέστη, μακαριώτατοι; οἱ δὲ πρὸς αὐτοὺς· ὡς καταλλήλως ἡμῖν, ἔφησαν, τὰ κατ' ἐλπίδα συμβέβηκε; καὶ πάντων ὑπεράνω τῶν φοβερῶν ὑμῖν νομιζομένων γενόμενοι, πρὸς ἓν ἀποδειλιῶμεν, ὦ δικασταὶ, μή ποτε τὴν γνώμην παρὰ τὸ σύνηθες, ἐπὶ τὸ ἡμερώτερον μεταβάλοισθε, καὶ πρὸς τὰς βασάνους φειδοῖ τῶν ἡμετέρων σωμάτων ἀπονάρκήσοιτε. Δείξομεν ὑμῖν αὖθις, οἱ τύραννοι ἔφησαν, ὅπως μεταποιούμεθα· τότε τοίνυν τὴν ὅλην ἑαυτῶν κινήσαντες δύναμιν, στρατηγοῦντος αὐτοῖς τοῦ θυμοῦ καὶ τῆς ἀνοίας ὑπασπιζούσης, ὥρμησαν ἐπὶ τοὺς ἀηττήτους ἀγωνιστὰς, καὶ τοῖς ὑπηρέταις πᾶσαν εἰδέαν κολάσεων προσάγειν τούτοις παρεκελεύσαντο· πάντα τοίνυν παρῆν τὰ καὶ ὄψει φρικτὰ καὶ λόγῳ

tur, nobilissimi fortissimique martyres, ut par est, perdurabant nihilo minus immoti et inconcussi, inflictis plagis constantia animi prorsus non cedentes: quos tyranni quum laceris carnibus et sanguine diffluentes viderent, cum derisione sic affabantur: quomodo vobis primum hoc experimentum procedit, o beatissimi? Responderunt martyres: quomodo vicissim spes vestra vobis successit? Nos quidem omnibus superatis quae vos terribilia arbitramini, hoc unum, o iudices, extimescimus ne forte sententiam praeter solitum mutantes, mitiores fiatis, atque ad infligendos cruciatus misericordia nostrorum corporum obtorpeatis. Demonstrabimus vobis denuo, dixerunt tyranni, quemadmodum immutemur. Tunc ergo totis suis commotis viribus, duce furore, vesania latus stipante, contra invictos martyres irruerunt, lictoribusque imperarunt ut omne poenarum genus in eos expromerent. Cuncta illico in promptu erant, quae sunt aspectu horribilia, et dictu inef-

οὐκ ἐφικτά, τὸ πῦρ, οἱ θῆρες, ἡ μάχαιρα, καὶ οὐδὲν ἀπῆν τῶν δεινῶν τῆς μανίας ὀργώσης, καὶ τῆς ἀσεβείας τοῖς δρωμένοις ἐπιγελώσης.

λβ. Τηνικαῦτα οὖν ἦν ὁρᾶν τοὺς ἀγωνιστὰς πάσχοντας τὰ ἐλεεινότατα καὶ φέροντας ἀνδρειότατα, σαρκῶν τε θλάσματα, καὶ ὀστέων συντρίμματα, νευρῶν τε ἐκκοπάς, καὶ μελῶν ἐκτομάς, ἰνῶν τε σπασμούς, καὶ στρεβλώσεις ἄρθρων, καὶ σωμάτων ἀποδοράς, ἐκμυξήσεις τε μυελῶν, καὶ σπλάγχνων ῥήξεις, καὶ ὀφθαλμῶν ἐκβολάς, καὶ σκελῶν κατεάξεις, καὶ τῆξιν τοῦ παντὸς ὀργάνου καὶ σπαραγμούς· ποῖος κατ' ἀξίαν τὴν ποικίλην ἂν ἐκείνην τῶν σκυθρωπῶν καὶ πολυμόρφων δραματουργίαν ὡς ἐν εἰκόνι ζωγραφήσειεν λόγος, καὶ ταῖς διανοίαις πάντων ἀποτυπώσηται; φήσειεν ἄν τις εὐκαίρως εἰπὼν χειμῶνα τὰ τότε πάθη καὶ καταιγίσι καὶ σκηπτοῖς ἀμέτροις ταῖς βασάνοις περικλυζόμενον· ἢ μηδὲν τῶν καθ' ᾅδου τιμωριῶν, αἳ τοῖς ἀνόμοις ὀφείλονται, ταῦτα δοκεῖν ἐλάττονά τε καὶ εὐτελέστερα· ἦν δὲ καὶ τοῦτο ἰδεῖν

fabilia, ignis, bestiae, gladius, nihilque omnino huiusmodi deerat, flagrante crudelitate, idololatria ob ea quae fiebant cachinnum tollente.

32. Tunc enimvero cernere erat martyres miserrima patientes, et fortissime tolerantes, carnium lacerationes, ossium trituras, nervorum incisiones, membrorum mutilationes, fibrarum spasmos, articulorum torturas, corporum excoriationes, medullarum emunctiones, viscerum discerptiones, oculorum eiectiones, crurum fracturas, liquationem veluti totius corporis et distractionem. Quaenam verba terribilem illam variamque scenam tamquam in pictura describent, aut omnium mentibus repraesentabunt? Recte aliquis diceret, passiones illas tempestatem fuisse quandam, procellis fulminibusque immanibus, id est cruciatibus, agitatam: aut infernalibus poenis, quae impios manent, nihilo inferiora aut mitiora haec

ὡς ἐριννύας τοὺς ὑπηρέτας ἐφαλλομένους τοῖς ἀθληταῖς, καὶ πρὸς εὐτόνου κακίας ἐπίδειξιν σπεύδοντας, καὶ δεδιττομένους ταῖς ἐπινοίαις, καὶ θλίβοντας τοῖς χαλεποῖς ἐφευρήμασι· ἄλλος γὰρ ἄλλον τοῖς ἐφευρήμασιν φθάνοντες, τὸ πρωτεῖον ἔχειν ἐφιλονίκουν πρὸς τὸν σκοπὸν συμφώνως εὐθυποροῦντες τοῦ ὀλισθήματος· καὶ τέλος αὐτοῖς βραβεῖον αἰσχύνη καὶ ὄνειδος ἐγενήθη πονηρῷ τῷ ὄφει καὶ ἀπολέμῳ πειθομένοις στρατοπεδάρχῃ· ἀντέστραπται γὰρ τὰ τῆς τάξεως εἰς παράδοξον θαῦμα· τοῖς μὲν γὰρ βασανισταῖς ἀτονίαι καὶ νάρκαι καὶ μελῶν παρέσεις συνέπεσον, ἔτι δὲ καὶ τρόμοι καὶ εἴλιγγοι καὶ πτοιαὶ ψυχῆς ἀπαγορεύσασιν ἐν πολλῷ καμάτῳ καὶ διακένοις τεχνάσμασιν.

λγ. Οἱ δὲ τῆς πίστεως πρόμαχοι ταῖς ἀλγηδόσι μᾶλλον ἐῤῥώσθησαν, καὶ τοῖς πόνοις τὴν ἰσχὺν συνελέξαντο, καὶ τοῖς πολλοῖς κινδύνοις στερεωθέντες, τῷ πλήθει τῶν αἰκισμῶν, ἡλίου δίκην ἀπέστιλψαν, καὶ ὡς χιὼν ἐλευκάνθησαν· οὕτω τε μετὰ γενναίου φρονήματος ἐπεφώνουν τοῖς ἐναντίοις·

fuisse supplicia. Etiam hoc cernere erat, carnifices nempe, tamquam furias, martyres invadentes, suae validae improbitatis vim expromentes, ingeniis maleficis territantes, dirisque inventis excruciantes. Alius enim alium inventis suis praevertens, primas ferre certabat, uno sibi scopo proposito martyrum excidii. Sed praemium tandem ipsis contigit pudor et infamia, dum scelesto et imbelli obtemperant duci draconi. Pugna enim insperato miraculo commutata est: nam carnificibus defectio virium, torpores, membrorumque paralysis acciderunt, nec non tremores, vertigines, animae deliquia, defatigatis labore multo et vana cruciatuum excogitatione.

33. At vero fidei defensores doloribus potius roborabantur, et a laboribus vim accipiebant, totque periculis et cruciatuum multitudine obdurati, solis instar lucebant, atque ut nix albescebant; atque ita cum nobili confidentia adversariis incla-

πόθεν ὑμῖν ἡ τοσαύτη τῆς ἀπάτης ἀμβλυωπία ταῖς κόραις τῆς διανοίας ἐνέσκηπται; τίς ὁ τὸν νοῦν ἀποπλανῶν τοῦ καθήκοντος; οὐχ ὁρᾶτε διαφανῶς ὡς ὑμεῖς μὲν κολάζεσθε μαστίγων δίχα κατακρίτων ἀνδρῶν ἀθλιώτερον, ἡμεῖς δὲ ταῖς βασάνοις ὡς ἐν παλαίστρᾳ μελέταις τισὶ καὶ γυμνασίοις ἀσκούμεθα, πρὸς εὐεξίαν ἐπιδιδόντες καὶ ὡραιότητα τὴν ἐν πνεύματι; ποῦ δὲ ὑμῖν αἱ τῶν λόγων πλεκτάναι καὶ οἱ ποιητικοὶ μῦθοι καὶ τὸ πλῆθος τῶν μαθημάτων; οὐχὶ πάντα τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ σιωπᾷ καὶ πεφίμωται; εἰ οὖν μήτε ὁ λόγος ὑμῖν βεβαῖός τε καὶ ἀσφαλὴς, καὶ τὸ ἔργον τῆς καθ' ἡμῶν τυραννίδος ὑπὸ προβόλῳ τῇ πίστει διαῤῥαγὲν καταλέλυται, καὶ νῶτα δεδώκατε καλυφθέντες τὸ πρόσωπον ἐντροπῇ, τί μὴ τοῖς διωκομένοις ἡμῖν φυγάδες ὄντες συντάσσοισθε, καὶ τῆς ἐξουσίας ποιῆσθε τὸ τῆς ἥττης κράτος περιφανέστερον; ὡς ἂν ὑμῖν ἐντεῦθεν τὸ νικᾷν περιγένηται· κρείσσων γὰρ δόξης ἀτίμου εὐτέλεια εὐκλεὴς, καὶ μικροπρεποῦς ἀρχῆς μεγαλοφυὴς μετριότης, καὶ ὕψους ἐπι-

mabant: undenam vobis tanta erroris caecitas in pupillas mentis incurrit? Quis vestros animos a recto officio deflexit? Nonne manifeste cernitis, vos vel sine flagellis tamen peius addictis hominibus puniri? nos autem his cruciatibus, tamquam ludicris in palaestra aut gymnasio meditationibus exerceri, ut spiritui maiorem sanitatem pulchritudinemque adquiramus? Ubinam vobis sermones artificiose compositi, poëticae fabulae, doctrinarum copia? Nonne omnia coram simplici veritatis oratione silent et suffocantur? Si ergo neque sermo vobis est constans ac tutus, et vestrae tyrannidis opera propugnaculo fidei diffracta solvuntur, ac iam terga datis faciem pudoris causa velantes, cur nobis qui persecutionem patimur vos fugitivi non adiungimini, ut victi magis quam potestatem tenentes, gloriam consequamini? Nam nobis quidem hinc victoria consurgit. Melior est enim illustris tenuitas, quam

σφαλοῦς ταπεινότης ἀκίνδυνος· τοῖς ἡμετέροις τοιγαροῦν ἴχνεσιν ἐπακολουθήσατε, καὶ τοὺς τῆς ἀγνοίας χαρακτῆρας προαπαλείψαντες, τὸν θεῖον τῆς γνώσεως νόμον ἐν πτυκτίῳ τῆς καρδίας ὑμῶν γραφίδι πνεύματος ἡμεῖς μετεγγράψομεν· ὃν ἐγγύθεν ἀναγινώσκοντες, μαθήσεσθε καλῶς ποιεῖν, τὸ κακὸν ἀποδιδασκόμενοι· γενέσθω ὑμῖν διδασκαλεῖον τὸ προκείμενον δικαστήριον· τῷ ὑποδείγματι σωφρονίσθητε· τίνα τῶν πάντων ὑμῶν οὕτως ζωῆς ἔρως, ὡς ἡμᾶς θανάτου κατέχει διὰ Χριστόν; τὸ πῦρ ἡμῖν χιόνος οὐδὲν διενήνοχεν· ὁ σίδηρος ὑπὸ τῶν ἡμετέρων ἐκδαπανᾶται μελῶν, ὥσπερ ἀδάμαντι τοῖς σώμασι προσπεσών· οἱ ὑπηρέται μικροῦ τεθνάσιν ὑπ' ἀτονίας, εἰ μή τις αὐτοῖς βραχεία διὰ τὴν τῆς ἡμῶν καρτερίας φανέρωσιν, ἄνωθεν ἰσχὺς ἐπιψεκάσοι· νόμῳ θείῳ πειθόμενοι, καὶ ὑπὲρ ὑμῶν τῶν ἐπηρεαζόντων εὐχόμεθα, κοινωνοὺς ὑμᾶς ἔχειν τῶν τοῦ Χριστοῦ δωρημάτων βουλόμενοι· διότι καὶ ὑπὲρ ὑμῶν τὸ θεῖον ἐδόθη λύτρον πρὸς τὴν ἐκ

gloria infamis; melior modestia magnanima, quam cum angusto animo dominatio; melior denique secura humilitas, quam lubrica excelsitas. Nostra igitur vestigia sequimini, et deletis inscitiae characteribus, divinae doctrinae legem in cordis vestri pugillaribus spiritûs calamo nos scribemus: quam cominus lectitantes, bene agere condiscetis. Sit vobis scholae instar praesens tribunal, hoc exemplo corrigimini. Quemnam ex universo vestro numero tantus vitae amor tenet, quantus nos mortis propter Christum obeundae? Ignis nobis perinde ut nix est: ferrum a membris nostris consumitur, nempe in corpora tamquam in adamantem incidens: carnifices debilitati paene exanimantur, nisi ex nostrae constantiae conspectu aliquantulum ipsis virium infundatur. En nos divinae legi parentes pro vobis quoque errore abreptis oramus, comparticipes vos donorum Christi habere volentes; quia pro vobis quoque pretium impensum fuit ut captivitate expediamini.

τῆς αἰχμαλωσίας ἀνάῤῥυσιν· ἕως μὲν ἐπὶ γῆς, τὰ ὑπὸ γῆν ποινὰς μεθοδεύσωμεν· οὐδεὶς τοῦ συνδέσμου διαιρεθέντος, ἐν ᾅδῃ μετὰ τὴν διάζευξιν ἐξομολογήσηται· δοῦλοι δέδεσθε χειροπέδαις ὑμεῖς ταῖς ἀδίκοις τῶν χειρῶν ὑμῶν πράξεσι διὰ τῶν δεσμίων ἡμῶν, εἴ γε προαιρεῖσθε, λυθήσεσθε· μὴ μέλλετε οὖν, μηδὲ ἀναλύεσθε· πρόχειρος γάρ ἐστιν ἡ σωτηρία καὶ ἄπονος· λούσασθε, καθαροὶ γένεσθε· τοῦτο τῶν καλῶν τὸ κεφάλαιον, τῷ ἐλαφρῷ τοῦ εὐαγγελίου ζυγῷ τὸν αὐχένα χρηστῶς ὑποκλίναντες, τὸ βαρὺ φορτίον τῶν πταισμάτων ἐξ ἑαυτῶν ἀποῤῥίψατε· εἰ φιλίας προσχήματι τούσδε τοὺς λόγους δειλίας καὶ ἀνανδρείας ὑπολαμβάνετε, τὸ ξίφος ὑμῖν τεθήχθω, τὸ πῦρ ἀνακαιέσθω σφοδρότερον, ἀκμῆτας τοὺς βασανιστὰς ἐπιστήσατε· τοσοῦτον ἡμῖν περίεστι τὸ τῆς ψυχῆς μεγαλόνουν ἀνδρικόν.

λδ. Ἐπεὶ δὲ ταῦτα εἶπον οἱ μάρτυρες, καὶ ὁ σωτήριος λόγος τοῖς τῶν ἀκουόντων ὠσὶν ὡσεὶ ἀσπίδος κωφῆς βυου-

Quamdiu in terra versamini, poenas quae sub terra vos manent, redimere conemini. Nemo post disruptum vitale vinculum, in inferis iam separatus confitebitur. Vos quidem ceu servilibus manicis, iniustis manuum vestrarum actibus detinemini; sed a nobis captivis, si certe vultis, solvemini: ne, quaesumus, mora sit, neque hinc abeatis: in promptu est salus ac facilis: baptizamini, lustramini: haec est bonorum summa, ut levi evangelii iugo cervicem benigne subiicientes, grave peccatorum pondus procul vobis abiiciatis. Quod si forte hos sermones sub benivolentiae quidem specie, sed revera metus ac ignaviae causa a nobis prolatos existimatis, eia gladios acuite, ignem succendite vehementiorem, recentes viribus tortores apponite. Tanta nobis inest magnanimitas et fortitudo!

34. Postquam haec martyres peroraverant, sermoque salutaris in audientium aures tamquam aspidis surdae obturatas

σιν ἐντυχὼν διεσκέδαστο, τηνικαῦτα τὸ τελευταῖον βέλος ἐπαφέντες οἱ τύραννοι, πρὸς πᾶσαν ἤδη μηχανὴν πονηρίας ἀπειρηκότες, τὴν ἐπὶ θανάτῳ τοὺς γενναίους ἀπαχθῆναι καταδικάζουσι πολυτρόποις εἰδέαις διατάξαντες τὴν ἀναίρεσιν· οἱ δὲ ὄντως ἀκαταμάχητοι τῆς ἀληθείας ἀγωνισταὶ, πρὸς τὰ τῆς νίκης ἔπαθλα, καὶ τὴν ἐν Χριστῷ ἀνάλυσιν σπεύδοντες, ἐπειδὴ πρὸς τοὺς ἀφορισθέντας τόπους γεγόνασι, πρὸς βραχὺ παραιτησάμενοι τοὺς ἀπάγοντας, καὶ τῇ μὲν γῇ τὰ σώματα κάμψαντες, πρὸς οὐρανὸν δὲ τὸν νοῦν ἀνατείναντες, τοιαύτας εὐχαριστηρίους φωνὰς δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτοὺς ἀπὸ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσήνεγκαν. (1)

λε. Εὐχαριστοῦμέν σοι δέσποτα θεὲ σῶτερ καὶ ποιητὰ τοῦ παντὸς, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκί σου· καὶ τοὺς δύο κτίσας ἐν ἑαυτῷ, εἰς ἕνα καινὸν ἄνθρωπον· ἔτι παρά-

immissus evanuit, tunc telum supremum tyranni iaculantes, omni iam omisso quo se defatigaverant malitiae artificio, ad supplicium duci generosos illos imperant, cum mandato ut vario necis genere extinguantur. Porro hi vere invicti fidei athletae, ad victoriae praemia, atque ad resolutionem in Christo properantes, ubi ad destinatos locos pervenerunt, brevi mora a ducentibus impetrata, corporibus humi flexis, in caelum autem mentem intendentes, has gratiarum actiones, preces ac supplicationes ei, qui poterat eos a morte servare, cum clamore valido lacrimisque obtulere.

35. Gratias tibi agimus, domine Deus servator et universi creator, qui fecisti utraque unum, et medium maceriae parietem, iram scilicet, in carne tua solvisti, et duo in te condidisti, in unum videlicet novum hominem: quia paradisum

(1) Confer S. Petri alexandrini martyris orationem quam moriturus dicit apud nos Spicileg. T. III. p. 685.

δεισον ἡμῖν τὸ τῆς μαρτυρίας ἀνέδειξας στάδιον ἀπολαυστικώτερον τῶν προγόνων τὴν ἐν αὐτῷ τρυφὴν χαρισάμενος· τῷ γὰρ ὡρίμῳ καρπῷ τῶν ἀρετῶν διὰ τῶν κινδύνων πλουσίως ἁγιασθέντες, ἔτι καὶ οὗ μὴ θίγειν τῷ Ἀδὰμ συγκεχώρητο, τοῦ ξύλου τῆς ζωῆς ἐγευσάμεθα· καὶ εἴδομεν ὅτι Χριστὸς ὁ κύριος, ὅτι τοὺς δερματίνους χιτῶνας ἐξεδυσάμεθα διαῤῥαγέντας ξίφει καὶ μάστιξιν· καὶ ἰδοὺ σοι τὸ ἀρχαῖον τῆς ἀνεπαισχύντου γυμνώσεως κάλλος ἀμφιεσώμεθα, μηδὲν τοῦ πηλοῦ καὶ τῆς φθορᾶς ἐπισυρόμενοι λείψανον, ὅτι τὸν ὄφιν οὐ δολερῶς ἀλλὰ νόμῳ συμπλοκῆς νενικήκαμεν, καὶ τὰ πρῶτα τοῖς δευτέροις κατώρθωται· ὁ μὲν γὰρ συνεποδίσθη καὶ πέπτωκεν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν εἰς ἀσφαλὲς τοῦ γένους προπύργιον· διὰ σοῦ γὰρ οἱ ἀριθμῷ βραχεῖς καὶ ἀσθενεῖς ἡμεῖς περιεζωσάμεθα δύναμιν· οὐ γὰρ ἐν πλήθει τὸ κράτος σου, οὐδὲ ἡ δυναστεία σου ἐν ἰσχυροῖς· ἀλλὰ ταπεινῶν εἶ θεὸς, καὶ ἐλαττόνων βοηθὸς· ἀνθ᾽ ὧν ἐπὶ σὲ τὴν ἄσειστον πέτραν τῆς ψυχῆς οἰκίαν θεμελιώσαντες,

nobis testimonii ostendisti, progenitorum delectabile stadium, delicias eius nobis largiens. Maturo enim virtutum fructu per discrimina affatim sanctificati, ipsum insuper, quod tangere Adamo non fuit concessum, lignum vitae gustavimus: ac novimus dominum esse Christum, et pelliceas tunicas nos exuisse gladio flagellisque discissas. Et en tibi vetere, cuius pudere nescimus, nuditatis pulchritudine induimur, nullas luti vel corruptionis reliquias trahentes; quia draconem haud astu sed legitima pugna vicimus, et priora illa posterioribus sunt emendata. Et ille quidem impeditus est et cecidit, nos vero surreximus et erecti sumus ad tutum humani generis propugnaculum. A te enim, qui exigui numero sumus et infirmi, virtute praecincti sumus: neque ex multitudine potentia tua, neque ex fortibus vis tua existit; sed humilium es Deus, et debilium auxiliator. Quamobrem supra te immobilem petram,

τὰς εἰδωλικὰς ἐπομβρίας, καὶ τὰ ποταμηδὸν συῤῥήξαντα τῆς ἀποστάσεως κύματα, καὶ τὰς ἐπιβολὰς τῶν τῆς πονηρίας πνευμάτων ἀπεκρουσάμεθα· εἶτα καὶ τὴν ἀκανθοφόρον τῆς σαρκὸς ἡμῶν γῆν τῇ τῶν ἐντολῶν ἐργασίᾳ νεώσαντες, καὶ ταῖς ἐκροαῖς τῶν αἱμάτων τὸν ἐκ τῶν πόνων ἐν αὐτῇ καταβληθέντα σπόρον ἀρδεύσαντες, ἀντὶ τριβόλων εὐγενῆ μωλώπων καρπὸν ἀνετείλαμεν εἰς πολύχουν θέρους συλλογὴν πλεονάζοντα· ὃν οὔτε καύσων ξηρανεῖ τοῦ παλαιοῦ παραπτώματος, οὐ πετεινὰ πνεύματα καταφάγεται, οὔτε μὴν ἀκάνθαι συμπνίξουσιν περιστάσεων· καὶ νῦν οὐ κλήσει τῶν τεκόντων ἐπὶ τὴν θυσίαν παρήχθημεν, ἀλλ' αὐτόκλητοι πρὸς τὴν σφαγὴν ἀπηντήκαμεν, καθάπερ κριὸν τὸ σῶμα θῦμα προσάγοντες, ὃ μεμυαλωμένων ὁλοκαυτωμάτων λογισθείη πιότερόν τε καὶ ἐντελέστερον· καὶ προσδεχθείημεν σήμερον μεγίστη τις ὁλοκάρπωσις, κἂν τῆς ἀξίας ἀπολιμπάνηται· μικρὰ γὰρ πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωσιν· ὁ δὲ φοβούμενος τὸν κύριον, μέγας διαπαντός.

animae nempe aedificium aedificantes, idolicas procellas, et apostasiae fluctus fluminis instar ruentes, et malorum spirituum impetus propulsamus. Deinde spinosam quoque carnis nostrae tellurem laboriosa praeceptorum tuorum exsecutione novantes, et sanguinis rivis semen illic laborando iniectum irrigantes, tribulorum loco praeclarum vulnerum fructum referimus, qui in multiplicem messis cumulum consurgit: quemque nec veteris culpae aestus adurit, neque aligeri spiritus vorant, neque curarum spinae suffocant. Et nequaquam parentum vocatione sacrificio addicimur, sed sponte caedi nos obiicimus, arietis instar nostrum corpus sacrificium offerentes, quod adipe holocaustorum pinguius videbitur et perfectius. Excipiamur itaque hodie tamquam maxima oblatio, etsi minime digni sumus: quaevis enim hostia tenuis est ad efficiendum suavitatis odorem, et minimus est quantuslibet adeps

λϛ. Ἱερὸν ἡμᾶς ναὸν κατασκεύασον, ἔνδον φέροντας θυμιατήριον καὶ λυχνίαν καὶ τράπεζαν, τὰ σκεύη τοῦ ἁγιάσματος· ἵνα τὸ μὲν κατευθύνοιτο ἐνώπιόν σου ἡ προσευχὴ ἡμῶν ὡς θυμίαμα· τῇ δὲ τὸ φῶς τῶν ἔργων ἡμῶν τοῖς ἀνθρώποις λάμψειε· τῇ δὲ θυσίᾳ καὶ προσφορᾷ τοῖς πεινῶσιν πιστῶς προκαιόμεθα· τῇ γνοφώδει φύσει καὶ φθονηρᾷ, τῷ τοῦ σκότους ἄρχοντι καὶ κοσμοκράτορι διαβόλῳ περὶ τῶν ἡμετέρων σωμάτων διακρίνεσθαι σπεύδοντι, ὁ φρουρὸς ἡμῶν ἐπιτιμήσειεν ἄγγελος, ὡς ἂν τὸν ἐν τῷ ἀέρι χῶρον ἐξ ἐνέδρας τῶν ἐπιβούλων καθαρῶς διερχόμενοι, καὶ τῷ πυρὶ τῷ θείῳ δοκιμαζόμενοι, χρυσὸς καὶ ἄργυρος καὶ λίθοι τίμιοι διὰ τῶν μενόντων ἔργων καὶ μὴ κατακαιομένων εὑρεθείημεν· καὶ οὕτως ἀμέμπτως τῷ σῷ προσώπῳ ἐμφανιζόμενοι, τὸν μισθὸν κατὰ τὴν ἐπαγγελίαν ἀπολάβοιμεν βασιλείαν οὐρανῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, καὶ τῆς δικαιοσύνης τὸν στέφανον, καὶ τὸ πάντοτε συνεῖναι τῇ δόξῃ σου· πρῶτον δὲ γέ-

ad sacrificii tanti consummationem; sed tamen qui timet Dominum, quaquaversum magnus evadit.

36. Sacrum nos effice templum, intus ferentes thuribolum et candelabrum, mensam, et vasa sanctificationis; primum quidem, ut dirigatur oratio nostra sicut incensum in conspectu tuo; alterum, ut lux operum nostrorum hominibus luceat. Denique tamquam hostia et oblatio fideliter esurientibus in ara incendamur. Tenebrosam autem naturam atque invidam, principem tenebrarum, rectorem huius mundi diabolum, qui de corporibus nostris certare satagit, custos noster angelus increpet, ut ex aëreorum insidiatorum turma inviolati evadentes, et divino igne probati, aurum et argentum pretiosique lapides, per mansura opera neque comburenda inveniamur: atque ita irreprehensibiles conspectui tuo exhibiti, mercedem promissam caelorum regnum consequamur, et in sanctis locis hereditatem, et iustitiae coronam, atque omnino

ρας ἔστω ἡμῖν ἡ τοῦ γένους ἐπιστροφὴ καὶ ἐπίγνωσις· λῦσον τὰ τῶν πεπεδημένων ταῖς σειραῖς τῆς ἁμαρτίας δεσμὰ, τοὺς ἀλαμπεῖς ὀφθαλμοὺς τῇ ἀσεβείᾳ πηρωθέντας διάνοιξον, τοὺς ἀπιστείᾳ κατεῤῥαγμένους ἀνόρθωσον· ἡ κόνις ἡμῶν πᾶσαν ὡσεὶ χοῦν τὴν δαιμονικὴν ἐξ ἀνθρώπων διασπείρειε φάλαγγα· τοῖς ἡμετέροις ἰχῶρσιν αἱ νόσοι τῶν ἀσθενῶν ξηραινέσθωσαν· τὰ σώματα, ψυχαῖς ὡς φωτὸς νεφέλη ἐπισκιάσειε· καὶ πᾶσιν ἐγγὺς τοῖς δι' ἡμῶν ἐπικαλουμένοις σε γενέσθαι καταξίωσον δέσποτα· ἐπίπ̣ληξον τῇ καταιγίδι τῶν πειρασμῶν, καὶ σταίη εἰς αὔραν ἀκύμαντον, καὶ πρὸς λιμένα θελήματός σου πάντες ὁδηγηθείησαν· μία γενέσθω ποίμνη τῇ ἐνεργείᾳ τοῦ πνεύματος ὑπὸ σοῦ ταττομένη ποιμένι Χριστῷ, καὶ ὁ λαός σου ἐπὶ σοὶ εὐφρανθήσεται· ναὶ θεὲ λυτρωτὰ καὶ κύριε τοῦ ἐλέους, ἔστωσαν οἱ ὀφθαλμοί σου καὶ τὰ ὦτα σου ἀνεῳγμένα εἰς τὴν τῶν δούλων σου δέησιν.

λζ. Καὶ πέρας αὐτοῖς λαβούσης τῆς προσευχῆς, ἐκ γῆς ἀνακύψαντες, καὶ πρὸς τὸ συνειλεγμένων πλῆθος ἐπιστρα-

gloriae tuae possessionem. Primum autem sit nobis praemium humani generis conversio et illuminatio: solve ligatorum peccati catenis captivitatem, obscuratos oculos et a falsa religione caecatos aperi, incredulitate prostratos erige: cinis noster cunctam diabolicam pulveris instar profliget a mundo phalangem: cruoribus nostris morbi aegrotorum exedantur: corpora animas, ut lucem nebula, ubumbrent: omnibus adesse dignare, qui te nostro ore invocant, Domine: impera tentationum procellae, et fiat aura tranquilla, atque in portum voluntatis tuae cuncti deducantur: grex unus fiat virtute spiritûs a te pastori Christo subiectus, et populus tuus in te laetetur. Utique Deus liberator et domine misericors, sint oculi tui et aures tuae ad servorum tuorum deprecationem patentes.

37. Hac oratione finita, humo surgentes atque ad circumstantem multitudinem conversi praeclarissimi martyres, ma-

φέντες οἱ γενναιότατοι, μεγάλῃ τῇ φωνῇ ἀνεβόησαν· ἄνδρες ἀδελφοὶ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἐξαπεστάλη· χάριτι ἐστὲ σεσωσμένοι· καὶ γὰρ οἱ ποτὲ μακρὰν ὄντες, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ· τὸν καιρὸν συνεςάλθαι νομίζετε· βραχεία τῆς ἀνθρωπίνης ζωῆς ἡ προθεσμία, καὶ σφαλερὰ ἡ ὁδός, καὶ οἱ θλίβοντες ἐπληθύνθησαν, ἐχόμενά τε τρίβου τοῖς εὐδρομοῦσι σκάνδαλα τίθενται, καὶ κρύπτουσι παθῶν παγίδας οἱ ὑπερήφανοι θηρευταὶ καὶ τῆς κακίας προστάται· μὴ προσκόψητε τοὺς πόδας ἐπὶ τῷ αὐτῶν ὀλισθήματι· ἱδρώτων δεῖ καὶ πόνων· ἀγαπητοί, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσατε· ἄσπιλον τὴν πίστιν τηρήσατε· τραχύτητι βίου τὸ λεῖον τῆς ἡδονῆς ἐπιστύψατε· ἡ γλῶσσα μελετάτω δικαιοσύνην, ὅλην τὴν ἡμέραν τὸν τοῦ κτίσαντος ἔπαινον· ἡ ἀκοὴ ἐμπεφράχθω τοῖς ἀσέμνοις ἀκούσμασιν· πάροικοι ὄντες καὶ παρεπίδημοι, κατὰ τὴν θείαν παραίνεσιν, ἀπέχεσθε τῶν σαρκικῶν ἐπιθυμιῶν αἵτινες ςρατεύονται κατὰ τῆς ψυχῆς· παιδία, ἐσχάτη ὥρα ἐστίν, πάντων τὸ τέλος ἤγγικεν· εἴ τις

gna voce clamarunt: viri fratres, et qui ex vobis timetis Deum, vobis sermo salutis missus est, gratis salvati estis; nam qui eratis longinqui, nunc per Christi sanguinem proximi estis: breve tempus esse putatote, arctum humanae vitae curriculum, fallacem viam: qui tribulant multiplicati sunt: opposita in itinere currentibus offendicula: cupiditatum laqueos celant superbi venatores, et malitiae antesignani. Ne pedes in ipsorum lubrica via ponatis. Sudare ac laborare oportet. Carissimi, sicut in die honeste ambulate: immaculatam fidem servate: vitae asperitate suavitatem voluptatis coërcete: lingua meditetur iustitiam, tota die creatoris laudem: auris obturetur adversus turpem auditionem: peregrini et hospites quum sitis, iuxta divinum monitum, abstinete vos a carnalibus cupiditatibus, quae militant adversus animam. Filioli, extrema hora

οὐκ ἐνεσημάνθη τῇ σφραγῖδι τοῦ πνεύματος, σημειωθήτω φωτὶ τοῦ βαπτίσματος, καὶ τῷ ἀχράντῳ αἵματι τὰς νοερὰς ἐπιχρίσει φλιὰς, καὶ τοὺς σταθμοὺς τῶν αἰσθήσεων· οὐ γὰρ ἄλλως τὸν ὀλοθρευτὴν διαφεύξηται· μηδεὶς ἀπογνώτω τῆς σωτηρίας· τοῖς ἡμετέροις ἀγῶσι θαρσήσατε· καλὸν ὑπόδειγμα πρόκειται τὰ ἡμέτερα τραύματα· μὴ γὰρ οὐχ ὁμοίως ὑμῖν σαρκὶ συνδεδέμεθα; μὴ οὐχὶ νεύροις τε καὶ ὀστέοις καθάπερ ὑμεῖς συνηρμώσθημεν, καὶ τὸν αὐτὸν ὑμῖν ἀέρα ἐσπάσαμεν; ἀλλ' ἰδότες ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, τὴν πολλὴν ἄθλησιν τῶν παθημάτων ἐῤῥωμένως καὶ καρτερῶς ὑπεμείναμεν· καὶ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑπεδεξάμεθα, καὶ τέλος πρὸς τὸν θάνατον, ὡς ὁρᾶτε, θαρσαλέως ἤδη χωροῦμεν· μιμηταὶ οὖν ἡμῶν γίνεσθε, καθὼς καὶ ἡμεῖς Χριστοῦ τοῦ τὴν ἁμαρτίαν σταυρῷ καὶ πάθεσι κατακρίναντος.

λη. Τούτων εἰρημένων, τοῖς ἀθληταῖς ἐπιστάντες οἱ δή-

est, omnium finis appropinquavit: siquis non est signatus sigillo Spiritus, signetur luce baptismi, et immaculato sanguine mentale limen inungat, et sensuum postes; neque enim aliter exterminatorem effugiet. Nemo de salute desperet: ex certaminibus nostris fiduciam sumite: pulchro vobis exemplo vulnera nostra sunt. Nonne enim aeque ac vos carne vestiti sumus? Nonne nervis ossibusque uti vos compacti, atque eundem aërem spiramus? Attamen quum sciamus non esse condignas passiones huius temporis ad futuram gloriam quae revelabitur in nobis, gravem hanc cruciatuum luctam fortiter constanterque sustinuimus, et cum gaudio rapinam bonorum nostrorum perpessi sumus; et denique ad necem, ut videtis, alacriter pergimus. Imitatores ergo nostri estote, sicuti nos quoque Christi, qui peccatum cruce et passione proscripsit.

38. His dictis, adstantes martyribus carnifices, acuebant

μοι παρέθηγον ἀλλήλους πρὸς τὴν τῶν ἐγκελευσθέντων τελείωσιν, καὶ τοὺς νικηφόρους κατήπειγον· οἱ δὲ πρὸς τὴν σφαγὴν προθύμως ὑπέκυψαν· (1) καὶ οἱ μὲν πυρὶ ἀνθράκων κατηναλώθησαν, οἱ δὲ βρόχῳ τὸν φόνον ὑπέμειναν· καὶ τοὺς μὲν τὸ ξίφος διεχειρίσατο, τοὺς δὲ βυθὸς θαλάσσης ἐδέξατο· καὶ οἱ μὲν θηρῶν ὀδοῦσιν ἠλέσθησαν, τοὺς δὲ λιμὸς πολὺς ἀπηγχόνησεν· καὶ οἱ μὲν ἐπρίσθησαν, οἱ δὲ κατελεύσθησαν· καὶ πάντες τὴν ζωὴν ἐκλεξάμενοι τὸν ἐν κυρίῳ θάνατον ἀνεπαύσαντο.

λθ. Ὦ ψυχῶν ἱερῶν, ὦ σωμάτων ἐναγῶν, ὦ πολυτελὲς καὶ θεῖον ἀνάθημα τιμηθὲν ὑπὲρ χρυσίον τε καὶ τοπάζιον· ὦ Χριστοῦ καταγώγια, καὶ κατοικητήρια πνεύματος, καὶ δοχεῖα τῶν ἀρετῶν· ὦ στοιχείων ἐκείνων ἐξ ὧν συνεπάγητε καθ' ὃν καιρὸν ἐγεννήθητε τὴν ὕλην τοῦ σώματος, καὶ αὖθις ἀντιλαβόντων τὰ οἰκεῖα μετὰ τὴν τῶν συντεθέντων διάκρισιν, καὶ ἁγιασθέντων τῇ μεταλήψει τῆς ἀντιδόσεως· ὦ

invicem ad demandati supplicii consummationem, victoresque heroas perurgebant, qui sane alacriter caedendos se obtulerunt: atque alii igne consumpti sunt, alii laqueo mortem pertulerunt, alios gladius iugulavit, alios maris abyssus excepit, alii ferarum dentibus contriti sunt, alios fames exanimavit, alii serris dissecabantur, alii molendinis elidebantur: cuncti denique mortem in Domino praeoptantes quieverunt.

39. O sanctae animae! O sacra corpora! O pretiosum ac divinum donarium auro ac topazio aestimabilius! O Christi hospitia, Spiritus habitacula, virtutum vasa! O illa elementa, ex quibus materiam corporis in nativitate habuistis, certe denuo quicquid vestrum est recuperabitis, post huius compositi discretionem, sanctificata per mercedis receptionem! O beata multitudo, et splendor multiplex una velut in anima fulgens!

(1) Confer specimen ethnicae in infligendis suppliciis crudelitatis apud latinum poëma volum. II. herculan.

μακαρία πληθὺς καὶ πολύφωτες αὐγὴ μιᾷ ψυχῇ καταστράπτουσα· ποίοις ὑμᾶς, νικηταὶ, θριάμβοις ὑπὲρ φύσιν ἀνδρισαμένους ἀνακηρύξομεν; ποίοις τροπαίοις ἀνεπιλήστοις τοῖς ἀμαράντοις ἐκ ψαλμῶν καὶ ὕμνων καὶ ᾠδῶν πνευματικῶν στεφάνοις ὑμᾶς πολυτελῶς ἀναθήσομεν; ὑμεῖς τιμὴν τοῖς γονεῦσιν εὐαγγελικῶς ἀπενείματε· τοῖς γὰρ πάθεσιν ὑμῶν τὴν προπατορικὴν αἰσχύνην ἐπικαλύψαντες, τοῦ ὀνείδους τοὺς τεκόντας ἠλευθερώσατε, καὶ χαρᾶς ἀντὶ λύπης τῇ φύσει κατέστητε πρόξενοι· ὑμεῖς τὴν γῆν οὐρανώσατε, φανέντες ἀνατολή τις ἀσκότιστος, καὶ ὄρθρος δικαιοσύνης καὶ ἀστέρες κατὰ πάντα τόπον ἐκλάμποντες, στηριγμοὺς ἐπὶ τῆς ἀπλανοῦς τῶν ἐντολῶν πορείας ποιούμενοι· οὐ πατὴρ κωκύων, οὐ μήτηρ κόμας σπαράττουσα, καὶ παῖδες κλαυμοιριζόμενοι, καὶ συγγενεῖς θρηνοῦντες, καὶ φίλοι στενάζοντες, ἐμάλαξαν ὑμῶν τὴν στεῤῥότητα· πρὸς γὰρ τοῖς διώκταις, ἔτι καὶ πρὸς φύσιν ἐπολεμήσατε, καὶ νενικήκατε τὴν ἀήττητον, ἣ καὶ θήρας ἔκαμψεν πρὸς συμπάθειαν, καὶ ἰοβόλων ἑρπετῶν ἀγριό-

Quibus vos, o supra naturae vires victores, triumphalibus praeconiis celebrabimus? Quibus memoriae aeternae trophaeis, vel quibus immortaliter virentibus ex psalmis, hymnis, canticisque spiritalibus, magnifice vos coronis praecingemus? Vos honorem parentibus ex evangelii norma reddidistis: vestris enim passionibus progenitorum turpitudinem obtegentes, dedecore patres liberavistis, et gaudium loco luctus humanae naturae conciliastis. Vos terram in caelum convertistis, qui estis tamquam oriens serenus, mane iustitiae, stellae in omni loco lucentes, qui nimirum gressus vestros in recta praeceptorum semita movetis. Non pater lamentans, non mater capillos vellens, non liberi eiulantes, non cognati plorantes, non amici gementes, constantiam vestram molliverunt. Non solum enim cum persecutoribus, verum etiam cum ipsa natura pugnastis, vicistisque invictam illam, quae et feras et

τητα· πάντων γὰρ ζώων τυραννικῶς ὑπερίσταται, τῷ ἐντεθέντι νόμῳ κρατοῦσα, καὶ τοῦτον ἀναγκαίως φυλάττουσα μέχρι παντὸς ἀπαράβατον· ἀλλ' ὑμεῖς γένος ἀλλήλοις κατέστητε τῷ κοινῷ τῶν παθημάτων δεσμῷ, καὶ παράδοξον ἐργάσασθε σύγκρασιν αἷμα μίξαντες αἵματι τῇ ἀγχιστείᾳ τῶν αἰκισμῶν· οὐ χρημάτων ὑμῶν, οὐκ εὐδαιμονίας πόθος τὴν πρὸς θεὸν ἀγάπην ἠμαύρωσεν· χρυσὸς γὰρ ὑμῖν, τῆς πίστεως τὸ δοκίμιον· πλούτου περιουσία, τὸ πνεῦμα τῆς ταπεινώσεως· μείζονά τε πλοῦτον ἡγεῖσθε τῶν κοσμικῶν θησαυρῶν, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· εἰς τὴν μισθαποδοσίαν γὰρ ἀπεβλέπετε, γινώσκοντες ἔχειν ἑαυτοὺς κρείσσονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν· γαυρίαμα δόξης ὑμῖν, ἀτιμία διὰ Χριστόν· εὐεξία, καρδία συντετριμμένη· τρυφὴ πρὸς κόρον, ἐγκράτεια· κάλλος σώματος, ἡ νέκρωσις τῶν παθῶν· ἰσχύς, ἡ ἐν ἀσθενείᾳ χάρις καὶ τελείωσις.

μ. Ὑμεῖς τὸν εἰς τὸν ἀμπελῶνα κληθέντων προγόνων

venenatorum serpentium saevitiam ad misericordiam flectit: naturam, inquam, quae tyrannice in animantibus eminet, insita vi pollens, quam semper et ubique necessario retinet. Attamen vos cognationem inter vos mutuam effecistis communi passionum vinculo colligatam; miramque concretionem fecistis, sanguinem sanguini miscentes cruciatuum communione. Non opum, non felicitatis amor vestrum erga Deum amorem debilitavit: pro auro vobis fuit fidei probitas; pro copia opum, spiritus humilitatis: et Christi opprobrium maiore in pretio habuistis, quam mundanos thesauros: namque ad mercedem respexistis, gnari scilicet vos meliorem habere et perennem in caelis substantiam: vobis gloriae iactatio, dedecus pro Christo: alacritas, cordis contritio: deliciarum saturitas, continentia fuit: pulchritudo corporis a vobis creditur, cupiditatum mortificatio: virium instar, charitas in infirmitate et consummatio.

ἐν βραχεῖ καιρῷ μείζονα τὸν κάματον εἰσενέγκατε· καὶ γὰρ ὑπὲρ τὸν προπάτορα διὰ τῶν ἔργων ἐδείχθητε· Χριστοῦ γὰρ τὰς ἐντολὰς ἐτηρήσατε· τῆς Ἄβελ θυσίας δῶρον ἱερώτατον ἀνηνέγκατε, τὸ τῶν ψυχῶν ὁλοκαύτωμα· κἀντεῦθεν πρὸς ἀφθαρσίαν ὑπὲρ τὸν Ἐνὼχ μετετέθητε, κιβωτὸν ἑαυτοὺς ἐξ ἀσήπτων ξύλων τῶν ἀρετῶν κραταιοτέραν τῆς Νῶε κατεσκευάσατε, δι' ἧς τοῦ τῶν εἰδώλων πνιγμοῦ διεσώθητε· Ἀβραὰμ ἐν τύπῳ καὶ σκιᾷ τὸ τῆς τριάδος μυστήριον κατενόησεν, ὑμεῖς δὲ τοὺς ὑπὲρ τῆς τριάδος ἀγῶνας ἀναδεξάμενοι μεγαλοφωνότατοι κήρυκες τῆς ἀληθείας γεγόνατε· ὑπὲρ τὸν Ἰσαὰκ ἐκαλλιερήθητε, τῇ ἑαυτῶν σφαγῇ τὴν θυσίαν τελέσαντες· τὴν ἄπλαστον ἀναστροφὴν Ἰακὼβ τῷ ἀπανουργεύτῳ τῆς προαιρέσεως παραλλάξαντες· τῷ τῆς περιστερᾶς ἀκεραίῳ τὴν περὶ τὸ καλὸν ὑμῶν ἕξιν κατὰ τὴν ἐντολὴν ὡμοιώσατε· καὶ οἰκίαν περιφανῆ τὴν ἐκκλησίαν ἀνοικήσαντες, βρώματα τῷ πατρὶ θεῷ προσηγάγετε τὰ ὑμέτερα τραύ-

40. Vos brevi hora maiorem, quam vocati illi patriarchae, laborem in vinea pertulistis: nam vestrum primum progenitorem operibus superastis; Christi enim mandata observastis. Multo sanctius quam Abel sacrificii donum obtulistis, animarum nempe vestrarum holocaustum: ideoque ad immortalitatem potiorem quam Henoch translati estis, arca vobis ex imputribilibus virtutum lignis validiore, quam illa Noachi, fabricata; qua vecti ab idolorum suffocatione evasistis. Abraham in typo et umbra mysterium Trinitatis agnovit; vos autem dum pro Trinitate certamina suscepistis, clamosissimi veritatis praecones facti estis. Melius quam Isaac sacrificium obtulistis, qui vestra caede rem sacram fecistis. Simplicem Iacobi vitam, sinceritate propositi superastis. Columbarum innocentiae, vestram vitae optimae conditionem, iuxta praeceptum, assimilastis; domumque illustrem ecclesiam aedificantes, convivium patri Deo exhibuistis, vestra scilicet vulnera,

ματα, καθάπερ ἔριφον σφάξαντες τὸ σῶμα τῆς ταπεινώσεως, παρ' οὗ καὶ τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος, εἰλήφατε· σωφροσύνῃ τὸν Ἰωσὴφ παρηλάσατε, τὴν ἀκόλαστον ἐν πράγμασί τε καὶ σχήμασι τῶν ψευδωνύμων θεῶν δόξαν ἀποσεισάμενοι, καὶ τὸν περικείμενον χιτῶνα τὸ σῶμα τοῖς πορνικοῖς τὸν νοῦν τυράννοις ἀπεκδυσάμενοι· τοὺς πειρασμοὺς Ἰὼβ διηντλήσατε, καὶ τὸ μεῖζον ἢ κατ' ἐκεῖνον μέχρι θανάτου πρὸς τὰ δεινὰ καρτερήσαντες· ὑπὲρ τὸ Μωϋσέως ἐδοξάσθητε πρόσωπον, τὸν τῆς χάριτος καὶ ἀληθείας νόμον καὶ δεξάμενοι καὶ φυλάξαντες, καὶ τὴν φονώδη καὶ ἐρυθρὰν τῆς ἑτεροθρησκείας ἀβρόχοις ποσὶ διαπεράσαντες θάλασσαν, τὴν γῆν τῆς ἐπαγγελίας τὴν ἐπουράνιον Ἱερουσαλὴμ κατελάβετε· πρότερον πολλοῖς σημείοις καὶ τέρασιν ἐν τῷ ἐρήμῳ, βίῳ τῆς εὐσεβείας, τὴν ἑαυτῶν ἰσχὺν τοῖς ἐναντίοις γνωρίσαντες, καὶ τὸ τῶν δακνόντων ὄφεων καὶ τὴν πτέρναν τηρούντων θράσος, διὰ θανάτου καταπατήσαντες καὶ νεκρώσαντες· ἀντὶ τῆς Ἀαρὼν χειροποιήτου στολῆς, τὴν

4. Ὁ δὲ τρίτος καὶ τελευταῖος τὴν ἀνατροπὴν ἔχει κατὰ τῶν ὑποκρινομένων τὴν μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τὴν ἐν Χαλκηδόνι, καὶ τὰ Νεστορίου πρεσβευόντων· οὗτοι γὰρ, ὥσπερ ἀμέλει καὶ οἱ λοιποὶ τῶν αἱρέσεων μύσται, τάς τε θείας γραφὰς, καὶ τὰς προηγησαμένας ἁγίας συνόδους προσίεσθαι δοκοῦσιν· οὐ φρονοῦντες μὲν κατ' αὐτὰς, προκάλυμμα

δὲ τῆς αὐτῶν ἀσεβείας ταύτας ποιούμενοι, πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων· οἷον Ἀπολινάριος μὲν καὶ Μακεδόνιος, τὴν ἐν Νικαίᾳ· Νεστόριος δὲ πρὸς ταύτῃ, καὶ τὴν ἐν Κωνσταντινουπόλει· Εὐτυχῆς δὲ πρὸς ταῖς ἄλλαις, καὶ τὴν ἐν Ἐφέσῳ· οὕτω δὴ καὶ οὗτοι τὴν ἐν Χαλκηδόνι ἁγίαν ὑποκρίνονται σύνοδον, ἅμα μὲν τὴν ἑαυτῶν ἀσέβειαν συγκαλύπτοντες τῇ ἀξιοπιστίᾳ τῶν προσώπων, ἅμα δὲ σφίσιν αὐτοῖς προσδοποιοῦντες τὴν κατὰ τῆς ἀληθείας ἐγχείρησιν· ὧν τὴν πανουργίαν, μετὰ τῆς συμπεπλεγμένης ἀσεβείας, ἀνακαλύψαι βουλόμενοι, ἐπὶ τοὺς πρώτους αὐτῶν τῆς ἀσεβείας πατέρας τὸν ἔλεγχον μετηγάγομεν, τὰς ἀρχὰς αὐτῶν καὶ τὰς πηγὰς τῆς ἀθεότητος εἰς τὸ ἐμφανὲς ἄγοντες· οὕτω τε καθάπαξ αὐτὰς ἀποφράττειν, καὶ τῆς ἀθέου φορᾶς ἀνακόπτειν σπουδάζοντες, τῷ ἁπλῷ ἐλέγχῳ τῆς ἀληθείας· ταύτῃ γὰρ καὶ τὸ λοιπὸν ῥεῦμα τῆς ἀσεβείας ἀφανισθήσεται, ἐπειδὴ συνδιαφθείρεσθαι πέφυκε ταῖς ἀρχαῖς τῶν κακῶν, καὶ τὰ ἐκ τούτων ἀποτελέσματα· τὸν δὲ λόγον τὸν ἐπὶ τῶν ἐλέγχων εἰς κεφάλαια καταδιείλαμεν, ἀριθμὸν αὐτοῖς ἐπὶ τοῦ μετώπου παραγράψαντες, διὰ τὸ εὐμνημόνευτον· ἐπιγέγραπται δὲ ὁ λόγος οὕτως, τῆς ἀποῤῥήτου καὶ ἀρχοειδεστέρας τῶν Νεστοριανῶν ἀσεβείας, καὶ τῶν ταύτης πατέρων, φώρα καὶ θρίαμβος.

5. Παρακαλοῦμεν δὲ τοὺς ἐντευξομένους τῷδε τῷ μετρίῳ συντάγματι συγγνώμην ἡμῖν νέμειν, ἐν οἷς τε μὴ καιρίως τοὺς ἐναντίους βεβλήκαμεν, καὶ εἴ τι τοῦ δέοντος ἀσθενέστερον προηγωνισμένοι τῆς ἀληθείας φανείημεν· τῆς μὲν γὰρ ἀξίας τῶν πραγμάτων, ὁμοίως πάντες ἀπολειπόμεθα· τῷ δὲ ζήλῳ τῆς εὐσεβείας, ἄλλος ἄλλου διενηνόχαμεν· κατὰ δὲ τὴν οἰκείαν προπαρασκευὴν ἕκαστος δηλονότι καὶ τὸ μέτρον

ἕξει τῆς χάριτος· καὶ τοῦτο δὲ ἐν ἀγάπῃ προτρέπομεν τὸν ἐντευξόμενον, ἵν' εἴ τι μὴ σαφῶς αὐτῷ τῶν παρ' ἡμῶν εἰρῆσθαι δόξειεν, ἢ διὰ τὴν τοῦ θεωρήματος βαθύτητα, ἢ διὰ τὴν ἐνίων λέξεων παρηλλαγμένην σημασίαν τε καὶ ἰδιότητα, τούτῳ μὴ κατὰ τὴν πρώτην ἔντευξιν κακίζειν· ἐπιστήσας γὰρ δὶς ἢ καὶ πολλάκις τοῖς εἰρημένοις τὸν νοῦν, τρανουμένην αὐτῷ εὑρήσει τῶν λεγομένων τὴν διάνοιαν· αὐτοτελὴς δὲ μισθὸς τοῦ κατὰ τὴν ζήτησιν πόνου, τῆς ἀληθείας ἡ εὕρεσις· χρήσεις γε μὴν τῶν συνταγμάτων ἑκάστῳ τοῖς παρ' ἡμῶν ἐκτεθειμένοις συνηγορούσας ὑποτετάχαμεν, τὴν ἀλήθειαν τῶν εἰρημένων καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας πιστούμενοι.

ΛΟΓΟΣ Α.

ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΘΕΟΤΗΤΑ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΑΝΘΡΩΠΟΤΗΤΑ ΕΝΑΝΤΙΑΣ ΔΟΚΗΣΕΩΣ ΝΕΣΤΟΡΙΟΥ ΚΑΙ ΕΥΤΥΧΟΥΣ, ΕΛΕΓΧΟΣ ΚΑΙ ΑΝΑΤΡΟΠΗ.

6. Τὸν περὶ ὑποστάσεως καὶ οὐσίας λόγον, ἤγουν προσώπου καὶ φύσεως, (οὐ (1) ταὐτὸν γὰρ ἄμφω) καὶ περὶ ταὐτὸν ἑκάτερα συγκεχυμένον καὶ ἀτράνωτον παρὰ τοῖς νῦν οὖντα σοφοῖς, τρανῶσαί τε καὶ διασαφῆσαι προὔθέμην, ἄλλα τέ τινα κεφάλαια τῆς ἀκολουθίας ἐχόμενα τῆς πρώτης ζητήσεως ἐπιλύσασθαι, θεοῦ συνεφαπτομένου ἡμῖν, καὶ τὸ ἀσθενὲς τῶν λογισμῶν ὑπερείδοντος διὰ τῶν ὑμετέρων εὐχῶν, αἷς καὶ θαῤῥῶν, εἰς τὴν τοῦδε τοῦ λόγου καθῆκα ἐμαυτὸν ἐξέτασιν· οὐκ ἀγνοοῦμεν δὲ ὡς οἱ νῦν ἡμῖν ἐπαναστάντες, καὶ μίαν ἔχοντες τὴν πρός τε τὸ καλὸν, καὶ τοὺς θεηγόρους

(1) Particula οὐ, *non*, additur codici a secunda manu. Eam reapse non legebat Turrianus, qui idcirco sensum loci aliter explicavit.

ἄνδρας ἐναντίωσιν, ὥσπερ ἐκείνους, οὕτω δὴ καὶ ἡμᾶς τοὺς τὴν μάθησιν αὐτῶν ἐζηλωκότας καὶ προϊσχομένους διαπτύουσι, καὶ τιμῶντες ἡμᾶς ταύτῃ λελήθασι τῇ κοινωνίᾳ τῆς ἀτιμίας· οἱ γὰρ αὐτοὶ τά τε θεῖα παίζουσι, καὶ τοὺς θεολόγους ὑβρίζουσι· καὶ τί μέγα, εἰ καὶ ἡμᾶς τοὺς μηδὲν ὄντας ἐξουθενοῦσιν; ὧν τοῦτο μόνον ἄξιόν ἐστι θαυμάζειν, ὅτι πάσης μὲν ἀρετῆς τῆς ἐν ἔργοις σπουδαίως ἀμελοῦσιν, κελεύουσι δὲ σφᾶς αὐτοὺς εἶναι σοφούς· καὶ εἰσὶ οἷον ἐξ ἐπιτάγματος συνετοὶ, καὶ τὸ θέλειν αὐτοὺς μόνον εὐπαιδεύτους ἀπέφηνεν, ὡς ἀκροφιλοσόφους αὐτούς τις τῶν ἀστειοτέρων χαριέντως ὠνόμακεν· ἀλλ' οὐ χρὴ διὰ τὴν ἐκείνων μοχθηρὰν προαίρεσιν, ἡμᾶς γέ τι καθυφεῖναι ἢ τῆς παῤῥησίας ἢ τῶν ἀγώνων· τοὐναντίον μὲν οὖν, τοῖς τῶν μακαρίων ἀνδρῶν ἀθλήμασι πρὸς ἀνδρεῖαν ὡς τὰ μάλιϛα παραθήγεσθαι, καὶ ταὐτὸν πάσχειν τῷ θερμοτάτῳ σιδήρῳ· ἐκεῖνος τε γὰρ στομοῦται τῷ ψυχρῷ προσομιλήσας ὕδατι· καὶ ἡμεῖς τοῖς τούτων ἀγῶσι, πρὸς τοὺς ἄθλους ῥωννύμεθα· εἶεν δὲ οὖν τῷ τομωτάτῳ λόγῳ, ὥσπερ μαχαίρᾳ διστόμῳ, τὴν ἐφ' ἑκάτερα αὐτῶν κατὰ τῆς ἀληθείας ἔνϛασίν τε καὶ ἀντιπαράταξιν διατεμόντες, ἀνατρέψωμεν τῆς ὑποθέσεως ἐντεῦθεν ἀρξάμενοι.

7. Οἱ τῆς Νεστορίου ἀνθρωπολατρείας, καὶ οἱ τῆς Εὐτυχοῦς φαντασίας, μᾶλλον δὲ οἱ τῆς ἑκατέρας φαντασίας μαθηταὶ, καλῶς γὰρ αὐτοὺς εὐλαβὴς καὶ θεῖος ἀνὴρ οὕτω κέκληκεν (1) ἐναντιοδοκήτας ἑκατέρους καλέσας· οἱ μὲν γὰρ τὴν θεότητα, οἱ δὲ τὴν ἀνθρωπότητα δοκήσει λέγουσιν εἶναι ἐν τῷ σωτῆρι, πλὴν ὅσον ἑκάτερος· ὁ μὲν τὴν εὐδοκίαν καὶ τὴν ἀξίαν, ἀντὶ τῆς κατὰ τὴν θεότητα φαντασίας· ὁ δὲ τὴν ἄῤῥητον σάρκα, ἀντὶ τῆς φύσει καὶ ἡμετέρας προσί-

(1) Schol. in marg. περὶ τοῦ ἀββᾶ Νόννου φησί.

σχοντα, εὐπρεπέσιν ὀνόμασι καὶ εὐφήμοις ῥήμασιν, ὥσπερ χρώμασιν ἐπιπλάστοις, τὸ τῆς ἐναντίας μὲν, ἴσης δὲ ἀσεβείας δυσειδὲς ἀποσεμνύνειν ἐπιχειροῦντες· ὡσανεὶ τούτου ἐσπουδασμένου ἡμῖν κάλλος ἀσκεῖν ὀνομάτων, ἀλλ' οὐ τὸ τῆς ἀληθείας χρυσοῦν ὄντως πρόσωπον ἐποπτεύειν, ἧς οὐδὲν ἐρασμιώτερον, κἂν τὸ τῆς λέξεως εὐπρεπὲς καὶ φαιδρὸν μὴ προσῇ· μηδὲ γὰρ κομμωτικῶν αὐτὴν προσδεῖσθαι καλλωπισμάτων, φυσικῷ κάλλει λελαμπρυσμένην, καὶ μηδὲν δεομένην τῆς ἐκ τῶν ῥημάτων ὥσπερ προστριμμάτων ἀπατηλῆς ἐπιμορφώσεως· οὗτοι δὴ οὖν ἑαυτοῖς τε καὶ τῇ ἀληθείᾳ ἀπομαχόμενοι, διὰ τῶν ἐναντίων τὸν κατ' αὐτῆς ἐμερίσαντο πόλεμον, ταῖς αὐταῖς προτάσσειν ἑκάτερος αὐτῶν πρὸς τὸν ἴδιον ἀποχρώμενοι σκοπόν· ὥστε τὴν διὰ τῶν ἐναντίων συμφωνίαν, ἑνὶ τῷ τῆς ἀληθείας ἐλέγχῳ πρὸς τῶν γνωρίμων αὐτῆς ἀνατρέπεσθαι, καὶ γίνεσθαι περιουσίαν νίκης, τῆς πονηρίας τὴν συμφωνίαν· οἷς γὰρ ἂν θάτερον τῶν κατὰ τὴν ἀσέβειαν συμπεπλεγμένων ἀνατρέψαιμεν, τούτοις συνανατέτραπται καὶ ὁ ἕτερος.

8. Ἰστέον γὰρ, ὡς ταὐτὸν πέπονθε περὶ τὴν οἰκονομίαν Εὐτυχῆς πρὸς Νεστόριον, ὃ περὶ τὴν θεολογίαν Σαβέλλιος πρὸς τὸν Ἄρειον· ἐκεῖνοι τε γὰρ διὰ τῶν ἐναντίων, εἰς τὸ ἴσον κακὸν ἐμπεπτώκασιν· ὁ μὲν διὰ τὴν οὐσίαν εἰς μίαν ὑπόστασιν συγχέων τὰς ὑποστάσεις, ὁ δὲ διὰ τὰς ὑποστάσεις συνδιαιρῶν ταύταις καὶ τὴν οὐσίαν· καὶ οὗτοι δὲ τὸ ἀνάπαλιν, ὁ μὲν τέμνει τὰς φύσεις εἰς ὑποστάσεις, ὁ δὲ φύρει τὰ φύσεις εἰς φύσιν· καὶ ὁ μὲν ποιεῖ τὴν ὑπόστασιν ὑποστάσεις, ὁ δὲ τὰς φύσεις εἰς φύσιν ἀναχέει· οἷς γὰρ προβλήμασι διαιρουμένην ὑπὸ τῶν προτέρων ἔστιν ἰδεῖν τὴν τριάδα, τούτοις συγχεομένην ὑπὸ τῶν ὑστέρων εὑρίσκομεν

τὴν οἰκονομίαν· οἷς δὲ διαιροῦσι τὴν οἰκονομίαν οἱ νῦν, τούτοις ἐκεῖνοι συγχέουσι τὴν θεότητα· φέρε δὴ οὖν τὰς προτάσεις αὐτῶν τὰς σοφιστικὰς εἰς μέσον τῷ λόγῳ παραγάγωμεν, καὶ ὥσπερ ἐν δικαστηρίῳ, χώραν αὐτοῖς τῶν καθ' ἡμῶν ἐγκλημάτων ἐνδόντες, οὕτω διαλῦσαι τὰς ματαίας αὐτῶν κατὰ τῆς ἀληθείας ἐπινοίας πειρασόμεθα.

9. Φασὶ γάρ· εἰ δύο φύσεις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ φατὲ, οὐκ ἔστι δὲ φύσις ἀνυπόστατος, δύο ἄρα ἂν εἶεν καὶ αἱ ὑποστάσεις· εἷς δέ ἐστιν ἀμφοτέροις ὡς ἔφην ἀγὼν, κἂν ὁ σκοπὸς ᾖ διάφορος· οἱ μὲν γὰρ ἵνα ταῖς φύσεσι συνεισαγάγωσι τὰς ὑποστάσεις, οἱ δὲ ἵνα διὰ τῶν ὑποστάσεων καὶ τὰς φύσεις ἀνέλωσι, τῷ αὐτῷ κέχρηνται προβλήματι· ἀλλ' ἀκουέτωσαν καὶ πρὸς ἡμῶν οἱ τῆς Εὐτυχοῦς μοίρας· ὁ μὲν γάρ τις κοινὸς ἡμῖν πρὸς ἑκατέρους, ὁ δὲ ἴδιός ἐστι πρὸς τούτους ἀγών· τί δὲ ὑμεῖς φατέ; μίαν ἁπλῶς λέγετε φύσιν; οὔ, φασιν, ἀλλὰ μίαν σεσαρκωμένην· οὐδὲν δὲ κωλύει καὶ χαριέστερον ὑμῖν συμπλακῆναι, τὴν μὲν δὴ μίαν ἣν φατὲ τοῦ λόγου φύσιν λαβόντες ἔχομεν παρ' ὑμῶν, περὶ δὲ τῆς ἑτέρας ἔστω ἡ διαμάχη· ἣν φύσιν μὲν ἑτέραν παρὰ τὴν τοῦ λόγου φαμὲν ἡμεῖς, σὰρξ δὲ πρὸς ὑμῶν καλεῖσθαι φιλεῖ· τί φατὲ περὶ τῆς σαρκὸς ταύτης; ἔχει φύσιν, ἢ οὐσίαν, ἢ μέρος γε φύσεως; τοῦ δὲ πόσου, ὑμεῖς ἂν εἴπητε κύριοι, εἴτε ἥμισυ εἴτε τρίτον, εἴτέ τι ἄλλο ποστημόριον καλεῖν θέλετε· καὶ ἵνα τῷ αὐτῷ ὑμῖν χρήσωμαι σχήματι, ἔστι σὰρξ ἀνούσιος, ἢ φύσεως ἄμοιρος; καὶ πῶς ἂν ἀποφεύξησθε τὴν ὑμετέραν ἀπορίαν; εἰ μὲν γὰρ ἔστι σὰρξ ἀνούσιος, ἢ φύσεως ἐκτὸς, δείξατε τίς οὖσα, καὶ πῶς ἔχουσα τυγχάνει αὕτη, καὶ ἡμεῖς στέρξομεν· εἰ δὲ τῆς ἐσχάτης ἐστὶν ἀμαθίας, σάρκα ὑποτίθεσθαι, οὐκ οὖσαν τοῦθ' ὅπερ καὶ λέ-

γεται, ἢ οὐ λεγομένην ὅπερ ἐςὶν, πῶς ἀποφεύξεσθε ἣν ἡμῖν αὐτοὶ προεβάλεσθε πρότασιν; εἰ γὰρ οὐκ ἔστι σὰρξ ἀνούσιος, τουτέστι φύσιν οὐκ ἔχουσα, οὐκ ἔστι δὲ φύσις ἀνυπόστατος, οὐκ ἄρα ἔσται σὰρξ ἀνυπόςατος· ὥρα δὴ οὖν ὑμᾶς ἢ τέλεον ἀποσκευάσασθαι σαρκὸς τὴν φύσιν, ἢ δύο ὑποςάσεις διδόναι τῷ κυρίῳ, κατὰ τὴν ὑμετέραν νομοθεσίαν τὴν φάσκουσαν οὐκ ἔστι φύσις ἀνυπόστατος· εἰ γὰρ οὐκ ἔστι φύσις ἀνυπόστατος, φύσιν δὲ τοῦ λόγου λέγετε, καὶ ὑπόστασιν ἄρα τῷ λόγῳ δώσετε· καὶ ἔστι λοιπὸν περὶ τῆς σαρκὸς τὸ ζητούμενον, εἰ μὴ καὶ αὕτη τὴν φύσιν ἔχουσα τὴν ἰδίαν, ἀξιοῦται καὶ τῆς κλήσεως· καὶ ταύτης γε τυχοῦσα, ἔχοι καὶ τὴν ὑπόστασιν· ἢ μὴ ἔχουσα τὴν ὑπόστασιν, καὶ τὴν φύσιν προσαπολέσει· οὕτω μὲν οὖν ὑμεῖς ταῖς οἰκείαις ἀπορίαις ἐνέχεσθε, καὶ οὐδὲν παρὰ τοῦτο τὸ πανοῦργον ὑμᾶς ἔξω τῶν εὐθυνῶν πεποίηκεν, ὧν ἡμᾶς ἐγράψασθε· ἓν ἔτι τῶν ἀπόρων ἐπιλύσαντες, πολλοῦ τινὸς ἄξιοι φανεῖσθε· εἰ οὐκ ἔστι φύσις ἀνυπόστατος, ἐκ δύο δὲ φύσεων ὁμολογεῖτε τὸν κύριον, ἐκ δύο ἄρα ἔσται καὶ ὑποστάσεων· καὶ τίς λοιπὸν τῇ Νεστορίου διαιρέσει ὑπεύθυνος γεγένηται, ὑμῖν παραχωροῦμεν σκοπεῖν· οὕτω μὲν οὖν ὑμᾶς, καὶ διὰ τούτων ἀπεπεμψάμεθα· τοῖς δὲ ἐκ διαμέτρου ὑμῖν ἀποσφαλεῖσι τῆς ἀληθείας, οὕτω διαλεξόμεθα.

10. Οὐ ταὐτὸν, ὦ οὗτοι, ὑπόστασις καὶ ἐνυπόστατον, ὥσπερ ἕτερον οὐσία καὶ ἐνούσιον· ἡ μὲν γὰρ ὑπόστασις τὸν τινὰ δηλοῖ, τὸ δὲ ἐνυπόστατον τὴν οὐσίαν· καὶ ἡ μὲν ὑπόστασις, πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι· τὸ δὲ ἐνυπόστατον, τὸ μὴ εἶναι αὐτὸ συμβεβηκὸς δηλοῖ, ὃ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι, καὶ οὐκ ἐν ἑαυτῷ θεωρεῖται· τοιαῦται δὲ πᾶσαι αἱ ποιότητες, αἵ τε οὐσιώδεις καὶ ἐπουσιώ-

θεις καλούμεναι, ὧν οὐδετέρα ἔστιν οὐσία, τουτέστι πρᾶγμα ὑφεστώς, ἀλλ' ὃ ἀεὶ περὶ τὴν οὐσίαν θεωρεῖται, ὡς χρῶμα ἐν σώματι, καὶ ὡς ἐπιστήμη ἐν ψυχῇ· ὁ τοίνυν λέγων οὐκ ἔστιν φύσις ἀνυπόστατος, ἀληθὲς μὲν λέγει· οὐ μὴν ὀρθῶς συμπεραίνει, τὸ μὴ ἀνυπόστατον συνάγων, εἰς τὸ ὑπόστασιν εἶναι· ὥσπερ ἂν εἴ τις μὴ εἶναι λέγοι σῶμα ἀσχημάτιστον, ἀληθὲς λέγων· ἔπειτα συνάγει οὐκ ὀρθῶς τὸ σχῆμα σῶμα εἶναι, ἀλλ' οὐκ ἐν τῷ σώματι θεωρεῖσθαι· ἀνυπόστατος μὲν οὖν φύσις, τουτέστιν οὐσία, οὐκ ἂν εἴη ποτέ· οὐ μὴν ἡ φύσις ὑπόστασις, ὅτι μὴ δὲ ἀντιστρέφει· ἡ μὲν γὰρ ὑπόστασις καὶ φύσις, ἡ δὲ φύσις οὐκέτι καὶ ὑπόστασις· ἡ μὲν γὰρ φύσις, τὸν τοῦ εἶναι λόγον ἐπιδέχεται· ἡ δὲ ὑπόστασις, καὶ τὸν τοῦ καθ' ἑαυτὸν εἶναι· καὶ ἡ μὲν εἴδους λόγον ἐπέχει, ἡ δὲ τοῦ τινός ἐστιν δηλωτική· καὶ ἡ μὲν καθολικοῦ πράγματος χαρακτῆρα δηλοῖ, ἡ δὲ τοῦ κοινοῦ τὸ ἴδιον ἀποδιαστέλλεται· καὶ συντόμως εἰπεῖν, φύσεως μὲν μιᾶς κυρίως λέγεται τὰ ὁμοούσια, καὶ ὧν ὁ λόγος τοῦ εἶναι κοινός, ὑποστάσεως δὲ ὅρος· ἢ τὰ κατὰ τὴν φύσιν μὲν ταὐτά, ἀριθμῷ δὲ διαφέροντα· ἢ τὰ ἐκ διαφόρων φύσεων συνεστῶτα, τὴν δὲ τοῦ εἶναι κοινωνίαν ἅμα τε καὶ ἐν ἀλλήλοις κεκτημένα· οὕτω γέ τοι φημὶ κοινωνοῦντα τοῦ εἶναι, οὐχ ὡς συμπληρωτικὰ τῆς ἀλλήλων οὐσίας, ὅπερ ἐστὶν ἰδεῖν ἐπὶ τῶν οὐσιῶν καὶ τῶν οὐσιωδῶς κατ' αὐτῶν κατηγορουμένων, ποιότητες δὲ αὗται καλοῦνται, ἀλλ' ὡς τῆς θατέρου φύσεως καὶ οὐσίας, μὴ καθ' ἑαυτὴν θεωρουμένης, ἀλλὰ μετὰ τῆς συγκειμένης καὶ συμπεφυκυίας· ὅπερ ἄν τις εὕροι καὶ ἐφ' ἑτέρων μὲν πραγμάτων, οὐχ ἥκιστα δὲ ἐπὶ ψυχῆς καὶ σώματος, ὧν κοινὴ μὲν ἡ ὑπόστασις, ἰδία δὲ ἡ φύσις, καὶ ὁ λόγος διάφορος.

11. Ἀλλ' ὁ ἄνθρωπος, φασὶν, εἰ καὶ ἐξ ἑτεροειδῶν συνέστηκεν, ἀλλ' οὖν οὐδ' ὁπότερον αὐτῶν δίχα θατέρου τὸ εἶναι ἔσχηκεν· ὁ δὲ λόγος ἔστι καὶ πρὸ τῆς ἀνθρωπότητος· καὶ ὁ μὲν ἐξ ἀτελῶν συνέστηκε μερῶν, ὁ δὲ Χριστὸς τέλεια ἔχει τὰ μέρη· καὶ ταύτῃ οὐδὲ μέρη ἂν εἰκότως καλοῖντο· πῶς τοίνυν τὸ τοῦ ἀνθρώπου κρᾶμα ἐπί τε τοῦ λόγου καὶ τῆς σαρκώσεως λαμβάνεις μηδὲν ἐοικότα; ταῦτα τίνες, οἱ τοῦ ἐναντίου λόγου καὶ τῆς διαιρέσεως συνήγοροι· τοῖς γὰρ ἑτέροις φίλον τὸ παράδειγμα οὐκ οἰκείως λαμβανόμενον, ἀλλὰ καὶ λίαν ἀμαθῶς, καὶ τῆς πρωτοτύπου συγχύσεως ἐπαξίως, ὡς ἐναργὲς ἐκείνης ἀπεικόνισμα· ὅτι μὲν οὖν οὐχ ἡμέτερον τοῦτο εὕρημα, ἀλλ' ἄνωθεν παῖς, ᾗ φασὶ, παρὰ πατρὸς διεδεξάμεθα, μαρτυρεῖ τὰ τῶν θεοσόφων συντάγματα, ἐν οἷς ἐπὶ τῆς ἑνώσεως τῷ κατὰ τὸν ἄνθρωπον ἐχρήσαντο παραδείγματι· οὐ μὴν τὸ παράδειγμα καλῶς γε ποιοῦσιν, ἐκβιάζοντες οὕτως ἔχειν ὡς τὸ πρωτότυπον· οὐ γὰρ ἔτι ἂν εἴη παράδειγμα, εἰ μὴ καὶ τὸ ἀπεοικὸς ἔχοι· ἡμεῖς γὰρ τὸν ἄνθρωπον οὔτε διὰ τὸ προϋπάρχειν ἢ συνυπάρχειν, οὔτε διὰ τὸ ἀτελὲς τῶν μερῶν, συγκεχωρείσθω γὰρ τοῖς κακοσχόλοις ἀτελῆ λέγειν, καί περ οὐκ ὄντα κατὰ τὸν τοῦ εἶναι λόγον, ὡς ὕστερον δείξομεν· ἀλλὰ πρὸς δήλωσιν εἰλήφαμεν παράδειγμα, τοῦ αὐτῇ τῇ οὐσίᾳ τὸν λόγον ἡνῶσθαι τῷ ἐξ ἡμῶν σώματι, καὶ μηδ' ἄν ποτε χωρὶς αὐτοῦ τεθεωρῆσθαι, εἰ καὶ σώζοι κἂν τῇ ἑνώσει τὸ διάφορον, ὥσπερ ἀμέλει καὶ ὁ κοινὸς ἄνθρωπος· ἐν οὐδοποτέρῳ γὰρ συγχυθέντα φαίνεται τὰ ἰδιώματα· οὔτε γὰρ ἐξ ἀοράτου ἢ ἀθανάτου, ὁρατὴ καὶ θνητὴ γέγονεν ἡ ἡμετέρα ψυχὴ, οὔτε μὴν ὁ λόγος ὁρατὸς ἢ θνητὸς, καί περ ἐν ὁρατῷ καὶ θνητῷ σώματι τῆς τε ἡμετέρας ψυχῆς καὶ τοῦ λόγου γεγενημένων· σώζει γὰρ ἀνελλειπῶς

τῶν εἰρημένων ἑκάτερον, ὅ τε κοινὸς ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος, ὅ τε σωτὴρ ἐκ θεότητος καὶ ἀνθρωπότητος ὑποστάς· οἱ δὲ οὐ καθ' ὃ ἔοικεν, ἀλλὰ καθ' ὃ ἀπέοικε λαμβάνουσι τὸ παράδειγμα, καὶ κακοσχολοῦσι περὶ τὰς πεύσεις· ὥσπερ ἂν εἰ καὶ τὸ ἡλιακὸν ἀπαύγασμα ἡμῶν παραλαμβανόντων ἐπὶ τοῦ λόγου καὶ τοῦ πατρὸς, διὰ τὸ συναφές τε καὶ συναΐδιον, ἐπηρεάζουσιν ἡμῖν ὡς τὸ ἀνυπόστατον ταύτῃ κατασκευάζουσιν.

12. Ὅτι δὲ οὐδ' ὁ ἄνθρωπος ἐξ ἀτελῶν ἐστι μερῶν, κατά γε τὸν τοῦ πῶς εἶναι θατέρου λόγον, εἰ καὶ ὡς πρὸς ὅρον τοῦ ὅλου ἀνθρώπου, τὸν τοῦ ὅλου τὰ μέρη λόγον, ὡς ὅλου οὐκ ἐπιδέχεται, ὧδε ἂν μάθοις· τί γὰρ λείπει τῇ ψυχῇ, χωριστὴν ἐχούσῃ καὶ ἰδίαν ζωὴν, πρὸς τὸ εἶναι οὐσίαν ἀσώματον αὐτοκίνητον; τοῦτο γὰρ αὐτῆς δηλοῖ καὶ τὸ ἀθάνατον καὶ τὸ ἀνώλεθρον· τί δὲ τῷ σώματι πρὸς τὸ εἶναι σῶμα; οὐ δὴ καὶ ἀποδιδόντες τὸν ὅρον φασὶ, σῶμα εἶναι τὸ τριχῇ διαστατὸν, ἢ σῶμα φυσικὸν ὀργανικὸν δυνάμει ζωὴν ἔχον· ἑκάτεροι γὰρ τῶν ὅρων ἐπὶ τοῦ ἡμετέρου σώματος οἰκείως ἁρμόσσουσιν· οὐκ ἀτελῆ τοίνυν ταῦτα καθ' ἑαυτὰ λαμβανόμενα, εἰ καὶ ἀτελῆ πάλιν λέγονται, ὡς πρὸς τὴν τοῦ ὅλου ἐν ᾧ τὰ μέρη ὑπόστασιν· τούτῳ γὰρ τῷ λόγῳ, οὐκ ἂν ἁμάρτοι τίς, καὶ τὸ κατὰ Χριστὸν ἑρμηνεύσας μυστήριον· ἀτελὲς γὰρ, κἂν ὡς θεὸς γυμνὸς, ἢ ἄνθρωπος ψιλὸς λαμβάνηται· ὡς ἐντεῦθεν διττὸν εἶναι τὸν τῆς τελειότητος ὅρον, καὶ τὸν μὲν ἁπλῶς λέγεσθαι, τὸν δὲ ἐν σχεσει θεωρεῖσθαι, κατὰ τὸν μέγαν Γρηγόριον· τέλειος μὲν γάρ ἐστιν ὁ λόγος, καὶ πλήρης, καὶ παρεκτικὸς τελειότητος· τελεία δὲ καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, ὡς πρὸς τὸν ὅρον τῆς ὑπάρξεως· ἀλλ' οὐδὲ ὁ λόγος τέλειος Χριστὸς, κἂν τέλειος εἴη θεὸς, μὴ

τῆς ἀνθρωπότητος αὐτῷ συντεταγμένης· οὔτε ἡ ψυχὴ τέλειος ἄνθρωπος, κἂν τελείαν ἔχει οὐσίαν, μὴ τοῦ σώματος αὐτῇ συνεπινοουμένου· καὶ τοῦτο δὲ παρασημήνασθαι χρὴ, ὅτι τοῖς τῶν πραγμάτων ὅροις οἱ χρόνοι οὐ συμπαραλαμβάνονται, ὥσπερ οὐδὲ οἱ τόποι· τῶν γὰρ ὧν οὐκ ἄνευ καὶ μόνον λόγον ἐπέχουσιν· ἔτι πᾶς ὅρος, τοῦ νῦν πράγματός ἐςιν ὅρος, οὐ τοῦ ὕστερον ἐξ αὐτοῦ ἀποβησομένου· ἢ οὕτω γ' ἂν οὐδὲν τῶν ἐν γενέσει δέξαιτ' ἂν ὅρον τοῦ εἶναι ὅπέρ ἐστιν, ἐπεὶ μηδὲ μένει· ἀλλὰ μεταβάλλει πάντα εἰς πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ· ἀλλὰ καὶ αἱ λογικαὶ πᾶσαι οὐσίαι, τὸ μᾶλλον καὶ ἧττον κατ' ἀρετὴν ἐπιδεχόμεναι, καὶ τὸ νῦν μὲν οὕτως, νῦν δὲ ἐκείνως ἔχειν, ἐν κινήσει θεωροῦνται· τὸ γὰρ ἐπὶ τῶν αὐτῶν ἵστασθαι, οὐ τῆς κτιστῆς φύσεως ἴδιον· εἴπερ ἐπὶ θεοῦ καὶ μόνου, τὸ σὺ δὲ ὁ αὐτὸς εἶ κυριολεκτεῖται.

13. Ἀλλ' ἡ ψυχὴ, φασὶν οἱ τῆς διαιρέσεως πρόμαχοι, περιγέγραπται ἐν τῷ σώματι, καὶ πάθη δέχεται, καὶ ἀλγηδόνας ὑπομένει· καὶ εἰ οὕτως ἥνωται ὁ λόγος, ὥρα σοι καὶ αὐτὸν τοῖς ἴσοις ὑποβάλλειν, καὶ ποιεῖν αὐτὸν παθητὸν καὶ περιγραπτόν· τί δέ; οὐχὶ μᾶλλον ὑμεῖς ταῦτα κατασκευάζετε; εἴποιμ' ἂν ἅπερ ἡμῖν ἐγκαλεῖτε· δεδοίκα τε γὰρ αὐτὸν σαρκὶ συνάπτειν καὶ ὅλῳ ἀνθρώπῳ, ὡς ἐξ ἀνάγκης περιγραφησόμενον καὶ πεισόμενον· εἰ μὲν οὖν φύσει παθητὸς ὁ λόγος, ἢ τὴν ἐν τόπῳ δέχεται περιγραφὴν, ἔσται ταῦτα ἐν αὐτῷ δι' αὐτὸν, ἀλλ' οὐ διὰ τὴν πρὸς τὸ περιγραπτὸν καὶ παθητὸν σῶμα ἕνωσιν· καὶ ἔσται οὕτως παθητὸς περιγραπτὸς, κἂν μὴ πέπονθε μηδὲ περιγέγραπται· εἰ δὲ φύσει ἄτρεπτός ἐστι καὶ ἀπερίγραπτος καὶ ἀπαθὴς, κἂν ἐν σώματι γένηται, σώζοι ἂν τὸν ἴδιον τῆς ἀπαθείας καὶ ἀτρε-

ψίας λόγον· καὶ γὰρ οὐδὲ κόσμον κτίζων, καὶ εἰς τόδε τὸ σχῆμα ἄγων αὐτὸν οὐκ ὄντα πρότερον, ἐκ τοῦ ὑπερκοσμίου καὶ ὑπερουσίου, εἰς τὸ περικόσμιον τοῦτο ἢ ἐγκόσμιον ἐκπεπτωκὼς φαίνεται, ἢ ἐκ τοῦ οἰκείου ἀπεριγράφου εἰς τὸ περιγεγράφθαι ὑπ' αὐτοῦ ἐληλυθώς· οὐ τοίνυν οὔτε πρότερον ἡνίκα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα παρήγαγεν, οὔτε ὕςερον ὅτε τὸν μέγαν ἐν μικρῷ κόσμον τὸν ἄνθρωπον ἑαυτῷ περιέπηξεν περιεγράφη· καὶ τί θαῦμα; ὅπου γε καὶ ἡ τοῦ ἀνθρώπου ψυχὴ, οὐχ ἁπλῶς διὰ τὸ ἐν σώματι αὐτὴν εἶναι πάσχει ταῦτα, ἀλλὰ διὰ τὸ πεφυκέναι πάσχειν καὶ χωρὶς σώματος· ἢ οὕτω γε καὶ ὁραθήσεται, καὶ τὰ ἑξῆς πάθοι ἂν, ὅσα τοῦ σώματος· ἀλλὰ ταῦτα μὲν οὐ πέπονθεν, ἐπειδὴ οὐσιωδῶς αὐτὰ ἔχει ἐκ θεοῦ λαβοῦσα· πάσχει δὲ παθητικὰς δυνάμεις ἔχουσα, αἷς καὶ συναπέρχεται ἐκδημοῦσα τοῦ σώματος· καὶ δηλοῦσιν αἱ ἐν ᾅδου ψυχαὶ, καὶ τὰ τούτων δεσμὰ, δι' ἃ καὶ ἡ ἐκεῖσε γέγονε τοῦ Χριστοῦ παρουσία κηρύξαντος κατὰ τὸν Πέτρον ἐν φυλακῇ πνεύμασιν ἄφεσιν· πρὸς δὲ καὶ οἱ ἀκάθαρτοι δαίμονες κολαζόμενοί τε καὶ κολασθησόμενοι, καί περ σωμάτων ἀνθρωπίνων ἀπηλλαγμένοι.

14. Ἀλλὰ πάσχει μὲν ἁπλῶς ἡ ψυχὴ, παθητικὰς πρὸς τὸ αὐτῇ συμφέρον συναρμοσθείσας δυνάμεις λαβοῦσα· πάσχει δὲ καὶ σωματικὰ πάθη, παρὰ τὴν τοῦ σώματος κρᾶσιν ᾧ συνδέδεται, καὶ τῶν τόπων οἷς ἂν ἐνδιαιτῷτο τὴν ἰδιότητα· πάσχειν γὰρ ἁπλῶς πεφυκυῖα, καὶ τοῦ τοιοῦδε πάθους ἐστὶ δεκτική· καὶ περιγέγραπται μὲν τῷ λόγῳ τῆς ὑπάρξεως· περιγράφεσθαι δὲ λέγεται δευτέρως, τὴν ἐν περιγραπτῷ σώματι ἔχουσα διαγωγήν· πάσχει δ' ἂν καὶ κατὰ θεὸν τὰ θεῖα, ἥκιστα μὲν διὰ τὸ σῶμα· πῶς γάρ; ὅ γε καὶ ἀντιτείνει πολλάκις· ἀλλὰ δι' αὐτὴν καὶ τὴν αὐτῆς φύσιν, τοῦ

μὲν ἐπιθυμητικοῦ ἐρωτικῶς πρὸς τὸν Θεὸν ἀνατεταμένου· τοῦ δὲ θυμοειδοῦς ἀῤῥενωπῶς τετονωμένου, καὶ ἀκλινῶς τῷ ἐπιθυμητικῷ συντεταμένου· τοῦ δὲ λογιστικοῦ τὰς ἀΰλους ἐμφάσεις ἀσκίως δεχομένου, καὶ ἑνοειδῶς ἐλλαμπομένου· καὶ καλῶς εἴρηταί τινι τῶν πρὸ ἡμῶν ἀνδρὶ θεοσόφῳ (1)· εἶς πόθος ἀγαθὸς καὶ αἰώνιος ὁ τῆς ἀληθοῦς γνώσεως ἐφιέμενος· ταύτας γὰρ καὶ ῥυπῶσα τὰς δυνάμεις, ἐν κακίᾳ καὶ ἐν ἀγνωσίᾳ γίνεται, καὶ οὐκ ἐκ τοῦ σώματος τὰς κακίας ἔχει, κἂν τινες αὐτῶν διὰ τοῦ σώματος ἐκτελοῦνται· ὧν οὐδὲν ὁ τοῦ Θεοῦ λόγος δέξαιτ' ἄν ποτε, ἄτρεπτος ὢν τῇ φύσει καὶ ἀναλλοίωτος· οὐ μὴν διὰ τὸ ἀπαθὲς τῆς φύσεως, ἀνθρώπου φύσει συνάπτεσθαι οὐσιωδῶς παραιτήσεται· ἵνα μὴ μέλλοι πάθος ἀληθὲς εἶναι ἡ παραίτησις, καὶ τῷ δεδοικέναι ἐν ἐκείνοις γενέσθαι, ἐν οἷς αἱ τῶν σπουδαίων ψυχαὶ αὐτὸν ἔχουσαι βοηθὸν καὶ συλλήπτορα, οὐδὲν ἐκ τοῦ σώματος εἰλήφασι βλάβος, ἀλλὰ καὶ μᾶλλον Θεῷ πεπλουτήκασι, τῷ σώματι συνεργῷ πρὸς ἀρετὴν οὐκ ἀντιπάλῳ χρησάμεναι.

15. Εἰ τελεία, φασὶν, ἡ τοῦ λόγου ὑπόστασις, τελεία δὲ καὶ ἡ τοῦ ἀνθρώπου ὃν ἀνέλαβεν, ἄτρεπτος δὲ καὶ ὁ λόγος μεμένηκεν, ἀναλλοίωτος δὲ καὶ ἡ σὰρξ διασέσωσται, πῶς οὐ δύο λέγειν ὑποςάσεις εὐσεβὲς, μηδ' ὁποτέρας συγκεχυμένης; ἐοίκασι δέ μοι κακουργότατα ἢ ἀμαθέςατα προσφέρειν τὰς πεύσεις· καὶ γὰρ ὡς ἂν εἰ μὴ προδιαστειλαμένων ἡμῶν τὰ περὶ τοῦ τελείου, πῶς ἂν λέγοιτο καὶ ὅ τι διττῶς; προσέτι δὲ καὶ περὶ τοῦ κυρίως σημαινομένου τῆς ὑποστάσεως, μεταβαίνουσιν ἀπὸ τῆς τοῦ λόγου φύσεως, τῆς καὶ τὸ κοινὸν σημαινούσης τῆς φύσεως, μετὰ τοῦ ἰδίου τῆς ὑποστάσεως· λόγου γὰρ ἔφαμεν φύσιν, οὐχ ἁπλῶς φύσιν, ἐπὶ

(1) Schol. περὶ Εὐαγρίου.

τὸ ἴδιον αὐτοῦ σημαινόμενον τῆς ὑποστάσεως· καὶ φασὶ τελείαν εἶναι τοῦ λόγου τὴν ὑπόστασιν, οὕτω καλοῦντες τὴν τοῦ κυρίου αὐτοτελῆ φύσιν, τὴν οὐκ ἄλλην οὖσαν παρὰ τὴν τοῦ πατρὸς· τῷ χαρακτηριστικῷ δὲ τῆς ἰδιότητος τῆς κατὰ τὴν γέννησιν μόνον διαφέρουσαν, τὸ ἰδίωμα κατηγοροῦντες ἀντὶ τοῦ ἐν ᾧ τὸ ἰδίωμα· καὶ τὴν σχέσιν τὴν πρὸς ἄλληλα, ἀντὶ τῶν ἐν οἷς αὐτὴ κατηγορεῖται· τῶν γὰρ ὀνομάτων, τὰ μὲν τῆς φύσεως τῶν ὑποκειμένων ἐστι δηλωτικὰ, τὰ δὲ τῆς σχέσεως τῶν πραγμάτων ἔστι γνωριστικά· τῶν δὲ ἑτεροειδῶν πρὸς τὰ ὁμοειδῆ ἐπαλλάττουσαν ἔστιν εὑρεῖν τὴν κοινωνίαν τῶν σχέσεων· οἷς γὰρ ἂν κοινωνοῦσι τοῖς ἑτεροειδέσι τὰ ὁμοειδῆ, τούτοις διαιροῦνται πρὸς ἑαυτά· καὶ οἷς διαιροῦνται πρὸς τὰ ἑτεροειδῆ, τούτοις συνάπτεται πρὸς ἑαυτά· τῷ μὲν γὰρ ἀριθμῷ πρὸς ἑαυτὰ διακρινόμενα, τῷ δὲ ὅρῳ πρὸς ἑαυτὰ συναπτόμενα, τῶν ἑτεροειδῶν διακέκριται.

16. Δύο οὖν σχέσεων κατὰ τὸν αὐτὸν λόγον θεωρουμένων, μιᾶς μὲν καθ' ἣν τὴν ταυτότητα ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα, ἑτέρας δὲ καθ' ἣν ὁ υἱὸς ἀπ' αὐτοῦ διακέκριται· καὶ τῆς μὲν τῇ τῆς φύσεως προσηγορίᾳ δηλουμένης, τῆς δὲ τῇ τῆς ὑποστάσεως κλήσει γνωριζομένης, τὰς σχέσεις ἐναλλὰξ ποιήσαντες, τὴν ἀπὸ τοῦ πατρὸς διακρίνουσαν σχέσιν πρὸς τὴν σάρκα διδόασιν, ἀγνοοῦντες τὴν ὡς ὑπόστασιν, ὅτι φύσις μὲν ὅλη θεοῦ ἡ οὐσία τοῦ λόγου, τελείου τελεία· τὸ δὲ ἰδίωμα τῆς γεννήσεως, ὑπόστασίν τε καὶ υἱὸν κεκλῆσθαι πεποίηκεν· ὥσπερ αὖ ἐπὶ τοῦ πατρὸς, τὸ ἰδίωμα τῆς ἀγεννησίας καὶ τοῦ αἰτίου, ὑπόστασίν τε καὶ πατέρα ἀπέφηνε· τὸ δ' αὐτὸ καὶ περὶ τοῦ ἁγίου πνεύματος ἐννοεῖν χρή· οὐ γὰρ συμπληρωτικὴ ἡ τοῦ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος φύσις, ὡς οὖν μᾶλλον ἐν τῷ ἑνὶ ἢ ἐν τοῖς τρισί· καὶ

τοῦτο τῇ φύσει ἡ τριὰς, ὅπερ ἂν ἕν τι τῶν ἐν τριάδι θεωρουμένων τυγχάνει· ὅτι μὴ ἐξ ἀτελῶν τριῶν ἓν τέλειον, ἀλλ' ἐκ τριῶν τελείων ἓν ὑπερτελὲς καὶ προτέλειον, ὥς που ὁ μέγας ἔφη Διονύσιος· ἓξ τοίνυν σχέσεων ἡμῖν θεωρουμένων, δυεῖν μὲν τοῦ πατρὸς πρὸς τὸν λόγον, καὶ τοῦ λόγου πρὸς τὸν πατέρα· δυεῖν δὲ τοῦ λόγου πρὸς τὴν σάρκα, καὶ τῆς σαρκὸς πρὸς τὸν λόγον· δυεῖν δὲ τοῦ Χριστοῦ πρὸς ἡμᾶς, καὶ ἡμῶν πρὸς αὐτὸν, τρεῖς γίνονται καθολικαὶ συζυγίαι· καὶ ἡ μὲν πρώτη τῶν συζυγιῶν σχέσις οὕτως ἔχει, ὡς ἡ τρίτη μὲν ἀπὸ τῆς πρώτης, δευτέρα δὲ ἀπὸ τῆς μέσης· οἷς γὰρ ᾠκείωνται αἱ ἀκρότητες πρὸς ἑαυτὰς, ἐναντίως ἔχουσαι πρὸς τὴν μέσην· ὡς ἔμπαλιν ἡ μέση· οἷς γὰρ ἐναντίως ἔχει πρὸς ἑαυτὴν, οἰκείως ἔχει πρὸς τὰς ἀκρότητας.

17. Τούτων συντόμως εἰρημένων, σαφηνίσαι αὐτὰ ἐπὶ παραδείγματος πειράσομαι· κείσθω δὲ τρία πράγματα, ψυχὴ ἁπλῶς, σῶμα ἁπλῶς, ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος συνεστῶς· καὶ τούτων αἱ πρὸς ἀλλήλας σχέσεις, οἷον ψυχῆς πρὸς ψυχὴν, ψυχῆς πρὸς τὸ ἑαυτῆς σῶμα, ἀνθρώπου πρὸς τὸ ἁπλῶς ψυχήν· ψυχὴ μὲν γὰρ πρὸς ψυχὴν τῷ ταυτῷ τῆς οὐσίας ἡνωμένη, τῷ διαφόρῳ τῆς ὑποστάσεως διακέκριται· τοῦτο ἡ πρώτη καὶ ἡ τελευταία σχέσις τῶν συζυγιῶν· ψυχὴ δὲ πρὸς τὸ αὐτῆς σῶμα, τῷ μὲν ἑτεροίῳ τῆς φύσεως διακέκριται, ἥνωται δὲ τῷ λόγῳ τῆς ὑποστάσεως, ἣν ἡ ἀλλήλουχος ζωὴ ἀπετέλεσε· τοῦτο ἡ δευτέρα καὶ ἡ μέση διασώζει σχέσις· ἄνθρωπος δὲ πρὸς τὸ ἁπλῶς σῶμα, καὶ τὴν ἁπλῶς ψυχὴν, ὅλος πάντη τούτων διακεκριμένος, διὰ τὴν πρὸς τὰ ἑαυτοῦ μέρη πρώτην σχέσιν, δευτέραν ποιεῖται πρὸς αὐτὰ κοινωνίαν· ὥστε καὶ ὁ Χριστὸς πρὸς ἡμᾶς καὶ πρὸς τὸν πατέρα, ὡς ὅλος ὢν ἐκ μερῶν, διὰ τὰ ἑαυτοῦ

μέρη μεσιτεύει τοῖς ἄκροις, ὅλως μὲν ὑπόστασις ὢν πρὸς ἡμᾶς, μετὰ τῆς θεότητος διὰ τὴν ἀνθρωπότητα, ἐπαλλαττομένων τῶν κατὰ τὴν διάκρισίν τε καὶ ἕνωσιν σχέσεων, ὧν τε πρὸς ἑαυτὸν διὰ τὰ ἑαυτοῦ μέρη ἔχων γνωρίζεται, καὶ ὧν πρός τε τὸν πατέρα καὶ ἡμᾶς, διὰ τὴν τῶν μερῶν πρὸς τὰ ἄκρα οἰκειότητα κέκτηται· εὐγνωμόνως δὲ τῶν μερῶν ἀκουστέον· οὐ γὰρ ὡς τῇ φύσει ἀτελῆ ὄντα, μέρη ταῦτα φημὶ, ἀλλ' ὡς συμπληρωτικὰ τοῦ προσώπου τῆς κατὰ Χριστὸν ὑποστάσεως· οὕτω γὰρ Γρηγορίῳ τε καὶ Κυρίλλῳ, καὶ τὸ ὅλον οὐ μία φύσις, καὶ ἁπλῶς καὶ πρός τι, τό τε ἀτελὲς καὶ τὸ τέλειον εἴρηται.

18. Τί οὖν φασὶν; οὐ λέγομεν μίαν φύσιν ἀνθρώπου, καί περ διάφορα τὰ συνελθόντα γινώσκοντες; τί δὴ οὖν λυπεῖ, ὥσπερ ὧδε οὐκ ἐπ' ἀναιρέσει τῆς ἰδιότητος τῶν μερῶν, φύσιν καλοῦμεν τὰς φύσεις, εἰ καὶ ἐπὶ Χριστοῦ τὸ ὅμοιον ποιοῦντες φαινόμεθα; ἀλλὰ λοιδορεῖσθε ἡμῖν καὶ διασύρετε, ὡς σύγχυσιν ἐπινοοῦσιν ἐπὶ Χριστοῦ, ἐπειδὴ τὰ μέρη τῇ τοῦ ὅλου σημαίνομεν ὀνομασίᾳ. Εἰ μὲν τὰ μέρη τῇ τοῦ ὅλου καλεῖν ἐβούλεσθε προσηγορίᾳ, ἔδει πάντως ὑμᾶς καὶ τὸ ὅλον τῇ τῶν μερῶν γνωρίζειν ὀνομασίᾳ, καὶ οὕτως οὐδεὶς ἂν ἦν φθόνος ἡμῖν· σάρκα δὲ ἢ ἄνθρωπον καλοῦντες μᾶλλον τὸν κύριον, τὸ ὅλον ἐκ μέρους ἐσημαίνετε ἂν, ἀλλ' οὐ φύσιν μίαν τὰς δύο προσαγορεύοντες· πολλάκις γὰρ τὸ μὴ κυριολεκτεῖν, καὶ δόγματος ἐργάζεται διαφωνίαν· ὅθεν ἡμεῖς κατὰ τὰς θείας γραφὰς, καὶ τὰς πατροπαραδότους θεωρίας, πολλάκις τὸ ὅλον ἐκ μέρους, καὶ τὰ μέρη τῇ τοῦ ὅλου κλήσει προσαγορεύομεν, υἱὸν ἀνθρώπου τὸν λόγον ὀνομάζοντες, καὶ κύριον τῆς δόξης ἐσταυρῶσθαι ὁμολογοῦντες· ἀλλ' οὐ παρὰ τοῦτο τῇ ἀντιδόσει τῶν ἰδιωμάτων, ἀναιροῦμεν τὸν ἴδιον λόγον τῆς

θατέρου ἐν ταὐτῷ ἰδιότητος· πρὸς δὲ καὶ διὰ κυρίων ἡμῖν ταῦτα τῶν ὀνομάτων γνωρίζεται, τὴν μὲν ἀντίδοσιν τῶν ἰδιωμάτων ἐν τῇ μιᾷ ὑποστάσει θεωροῦσι, τὴν δὲ ἰδιότητα τὴν ἐν τῇ κοινότητι ἐν τῇ διαφορᾷ τῶν φύσεων ἐπιγινώσκουσιν· ὑμεῖς δὲ τῷ παραδείγματι κεχρημένοι τοῦ ἀνθρώπου, καὶ αὐτῷ τῷ πρωτοτύπῳ συνδιαφθείρετε τὸ παράδειγμα· μίαν μὲν γὰρ ἀνθρώπου φύσιν λέγομεν, οὐχ ὡς ἂν ὑμεῖς φαίητε, εἰς ταὐτὸν ἄγοντες τὴν φύσιν τῆς σαρκὸς τῇ οὐσίᾳ τῆς ψυχῆς, ἢ τὸ ἀνάπαλιν· οὔτε μὴν ἐξ ἑκατέρων οὐδ' ὁποτέραν ἀποτετελέσθαι φαμέν.

19. Φύσιν δὲ ταύτην καλοῦμεν, οὐ πρὸς τὴν τῶν μερῶν σχέσιν ἀποβλέποντες, οὐδεὶς γάρ ἐστι λόγος ὁ τὸ ἑτεροφυὲς αὐτῶν κἂν τῇ ἑνώσει λυμαινόμενος, ἀλλὰ τὴν τοῦ καθόλου καὶ εἴδους σημασίαν, κατὰ τοῦ μερικοῦ καὶ ἰδίου κατηγοροῦμεν· ἐπειδὴ γάρ, καθὼς οἱ τὰ λογικὰ σκέμματα διακρίνοντες παραδιδόασι, τὰ μὲν ἐπὶ μέρους κοινωνεῖ τοῖς καθ' ὅλου, τὰ δὲ καθ' ὅλου κατηγορεῖται κατὰ τῶν ἐπὶ μέρους· καὶ τῶν μὲν ἀτόμων, κοινωνία ἐστι πρὸς τὸ εἶδος κατὰ τὴν φύσιν· τῶν δὲ καθόλου, κοινωνία πρὸς τὰ μέρη κατὰ τὴν κλῆσιν· τῇ τοῦ ὅλου προσηγορίᾳ τὸ μέρος καλεῖν, ὡς ἔφην, οὐ παρῃτησάμεθα· τῆς γὰρ φύσεως τῆς μιᾶς τὸ ὅλον τοῦ ἀνθρωπείου εἴδους παριστώσης, ἐπειδὴ τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἀριθμουμένων οὐδέν ἐστι ἑτεροούσιον, εἰκότως τῇ τοῦ κοινοῦ προσηγορίᾳ τὸ μερικὸν ἐπονομάζεται· οὐ γάρ ἐστιν εὑρεῖν τὸν τινὰ ἄνθρωπον, ἑτεροειδῶς ἔχοντα πρὸς τὸν καθόλου ἄνθρωπον· ἐπὶ δὲ Χριστοῦ τοιαύτη τίς τάξις σχέσεως οὐχ εὑρίσκεται· οὐ γὰρ δὴ εἴδους ὄντος Χριστῶν, ὥσπερ καὶ ἀνθρώπων, ἵνα ἐκ τούτων ὁ εἷς ὡς ἰδίως πως παρὰ τὸν καθόλου καὶ κοινὸν Χριστόν, Χριστὸς αὐτὸς χρηματίζων,

μία φύσις λέγηται πρὸς ἐκείνους τε καὶ ἀπ' ἐκείνων, ἵνα καὶ μίαν αὐτὸν καὶ δύο φύσεις καλῶμεν, τὸ μὲν ἔχοντα διὰ τὸ κοινὸν, τὸ δὲ διὰ τὰ ἑαυτοῦ μέρη· ὥσπερ ἐφ' ἡμῶν θεωρεῖται· τῆς γὰρ αἰτίας μὴ εὑρισκομένης, καὶ ἀπ' ἐκείνου τῆς ἐφ' ἡμῶν, τὸ ἐφ' ἡμῶν μόνον οἰκείως λεγόμενον, ἐπ' αὐτὸν ἀναφέρειν οὐχ οἷόν τε· δῆλον δέ ἐστιν ἐνταῦθα, κατά τι μίαν καὶ δύο φύσεις ὁ ἄνθρωπος λέγεται· τὸ μὲν γὰρ ἔχει διὰ τὴν τοῦ εἴδους κοινωνίαν, τὸ δὲ κέκτηται διὰ τὴν τῶν μερῶν ἀτρεψίαν· ἐπὶ Χριστοῦ δὲ οὐκ ὄντος εἴδους, πῶς ἂν μία αἱ δύο λέγοιτο; τρεῖς γὰρ εὑρίσκομεν καὶ μόνους τρόπους, καθ' οὓς μία φύσις λέγεται, τὸ λεγόμενον· ἢ γὰρ τὸ εἶδος εἶναι, ἢ τὸ τοῦ αὐτοῦ εἴδους μετέχειν, ἢ τὸ κατὰ σύγχυσιν ἐξ ἑτεροειδῶν ἑτεροειδὲς ἀποτετέλεσται, ὃ ἑκατέρου μετέχον, οὐδ' ὁπότερον καθαρῶς ἐστιν, ἣν καὶ νόθον καλοῦσιν οἱ περὶ ταῦτα.

20. Καὶ ἄλλως ἐπ' ἀναιρέσει τοῦ δύο λέγειν, τὰς τοιαύτας ἐπαπορήσεις προΐσχεσθε· οὐ γὰρ ἵνα καὶ δύο καὶ μίαν, ὥσπερ ἐνταῦθα εἴπητε, ἀλλ' ἵνα μίαν μόνην· ἐντεῦθεν γὰρ καὶ μὴ βουλομένοις ὑμῖν τὸ τῆς συγχύσεως ἐπιπλεῖ πάθος· καὶ οὔτε τὸ τῆς διαιρέσεως ὑποχωρεῖ, οὐ γὰρ ἀνάγκη τὴν μίαν φύσιν ἓν εἶναι τῷ ἀριθμῷ· εἰ μὴ καὶ μάλιστα πολλὰ καὶ τοσαῦτα τῷ ἀριθμῷ εἴη, ὅσαι καὶ αἱ συμπληροῦσαι αὐτὴν εἰσὶν ὑποστάσεις· σκοπῶμεν δὲ καὶ οὕτως· (1) τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις φασὶν ἔστιν ἴσα· κείσθω δὴ ἐν διαγράμματι ἰσόπλευρον, ὀρθογώνιον τρίγωνον· ὡς γὰρ ἔχει ἡ πρώτη πλευρὰ πρὸς τὴν δευτέραν, καὶ ἡ δευτέρα πρὸς τὴν τρίτην, οὕτως ἔχει καὶ ἡ πρώτη πρὸς τὴν τελευταίαν· γράψον οὖν τὰς τρεῖς πλευρὰς, καὶ δὸς τρία πρόσωπα, ἓν

(1) Schol. Ἀριστοτέλους ὡς ἀπὸ Εὐκλίδου.

ἐφ' ἑκάστῃ πλευρᾷ, καὶ εὑρήσεις ὅτι ὡς ἔχει τὸ πρῶτον πρὸς τὸ μέσον, καὶ τὸ μέσον πρὸς τὸ τελευταῖον, οὕτως ἕξει καὶ τὸ πρῶτον πρὸς τὸ τελευταῖον· διὰ τί δὴ ταῦτα φημί; ὅτι εἰ δώσεις μίαν λέγεσθαι τοῦ λόγου καὶ τῆς σαρκὸς φύσιν, ὁμολογεῖτε δὲ μία φύσις εἶναι τοῦ λόγου καὶ τοῦ πατρὸς, δώσετε ἄρα μίαν φύσιν εἶναι τῆς σαρκὸς καὶ τοῦ πατρός.

21. Ἀλλ' οὐ λέγομεν φασὶ τῷ αὐτῷ τρόπῳ μίαν ἑκατέρων εἶναι φύσιν, ἀλλ' ἐπὶ μὲν πατρὸς καὶ υἱοῦ, τῷ ταὐτῷ τῆς φύσεως, ἐνταῦθα δὲ τῷ λόγῳ τῆς ἑνώσεως· οὐκοῦν οὐ ταὐτὸν τὸ τῇ ἑνώσει ἓν λεγόμενον, καὶ τὸ τῇ φύσει ἕν· εἰ δὲ οὐ ταὐτὸν, κατ' ἄλλο μὲν ἐκεῖνο, καθ' ἕτερον δὲ τοῦτο· ἔσται τοίνυν τὸ αὐτὸ ἓν καὶ δύο, ἓν μὲν τῇ ἑνώσει, δύο δὲ ταῖς φύσεσιν· εἰ δὴ μὴ τοῦτο, ἔσται τὸ αὐτὸ κατὰ τὸ αὐτὸ, καὶ ὁμοούσιον, καὶ ἑτεροούσιον, καὶ μία φύσις, καὶ οὐ μία φύσις· οὗ τί ἂν γένοιτο ἀτοπώτερον; οὕτως ὑμῖν ἡ μία φύσις λεγομένη, καὶ τὴν διαίρεσιν οὐκ ἐξέφυγεν, ἣν ἔχει ἡ φύσις ἐν τῷ πλήθει τῶν κοινωνούντων αὐτῇ προσώπων (1), καὶ τὴν σύγχυσιν παρεισήγαγεν ἐν τῷ ταὐτῷ τῆς συνθέτου φύσεως, τὸ οὐδ' ὁπότερον τῶν ἡνωμένων μετὰ τὴν ἕνωσιν παραστήσασα· ἡμῖν δὲ ἑκάτερα σὺν Θεῷ φάναι, καλῶς πεφύλακται, καὶ τὸ διάφορον τῶν ἡνωμένων, κἂν τῇ ἑνώσει τῷ διττῷ τῆς φύσεως καταγελλόμενον, καὶ τὸ ταυτὸν τοῦ προσώπου, διὰ τῆς τῶν ἡνωμένων φύσεων εἰς μίαν ὑπόστασιν συνδρομῆς ἀνακεφαλαιούμενον.

22. Καθὼς σοι ἔδοξε προδιεστείλω ἐπὶ τοῦ καθ' ἕκαστον ἀνθρώπου, δύο λέγεσθαι φύσεις καὶ μίαν· ἐξ οὗ τί ἀκολουθεῖ; τὸ ἐπὶ Χριστοῦ μὴ δύο μόνον φύσεις ὁμολογεῖν, ἀλλὰ καὶ τρεῖς· πῶς τοίνυν τὸ ἕτερον ὁμολογοῦντες, θάτε-

(1) In marg. τουτέστιν τῶν ὅλων ἀνθρώπων.

ρον ἀπαναίνεσθε; καί περ ἡ ἀνάγκη τοῦ λόγου, τοῦτο σε λέγειν καὶ μὴ βουλόμενον ἐξεβιάσατο. Τί οὖν ἡμεῖς πρὸς ταῦτα; τί γε ἕτερον, ἢ ὅπερ καὶ ἁρμόζον ἐστὶν αὐτοῖς, ὅτι σοφία μωροῦ ἐστιν κατὰ τὴν γραφήν; ἀδιεξέταστοι λόγοι· τοὺς γὰρ ἰδίους ὥσπερ οὐ διαμασόμενοι, καὶ διὰ τοῦτο οὐδὲ πέπτοντες λόγους, ἐκ κακῶν τῆς ἀμαθίας σιτείων ἐρυγὰς ἡμῖν καὶ ἀτμοὺς, πῶς ἂν ἀλύπως εἴποιμι, καὶ οὐκ εὐώδεις ἀναπεμπάζουσιν· πάσης γὰρ ζητήσεως τὸ ἀπορούμενον διασκοπούσης, κἀκ τῶν ὁμολογουμένων αὐτῷ συμπεραινούσης, οἱ δὲ (οὐδὲ γάρ εἰσι σοφοὶ, μὴ ὅτι τὴν ἀπαιδευσίαν) ὡς ἀμφίβολον τὸ ὁμολογούμενον εἰς διάσκεψιν προτιθέασιν, καὶ τὸ φανερὸν ὡς ἀφανὲς συλλογίζονται· τῆς γὰρ ἀνθρώπου φύσεως, κατὰ τὰς κοινὰς πάντων ἐννοίας, τὴν ψυχὴν καὶ τὸ σῶμα δηλούσης, καὶ συσσημαινούσης, ὡς πολλάκις ἔφην, τῷ ὅλῳ τὰ μέρη, οἱ δὲ τὸ πᾶσιν παρακεχωρηκὸς τῆς ἐννοίας, ὡς ἄπορον λαμβάνουσιν· ὡς ἂν εἴ τινος ἡμῶν ἀποφαινομένου, ὅτι διπλοῦν τι χρῆμα ἐστιν ὁ ἄνθρωπος, ἢ σῶμα μόνον, ἢ ψυχὴ μόνον· καὶ διὰ τοῦτο ἀξιοῦσι καὶ ἐπὶ Χριστοῦ τρεῖς λέγειν φύσεις, ὡς οὐχ ἱκανῆς οὔσης τῆς ἀνθρώπου φύσεως συνεπάγεσθαι ἑαυτῇ τὰ μέρη· δύο γὰρ φύσεις λέγομεν οὐ θεοῦ καὶ σαρκὸς, οὔτε μὴν θεοῦ καὶ ψυχῆς, ἀλλὰ θεοῦ καὶ ἀνθρώπου· οὐδὲ γάρ ἐστιν κυρίως ἀνθρώπου φύσις, ἡ τοῦ μέρους φύσις· ὥστε ὁ εἰπὼν ἄνθρωπον ἢ φύσιν ἀνθρώπου, τὰς φύσεις ἐδήλωσεν· ὁ δὲ Χριστὸν ὀνομάσας, οὐχ ὁμολογουμένην καὶ ταῖς ἐννοίαις ἡμῶν ὑποπίπτουσαν οὔτε κλῆσιν ὠνόμασεν, οὔτε πρᾶγμα δεδήλωκεν.

23. Καὶ δηλοῦσιν αἱ διάφοροι περὶ αὐτοῦ παρὰ χριστιανοῖς δόξαι, πολλαί τε καὶ ποικίλαι τυγχάνουσαι, καὶ ἀλλήλαις διαμαχόμεναι· οὐκ ἂν γενόμεναι, εἰ εὐθέως ἡ τοῦ

Χριστοῦ προσηγορία τὴν τοῦ ὑποκειμένου πράγματος ἀλήθειαν ἐσήμανεν· ἀλλ' ἡ μὲν ἀνθρώπου προσηγορία, κοινή τίς ἐστι καὶ πᾶσι δεδημοσιευμένη, οὐχ ἥκιστα δὲ χριστιανοῖς· ἡ δὲ τοῦ Χριστοῦ τεχνικῷ καὶ ἐπιστημονικῷ προσέοικεν ὀνόματι· ὡς γὰρ ἐκεῖνα μόνοι ἴσασιν οἱ τῆς αὐτῆς μετειληχότες παιδείας, οὕτω μόνοις τοῖς τὰ θεῖα σοφοῖς, τετράνωται ἡ ἐν τῷ ὀνόματι κεκρυμμένη ἀλήθεια· μαρτυροῦσι δὲ καὶ αὐτοὶ τῇ ἀληθείᾳ τοῦ λόγου, ἐκ δύο μὲν φύσεων ἀεὶ διαβεβαιούμενοι τὸν Χριστὸν, οὐδέ ποτε δὲ αὐτὸν ἐκ τριῶν φύσεων καλέσαντες· καί περ καὶ ψυχὴν λογικὴν, τῇ σαρκὶ τοῦ Χριστοῦ παρέχουσιν· ἐπεὶ καταρξάσθωσαν αὐτοὶ τῆς ἀπαιδευσίας, καὶ ἐκ τριῶν αὐτὸν ὁμολογήσουσι φύσεων, καὶ ἡμεῖς γε στέρξομεν· τὸ ἐξ ὧν γέγονεν ὁμολογοῦντες φυλάττεσθαι, ἐν τῷ ἐν ᾧ ταῦτα γνωρίζεται, ὁπότε οὐκ ἐκ τριῶν μόνον, ἀλλὰ καὶ ἐκ πλειόνων αὐτὸν λέγειν ἐκβιασθήσονται, ὡς αὖθις δείξομεν· ὅτι τῶν πραγμάτων ἡ ἁπλῆ καὶ καθ' ὅλου ἐπιβολὴ, ἔννοιαν ἡμῖν ὁλοσχερῆ καὶ ἀτράνωτον ἐμποιεῖ· ἡ δὲ τούτων κατ' ἐπίνοιαν διαίρεσις, εἰς ἀκριβῆ γνῶσιν ἡμᾶς ἄγει τῶν ἐξ ὧν συνεστήκασιν· καὶ ταύτης ἕνεκεν τὴν τοῦ ὅλου εἰς τὰ μέρη διάκρισιν ποιούμεθα· τὸ δὲ εἰς τὰ μέρη τῶν μερῶν μετὰ τὴν πρώτην διαίρεσιν πειρᾶσθαι τέμνειν, καταγέλαστον· οὐ γὰρ μέχρι τούτου ἵστησιν, ἀλλ' ἐπ' ἄπειρον ἐκτείνει τὴν θεωρίαν.

24. Ὁ δὲ λέγω τοιοῦτόν ἐστιν, μέρη ἀνθρώπου ψυχὴ καὶ σῶμα, μέρη δὲ τῶν μερῶν αὐτοῦ ἐπὶ μὲν ψυχῆς, οὐσία λογικὴ καὶ ποιότης ἀσώματος· ὧν τὸ μὲν ἡγεμονικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικόν· καὶ τούτων τὸ μὲν ἐννοηματικὸν καὶ διανοηματικὸν, μνημονευτικόν τε καὶ βουλευτικὸν καὶ δοξαστικὸν, τὸ δὲ ὀρεκτικόν τε καὶ ἐκκλητικὸν, τὸ δὲ

ἀμυντικόν τε καὶ δραστικὸν, καὶ πολλὰ ἕτερα τούτοις ὑποδιαιροῦνται· ἀφείσθω δὲ τὰ νῦν ζητεῖν, πότερον ὡς μέρη ταῦτα εἰσὶν ἐν τῇ ψυχῇ, ἢ ὡς δυνάμεις· καὶ τίνα μὲν οὕτως, τίνα δὲ ἑτέρως· οὐ γὰρ τῆς παρούσης ἐστὶ σκέψεως· πάλιν ἡ τοῦ σώματος διαίρεσις γίνεται εἰς ὁμοιομερῆ τε καὶ ἀνομοιομερῆ· καὶ τούτων ἔτι εἴς τε κεφαλὴν καὶ χεῖρας καὶ πόδας· καὶ ταῦτα εἰς ὀστᾶ, καὶ σάρκας, καὶ νεῦρα· καὶ ταῦτα εἰς τὰ τέσσερα στοιχεῖα· καὶ ταῦτα εἰς ὕλην καὶ εἶδος· πολλὰ δὲ καὶ ἕτερα φιλοσοφοῦσιν ἰατρῶν παῖδες περὶ δυνάμεων φυσικῶν, ὧν τὴν μὲν ἑλκτικὴν, τὴν δὲ καθεκτικὴν, τὴν δὲ ἀλλοιωτικὴν, τὴν δὲ ἀποκριτικὴν ὀνομάζουσι· πολλὰ δὲ καὶ περὶ αἰσθήσεως καὶ φαντασίας, καὶ τοῦ συνέχοντος τὸ ζῶον ζωτικοῦ καὶ ὀργανικοῦ πνεύματος, ἑτέρου ὥς φασι παρὰ τὸ λογικὸν ὑπάρχοντος.

25. Ὥσπερ τοίνυν ἀπόχρη πρὸς τὸ παραστῆσαι ταῦτα πάντα διὰ τοῦ σάρκα εἰπεῖν, ἢ σῶμα ἀνθρώπου, καὶ ἀπόχρη πάλιν διὰ τῆς λογικῆς ψυχῆς, τὰ εἰς ἃ διῄρηται μέρη δηλῶσαι, οὐ γὰρ τεχνολογεῖν φίλον οὐδὲ σύνηθες τοῖς πιστοῖς, οὕτως ἀπόχρη ἄνθρωπον ἢ φύσιν ἀνθρώπου εἰρηκότα, πάντα παραστῆσαί τε καὶ δηλῶσαι, τὰ ἐξ ὧν συνέστηκεν ἐν οἷς καὶ γνωρίζεται· οἱ δὲ οὐχ ἵνα τὸν ἄνθρωπον τέλειον ἀποφήνωσιν, ἀλλ' ἵνα τὸν κύριον συκοφαντήσωσι, καὶ τῆς ἡμετέρας αὐτὸν ἀλλοτριώσωσι φύσεως· καὶ ἢ μὴ προσειληφότα τὴν ἀρχὴν τὸ ἡμέτερον, ἢ μὴ σῶον φυλάξαντα ὃ παρ' ἡμῶν ἔσχε τῆς σωτηρίας τῆς πάσης φύσεως ἀδιάπτωτον ἐνέχυρον, τὰ τοιαῦτα σοφίζονται· ἀλλὰ μανθανέτωσαν, ὅτι ἡ μὲν τῶν μερῶν ὁμολογία, ὡς ἔφην, γνώρισμα τυγχάνει τῆς τοῦ ὅλου σωτηρίας· ἡ δὲ τῶν μερῶν εἰς τὰ μέρη ὑποδιαίρεσις, οὐ δογματικῆς ἐστὶ συντομίας, οὐδὲ τοῦ συντετ-

μημένου κατὰ τὸ εὐαγγέλιον λόγου, ἀλλὰ σκεπτικῆς θεωρίας, καὶ περιττῆς τοῖς πολλοῖς καὶ δυσλήπτου τεχνολογίας· μέρη μὲν γὰρ Χριστοῦ ἀσύγχυτα, θεότης καὶ ἀνθρωπότης· ψυχὴ δὲ καὶ σῶμα, οὐ μέρη Χριστοῦ, ἀλλὰ μέρη τοῦ μέρους· ὧν δηλωθέντων διὰ τῆς τελείας σημασίας τῆς κατὰ τὴν φύσιν τῆς ἀνθρωπότητος, περιττὴ ἡ εἰς φύσεις τῶν μερῶν ὑποδιαίρεσις· εἰ μὴ μέλλοιεν καὶ τὴν λοιπὴν ἐπάγειν διαίρεσιν ταῖς ὑποδιαιρέσεσιν, αἷς καὶ ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐχρησάμεθα πρότερον, ὡς ἐντεῦθεν μὴ τρεῖς κατ' αὐτοὺς μόνας, ἀλλὰ καὶ πλείους καταγγέλλειν τὰς Χριστοῦ φύσεις, ὧν τί ἂν γένοιτο γελοιότερον;

26. Ἐπειδὴ ὁ πᾶς κεκίνηται πόλεμος, τοῦ τρόπου τῆς ἑνώσεως παρὰ τοῖς πολλοῖς ἀγνοουμένου, καὶ διὰ τοῦτο παρὰ πᾶσιν ἀμφιβαλλομένου, περὶ ταύτης σε φιλοσοφῆσαι χρὴ, ἵνα εἰδέναι ἔχοιμεν, πότερον καὶ κατ' αὐτὸν δὴ τοῦτον διαφωνοῦμεν, ἢ τούτου γε συμφώνου ἡμῖν ὄντος περὶ τοῦ ἀποτελέσματος τοῦ ἐκ τῆς ἑνώσεως ἔστιν ἡμῖν ἡ ζήτησις· καὶ πότερον περὶ τῶν πραγμάτων αὐτῶν, ἢ περὶ τῶν σημαινουσῶν ταῦτα φωνῶν· οὕτω γὰρ εὐκρινοῦς τῆς ζητήσεως γεγενημένης, καὶ τῆς τῶν πραγμάτων ἀληθείας ἀναφανείσης, ὁ ἀμαθῶς ἢ ἀσεβῶς ἀντιλέγων δειχθήσεται, ἢ διορθωθησόμενος, ἢ ἐν δίκῃ μεμφθησόμενος. Τὴν ἕνωσιν τῆς θεότητος πρὸς τὴν ἀνθρωπότητα οἱ μὲν κατ' οὐσίαν, οἱ δὲ κατ' ἐνέργειαν, οἱ δὲ κατὰ γνώμην γεγενῆσθαι ἀπεφήναντο· εἰσὶ δὲ οἱ καὶ εὐλάβειαν περιττὴν ἢ ἔχοντες ἢ ὑποκρινόμενοι, μὴ δ' ἑτέρῳ τῶν εἰρημένων προσέθεντο, ἄῤῥητον δὲ αὐτὴν καὶ ἀκατονόμαστον γεγενῆσθαι ἀπεφήναντο, εἴτε οὕτω ἔχοντες, εἴτε οὔ, τοὺς ἐλέγχους ὑφορώμενοι τῆς ἀσεβείας· ἑωράκαμεν γὰρ καὶ νῦν τινὰς, οἳ πάνυ ῥητήν τε καὶ πεπατημέ-

νην τὴν περὶ τῆς ἑνώσεως ἔννοιαν ἔχοντες, ἄῤῥητον αὐτὴν ἔλεγον, ἵνα μὴ μόνον τῷ ἐναντίῳ τὸ ἐναντίον κατασκευάσωσιν, τουτέστιν τῷ ἀῤῥήτῳ τὸ ῥητὸν, ἀλλὰ καὶ τοὺς ἐλέγχους ἐκκλίνωσιν· ὥσπερ ἀμέλει καὶ ἕτεροι, ἐπὶ τῆς σαρκὸς τοῦ κυρίου τὴν φαντασίαν κρατύνειν, ἢ τὴν σύγχυσιν σπουδάζοντες, ἐσαρκώθη φασὶν ὡς ἠθέλησεν, καὶ ὡς μόνος οἶδεν αὐτός· οὐ γὰρ ἵνα ταῦτα παραστήσωσιν, ἐπὶ τὴν ὄντως ἀνευλαβῆ χωροῦσιν εὐλάβειαν, ἢ γὰρ ἂν πρὸς τὸ ἑαυτῆς ἦγε φῶς τούτους ἡ ἀλήθεια, ἀλλ' ἵνα κατ' ἐξουσίαν ἀποκέχρηνται τῇ ἀσεβείᾳ ἐπὶ τὰ σεμνὰ τῶν ὀνομάτων, ὡς εἴς τι κρατερόν τε καὶ ἀνάλωτον φρούριον καταφεύγουσιν· ἄῤῥητος γὰρ ὄντως ἐστὶν, καὶ ἀνεννόητος μόνη ἡ κατ' οὐσίαν τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος ἕνωσις· πῶς γὰρ τὰ τοσοῦτον κατὰ τὴν φύσιν παρηλλαγμένα, καὶ μακρῷ διῳκισμένα ἀλλήλοις τε συνέβη, καὶ κραθέντα οὐ συγκέχυται; ἀλλὰ καὶ ἔστιν ἓν, καὶ γνωρίζεται δύο, καὶ οὔτε τῷ μοναδικῷ τοῦ προσώπου συμπέφυρται, οὔτε διὰ τὰς ἰδιότητας τῶν φύσεων εἰς ὑποςάσεις μερίζεται· ταῦτα πίστις χωρεῖ μόνη καὶ λόγος θεῖος, ὁ μὴ ἐν προφορᾷ λέξεως ἀλλ' ἐν τῇ κατ' ἔννοιαν ἐλλάμψει τρανῶν ταῦτα, καὶ ἀφθέγκτοις διδασκαλίαις μυσταγωγῶν τοὺς ἀξίους.

27. Τοὺς μὲν οὖν περὶ τὴν εὐλάβειαν νοσοῦντας, ἕως ἔστιν ὁ σκοπὸς ἄδηλος, οὐδὲ λόγου ἀξιωτέον· εἰ γὰρ μήτε τὸ φῶς παῤῥησιαζόμενοι, ἂν τούτου τύχοιεν ἔχοντες, μήτε σκότῳ συγκαλυφθῆναι αὐτῶν τὰς ψυχὰς δυσχεραίνοντες, ὡς ἀνιάτως ἔχοντες, καὶ πρὸς ἡμῶν διαπτυέσθωσαν· περὶ δὲ τῶν ἄλλων, οὕτω διαλεξώμεθα· εἰ τὴν ἕνωσιν μὴ κατ' οὐσαίν ἀλλὰ κατ' ἐνέργειαν, ἢ εὐδοκίαν, ἢ ἄλλην τινα τοιαύτην σχέσιν δογματίσαντες, κατ' οὐδὲν μὲν τῇ ἀληθείᾳ ἐγ-

γίζουσι· τὸ δὲ ψεῦδος πολυσχιδὲς ἂν ἐμερίσαντο, ἄλλοις ἄλλην τινὰ μοῖραν αὐτοῦ παρασπασάμενοι, καὶ εἰς ἓν ἀλλήλοις ἐλθόντες τῇ ἀποτεύξει τῆς ἀληθείας· ποία γὰρ ἂν εἴη αὕτη, καὶ πῶς τοῦ τῆς ἑνώσεως ἀξία ὀνόματος, τῆς ὑπερφυοῦς καὶ μόνης μετὰ τὴν μόνην καὶ πρώτην, ἡ μὴ τὰ πράγματα συνδέουσα καὶ εἰς ταὐτὸν ἄγουσα; ὅθεν καὶ θαυμάζειν ἔπεισί μοι, ὅτ' ἂν αὐτῶν τὴν τοιαύτην ἕνωσιν πρεσβευόντων, τὸ ἀσύγχυτον προσρίπτεται καὶ τὸ ἄτρεπτον· ποίαν γὰρ ὑφωρᾶσθαι τροπὴν αὐτοὺς δίκαιον ἐν τῇ διαιρέσει τῶν πραγμάτων, τὰς μὲν ἀξίας εἰς μίαν ἀξίαν συγχεόντας, οὐ γὰρ αἱ ἀξίαι ἀξίαι ποτ' ἂν γένοιντο ἀσυγχύτως, ὥσπερ οὐδὲ αἱ φύσεις μία φύσις ἀτρέπτως, τὰς δὲ οὐσίας χωρίζοντας; οὐ γὰρ πραγμάτων ἕνωσις, ἢ τῆς ἀξίας ἕνωσις, ἢ οὕτω γ' ἂν καὶ πάντας τοὺς τῆς θείας λελοχότας ἀξίας, εἰς ταὐτὸν ἄξωμεν τῇ θείᾳ οὐσίᾳ, καὶ δύο φύσεις ἐφ' ἑκάστου τῶν ἁγίων δογματίσωμεν· τὸ γὰρ ποσὸν τῆς ἀξίας, οὐ πάντη χωρίζει τὰ κατὰ τὴν ἀξίαν διάφορα, ἀλλ' ὁπόση ἂν εἴη, κατὰ τοσοῦτον συνάψει καὶ τὰς φύσεις· οὐ γὰρ δὴ πάντη αὐτὰς χωρίσει τοῦ συνάπτοντος, μὴ πάντη κεχωρισμένου· ὁπόσον γὰρ μετέχουσι τῆς ἀξίας, μετέχειν ὀφείλουσι καὶ τῆς τοῦ λόγου φύσεως.

28. Εἰ δέ τινι ἑτέρῳ τῶν ἐν τῇ τριάδι συνάψαι βούλονται, τοὺς παρὰ τὸν Χριςὸν λοιποὺς ἁγίους, τῆς ἐν ἀσεβείᾳ αὐτῶν ἔστω ἐξουσίας· κεχρηματίκασι γὰρ θεοί τε καὶ υἱοὶ θεοῦ καὶ πνεύματα ἅγια, κατὰ τὸ, ὁ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστιν· πῶς τοίνυν, πάσης τῆς λογικῆς καὶ μακαρίας κτίσεως, ὅση τε ἐν ἀγγέλοις καὶ ὅση ἐν ἀνθρώποις, τῆς θεοποιοῦ καὶ υἱοποιοῦ τοῦ πνεύματος χάριτος πληρωθείσης, μόνος ὁ ἐκ παρθένου πεφηνὼς θεός τε ἐκλήθη

καὶ υἱὸς θεοῦ ἐν τῷ λόγῳ, καὶ κατὰ τὸν λόγον, προσκυνεῖταί τε παρὰ πάσης λογικῆς φύσεως; ἔδει γὰρ τοὺς ἀθέους εἰδέναι, ὅτι εἰ καὶ τὸ ἐξαίρετον τῆς ποικίλης διανομῆς, πρόσεστι τοῖς ὑπερτέροις παρὰ τοὺς ὑφειμένους, ἀλλὰ κοινὸν τὸ ἐφάπασι τῆς ἐνεργείας χάρισμα, καὶ τῆς ἀξίας δώρημα· καὶ ἢ κακείνας μετὰ τοῦ θεοῦ λόγου, ἢ οὗ γε βούλονται ἑνὸς τῶν ἐν τῇ ἁγίᾳ τριάδι θεωρουμένων, ἢ καὶ ὅλης τῆς σεβασμίου τριάδος εἰς δύο συνάπτειν φύσεις, καὶ δύο ἢ τρεῖς ἢ τέσσαρας ὑποστάσεις διαιρεῖν· ἢ μηδὲ τούτων μετὰ τῆς φύσεως τοῦ θεοῦ λόγου συνάπτειν, καὶ εἰς ἕνα υἱὸν ἢ συντιθέναι, ἢ ὁμωνύμως αὐτὸν ποιεῖν πρὸς τὸν πρωτότυπον υἱὸν, καὶ μὴ φρονεῖν μὲν ἄλλα, φθέγγεσθαι δὲ ἕτερα· μιᾶς γὰρ οὔσης τῆς φυσικῆς υἱότητος, ἐξ ἧς κατὰ μετοχὴν πᾶσα υἱότης, ἀνάγκη τὸν ἀποσχεδιασθέντα αὐτοῖς ἄνθρωπον ἢ τῆς φυσικῆς μετέχειν υἱότητος, ἢ τῆς ἐκ χάριτος γινομένης· καὶ ἢ πρὸς τὸν μονογενῆ συνάπτειν αὐτὸν, ὡς τῆς ἑνώσεως τῆς κατ᾽ οὐσίαν ἀντιδιδούσης τὰ τῇ θατέρᾳ φύσει προσόντα τῇ θατέρᾳ· ἢ εὐσεβεῖν μὴ ἀνεχομένους, προφανῶς αὐτὸν τοῖς λοιποῖς συντεταγμένως ἀφορίζειν· οἱ δὲ τὴν μὲν ἀσέβειαν οὐ παῤῥησιάζονται, φύσει γάρ ἐστιν ἀπαῤῥησίαστον τὸ κακὸν, τὴν δὲ ἀλήθειαν οὐκ ἀγαπῶσιν, οὐδὲ τῆς δολιολάλου γλώσσης τὰ ἐπίχειρα δεδοίκασιν.

29. Ἀλλ᾽ οὗτοι μὲν ἔξω θείου χοροῦ ἀπεληλάσθωσαν, μετὰ τῶν τῆς ἀσεβείας πατέρων Νεστορίου τε, καὶ ὅσοι τούτῳ μυσταγωγοί τε καὶ μύσται γεγόνασιν· τῆς δὲ κατ᾽ οὐσίαν ἑνώσεως μεγαλοφώνως κηρυττέσθω ἡ ἀλήθεια, καὶ περὶ ταύτης φιλοσοφητέον, καθὼς αὐτῇ δοκεῖ· κίνδυνος γὰρ οὐ μικρὸς παρατραπέντας αὐτῆς, εἰς τὸ ἐναντίον μὲν ἴσον δὲ κακὸν, τὴν σύγχυσιν φαμὲν, ἐμπεσεῖν· ἵνα δὲ ἡμῖν γνώ-

μιμος ἡ διαφορὰ γένηται, τῆς τῶν κατ' οὐσίαν ἡνωμένων, καὶ μὴ τρεπομένων πρὸς τὰ ἐκ τῆς ἑνώσεως τρέπεσθαι πεφυκότα, καὶ τί μὲν τὸ τῆς προτέρας εἶδος, τί δὲ τὸ τῆς δευτέρας ἀποτέλεσμα, ἤδη γινέσθω ἡ διαίρεσις· πάντα τὰ ὄντα συνῆσται ἀλλήλοις, ταῖς καθ' ὅλου κοινότησι, καὶ πάλιν διήρηται ἀπ' ἀλλήλων ταῖς εἰδοποιοῖς διαφοραῖς, καὶ οὐδὲ ταῖς ἑνώσεσι τὸ ἡνωμένον χωρίζουσιν, ἀλλ' εἰ χρὴ παραδόξως εἰπεῖν καὶ κατὰ τοὺς πατέρας, ἥνωνται διῃρημένως, καὶ διακέκρινται συνημμένως· τῶν δὲ ἑνώσεων καὶ τῶν διακρίσεων διττὸς ὁ λόγος· τὰ μὲν γὰρ ἥνωται τοῖς εἴδεσι, διήρηται δὲ ταῖς ὑποστάσεσιν· τὰ δὲ διήρηται τοῖς εἴδεσιν, ἥνωται δὲ ταῖς ὑποστάσεσι· καὶ τῶν ἡνωμένων μὲν τοῖς εἴδεσι, διῃρημένων δὲ ταῖς ὑποστάσεσι, τὰ μὲν ἁπλὴν ἔχει τὴν ἕνωσίν τε καὶ τὴν διάκρισιν, τὰ δὲ σύνθετον· περὶ μὲν οὖν τῶν ἁπλὴν ἐχόντων τὴν διττὴν σχέσιν, τὰ νῦν λέγειν ἀφείσθω· οὐ γὰρ τῆς παρούσης σκέψεως ἡ ἐκείνων εἰς τὰ κατὰ μέρος ἐξάπλωσις, καὶ ἄλλως τὴν τῶν πολλῶν διαφεύγειν γνῶσίν τε καὶ μάθησιν, περὶ δὲ τῶν κατὰ σύνθεσιν, ἤγουν συμπλοκήν, ἢ κρᾶσιν, ἢ ἕνωσιν, ἢ ὅπως ποτε φίλον καλεῖν, τὰς συσιώδεις τῶν ἑτεροειδῶν σχέσεις λεκτέον ἡμῖν, τοῖς ὀνοματομάχοις καταλιποῦσι, τὰς ὡς αὐτοὶ νομίζουσιν ἐμφαντικωτέρας ἢ κυριωτέρας τῶν σημασιῶν· οὐ γὰρ ἐκλογῆς λέξεων ἡμῖν σχολὴ ἐπὶ τὸ νοεῖν ἐπειγομένοις.

30. Τῶν τοίνυν οὐσιωδῶς ὑπαρχόντων καὶ κατ' οὐσίαν ἑνουμένων, τὰ μὲν κἂν τῇ ἑνώσει σώζει τὸν ἴδιον τῆς ὑπάρξεως λόγον, τὰ δὲ συγχεῖται καὶ ἐξαφανίζει τὴν ἀκρότητα τῶν ἡνωμένων λυμαινόμενα· τῶν οὖν προτέρων ἡ μετ' ἀλλήλων καὶ ἐν ἀλλήλοις θεωρουμένη σχέσις, ἓν μέν τι ἐξ ἀμφοτέρων ἀποτελεῖ, καὶ ὡς ἄν τις εἴποι, ἓν εἶναι τῷ ἀριθμῷ

ἀποδείκνυσι, τὸ διάφορον σώζοντα τῆς ὑπάρξεως ἐν τῷ ταὐτῷ τῆς ἑνότητος· καὶ τούτου παράδειγμα, ἐν μὲν ζώοις ὁ καθ' ἡμᾶς ἄνθρωπος, ἐν δὲ τοῖς ἁπλοῖς ἢ φυσικοῖς σώμασιν ἡ τῶν αὐθυποστάτων καὶ καθ' ἑαυτὰ εἶναι δυναμένων πρὸς ἄλληλα ποιὰ σχέσις· οἷον ὡς ἐπὶ λαμπάδος ἐστὶ θεωρῆσαι, ἄλλο μέν γαρ τί ἐστιν ἡ θρυαλὶς, ἕτερον δὲ πάλιν ἡ φλογώδης τοῦ πυρὸς οὐσία· σὺν ἀλλήλοις δὲ καὶ ἐν ἀλλήλοις ὄντα, μίαν πεποίηκεν ἀμφότερα λαμπάδα· καὶ ὡς ἄν τις ἐκβιασάμενος εἴποι, πῦρ ἐστὶν ἐξυλωμένον, καὶ ξύλον ἐμπεπρησμένον, καὶ τὸ μὲν τῆς τοῦ πυρὸς μετέσχε λαμπρότητος, τὸ δὲ τῆς κατὰ τὴν δᾷδα κεκοινώνηκε γεώδους παχύτητος, καὶ ἀντιδέδωκεν θάτερον θατέρῳ τῶν ἰδιωμάτων, ἐν τῇ μονίμῳ ἑαυτῶν καὶ ἀσυγχύτῳ ἰδιότητι μείναντα.

31. Μηδεὶς δὲ κακόσχολος πάλιν λαμβανέσθω τοῦ παραδείγματος, εἴ τι ἀνόμοιον ἔχοι, τὸ ἔλαιον προφέρων, τὸ μεσιτεῦον τῇ τούτων ἑνώσει, ἢ τὴν ὑποκειμένην ἐλαιώδη ποιότητα, ἢ τὸ μὴ διαρκεῖν ἐπὶ χρόνον ἀλλὰ τεφροῦσθαι, μνημονεύων ὧν ἔμπροσθεν εἰρήκαμεν περὶ παραδείγματος καὶ τοῦ κατ' αὐτοῦ ὅρου· ἡ δ' αὐτὴ ἂν εὑρεθείη καὶ πυρὸς πρὸς ἀέρα σύγκρασις, καὶ ἀέρος πρὸς ὕδωρ· ἡ γὰρ ὕδατος πρὸς γῆν μίξις, ἡ δὴ τοῦ συγχυτικοῦ τῆς ἑνώσεως ἅπτεται εἴδους, ὁδοποιοῦσα τοῖς ὑγροῖς τε καὶ λεπτομερέσι, διαφόροις δὲ κατὰ τὴν τῶν ποιοτήτων ἐξαλλαγὴν τὴν ἐκ τῆς ἀντιπεπονθήσεως γινομένην τῶν ἄκρων μεταβολὴν καὶ ἀλλοίωσιν· παρίημι γὰρ τὰς ποιότητας λέγειν, αἳ καὶ τῶν οὐσιῶν κεχωρισμένων, πολλάκις ἐν ἀλλήλαις τε γίνονται, καὶ ἀμιγῶς συνάπτονται· ὥσπερ τῶν φωσφόρων ἄστρων αἱ μαρμαρυγαὶ, ἀλλήλαις τε καὶ ἀέρι κιρνάμεναι σώζουσι τὴν ἰδιότητα τοῦ ἐν τῷ ποιῷ ποσοῦ· παρίστησι δὲ τοῦτο ἡ τέχνη, τῆς φύ-

σεως οὖσα μιμητική· εἰ γ᾽ οὖν τις, κατὰ τὸν μέγαν Διονύσιον, πολλὰς ἐξάψας δᾷδας ἐν ἑνὶ οἴκῳ συγκλείσειεν, εἶτα μίαν ἐκ πασῶν ἀποσπάσας ἐξαγάγοι τοῦ δωματίου, συνεξοίσει ταύτῃ καὶ τὸ φῶς, οὔτέ τι τοῦ ἰδίου πάλιν αὐτοῖς ἀπολιπούσης, καὶ καθ᾽ ὅλου φάναι, οὐδὲν τῶν ἑνουμένων τροπὴν ἢ σύγχυσιν ὑφίσταται, μὴ οὐχὶ ἑκατέρου τῶν ἑνουμένων παθητικὰς ἔχοντος ποιότητας· τῶν γὰρ μὴ τοιούτων, ἡ μὲν δραστήριος ποιῆσαι ἂν καὶ οὐ πάθοι, ἡ δὲ παθητικὴ πάθοι ἂν καὶ οὐ δράσειεν· ὧν δὲ κοινὸς ὁ λόγος τῆς ἀντιπεπονθήσεως, ταῦτα κατὰ τὴν ἐπικράτειαν ἢ τὴν ἰσονομίαν τῶν παθοποιῶν αἰτιῶν, τὴν ἐν θατέρῳ πάσχει τε καὶ ποιεῖ, ἐπὶ πλεῖον ἢ ἔλαττον· ὥσπερ ἔχει ἐπὶ πάντων τῶν τηκτῶν, καὶ τῶν μεταλλικῶν, καὶ ὅσα τοῖς ἰατροῖς ἢ τοῖς βαναύσοις κιρνᾶσθαι ἢ συντήκεσθαι κατὰ τὴν τέχνην μεμηχάνηται.

32. Τούτων τοίνυν προδιεσταλμένων ἡμῖν, εἰδέναι χρὴ ὅτι τὰ μὲν ἀλλοιωτικὰ ἀλλήλων καὶ μεταβλητικὰ, ἐκ πολυειδῶν καὶ ἑτεροουσίων συνεστῶτα, οὐδὲν τῶν ἐν τῇ συνθέσει ἀποσώζει ἀκραιφνὲς μετὰ τὴν σύνθεσιν, ἀλλὰ τὰς πάντων ἰδιότητας μίξασα καὶ συγχέουσα ἐκ πάντων παρὰ πάντα, ἑτεροῖον εἶδος πάμμικτον ἀπετέλεσε, καὶ γέγονε πολλῶν ὑποστάσεων καὶ φύσεων κατὰ τὴν μίξιν φυρμὸς καὶ σύγχυσις, οὔτε τὸ ἰδιάζον τῆς ὑποστάσεως, οὔτε τὸ κοινὸν τῆς φύσεως φυλάξασα, ἀλλ᾽ ἕτερον ἐκ τούτων μὲν γενόμενον, οὐδενὶ δὲ ταυτὸν ἀφ᾽ ὧν γέγονεν ἀποτελέσασα· εἰ τοίνυν θεότης καὶ ἀνθρωπότης κατ᾽ οὐσίαν ἑνωθεῖσαι μὴ φυλάττουσι κἂν τῇ ἑνώσει τὴν ἑαυτῶν φυσικὴν ἰδιότητα, συγκέχυνται, καὶ οὔτε θεότης ἔμεινεν οὔτε ἀνθρωπότης, ἀλλ᾽ ἕτερον οὐσίας εἶδος ἐκ τούτων γενόμενον, καὶ οὐχὶ ταῦτα ὑπάρχον ἀποτετέλεκεν· οὗ τί ἂν γένοιτο ἀσεβέστερον ἢ βδε-

λυκτότερον κἂν ἐννοῆσαι, μὴ ὅτι φρονοῦντας δογματίσαι; λείπεται τοίνυν ἐκ τῆς ἐξετάσεως τοῦ λόγου τῆς κατ' οὐσίαν ἑνώσεως, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος τὴν ἀσύγχυτον ἰδιότητα, κατὰ τὰ πρότερα λαβεῖν ὑποδείγματα, ἀμυδρὰν δέ τινα φαντασίαν ἐκ πάντων τῆς ὑπὲρ πάντα ἀληθείας συλλεγομένοις, ἥ τις ἀποδείκνυσιν, ἓν μέν τι τούτων εἶναι τὸ ἀποτέλεσμα, ὃ εἴτε πρόσωπον, εἴτε ὑπόστασιν, εἴτε ἄτομον, εἴτε ὑποκείμενον, εἴτέ τι ἄλλο φίλον καλεῖν αὐτὸ, οὐ διαφέρομαι· τοὺς γὰρ ἀξίᾳ ἢ αὐθεντίᾳ, ἤ τινι τοιαύτῃ σχέσει διαιρετικῇ διὰ τοῦ συνάπτειν χωρίζοντας, πρώην ἀποῤῥαπίσας ὁ λόγος ἀποδεδίωχεν, ὑποστάσεσι τὰς φύσεις διαιροῦντας ἐλέγξας, καὶ μηδεμίαν κοινωνίαν ἢ ἀντίδοσιν ἐχούσας ἢ ἀντιδιδούσας.

33. Τούτων εἰρημένων, κατὰ τὸ δεδομένον ἡμῖν ἐκ θεοῦ τῆς νοήσεως μικρὸν μέτρον, παραπέμπομεν τὸν ἐντυγχάνοντα εἰς τὰς τῶν θεηγόρων πατέρων διδασκαλίας, ἀφ' ὧν καὶ ἡμεῖς ταῦτα ἠντληκότες, ὡς ἐν μικρῷ κρατῆρι, τῷ τῆς ταπεινῆς ἡμῶν διανοίας λόγῳ ποτίσαι ἐσπουδάσαμεν τοὺς τῆς ἀληθείας ἐραστάς· ὑμεῖς δὲ ἐπορεγόμενοι ὑπὸ τῆς ἀληθείας, ταῦτα μὲν ἔχοιτε λήθης φάρμακον, καὶ μετὰ τὴν τελευταίαν ἐκδημίαν ἡμῶν ἀγάπης ὑπόμνημα, ὡς ἂν μὴ τῷ χρόνῳ τὸ τῆς ἀγάπης καλὸν ἐκρυὲν οἰχήσεται· ἐπιστομίζοιτε δὲ τοὺς θρασυτέρους, καὶ χειραγωγοῖτε τοὺς ἁπλουστέρους, ἐπὶ τὴν διὰ τούτων ἀναφαινομένην ἐν τοῖς ἁγίοις πατράσιν εἰλικρινῆ καὶ καθαρὰν τῆς ἀληθείας αὐγὴν, καὶ ἡμῶν ὑπερεύχεσθε, δι' ἀγάπην ὡς τὸ συνειδὸς μαρτυρεῖ ταῦτα συγγράψαι, καὶ παρὰ προαίρεσιν ἀνασχομένων· τῷ δὲ θεῷ εὐχαριστία ὑπὲρ πάσης τῆς ἐν πᾶσιν αὐτοῦ δωρεᾶς, εἰς τοὺς αἰῶνας· ἀμήν.

ΠΡΟΟΙΜΙΟΝ ΧΡΗΣΕΩΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

34. Μέλλων τὰς χρήσεις παρατίθεσθαι τῶν ἁγίων πατέρων πρὸς βεβαίωσιν τῶν ἡμετέρων λόγων, ἐπιστῆσαι τὸν νοῦν τὸν ἐντυγχάνοντα παρακαλῶ· συνετοῦ γὰρ δεῖται ἀκροατοῦ ἡ τῶν θαυμαστῶν τοῦ πνεύματος συμβούλων παίδευσις· κάμνει γὰρ λόγος ἀκοαῖς ἐνηχῶν ἀπαιδευσίας ῥύπῳ βεβαρημέναις· ὥσπερ γὰρ ἐνώτιον χρυσοῦν, καὶ σάρδιον πολυτελὲς ἐνδέδεται, οὕτω λόγος σοφὸς εἰς οὖς εὐήκοον, ἡ σοφὴ ἀπεφθέγξατο παροιμία· οὐκοῦν τὸ κατὰ τὴν θείαν αἴσθησιν ἀκουστικὸν ἡμῶν, παντὸς ἐκκαθάρωμεν ἄχθους τοῦ ἐκ προλήψεως συνισταμένου, καὶ ἀποκωφοῦντος τὸν νοῦν· ἤδη δὲ τὸ τῶν μαρτύρων νέφος, ᾗ φησὶν ὁ ἀπόστολος, ἐποίσομεν, ἂν ἄρα κἂν τοῖς τηλικούτοις εἴξωσιν οἱ ἀπειθοῦντες· καὶ γὰρ τῆς αὐτῶν πατροπαραδότου φιλονεικίας ἕνεκεν, οὔτε διλήμματον ἢ ἀμφίβολον χρῆσιν παρηγάγομεν, οὔτε μὴν ἀσημοτέρους πατέρας ἐπεμαρτυράμεθα· αὐτοὺς δὲ τοὺς φανοτάτους, καὶ μέγα ἐν τῇ οἰκουμένῃ λάμψαντας ἐπεβοησάμεθα, καὶ τρανωτάτας καὶ ἀναμφιλέκτους μαρτυρίας εἰσκεκομίκαμεν, πᾶσαν αὐτοῖς ἀποκλείοντες κατὰ τῆς ἀληθείας ἐπίνοιαν· οὐ τὰς ἐξ ὧν ἢ ἀφ' ὧν ἢ παρ' ὧν, καὶ πρὸ τῆς ἑνώσεως ὡς αὐτοῖς φίλον καλεῖν, ἢ ἐν τῇ ἑνώσει, καὶ οὐχὶ καὶ μετὰ τὴν ἕνωσιν· εἴ πέρ ἐςι κατὰ τὴν αὐτῶν σοφίαν ταύτης τέλος, ἀλλὰ τὰς ἐν οἷς, καὶ δι' ὧν, ἀμφοτέρας τε καὶ δι' ἀμφοῖν καὶ ἄμφω, φύσεις τε καὶ οὐσίας, οὔσας τε καὶ φυλαττομένας ἔν τε τῇ ἑνώσει, καὶ εἰς ἄπειρον ἀδιαιρέτους· ἐν τῇ κατ' οὐσίαν ὑποςατικῇ ἑνώσει, ὑπεφήναμεν τοὺς ἁγίους καταγγείλαντας.

35. Εἰ δέ τις τὸ τούτων πλῆθος, ἢ τῶν προσώπων τὸ ἀξιόπιςον, κατὰ τὸν ἐν τῇ γραφῇ ἀσεβῆ οὐκ αἰδεῖται, ἀσε-

βὴς γάρ φησιν, ὃς οὐκ ᾐδέσθη πρόσωπον ἐντίμου, ἀσήμους δὲ καὶ οὐκ ἐγνωσμένας, ὡς ἐξ αὐτῶν ἢ ἑτέρων, τούτοις ἐναντίας χρήσεις προκομίζοι, δειξάτω πρῶτον, ὅτι μὴ αὗται ἐκείνων οὖσαι τυγχάνουσι, καὶ οὕτως ἐκείνας δεξαίμεθα· ἕως δ' ἂν αὗται τὸ ἰσχυρὸν ἔχουσι, τῇ τε τῶν συνταγμάτων λαμπρότητι· καὶ περιφανείᾳ τῇ τῶν πατέρων, ἐκείνας ἢ οὐ παραδεξαίμεθα τὴν ἀρχὴν, κατὰ τούτων στρατευομένας ἢ δεξάμενοι ὡς σύμφωνον τούτοις ἐχούσας διάνοιαν, καὶ κατ' οὐδὲν μαχομένας ἐκδεξώμεθα· τὸ γὰρ εἰς ἀντίφασιν πειρᾶσθαι τοὺς θεολόγους ἄγειν, καὶ ἀσυμφώνους σφίσιν αὐτοὺς γεγενῆσθαι λέγειν· οὐ καθ' ἡμῶν ἐστι τὸ ἐγχείρημα· κατὰ δὲ τῆς ἐκείνων δόξης, μᾶλλον δὲ τῆς τοῦ Παύλου, καὶ ἔστι τῆς τοῦ ἁγίου πνεύματος αὐθεντίας, καὶ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· μετὰ γὰρ τοὺς ἀποστόλους καὶ τοὺς προφήτας, ἐν τῇ ἐκκλησίᾳ τοὺς διδασκάλους, κατὰ τὴν ἀνεξιχνίαστον τοῦ πνεύματος οἰκονομίαν, τέθεικεν ὁ θεὸς, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· οὐκοῦν ὁ τοὺς πατέρας μὴ δεχόμενος τοὺς διαφανεῖς τε καὶ ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ περιβοήτους, προφανῶς τῇ διαταγῇ τοῦ θεοῦ ἀνθέστηκεν.

36. Τί τοίνυν διαφέρει οὐσία ὑποστάσεως, ἤγουν φύσις προσώπου, ἐκ τῶν μεγάλων φωστήρων, Βασιλείου τε καὶ Γρηγορίου, μαθεῖν ἔξεστιν· οἵ τινες ὑπὸ κανόνα καὶ ὅρον τὰ νῦν ἡμῖν ζητούμενα ἀνήγαγον, σαφῶς διδάξαντες, τί μὲν οὐσία, τί δὲ ὑπόστασις, καὶ ὡς φύσις ταὐτόν ἐστι τῇ οὐσίᾳ, ὑπόστασίς τε τῷ προσώπῳ, καὶ πῶς, καὶ κατά τινων ταῦτα λέγεται, τάς τε ἀντωνυμίας αὐτῶν, καὶ τὴν ἀντεμπλοκὴν ἔμπαλιν ἐχούσης τῆς θεολογίας τῇ οἰκονομίᾳ, κατὰ τὴν τῶν ὀνομάτων τούτων ἐπίζευξίν τε καὶ ὑπαλλαγήν· μετὰ

δὲ τὴν τούτων παράθεσιν, καὶ τοὺς ἄλλους ἱεροὺς διδασκάλους παράξομεν εἰς μέσον· μιᾶς που ἡ δευτέρας χρήσεως, τὴν πᾶσαν ἡμῖν τῶν θεοσόφων διάνοιαν παριστώσης· ἱκαναὶ γὰρ καὶ αὗται καταιδέσαι τοὺς εὐγνώμονας· τοὺς γὰρ μὴ τοιούτους οὐδ᾽ ἂν ὁ πᾶς πεῖσαι τῶν ἁγίων χορὸς, καὶ εἰ τὰς πάσας αὐτῶν καὶ ἀθρόως ἐξαντλοῦντες καταχέοιμεν διδασκαλίας.

In editione latina Leontii sequuntur multae patrum auctoritates, quas graecus quoque vat. codex accurate retinet. Verumtamen quum graecus ipsarum textus magnam partem legatur sive in operibus patrum editis, sive in concilio chalcedonensi ed. rom. act. IV. et part. III., sive etiam sparsim in editionibus nostris Script. vet. T. VII. et T. VIII., ego quidem minuendi voluminis gratia, plerasque illas auctoritates heic omitto, paucis admodum retentis quas heic subicio.

Πρόκλου ἐπισκόπου Κωνσταντινουπόλεως εἰς τὸ παιδίον ἐγεννήθη ἡμῖν.

Ὁ αὐτὸς ἀληθῶς θεὸς καὶ ἀψευδῶς ἄνθρωπος, τῷ πατρὶ καθ᾽ ὃ ἦν ὁμοούσιος, καὶ ἐμοὶ καθ᾽ ὃ γέγονεν ἄνευ ἁμαρτίας ὁμόφυλος, ἡ θεία φύσις ἄκτιστος, ἡ ἐξ ἐμοῦ προσληφθεῖσα ἀνόθευτος, καὶ εἷς ἐστιν υἱὸς, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόστασιν ἑνωσάσης (1).

Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδώνου καὶ μάρτυρος.

Ὥσπερ γὰρ ἡ κιβωτὸς, κεχρυσωμένη ἔσωθεν καὶ ἔξωθεν χρυσίῳ καθαρῷ ἦν, οὕτω καὶ τὸ τοῦ Χριστοῦ σῶμα καθ-

(1) Deest hoc inter fragmenta Procli a Gallandio collecta B. PP. T. IX. p. 703.

αρὸν ἦν καὶ διαυγές· ἔσωθεν μὲν τῷ λόγῳ κοσμούμενον, ἔξωθεν δὲ τῷ πνεύματι φαιδρυνόμενον (1)· ἵνα ἐξ ἀμφοτέρων τὸ περιφανὲς τῶν φύσεων ἐπιδειχθῇ.

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος, ἐκ τῶν εὐλογιῶν τοῦ Βαλαάμ (2).

Ἵνα δειχθῇ τὸ συναμφότερον ἔχων ἐν ἑαυτῷ τήν τε τοῦ θεοῦ οὐσίαν καὶ τὴν ἐξ ἀνθρώπων, ὡς καὶ ὁ ἀπόστολος λέγει, μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς· ὁ δὲ μεσίτης ἑνὸς ἀνθρώπου οὐ γίνεται ἀλλὰ δύο· ἔδει οὖν τὸν Χριστὸν, θεοῦ καὶ ἀνθρώπων μεσίτην γενόμενον, παρ' ἀμφοτέρων ἀῤῥαβῶνά τινα εἰληφέναι, ἵνα φανῇ δύο προσώπων μεσίτης.

Τοῦ ἁγίου Πέτρου ἐπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος, ἐκ τοῦ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας (3).

Καὶ τῷ Ἰούδα φησὶ, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; ταῦτα τά τε τούτοις ὅμοια, τά τε σημεῖα πάντα ἃ ἐποίησεν, καὶ αἱ δυνάμεις, δεικνύουσιν αὐτὸν εἶναι θεὸν ἐνανθρωπήσαντα· τὰ συναμφότερα τοίνυν δείκνυται, ὅτι θεὸς ἦν φύσει, καὶ γέγονεν ἄνθρωπος φύσει.

(1) In editione veneta an. 1734. S. Irenaei T. I. p. 342. occurrit hoc fragmentum, sed ibi est falsa lectio φρουρούμενον pro recta nostra φαιδρυνόμενον.

(2) Confer Script. vet. T. VII. p. 134. Basnagius in adn. ad Leontium latinum negat hoc opus fuisse Hippolyti, quia in laterculo vaticano marmoreo desideratur. Sed quis nescit imperfectum esse illum catalogum? Quis item, inspectis catenis biblicis, non pervidet Hippolytum scripsisse etiam in libros Moysis? quibus in commentariis de benedictionibus quoque Balaami locutum Hippolytum credibile est.

(3) Frustra eripit hunc librum vel sermonem Petro alexandrino Basnagius, quia, ut ait, in eius operum syllabo non ponitur. Atqui nullus est authenticus vel priscus operum Petri catalogus. Rectius ergo Basnagius dixisset, ponendum esse hunc sermonem in syllabo, teste Leontio. Nunc vero graeca verba adiiciantur latino fragmento apud Gallandium B. PP. T. IV. p. 109.

Τοῦ ἁγίου Κυριακοῦ ἐπισκόπου τῆς Πάφου καὶ ὁμολογητοῦ ἐκ τοῦ εἰς τὰ Θεοφάνεια λόγου, εἷς δὲ καὶ αὐτός ἐστι τῶν ἐν Νικαίᾳ (1).

Ὃς ἐν μορφῇ Θεοῦ φησὶν ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών· εἰ ἡ μορφὴ τοῦ Θεοῦ ἴση ἔστι τοῦ Θεοῦ, καὶ τέλειος ἐτύγχανε Θεός, καὶ ἡ μορφὴ τοῦ δούλου τέλειος ἄνθρωπος· τοῦτο γὰρ διδάσκει ἡ θεία γραφὴ, τέλειος ἐν ἀμφοτέραις ταῖς οὐσίαις ὁ Χριστός· ὁμοούσιος τῷ Θεῷ καὶ πατρὶ, καὶ ὁμοούσιος τῇ παρθένῳ καὶ μητρί· ἀμήτωρ ἄνω παρὰ πατρὸς, ἀπάτωρ κάτω παρὰ μητρός.

Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνου καὶ ὁμολογητοῦ, ἐκ τοῦ κατὰ Ἀπολιναρίου θ' λόγου.

Εἷς γάρ ἐςιν ἐν ἑκατέρῳ, τουτέςι τῇ θεότητι καὶ τῷ σώματι· οὐ γὰρ ἕτερος ἐκ πατρὸς, καὶ ἕτερος ἐκ παρθένου· ἀλλ' ὁ αὐτὸς, ἕτερον μὲν ἐκ πατρὸς, ἕτερον δὲ ἐκ παρθένου· καὶ γεννήσει γέννησις οὐ προκρίνει, οὐδὲ ἡ σὰρξ τῇ θεότητι (2).

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Σαβῖνον ἐπίσκοπον λόγου (3).

Οὐκοῦν ἐν τῷ τελείῳ τῆς θεότητος ὢν ἐκένωσεν ἑαυτὸν,

(1) Negat Basnagius Cyriacum fuisse in numero nicaenorum patrum; sed tamen Leontii adfirmationi suffragatur Ephraemius antiochenus apud Photium cod. CCXXIX. p. 828. Neque vero catalogis nicaenorum patrum impressis, propter eorum varietatem, tuto esse fidendum dixi Script. vet. T. X. p. 37.

(2) De hoc contra Apollinarem, sub Ambrosii mediolanensis nomine, laudato opere a Leontio, videsis Maurinos Ambrosii editores in calce praefationis tomi secundi. Valde tamen Basnagio adsentior intelligendum esse potius Ambrosium alex. cuius tractatum adversus Apollinarem memorat Hieronymus in catalogo vir. ill. cap. CXXVI.

(3) Sabini episcopi graecam narrationem de obitu ac funere S. Epiphanii nos edidimus Script. vet. T. VII. p. 178-180. Sabini monachi (postea fortasse episcopi) extitit epitome synodorum, teste antiquo catalogo op. cit. T. X. praef. p. 12. In hoc Sabino haud scio an agnoscendus sit auctor anonymus breviatae historiae synodorum apud Iustellum, de qua dixi in Spicil. T. VII. praef. p. 7-8.

καὶ ἔλαβε τὸ τέλειον, τῆς κατὰ ἄνθρωπον φύσεως ὁλόκληρον· ὡς οὐδὲν ἔλιπε τῷ θεῷ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ.

Τοῦ ἁγίου Γελασίου ἐπισκόπου Καισαρείας, καὶ αὐτὸς τῆς συνόδου τῶν ρν′, ἐκ τῆς ἑρμηνείας τοῦ συμβόλου.

Ἀλλ' οὐκ ἴσχυσεν ἀνθρωπίνη γλῶσσα μόνη τοῦτο ποιῆσαι· ἀσθενὴς γὰρ ἦν ἡ φύσις· ἦλθε τοίνυν εἰς ταυτὸν θεὸς ἅμα καὶ ἄνθρωπος, ἵνα σῶμα μὲν ὑπηρετήσηται, θεὸς δὲ δι' αὐτοῦ τὴν ἐνέργειαν παράσχηται· διπλᾶ πάντα, καὶ ἀληθῆ πάντα, καὶ τέλεια πάντα· καὶ φιμούσθω πᾶν αἱρετικὸν στόμα· μεθ' ἡμῶν ὁ θεός, μεθ' ἡμῶν ὁ μετὰ πατρός, μεθ' ἡμῶν ὁ ἐξ ἡμῶν· σάρξ μου, φησὶν, ἐξ αὐτῶν· ἀλλὰ τὸ μὲν ἀεὶ, τὸ δὲ δι' ἡμᾶς· καὶ ἡ μὲν θεότης ἀεὶ, ἡ δὲ ἀνθρωπότης δι' ἡμᾶς (1).

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἡμεῖς δὲ τῷ θείῳ δᾳδουχούμενοι λόγῳ, ἀνύβριστον τοῦ μονογενοῦς φυλάξωμεν τὴν εὐγένειαν, μήτε διὰ τὸ ταπεινὸν τῆς σαρκὸς ἀθετοῦντες τὸν λόγον, μήτε διὰ τὸ ὕψος τῆς θεότητος παρορῶντες τὴν σάρκα· ἀλλὰ τὸν μὲν λόγον ὡς θεὸν, τὴν δὲ σάρκα ὡς ναὸν θεοῦ τιμήσωμεν.

Τοῦ μεγάλου Ἐφραὶμ, ἐκ τοῦ εἰς τὸν μαργαρίτην λόγου (2).

Τῶν δύο φύσεων μετέχει ὁ μαργαρίτης ὁ πολύτιμος, ἵνα δείξῃ Χριστόν· ὅτι λόγος ὢν θεοῦ, ἐκ Μαρίας ἄνθρωπος γεγέννηται· οὐ μερικὴν ἔσχε τὴν φύσιν, ἐπεὶ οὐδ' ἕτερον ἂν

(1) Prioris huius loci gelasiani partem nos iam edidimus in Anastasii presbyteri opere dogmatico Script. vet. T. VII. p. 23. Porro ibidem p. 10. in titulo gelasiano mallem scribere μαθήματος quam μαθηματικοῦ. Etenim μάθημα dictum fuisse ab antiquis pro σύμβολον scimus.

(2) Ex hoc Ephraemii sermone duo iam protuleram fragmenta Script. vet. T. VII. p. 18. et 131. Tertium nunc accedit. Est autem ubique intelligendus Ephraemius episcopus antiochenus, non ille syrus monachus.

ζῶον ἐτύγχανε· τελείαν ἔχει τὴν διπλῆν φύσιν, ἵνα μὴ ἀπολέσῃ τὰς δύο· οὔτε ἡμίθεος ὤφθη ἐπὶ τῆς γῆς, οὔτε ἡμιάνθρωπος ἀνέβη εἰς τοὺς οὐρανούς· ἐκ τελείου τέλειος, ἐξ ἀνθρώπου ἄνθρωπος, ἐκ θεοῦ θεὸς, ἐκ παρθένου Χριστός.

Τοῦ ἁγίου Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας, ἐκ τοῦ εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον λόγου.

Ἔδειξεν γὰρ ἑαυτὸν διὰ τοῦ σωματικοῦ νέφους, ὁ τὴν ἡμετέραν φύσιν ὑπελθὼν, ἵνα ἀμφοτέρας αὐτοῦ διδαχθῶμεν τὰς φύσεις, καὶ τὸν ὁρώμενον ἄνθρωπον, καὶ τὴν διὰ τοῦ σώματος ἐνεργοῦσαν θεότητα (1).

Ἀντιόχου ἐπισκόπου Πτολεμαΐδος (2), ἧς χρήσεως ἐμνήσθη ὁ μακάριος Κύριλλος.

Μὴ συγχέῃς τὰς φύσεις, καὶ οὐ ναρκήσεις περὶ τὴν οἰκονομίαν· κράτει τὸν θεὸν, δίδου τὰ πρέποντα τῷ θεῷ· δέχου τὸ ἀνθρώπινον, δίδου τὰ πρέποντα τῇ ἀνθρωπότητι.

Σχόλιον Λεοντίου.

Ἐπὶ πᾶσι δὲ τοῖς προηγησαμένοις, καὶ τοῦ μακαρίου Κυρίλλου βεβαιωτικὰς τῶν τε πρὸ αὐτοῦ πατέρων, καὶ ἑρμηνευτικὰς τῆς ὅλης αὐτοῦ διανοίας παραθέσθαι ἐσπουδάσαμεν· ἵνα γνῶσιν ὅτι οὔτε αὐτὸς, οὔτε τις ἕτερος τῶν πατέρων, τὸ ἐκ δύο ἢ τὸ ἐξ ἀμφοῖν, ἐπ᾽ ἀναιρέσει τοῦ ἐν δύο εἰρήκασιν· πολλαχοῦ γὰρ κατὰ τῆς διαιρέσεως Νεστορίου μαχόμενος, οὐ μόνον τὰ ἐξ ὧν τέθεικεν, ἀλλὰ καὶ τῇ ἐν προθέσει ἐπ᾽ ἀμφοτέρων ἐχρήσατο, ὡς αὐτόθεν ἐξ ὧν ὑπετάξαμεν αὐτοῦ χρήσεων, ῥᾷον ἐστι μαθεῖν· ἐφ᾽ ἅπασι δὲ αὐτοῦ τοῖς λόγοις τῶν χρήσεων τὰς ἀναμφιλέκτους μόνας, ἃς οὐδὲ μανέντες παρ᾽ ἑρμηνεῦσαι δυνήσονται, παραθέσθαι ἐσπουδάσαμεν.

(1) Consonum alium Flaviani locum recitat Theodoretus dialog. II.

(2) Lege, si lubet, de hoc Antiocho quae diximus Script. vet. T. VII. p. 87. in adn.

ΤΟΥ ΑΥΤΟΥ ΛΕΟΝΤΙΟΥ

ΛΟΓΟΣ Β.

ΕΠΙΛΥΣΕΩΣ ΤΩΝ ΥΠΟ ΣΕΥΗΡΟΥ ΠΡΟΒΕΒΛΗΜΕΝΩΝ ΣΥΛΛΟΓΙΣΜΩΝ.

EIUSDEM LEONTII

LIBER II.

ID EST SOLUTIO ARGUMENTORUM A SEVERO OBIECTORUM.

Ἔστι μὲν τὰ πρώην ἡμῖν κατὰ τὸν ἀληθῆ λόγον, ἐκ τῶν ἁγίων πατέρων συνειλεγμένα, πρὸς τοὺς ἀπὸ Νεστορίου τε καὶ Εὐτυχοῦς, ἱκανὰ θεοῦ χάριτι πρὸς τελείαν ἀνατροπὴν τῶν ματαίων λογισμῶν τῆς ψευδωνύμου γνώσεως· ἐπειδὴ δὲ ἐφευρεταὶ κακῶν κατὰ τὸν θεῖον ἀπόστολον ὄντες, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις, ὡς τοῖς πολλοῖς νομίζεσθαι ξένοις τισὶ καὶ οὐκ ἐμπεριεχομένοις ταῖς πρὸς αὐτοὺς ἤδη γεγενημέναις ἡμῶν ἀντιῤῥήσεσι τὰ νῦν αὐτοὺς κεχρῆσθαι, ἀναγκαίως κατὰ τὴν ὑμετέραν τῶν κατὰ θεὸν ἀγαπώντων προτροπὴν, τὰ ἐν ἐκείνοις μὲν περιεχόμενα, οὐκ εἰς λεπτὸν δὲ ἐξητασμένα νυνὶ ὑπηγορεύσαμεν, ἵνα ἔχοντες πρὸς ἐκείνοις καὶ ταῦτα κατὰ τῆς ψευδωνύμου γνώσεως οὐκ ἀγεννῆ οἶμαι ἐπιχειρήματα, τῇ ἀληθείᾳ συνίστασθε· ἄρξομαι δὲ τῶν ἐπιλύσεων κατὰ τάξιν, ὡς καὶ ἡ τῶν ἀπὸ ῥημάτων περιέχει διασκευὴ, διαλογικώτερον αὐτὰ μεθοδεύων καὶ διευθύνων.

Ἀντίθεσις ἀκεφάλου.

Φύσιν ὁ λόγος ἀναλαβὼν ἀνθρωπίνην, τὴν ἐν τῷ εἴδει θεωρουμένην, ἢ τὴν ἐν ἀτόμῳ ἀνέλαβεν.

Ἀπάντησις ὀρθοδόξου.

Τί γὰρ ἕτερον οἴει ταύτην εἶναι παρ' ἐκείνην;

Ἀκέφ. – Ναὶ εἴπερ ἡ μὲν ἐν πλήθει θεωρεῖται, ἡ δὲ ἐν ἑνὶ τῷ ἀριθμῷ.

Ὀρθ. – Ἀλλ' οὐ πρὸς ὃ ἠρώτησα ἀπεκρίθης· οὐ γὰρ εἰ ἐν πλήθει καὶ ἐν ἑνὶ θεωρεῖται αὕτη τὸ ζητούμενόν ἐστιν, τοῦτο γὰρ ὡμολόγηται· ἀλλ' ἡ αὐτὴ ἐκείνη, κἀκείνη αὕτη, ἢ ἑτέρα οὖσα τυγχάνει· τὸ γὰρ ἐν ἑνὶ ἢ ἐν πλείοσι ταύτην θεωρεῖσθαι, τὰ ἐν οἷς ἔστι πολλὰ ἢ ἓν θεωρεῖσθαι ποιεῖ, οὐ τὴν φύσιν ἓν ἢ πολλὰ φαίνεσθαι παρασκευάζει· ὥσπερ ἀμέλει ἐπί τε λευκοῦ ἔχει καὶ τοῦ λελευκασμένου, εἴτε ἓν εἴτε πλείονα ὦσι, τὰ ἐν οἷς ἡ λευκότης θεωρεῖται· ὅτι δὲ ταῦτα οὕτως ἔχει, δῆλον ἐξ ὧν ὁ τῆς φύσεως λόγος ἐπί τε πλήθους καὶ ἑνὸς ὁ αὐτὸς ἀποδίδοται· ὃν γὰρ ἂν ἀποδῷς λόγον περὶ τῆς ἁπλῶς φύσεως, οὗτός σοι καὶ ἐπὶ τῆς ἔν τινι θεωρουμένης ἀποδοθήσεται, καὶ οὔτε πολλὰς ποιεῖ φύσεις τὴν μίαν, τὸ πολλοὺς ταύτης μετέχειν· οὔτε μίαν τὰς πολλὰς, κἂν εἷς τούτων μετέχοι, ἐὰν ᾖ ὁ ταύτης μετέχων, ἐκ διαφόρων συγκείμενος.

Ἀκέφ. – Τὴν τινὰ οὖν ἀνέλαβε φύσιν;

Ὀρθ. – Ναὶ ἀλλὰ τὴν αὐτὴν οὖσαν τῷ εἴδει.

Ἀκέφ. – Τί δὲ παρὰ ταύτην ἡ ὑπόστασις;

Ὀρθ. – Ὅτι τὸ μετέχειν αὐτῆς, ἄλλον ποιεῖ οὐκ ἀλλοῖον.

Ἀκέφ. – Οὐκ ἔστιν οὖν ἄλλος ἀπὸ ἄλλου.

Ὀρθ. – Οὐ πάντως, ἕως ἂν μήτε ὁμοούσιος, μήτε κεχωρισμένος ᾖ τοῦ συνυφεστῶτος καὶ συγκειμένου· ταῦτα γὰρ ποιεῖ τὰς ὑποστάσεις.

Ἀκέφ. – Οὐκ ἦν οὖν τοῖς ἀφοριστικοῖς ἰδιώμασιν, ἡ τοῦ Χριστοῦ ἀνθρωπότης, τοῦ κοινοῦ τὸ ἴδιον αὐτοῦ χωρίζουσα;

Ὀρθ. – Πάνυ μὲν οὖν, ἀλλ᾽ οὐ πρὸς τὸν λόγον τοῦτο, ἀλλὰ πρὸς τὸ γένος τὸ τῶν ἀνθρώπων, ἐξ ὧν σωματικῶς συνέστηκεν, ἐπεὶ καὶ αὐτὸς ὁ λόγος τοῖς ἀφοριστικοῖς ἀπὸ τοῦ κοινοῦ τῆς θεότητος ἰδιώμασιν, ὡς υἱὸς καὶ λόγος κεχωρισμένος, οὐ τούτοις καὶ ἀπὸ τῆς κατ᾽ αὐτὸν ἀνθρωπότητος κεχώρισται, ἀλλὰ τούτοις μὲν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ἐκείνοις δὲ ἀπὸ τῆς μητρὸς καὶ τῶν ἀνθρώπων κεχωρισμένος, τοῖς τῶν ἄκρων ἀφοριστικοῖς ἰδιώμασι, τὴν πρὸς ἑαυτὸν κοινωνίαν τε καὶ ἕνωσιν καταδέχεται, ὁμοουσιότητι μὲν τῶν ἄκρων, ἑτεροουσιότητι δὲ τῶν μερῶν, ἑνούμενός τε καὶ διαιρούμενος, καὶ τὴν διαφορὰν ἐναντίως τοῖς ἄκροις ποιούμενος· εἴπερ ἐπὶ τούτων μὲν τὸ ταυτὸν τῆς οὐσίας συνάπτων, τὸ ἑτεροῖον τῆς ὑποστάσεως διαιρεῖ· ἐνταῦθα δὲ τὸ ἑτεροῖον τῆς οὐσίας χωρίζων, τὸ ταυτὸν συνάπτει τῆς ὑποστάσεως.

Ἀκέφ. – Ἀλλ᾽ ἐκεῖνο οὐκ ἂν εἴποις, ὡς μὲν ὑπόστασις τὸ διῃρημένον καὶ καθ᾽ ἑαυτὸ ὑπάρχον δηλοῖ, ὁ δὲ ἀριθμὸς καὶ μάλιστα τῆς δυάδος, ἄλλό τι παρὰ τοῦτο σημαίνει· πᾶς γὰρ ἀριθμὸς ἐν ποσότητι, μονὰς δὲ μόνη ἄποσον· εἰ δὲ τῆς μονάδος τὸ ἄποσον, καὶ διὰ τοῦτο ἄτομον δυάδος, ἄρα καὶ παντὸς ἀριθμοῦ τὸ ποσὸν καὶ διῃρήμενον.

Ὀρθ. – Οὐκοῦν ἐπειδὴ ἀριθμοῦ καὶ τῶν περὶ αὐτὸν ἰδιωμάτων ἐμνήσθης, ἀναγκαῖον ἐκεῖνο εἰπεῖν, ὡς ὁ ἀριθμὸς διττὸς λέγεται, ὁ μέν τις ἁπλῶς καὶ καθ᾽ ἑαυτὸν, ὁ δὲ ἐν σχέσει καὶ πράγμασι θεωρούμενος, ὥσπερ λευκὸν ἥ τε λευκότης καὶ τὸ λελευκασμένον· αὐτὴ τοίνυν ἡ φύσις τοῦ ἀριθμοῦ καθ᾽ ἑαυτὴν οὔτε συνάπτει οὔτε διαιρεῖ· οὐδὲ γὰρ ἔχει

ὑποκείμενα πράγματα, ἀλλ' ὥσπερ τὸ ἄνω καὶ τὸ κάτω πρὸς τὴν σχέσιν λέλεκται τοῦ ἀναβαίνοντος ἢ καταβαίνοντος, αὐτὸ δὲ ἀπολύτως λεγόμενον οὐδ' ὁπότερόν ἐστιν· ὅτι καὶ ἀμφότερα δέχεται· καὶ ἄνω μὲν ὡς πρὸς τὸ κάτω, κάτω δὲ ὡς πρὸς τὸ ἄνω λέγεται· ἀφορίζεται δὲ τῇ τοῦ ἀνιόντος καὶ κατερχομένου σχέσει· οὕτως καὶ ὁ ἀριθμὸς αὐτὸς καθ' ἑαυτὸν οὔτε διαιρεῖ οὔτε συνάπτει· ἀλλ' ἀμφότερα δέχεται τῇ ποιᾷ σχέσει· οἷον ἡ δυὰς, ἡ τετρὰς, καὶ ἑξῆς· εἰ μὲν γὰρ τὰς μονάδας αὐτὰς θεωρεῖς ἐξ ὧν συνέστηκεν, εἰς ταύτας διαιρεῖται· εἰ δὲ τὴν ὁμάδα τούτων σκοπεῖς, ἐκ τούτων συνάπτεται· δύο γὰρ καὶ δύο εἰ τύχοι, εἰς τέσσαρα συντίθεται· τὰ δὲ τέσσαρα εἰς δύο καὶ δύο διαιρεῖται· ὥστε παντὸς ἀληθέστερον τὴν φύσιν τοῦ ἀριθμοῦ μηδὲν ἀφωρισμένον ἔχειν, μήτε τὸ διῃρημένον, μήτε τὸ ἡνωμένον· ἐν δὲ τῇ τῶν πραγμάτων ἐπιπλοκῇ καὶ συνθέσει τοῦτο ὑφίστασθαι· ἀπαίδευτον οὖν τὸ τῇ φύσει τοῦ ἀριθμοῦ, ἀναγκαίως τὴν διαίρεσιν τῶν πραγμάτων ἕπεσθαι νομοθετεῖν, ἀλλὰ μὴ τῇ τῶν πραγμάτων ἡνωμένων τε ἢ διῃρημένων φύσει, τὸν ἀριθμὸν σημεῖον ποιεῖσθαι δηλωτικὸν τοῦ ποσοῦ τῶν ὑποκειμένων, ἀλλ' οὐ λόγου καὶ οὐ τοῦ ἀριθμοῦ ταῦτα διαιροῦντος τε καὶ συνάπτοντος· ἵνα μὴ λέγω ὅτι καὶ αὐτὴν τὴν τοῦ ἀριθμοῦ φύσιν, πρὸς τὸ ποσὸν οἱ περὶ ταῦτα ἀνάγοντες, τοῦ ποσοῦ φασὶ τὸ μὲν εἶναι συνεχὲς τὸ δὲ διῃρημένον· καὶ τὸ μὲν ἐξεχόντων θέσιν, τὸ δὲ οὐκ ἐξεχόντων· δέκα γὰρ πήχεις λέγομεν τοῦ συνεχοῦς εἰ τύχοι ξύλου, οὐ συνδιαιροῦντες τῷ ἀριθμῷ καὶ τὴν ἑνότητα τὴν ἐν τῷ δεκαπήχει ξύλῳ· καὶ πάλιν δέκα μεδίους λέγοντες, ἐν διαιρέσει τούτους ἐπιστάμεθα· οὕτως οὖν καὶ ἐπὶ τῶν ἑτέρων ἔχει πραγμάτων· εἰ μὲν ὁ ἀριθμὸς φύσεσιν ἐπιφημισθῇ, οὐ τὸ ποσὸν αὐτῶν προση-

γουμένως, ἀλλὰ τὸ ἑτερογενὲς συνίστησιν· ἵππου γὰρ καὶ ἀνθρώπου καὶ βοὸς τρεῖς λέγοντες φύσεις, οὐ τὸ διῃρημένον αὐτῶν κατὰ τὸ ποσὸν, ἀλλὰ τὸ παρηλλαγμένον κατὰ τὸ εἶδος σημαίνομεν· τρεῖς δὲ ἀνθρώπους εἰ τύχοι Πέτρον καὶ Παῦλον καὶ Ἰωάννην, τὸ διῃρημένον αὐτῶν μᾶλλον· καὶ ὅτι τοσοῦτοι οὗτοι εἶδε παριστῶμεν· ὥσπερ ἐπὶ τῆς ἁγίας τριάδος, τρεῖς μὲν ὑποστάσεις ὁμολογοῦμεν, μίαν δὲ τούτων φύσιν καὶ οὐσίαν καταγγέλλομεν, οὐδ᾽ ὁποτέραν μὲν τούτων ἀνούσιον γινώσκοντες, οὐ μὴν καὶ ἀριθμὸν ἀφοριστικὸν ποσότητος οὐσιῶν ἐπιφημίζοντες, εἰδότες τὸ ἑτεροούσιον ταύτῃ συνάγεσθαι· ὃ δὴ καὶ οἱ ἀρειανοὶ συναισθόμενοι, ταῖς ὑποςάσεσιν ἐνουσίοις οὔσαις, τὰς οὐσίας ἐπεφήμιζον, ταύτῃ τὸ ἑτεροούσιον συμπλέκοντες· οὕτω δὴ καὶ ἐπὶ τῆς οἰκονομίας, δύο λέγοντες τὰς φύσεις, τὸ ἑτεροειδὲς αὐτῶν οὐ τὸ κεχωρισμένον δηλοῦμεν, ἐκβάλλοντες αὐτῶν εἰ καὶ μὴ εἶεν ἀνυπόστατοι τὸν τῶν ὑποστάσεων ἀριθμόν· ὥσπερ ἐκεῖ τὸν τῶν οὐσιῶν, κἂν μηδ᾽ ὁποτέρα ὑπόστασις τὸ ἀνούσιον, ὥσπερ οὐδὲ ἐνταῦθα τὸ ἀνυπόστατον, ἔχειν ὡμολόγηται· εὖ μάλα εἰδότες, ὅτι οὐδὲ ἐπὶ τῶν ὑποστάσει καὶ οὐσίᾳ κεχωρισμένων, οἷον τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ βοὸς, καὶ τοῦδε τοῦ ἀνθρώπου ἡ φύσις, οὐ τὸ διῃρημένον ἀλλὰ τὸ διάφορον· ὥσπερ καὶ ἡ ὑπόστασις τὸ διῃρημένον, ἀλλ᾽ οὐ τὸ τί τοῦ ὑποκειμένου κυρίως ἐμφαίνει· εἴ που γε ἐπὶ τῶν μὴ καθ᾽ ἑαυτὰ ἐμφαινομένων, ἀλλ᾽ ἅμα τε καὶ ἐν ἀλλήλοις ὄντων τε καὶ γινομένων, ἡ φύσις οὐ τὸ κεχωρισμένον ἀλλὰ τὸ διάφορον δηλώσει, εἴτε ἐπὶ τῆς θεολογίας, εἴτε ἐπὶ τῆς οἰκονομίας, εἴτε ἐπὶ παντὸς πράγματος.

Ἀκέφ. – Ὁμολογουμένως μὲν ἡ ὑπόστασις καὶ ἡ οὐσία, ἢ τοι φύσις ἐπὶ τῆς θεολογίας οὐκ ἔστι ταυτόν· ἐπὶ μὲν

ται τῆς οἰκονομίας ταὐτὸν ἀλλήλοις εἰσίν· εἰ γὰρ τὰς φύσεις ἐκαινοτόμησεν τὸ καινοπρεπὲς τοῦ μυστηρίου, κατὰ τὸν θεῖον Γρηγόριον, καινοτομήσει οἶμαι καὶ τὰς προσηγορίας, ὡς κατ' αὐτὸν ἀμφοτέροις ἐφαρμόζει τὸν θατέρου λόγον τε καὶ ὅρον.

Ὀρθ. – Τοῦτο δὲ οὐκ οἶδα ποίαν ἀνοίας ὑπερβολὴν οὐχ ὑπεραίρει· οἱ γὰρ ὅροι τῶν πραγμάτων συνωνύμως κατηγοροῦνται κατά τε τῶν ὁμογενῶν κατά τε τῶν ὁμοειδῶν, ὡς οἱ τὰ τοιαῦτα δεινοὶ ἀποδεικνύουσιν· εἰ γὰρ οὐσίαν ἁπλῶς ὁριζόμενοι, εἴποιμεν τὴν τινὸς ὕπαρξιν δηλοῦν, πᾶν τὸ κοινωνοῦν τῆς οὐσίας τοῦ ὀνόματος, καὶ τοῦ ὅρου κοινωνήσει, κἂν μυρίος ᾖ τῶν οὐσιῶν διαφορά· ὑπάρχειν γὰρ φαμὲν οὐσίαν καὶ θεὸν, καὶ ἄγγελον καὶ ἄνθρωπον, καὶ ζῶον καὶ φυτὸν, καὶ κοινὸς ἐπὶ πάντων ὁ τῆς οὐσίας ἀποδίδοται λόγος, τὸ ὑπάρχειν τούτων δηλῶν οὐ τὸ τὶ αὐτῶν ἢ τὸ πῶς· ταῦτα γὰρ οἱ ἴδιοι ἑκάστου πράγματος ὅροι συνεμφαίνουσιν· ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῦσιν αἱ κατηγορίαι, κατὰ τῶν ὑπ' ἄλληλα τεταγμένων γενῶν συνωνύμως κατηγορούμεναι, κατηγοροῦνται δὲ καὶ τὰ γένη καὶ αἱ διαφοραὶ κατὰ τῶν εἰδῶν καὶ κατὰ τῶν ἀτόμων· ὁμοίως γὰρ τῆς οὐσίας μετέχουσι καὶ τοῦ ζώου, τοῦ τε ἐνσωμάτου καὶ τοῦ ἀσωμάτου, τοῦ τε λογικοῦ καὶ τοῦ ἀλόγου, τοῦ τε αἰσθητοῦ καὶ τοῦ νοητοῦ, καὶ οὐχὶ τοῦ μᾶλλον τοῦ δὲ ἧττον, ἀλλ' ὁμοίως καὶ κοινῶς, καὶ τὸ ὅλον εἰπεῖν ὁριστικῶς· καὶ ἄλλως διαβέβληται παρὰ τοῖς ἀποδεικτικοῖς λόγοις ἡ διάλληλος καλουμένη ἀπόδειξις· ὅμοιον γάρ τι ποιεῖ τῷ ἀποφαινομένῳ, εἶτα μάρτυρα τοῦ λόγου αὐτὸς ἑαυτὸν προϊσχομένῳ, καὶ τὸ ἀξιόπιστον ὅτι αὐτὸς ἔφα ἔχειν κελεύοντι· εἰ τοίνυν μὴ ἐκ τῶν καθολικῶν λόγων καὶ ὅρων, τῆς οὐσίας τε καὶ ὑποστάσεως,

ἤγουν προσώπου καὶ φύσεως, καὶ περὶ τῆς ζωοποιοῦ καὶ ἁγίας τριάδος, καὶ περὶ τῆς μεγάλης τοῦ Θεοῦ λόγου, τοῦ ἑνὸς τῆς τριάδος οἰκονομίας, αἱ ἀποδείξεις τοῖς τε πατράσι προῆλθον, καὶ νῦν προέρχονται, ἀποκληρωτικὸς καὶ οὐκ ἀποδεικτικὸς ἔσται ὁ λόγος· ἐπεὶ λεγέτω τις τὸν λόγον, καθ' ὃν ὑπόστασις μὲν καὶ οὐσία, ἤγουν φύσις καὶ πρόσωπον· ἐπὶ τῆς θεολογίας τὸ κοινὸν ἢ τὸ ἴδιον ὁρίζουσί τε καὶ ἐμφαίνουσιν, οὐχ οὕτω δὲ καὶ ἐπὶ τῆς οἰκονομίας ἔχειν ἁρμόζει· τὸ γὰρ δὴ λέγειν ὅτι διὰ τὸ καινοπρεπὲς μυστήριον, ἄλλως μὲν ἐπὶ τῆς θεολογίας, ἑτέρως δὲ ἐπὶ τῆς οἰκονομίας ταυτὰ ὁρίζεται, πρῶτον μὲν ἀγνοούντων ἐστιν, ὅτι τὸ πάντων μυστηρίων μυστηριωδέστατον, αὐτός ἐστιν ὁ Θεὸς, ὃς καὶ τοῖς ἁγίοις σεραφὶμ συγκαλύπτεται, πρὸς ὃν, ὡς ὁ μέγας ἔφη Γρηγόριος, καὶ τὰ τῇδε ὁρᾷ μυστήρια· περὶ οὗ δικαίως ἂν σιγήσει μὲν πᾶς λόγος, πᾶσα δὲ νοερὰ κίνησις παύσεται, εἰς τὸ ὑπὲρ λόγον καὶ νοῦν χωροῦσα· τὸ δὲ τῶν τοῦ Θεοῦ κρυφίων ἐμφανὲς μυστήριον, τοσοῦτον παρ' ἐκεῖνό ἐστιν ἐμφανέστερον, καθ' ὅσον ἂν εἰς τὸ ἐμφανὲς τῆς φύσεως τὸ ὑπὲρ φύσιν πρόεισιν· ἆρα δὲ μόνος ὁ τῆς ὑποστάσεως καὶ οὐσίας ὅρος, ἐπὶ τῆς οἰκονομίας καινοτομεῖται; ἢ καὶ πᾶσα φωνὴ, καὶ πᾶν ὄνομά τε καὶ ῥῆμα; καὶ τίς ἡ ἀποκλήρωσις τούτου καὶ μὴ πάντων; ἀλλ' οὐκ ἔστιν ἔχον φύσιν τοῦτό γε· καὶ διὰ τοῦτο οὐδὲ λόγον, ὡς ὁ μέγας ἔφη Βασίλειος.

Ἀκέφ. – Ἐπὶ μὲν τῆς θεολογίας πάντες συμφώνως οἱ πατέρες, σαφῶς ὑπόστασιν οὐσίας διαφέρειν, ἤγουν πρόσωπον φύσεως, τῷ αὐτῷ λόγῳ ἀπεφήναντο, ᾧ τὸ ἴδιον τοῦ κοινοῦ διενήνοχεν· ἐπὶ δὲ τῆς ἐνανθρωπήσεως οὐκέτι αὐτοῖς ὁ κανὼν οὗτος πεφύλακται, ἀλλὰ τὰς ὑποστάσεις πολλάκις ἀντὶ τῶν φύσεων, καὶ ἔμπαλιν τὰς φύσεις ἀντὶ τῶν ὑπο-

στάσεων παραλαμβάνουσιν, ὡς ταύτῃ τὸ ταυτὸν ἀμφοτέρων παρίςασθαι· ὅ τε γὰρ μακάριος Κύριλλος, εἴ τις φησὶ διαιρεῖ τὰς ὑποστάσεις· καὶ πάλιν· ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν ὑποστάσεις· ὅ τε μέγας καὶ τῆς ἀθανασίας ἐπώνυμος, καὶ πρόσωπα ἐπὶ Χριστοῦ δύο εἶναι διϊσχυρίζεται· οὐκ ἂν δὲ τοῦτο οἱ πατέρες ἔπραττον, εἰ μὴ καινοτομεῖσθαι τοὺς ὅρους τούτων τῶν ὀνομάτων ἐπὶ τῆς οἰκονομίας ἐγίνωσκον.

Ὀρθ. — Ἀλλ' οὐ καινοτομεῖσθαι φαίην ἂν ἔγωγε τοὺς ὅρους τῶν ὀνομάτων, συγκεχρῆσθαι δὲ μᾶλλον τοῖς ὀνόμασι τούτοις εἴποιμ' ἂν, κατὰ τῶν διαφόρων πραγμάτων· ἄλλο γάρ ἐστι σύγχρησις ὀνομάτων, κατὰ πολλοὺς γινομένη τοὺς τρόπους, ἄλλο δὲ τὸ κυρίως καὶ ὁριστικῶς ἐξ αὐτῶν σημαινόμενον· καὶ γὰρ καὶ κατὰ μεταφορὰν καὶ ὁμωνυμίαν, καὶ ἀντιστροφὴν, καὶ ἑτέρους τρόπους, αἵ τε θεῖαι γραφαὶ, οἵ τε ἅγιοι πατέρες, καὶ ἡ κοινὴ συνήθεια, τὰ ὀνόματα μεταχειρίζονται, οὐ μὴν κοινὸν ὅρον τούτων ἀποδιδόασιν· ἀμέλει ὁ μέγας ἀπόστολος ἀνθρώπους οἶδεν καλεῖν τὰ τοῦ ἀνθρώπου μέρη, τὸν ἔξω καὶ τὸν ἔσω ἄνθρωπον· οὑτωσὶ λέγων οὐ μὴν τὸν τοῦ ὅλου ἀνθρώπου ὅρον, κατὰ τοῦ μέρους τιθεὶς, ἑκάτερον δὲ μέρος τῇ τοῦ ὅλου προσηγορίᾳ· ὥσπερ καὶ τὸ ἔμπαλιν τὸ ὅλον τῷ μέρει καλεῖν αὐτῷ φίλον· ὁμοίως δὲ καὶ ταῖς ἑτέραις θείαις γραφαῖς, ὡς πᾶσιν εὔδηλον· κατὰ τοῦτο τοίνυν ἑκάστην φύσιν, ὑπόστασιν ἢ πρόσωπον καλεῖν τοῖς πατράσιν, οὐ μόνον ἐπὶ τῆς οἰκονομίας, ἀλλὰ καὶ ἐπὶ τῆς θεολογίας σύνηθες, ὡς καὶ αὐτὸν τὸν ἄνθρωπον ἐκ δύο ὑποςάσεων τινὰς αὐτῶν εἰρηκέναι, οὐ μὴν κοινωνεῖν τὴν φύσιν τοῦ ὅρου τῆς ὑποστάσεως, ἤτουν προσώπου λέγειν αὐτοὺς οἰόμεθα· ἐξ ὧν πάντες ἕνα καὶ τὸν αὐτὸν κύριον εἶναι

ὁριζόμενοι τὸ ἄλλον καὶ ἄλλον, ὃ τῆς κυρίως λεγομένης ὑποστάσεως ἴδιον, κατ' αὐτοῦ ἀπέφησαν τοῦ τῆς ὑποστάσεως ὀνόματος, οὐ μὴν τοῦ ὅρου κοινωνοῦσαν τὴν φύσιν λαμβάνοντες· ὅταν τοίνυν ἁπλῶς καὶ κατ' ἐξουσίαν ὁ λόγος διὰ τῶν ὀνομάτων πρόεισιν, οὐδὲν τὸ κωλύον ἐναδιαφορεῖν τοῖς ὀνόμασιν· ὅταν δὲ δόγματός ἐστιν γυμνασία καὶ ζήτησις, τότε τὰς ὁμωνυμίας κατασιγήσαντες, τὰς κυρίας σημασίας ἐξ αὐτῶν τῶν ὅρων λαμβάνειν ἀναγκαζόμεθα, ὡς ἐντεῦθεν μηδὲν παραβλάπτεσθαι τῇ τῶν ὀνομάτων ἀδιαφορίᾳ τὴν τῶν πραγμάτων ἀκρίβειαν.

Ἀκέφ. – Τὰ ἁπλᾶ οὐ σύνθετα, καὶ διὰ τοῦτο τὸν τῆς ἁπλότητος ὅρον, ἡ τοῦ συνθέτου φύσις οὐκ ἐπιδέχεται· εἰ δὲ τοῦτο ἐπηρεάζειν ἔστι τοῖς λέγουσι μίαν φύσιν Χριστοῦ σύνθετον, τὸ ὡς ἁπλὴν αὐτὴν λέγεσθαι παρ' αὐτῶν καὶ ἀσύνθετον νομίζειν τινάς.

Ὀρθ. – Ἡ φύσις τοῦ συνθέτου, οὐκ ἔστιν ἡ αὐτὴ τῇ τῶν συντεθειμένων φύσει· ὡς γὰρ ἡ τοῦ δεσμοῦ φύσις, οὐχ ἡ αὐτή ἐστι τῇ φύσει τῶν δεσμουμένων, ἀλλὰ ἄλλη μὲν ἡ τοῦ δεσμοῦ, εἰ τύχοι θήλεια ἢ ἄῤῥεν καλουμένη, ἑτέρα δὲ ἡ τῶν δεσμουμένων ξύλων, φέρε εἰπεῖν ἢ σκευῶν, ἃ τῷ δεσμῷ ὑποβάλλεται· οὕτως οὐ ταυτὸν ἡ τοῦ συνθέτου φύσις καὶ τῆς ἑνώσεως· ἡ μὲν γὰρ σύνθεσίς τε καὶ ἕνωσις, ἢ σχετική ἐστιν ἢ οὐσιώδης, καὶ ἡ κατὰ παράθεσιν, ἢ μίξιν, ἢ σωρείαν, ἢ ἁρμονίαν, ἢ κόλλησιν, ἢ σύγχυσιν, ἢ φύρσιν, ἢ οὐκ οἶδ' ἅς τινας ἑτέρας γίνεσθαι λέγεται, ἑνώσεων φύσεις διαφόρους εἰσάγει ὑφ' ἓν εἶδος τὴν ἕνωσιν ἀναφερομένας· ἡ δὲ τῶν ἡνωμένων ἢ συντεθειμένων, ἢ ὁπώς ποτε σὺν ἀλλήλοις εἶναι καταδεχομένων φύσις, ἄλλον ἐπιδέχεται ὅρον τὸν τῶν πραγμάτων· καὶ τοῦτο ἴδιον ἑκάστου τῶν ἡνωμένων,

εἰ μή που σύγχυσις περὶ τὰ ἑνωθέντα συμβέβηκεν· πῶς τοίνυν μίαν Χριστοῦ φύσιν, καὶ ταύτην σύνθετον λέγεις; ἢ γὰρ τῆς συνθέσεως, ἢ τῶν συντεθειμένων, ἢ τοῦ ἐξ ἀμφοῖν ἀποτελέσματος· ἀλλ' εἰ μὲν ἡ σύνθεσις αὕτη, μία σοι φύσις Χριστοῦ λέγεται, τὸν τῆς ἑνώσεως ἀποδώσεις λόγον οὐ τὸν ἑνωθέντων· εἰ δὲ τῶν συντεθειμένων κατὰ τὴν τοῦ Χριστοῦ ὁλότητα, δύο ἔσονται αὗται καὶ οὐ μία· εἴπερ μὴ δ' ὁποτέρα ἀντιμετέστη εἰς τὴν τοῦ συγκειμένου καὶ μετακεχώρηκε φύσιν καὶ ἰδιότητα, ἀλλὰ σώζει κἀν τῇ ἑνώσει τὸ διάφορον τούτων· εἰ δὲ τὸ ἀποτέλεσμα, οὐ Χριστοῦ φύσιν ἀλλὰ μᾶλλον ὑπόστασιν τοῦτο εἶναί τε καὶ καλεῖν πρεπωδέστατον· εἴπερ ἡ Χριστοῦ φύσις, οὐ κατὰ τὸ αὐτὸ τῇ φύσει τοῦ πατρὸς, καθ' ὃ τῇ φύσει τῆς μητρὸς, οὐδὲ κατὰ τὸ αὐτὸ τῇ φύσει τῆς μητρὸς, καθ' ὃ τῇ φύσει τοῦ πατρὸς ὁμοφυὴς εἶναι δύναται· πῶς οὖν μίαν Χριστοῦ φύσιν καλεῖς, καὶ ταύτην σύνθετον, τῆς Χριστοῦ προσηγορίας οὐ φύσιν ἀλλ' ὑπόστασιν σημαινούσης περὶ ἣν αἱ φύσεις ὁρῶνται, καὶ ἐν αἷς τὸ πρόσωπον ἀφορίζεται; κἀκεῖνο δὲ πῶς παραδράμοιμεν, τῆς νέας σοφίας τὸ καινὸν ὄντως ἀποκύημα;

Ἀκέφ. — Πάντα φησὶ τὰ μοναδικὰ, τὴν ὥς τινὸς φύσιν ἔχοντα, καὶ φύσις μία λέγεται, οἷον ἥλιος εἷς, καὶ οὐρανὸς εἷς, καὶ διὰ τοῦτο μία φύσις ἡλίου καὶ οὐρανοῦ καὶ τῶν τοιούτων.

Ὀρθ. — Ἀλλ' ἠγνόησας, ὦ βέλτιστε, ὅτι ἡ τοῦ ἡλίου φύσις, ἡ αὐτή ἐστι τῇ τῶν ἄστρων; καὶ ὁ οὐρανὸς ὁ αὐτὸς τοῖς λοιποῖς οὐρανοῖς; ὡς αὐγὴ τε καὶ ἀὴρ καὶ ὕδωρ, καὶ τὰ τούτων συγκρίματα τὸ κοινὸν ἐν τῇ τοιᾷδε φύσει ἔχουσι· τὸ δ' εἶναι τόνδε ἢ τόνδε, ἐν τῷ ἰδίῳ καὶ ἀφωρισμένῳ τῆς ὑποστάσεως ὅρῳ σημαίνεται· εἴτε γὰρ οὕτως ὁρίσει οὐ-

ρανὸν εἶναι τὴν ἔξω τοῦ παντὸς περιφέρειαν, ἢ τὸν κοινὸν ὅρον νοητῶν τε καὶ αἰσθητῶν, οὐ τὴν οὐσίαν αὐτοῦ τὴν δὲ ὑπόστασιν ἐδήλωσας· εἴτε ἥλιον ἄςρων ἡμεροφαὲς, ἢ ἄςρων τὴν μέσην ἔχον τῶν πλανητῶν χώραν, πάλιν τὴν ὑπόστασιν τοῦ ἡλίου, καὶ οὐ τὴν φύσιν ἐδήλωσας· ἡ γὰρ φύσις ἑκάςης ὑποςάσεως, κατὰ τὸν κοινὸν ἀποδίδοσθαι ὅρον λαμβάνεται· οἷον ὅτι πύριον, ἢ ἀέριον, ἢ χερσαῖον, ἢ ἔνυδρον, ἢ λογικὸν, ἢ ἄλογον, ἢ ζῶον, ἢ ἄζωον, ἢ αἰσθητὸν, ἢ νοητόν· αὗται γὰρ αἱ οὐσιοποιοὶ ἰδιότητες τὴν φύσιν τοῦ ὑποκειμένου δηλοῦσιν, αἷς προστιθέμενον τὸ ἰδίως ἀφοριστικὸν ἑκάστου, τὴν ὑπόστασιν τοῦ τινὸς χαρακτηρίζει· ψευδὴς οὖν ἡ ὑπόθεσις ἢ ἕκαστον τῶν μοναδικῶν· καὶ φύσιν μὲν ἔχει τὴν κοινὴν κατὰ τὸ ὁμοειδὲς, ὑπόστασιν δὲ ἰδίαν ἢ τὸ ἴδιον αὐτοῦ ἀπὸ τοῦ κοινοῦ χωρίζει, τοῖς ἀφοριστικοῖς σημείοις τε καὶ ἰδιώμασιν· ὡς γὰρ Παῦλος τε καὶ Πέτρος, οὐ φύσεως ὀνόματα ἀλλὰ ὑποστάσεως, οὕτως ἥλιος καὶ σελήνη, καὶ ἑωσφόρος, καὶ οὐρανὸς, καὶ τόδε τὶ τὸ πτηνὸν, τό τε χερσαῖον, καὶ τὸ ἔνυδρον, ὡς ἰδιοποιὸν ἀπὸ τοῦ κοινοῦ τῆς οὐσίας, τῇ τῆς ὑποςάσεως ἰδιότητι διαιρεῖται καὶ ἀφορίζεται.

Ἀκέφ. — Πολλοὺς ἴσμεν τῶν θεηγόρων, καὶ πρὸ τῆς ἐν Νικαίᾳ συνόδου, καὶ μετὰ ταύτην, ἐνίαις τῶν προλαβόντων ἁγίων πατέρων φωναῖς ἀντιταξαμένους, τῶν αἱρέσεων κακούργως χρησαμένων τισὶν αὐτῶν σημασίαις καὶ λέξεσιν· ἐξ οὗ οἰόμεθα καὶ τὸν μακάριον Κύριλλον, ἐνίαις τῶν πατρικῶν φωνῶν μὴ συγχρήσασθαι, καὶ μάλιστα τῇ τῶν δύο φύσεων, Νεςορίου ἄνω καὶ κάτω ταύτας ἐπὶ διαιρέσει λαμβάνοντος, καὶ κακῶς τῇ τῶν παλαιῶν ἐξουσίᾳ καταχρωμένου· ὃ καὶ νῦν ἡμεῖς εὐλαβούμενοι ἐκ φύσεων μὲν δύο, οὐ μὴν ἐν δυσὶ φύσεσιν ὑπάρχειν τὸν Χριστὸν ὁριζόμεθα.

Ὀρθ. — Οὐ καλὴ αὕτη οὐδ' εὐάφορμος ἀπολογία, ἀλλὰ καὶ λίαν ἀνευλαβὴς ὄντως εὐλάβεια οὖσα τυγχάνει, διὰ τὴν ἀτοπίαν τῶν κακούργως κεχρημένων ταῖς τῶν θεολόγων φωναῖς, αὐτὰς παραιτεῖσθαι τὰς τῶν θεηγόρων φωνάς· οὐ γὰρ μόνον ταῖς πατρικαῖς, ἀλλὰ καὶ ταῖς γραφικαῖς οἱ αἱρετικοὶ κατὰ τὸ αὐτοῖς δοκοῦν συναποκέχρηνται· καὶ δὴ κατὰ τὸν κανόνα τὸν ὑμέτερον, τὴν Μαρκίωνος τόλμαν ζηλοῦν, καὶ διαγράφεσθαι πολλὰ τῶν ἐν ταῖς γραφαῖς κειμένων· ἀλλ' οὐδὲ ἐπὶ τῆς θείας γραφῆς, οὐδ' ἐπὶ τῶν ἐνδόξων πατέρων τοῦτο ποιεῖν θεμιτόν, ἀλλ' ἔχεσθαι μὲν ὥσπερ τῆς διανοίας· οὕτω καὶ τῶν ἱερῶν φωνῶν πρεπωδέστατον· ἀνακαθαίρειν δὲ τὰς τῶν αἱρετικῶν παρεξηγήσεις, καὶ δηλοῦν τὰς αὐτὰς σημασίας, ἄλλως μὲν τοὺς πατέρας, ἄλλως δὲ τοὺς αἱρετικοὺς μεταχειρίζεσθαι· καὶ γὰρ δέχεται πᾶσα φωνὴ, τὰς εἰς τοὐναντίον τροπάς τε καὶ παρεξηγήσεις· οὕτω γὰρ εὑρίσκομεν καὶ τὸν μέγαν Ἀθανάσιον ὑπεραπολογούμενον Διονυσίου· καὶ αὐτὸν δὲ τὸν μακάριον Κύριλλον, οὐ καθάπαξ παραιτούμενον τὰς φωνὰς, ἀλλὰ κατὰ τὸ Νεστορίῳ δοκοῦν προστιθέντα, οὐ μόνον δὲ ἀλλὰ καὶ ἐν πολλοῖς, μᾶλλον δὲ ἐν πᾶσιν αὐτοῦ τοῖς λόγοις, καὶ τὰς δύο φύσεις ὁμολογοῦντα· εἰ δὲ ὅλως τοῦτο κρατεῖ τὸ τοὺς μεταγενεστέρους ἐνίας τῶν προλαμψάντων φωνὰς παραιτεῖσθαι, ἐξέσω καὶ ἡμῖν, ἐπειδὴ Εὐτυχής τε καὶ οἱ ἀπ' αὐτοῦ κακῶς ἐχρήσαντο, τῇ μιᾷ σεσαρκωμένῃ, ταύτην παραιτεῖσθαι· ἢ μὴ παραιτουμένοις, καὶ αὐτοὺς τὴν ἐν δύο φύσεσι καταδέχεσθαι· εἰ μὲν γὰρ μέχρι τοῦ μακαρίου Κυρίλλου ἔστη τὰ τῶν αἱρέσεων, ἀλλ' οὐχὶ καὶ ὁ πάνυ αὐτῶν ἐπιβοώμενος αἱρετικὸς πεφώραται Εὐτυχὴς, τάχα ἂν ἦν τοῦτο ὑμῖν· εἰ δὲ καὶ μετ' αὐτὸν γεγόνασιν αἱρετικοὶ, ἔστω ἐν τῇ ἐξουσίᾳ τῶν μεταγενεστέρων,

καὶ τὰ τισὶν ὡς φατὲ μὴ δόξαντα λέγεσθαι πάλαι, διὰ τὴν ἐπ' αὐτῶν αἵρεσιν ἐξουσίαν ἔχειν αὖθις λέγειν, καὶ μάλιστα ἐπ' ἂν συνόδοις τὰ τοιαῦτα ὁρίζεται· λύσις γὰρ πάσης ἀπορίας κατὰ κανόνας ἐκκλησιαστικοὺς, τῶν ἀμφοτέραις τοῖς μέρεσιν ἀμφισβητουμένων, ἡ τῶν συνόδων ἐπίκρισις· καὶ ὁ πρὸς ταύτας ἀπομαχόμενος, οὐκέτι πρὸς ἔνια πρόσωπα πρὸς ὅλον δὲ τὸν χριστιανισμὸν στασιάζων εὑρίσκεται· ὃ μὴ πάθοιμεν ἡμεῖς ἀλήθειαν φιλονεικίας προασπασάμενοι.

Ἀκέφ. – Τὰς φύσεις μόνῃ τῇ ἐπινοίᾳ καὶ ἡμεῖς θεωροῦμεν· ἑνώσαντες μὲν οὖν ταύτας, λοιπὸν μίαν ἄμφω φύσιν καὶ ταύτην σύνθετον εἶναί τε καὶ καλεῖσθαι φαμέν· ᾧ γὰρ λόγῳ ὑμεῖς τὰς ὑποστάσεις τῇ ἐπινοίᾳ λαμβάνοντες, καὶ ταύτας ἑνώσαντες, εἰς μίαν ὑπόστασιν αὐτὰς συντίθετε, τούτῳ τῷ λόγῳ καὶ ἡμῖν αἱ φύσεις, εἰς μίαν φύσιν συντιθέμεναι συγχεόμεναι, καὶ τὴν διαίρεσιν ἐκκλίνουσι, καὶ τὴν ἕνωσιν γνωρίζουσιν· εἰ δὲ ἡμεῖς σύγχυσιν ἐγκαλούμεθα διὰ τῆς συνθέτου φύσεως, καὶ ὑμεῖς ταύτην οὐκ ἀποφεύξεσθε διὰ τῆς οὐχ ἁπλῶς ὑποστάσεως· οἷς γὰρ ἂν λόγοις, τὰς ὑποστάσεις εἰς ὑπόστασιν συναγαγόντες, ἀτρέπτους ταύτας ἀποδείξητε, τούτοις καὶ ἡμεῖς ἀρκούμεθα εἰς τὸ τὰς φύσεις εἰς φύσιν συντιθέναι, καὶ ἄτρεπτα ἐν τῇ τοιαύτῃ συνθέσει τὰ ἑνωθέντα φυλάττειν.

Ὀρθ. – Τὴν ἐπίνοιαν οἱ πατέρες καὶ ὁ ἀληθὴς λόγος, διττὴν ἀπεφήναντο εἶναι· ἡ μὲν γὰρ οἷον ἐπέννοια τίς ἐστι καὶ ἐπενθύμησις, τὴν ὁλοσχερῆ καὶ ἀδιάρθρωτον τῶν πραγμάτων ἐξαπλοῦσα τε καὶ διασαφοῦσα θεωρίαν καὶ γνῶσιν· ὡς τὸ τῇ αἰσθήσει δόξαν εἶναι ἁπλοῦν, τῇ πολυπραγμοσύνῃ τοῦ νοῦ πολυμερές τε καὶ ποικίλον ἀναφαίνεσθαι· ἡ δὲ ἀνάπλασμα διανοίας τυγχάνει, κατὰ συμπλοκὴν αἰσθή-

σεώς τε καὶ φαντασίας, ἐκ τῶν ὄντων τὰ μηδαμῶς ὄντα συντιθεῖσα, καὶ εἶναι δόξαντα· τοιαύτη δέ ἐστιν ἡ τῶν ἱπποκενταύρων καὶ σειρήνων, καὶ τῶν τοιούτων μυθοπλαστία· τῶν γὰρ ὅλων τὰ μέρη λαμβάνουσα, καὶ ἐκ μερῶν τι ἄλλο συντιθεῖσα, κατὰ πολλὴν ἐξουσίαν τε καὶ εὐκολίαν, τὰ μηδαμῶς ἐν ὑποστάσει καὶ οὐσίᾳ θεωρούμενα, ἐν τῇ διανοίᾳ καὶ ἐν τοῖς λογισμοῖς ἀνέπλασεν, εἶτα καὶ ταῖς ὕλαις διαμορφουμένη ἀνειδωλοποίησε.

Κατὰ ποίαν τοίνυν, ὦ θαυμάσιε, τῶν ἐπινοιῶν τούτων θεωρίαν τὰς δύο φύσεις λαμβάνεις; εἰ μὲν οὖν κατὰ τὴν πρώτην θεωρημάτων, ἄθροισμα ἀλλ' οὐ φύσεων σύνοδον, τὸν Χριστὸν εἶναι ὁρίσῃ· τοιαύτη γὰρ ἡ φύσις τῶν ἐπινοίᾳ μόνῃ θεωρημάτων· εἰ δὲ κατὰ τὴν δευτέραν οὔτε πραγμάτων οὔτε θεωρημάτων, ψευδῶν τε καὶ διακένων ἀναπλασμῶν τὴν σαυτοῦ διάνοιαν πλήρη πεποίηκας, καὶ ὄντως εἰδωλολατρείας οὐδέν τι μᾶλλον τὸ τοιοῦτο διοίσει· ὁπότε οἱ θεσπέσιοι ἡμῶν πατέρες οὐ τὰς φύσεις τῇ ἐπινοίᾳ εἶναι ὡρίσαντο, ἀλλὰ τὴν διαίρεσιν τούτων, κατὰ τὴν πρώτην ἐπίνοιαν ἐξειλήφασιν· ἡνίκα γάρ, φησίν, αἱ φύσεις ἵστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα· ὡς εἶναι τὸ τῇ ἐπινοίᾳ λεγόμενον, πρὸς ἀντιδιαστολὴν τῆς κατ' ἐνέργειαν διαιρέσεως, ἣν ὡς πορρωτάτω ἀποπεμψάμενοι, τῇ μὲν ἐνεργείᾳ τὰς φύσεις εἶναί τε καὶ καλεῖσθαι ἀπεφήναντο, τὴν δὲ τούτων διαίρεσιν κατ' ἐπίνοιαν ἔλαβον, τὰ μὴ διῃρημένα τοῖς πράγμασιν, ὡς διῃρημένα τῷ λόγῳ ὑποτιθέμενοι, διὰ τὴν ἄτρεπτον τῶν ἑνωθέντων, καὶ μετὰ τὴν ἕνωσιν, διαφοράν τε καὶ ἰδιότητα.

Πῶς τοίνυν ἐπινοίᾳ μόνῃ γνωρίζεις τὰς φύσεις, καὶ ἐνεργείᾳ τούτων γνωριζομένων; πῶς δὲ καὶ ταύτας τῇ ἐπινοίᾳ

λαβὼν, οὐδὲ ταύτῃ φυλάττεις, ἀλλ' εἰς μίαν φύσιν αὐτάς, οὐκ οἶδα πῶς τῇ ἐπινοίᾳ ἢ τῇ ἐνεργείᾳ φύρεις τε καὶ συγχεῖς; καί περ τῆς ἐπινοίας, ἐπί τε τῶν ὑφεστώτων, ἐπί τε τῶν ἀνυπάρκτων, μετὰ τὴν τούτων συμπλοκὴν καὶ ἕνωσιν, ταῦτα γνωριζούσης τε καὶ ὁμολογούσης· ὁπότε κἂν ἡ σύγχυσις περὶ αὐτὰ συμβέβηκεν, οἶδεν ἡ ἐπίνοια τὰ ἐξ ὧν γνωρίζειν τε καὶ διακρίνειν· αὐτὸ μὲν οὖν τὸ τῇ ἐπινοίᾳ μόνῃ τὰς φύσεις γνωρίζειν, τὸ ἀνύπαρκτον αὐτῶν καὶ ἀνούσιον, ἢ τὸ συγκεχυμένον καὶ ἠφανισμένον κατασκευάζει· τὸ δὲ καὶ μετὰ τὴν ἕνωσιν, μηδὲ τοῦτο αὐταῖς διδόναι, καὶ τῶν θεωρημάτων αὐτῶν ἀνουσιωτέρας, καὶ τῶν συγκεχυμένων μᾶλλον ἐφθαρμένας αὐτὰς ἀποφαίνει.

Πόθεν δὲ καὶ παρὰ τινός σοι τὸ ἐξ ὑποςάσεων τὸν Χριςὸν συντιθέναι, τῶν ὑποςάσεων τὸ διῃρημένον, ὡς ἤδη πρότερον εἴπομεν, καὶ τὸ καθ' ἑαυτὸ ὑφεστῶς δηλουσῶν; πότε γὰρ διῃρημένας τὰς φύσεις, καὶ καθ' ἑαυτὰς ὑποστάσας ἔγνως, ἵνα ταύτας συνάψας ἐξ ὑποςάσεων αὐτὸν εἶναι δογματίσῃς; οὔτε γὰρ πρὸ τῆς ἑνώσεως τοῦτο λέγειν θεμιτὸν· εἴπερ μὴ προδιαπεπλάσθαι τὸν ἄνθρωπον, εἶθ' ὑποδεδυκέναι θεὸν λέγειν τολμᾷς· οὔτε δὲ τὸ τῇ ἐπινοίᾳ διαιρετὸν, εἰς ταὐτὸν τῷ τῇ ἐνεργείᾳ φέρειν εὐσεβὲς· οὐ γὰρ ὅσα κατὰ τῆς ἐπινοίας κατηγορεῖται, ἤδη καὶ κατὰ τῶν ὑποκειμένων τῇ ἐπινοίᾳ πραγμάτων ταῦτα κατηγορηθήσεται· καὶ διὰ τοῦτο τῆς κατ' ἐνέργειαν διαιρέσεως, τὰς ὑποστάσεις ἐχούσης τε καὶ τιθεμένης, ἡ κατ' ἐπίνοιαν διαίρεσις, τὸν τῶν ὑποστάσεων ἀριθμὸν οὐ παραδέχεται· ὡς γὰρ τὸ κατ' ἐπίνοιαν μεῖζον ἐπί τε πατρὸς καὶ υἱοῦ, τῇ τοῦ αἰτίου λεγόμενον φύσει, τὸ τῇ φύσει μεῖζον οὐ συνεισάγει, οὕτω τὸ κατ' ἐπίνοιαν διαιρετὸν, τὸ κατ' ἐνέργειαν οὐ συνεισάγει ποτὲ· καὶ διὰ τοῦτο οὐδὲ τὰς ὑποστάσεις.

Τίς δὲ τῶν ἄγαν σεμνῶν, καὶ γελώντων τὸ γελᾶν, οὐ πλατὺν ὑμῶν καταχέει γέλωτα, ἢ μᾶλλον οὐ στυγνὸν πένθος περιβαλεῖται, καὶ νύκτα βαθεῖαν πρὸς τῇ ἀσεβείᾳ τὴν τοσαύτην ἀλογίαν ὑμῶν ἐννοῶν; τῶν γὰρ ἅμα κατά γε φύσιν καὶ χρόνον, τὸ πρὸ καὶ μετὰ μὴ δεχομένων, μηδὲ οὕτω τοῦ μακαρίου Κυρίλλου, τὸ μετὰ τὴν ἕνωσιν λέγοντος, ὑμεῖς τοῦτο λέγειν οὐκ αἰδεῖσθε; ἢ γὰρ οὐ τῶν ἅμα ἡ ἕνωσις καὶ τὰ ἑνωθέντα, ὅτ᾽ ἂν μὴ ὡς πράγματα, ἀλλ᾽ ὡς ἑνωθέντα πράγματα λαμβάνηται; ποῦ δὲ καὶ ἡ θατέρου ὕπαρξις πρὸ τῆς ἑνώσεως τῆς ἀνθρωπότητος φημὶ, ἵνα τὸ μετὰ ταύτην ἡμῖν δογματίζηται; πότε δὲ ἡ ἕνωσις γενομένη πέπαυται, ἵνα ἄλλό τι τὸ ταύτης ἀποτέλεσμα, οὐκ ἐν αὐτῇ ἀλλὰ μετ᾽ αὐτὴν, καὶ παρὰ τὸ ἐξ ὧν ἔστιν ὑποπτεύηται; οὐ γὰρ ἔστιν ἡ ἕνωσις ὡς ἡ τῶν γενομένων καὶ μηκέτι ὄντων φύσις, ὁποίαν εἶναι τὴν τοῦ χρόνου φασί· τίς δὲ γενομένην ἔπαυσε; καὶ διὰ τί; ἵνα τὸ μετὰ τοῦτο σκοπῆται, εἰ μή που ἄρα ἀπὸ μὲν ἑνώσεως ἤρξατο, εἰς δὲ τὴν σύγχυσιν διαβέβηκεν· ὃ καὶ μᾶλλον λέγειν θέλοντες, ὠδίνετε, μὲν ἀπορρῆξαι δὲ τὸν φόρτον τῆς διανοίας οὐχ ὑπομένετε, οὐκ οἶδα πότερον διὰ τὸ τῆς ἀσεβείας ἀφόρητον, ἢ τὸ τῶν ἐλέγχων ἀπαραίτητον· καὶ γὰρ οὕτως ἔχει, ὃ μὲν ἀσεβὲς λέγειν, καὶ ἐννοεῖν δηλονότι· ὃ δὲ λέγειν θεμιτὸν, καὶ ἐννοεῖν ὅσιον· μᾶλλον δὲ τὸ μὲν ἐννοεῖν τὸ εὐσεβὲς δίκαιον, τὸ δὲ ὁμολογεῖν σωτήριον, κατὰ τὸν θεῖον ἀπόστολον.

Ἡμῶν τοίνυν οὐχ ὑποστάσεων ἕνωσιν, ἀλλὰ φύσεων πρεσβευόντων, πῶς ὑμεῖς τὸ μὴ δεδομένον ὡς δεδομένον συνάγετε; πόση δὲ ἡ ἐξουσία τοῦ λόγου τὴν σύγχυσιν καὶ τὸ ἀσύγχυτον, τὸ αὐτὸ ποιεῖν ἀποτέλεσμα φάσκειν; εἰ γὰρ φύσιν μίαν τὰς δύο ποιεῖ κατ᾽ αὐτοὺς τὸ ἀσύγχυτον, τοῦτο δὲ

αὐτὸ καὶ ἡ σύγχυσις ποιεῖν ἐπίσταται, λεγέτωσαν τίς ἡ διαφορὰ τῆς συγχύσεως καὶ τοῦ ἀσυγχύτου· ὅμοιον γάρ τι ποιοῦσι τοῖς ἀπὸ Νεστορίου προσώποις καὶ ὑποστάσεσι· καὶ διαιρουμένας τιθέασιν αὐτὰς, εἶτα μὴ διαιρεῖν φάσκουσι· τί γὰρ ἂν ἕτερον ὁ ἐνεργείᾳ διαιρῶν ποιήσαι ποτέ; εἰ δὲ μήτε τὴν διαίρεσιν αἱ ὑποστάσεις κατ' ἐκείνους, μήτε τὴν σύγχυσιν ἡ μία φύσις κατὰ τούτους εἰσάγει, λεγέτω τις ὁποῖόν τι ἕτερον εἶναι βούλεται τὸ τῆς διαιρέσεως ἢ συγχύσεως ἀποτέλεσμα· καὶ ὅπερ ὁ συνάπτων μὲν μὴ συγχέων δὲ, ἢ ὁ τὴν θατέρας ἰδιότητα φυλάττων, μὴ διαιρῶν δὲ ἀποδώσειεν εὐσεβῶν· πῶς δὲ τὰς δύο φύσεις παραιτούμενοι, ὡς πάντως τῆς δυάδος κατ' αὐτοὺς τὴν διαίρεσιν εἰσαγούσης, δύο ἰδιότητας λέγειν οὐ παραιτοῦνται; ἢ τίς ὁ λόγος μηδέ ποτε συναληθευούσης τῆς ἀντιφάσεως, κατὰ λογικὴν ἀπόδειξιν αὐτοὺς ὡς ἄλλό τι καὶ ἐναντίον λέγοντας, τὴν μίαν σεσαρκωμένην, κατὰ τῶν δύο τὰς φύσεις λεγόντων προΐσχεσθε; ἢ γὰρ ταὐτόν ἐστι ταῖς δύο, καὶ μάταιος ὑμῖν ὁ πρὸς ταύτας πόλεμος, ἢ οὐ ταὐτὸν ἀλλ' ὡς μίαν κατὰ τῶν δύο ἀντιφατικῶς παραλαμβάνετε, καὶ εἰκῇ παρέῤῥιπται τὸ σεσαρκωμένην· εἰ δὲ μήτε μίαν ἁπλῶς, μήτε δύο ἡνωμένας τοῦτο δηλοῖ, μεταξὺ δὲ μιᾶς καὶ δύο οὐδὲν τὸ μέσον, τὸ λειπόμενον αὐτοὶ σκοπήσατε· πάντως γὰρ τὸ δίμοιρον, ἢ τὸ ἥμισυ, ἢ τὸ τρίτον, ἢ ὅ τί ποτε ἐπιμόριον μεταξὺ τῆς τε μιᾶς καὶ τῶν δύο παρελήφθη, τοῦτο ὑμῖν ἡ τῆς σεσαρκωμένης προσθήκη δηλώσει φωνὴ, πάντως δὲ καὶ ὑμῖν ἡ διαίρεσις ἕψεται πρὸς τῇ μιᾷ, καὶ ἄλλό τι ταύτῃ συμπαραλαμβάνουσιν.

Ἀλλὰ ταῦτα μὲν ἱκανά· πῶς δὲ καὶ τίνα τρόπον τοῦ τε θεοῦ λόγου, καὶ τῆς κατ' αὐτὸν ἀνθρωπότητος τελείως καὶ

ἀνελλειπῶς ἐχόντων οὐχ ὑποστάσεις ἀλλ' οὐσίας, εἰς τὴν τῶν ἑνωθέντων συνδρομὴν, οἱ πατέρες παραλαμβάνουσιν, οὐδ' ὁποτέρας οὔσης ἀνυποστάτου, ἔν τε τῷ πρώτῳ κεφαλαίῳ τῶν ἀρτίως ἠπορημένων, καὶ ἑξῆς, καὶ ἐν τῷ πρώτῳ δὲ λόγῳ τῆς πραγματείας τῆς γενομένης ἡμῖν κατὰ τῶν ἐναντιοδοκητῶν, πληρέστατα σὺν Θεῷ φάναι ἀποδέδοται· παλιλλογεῖν γέ τοι διὰ τοῦτο, καὶ ἐπὶ τοῖς αὐτοῖς τὰ αὐτὰ ἀνακυκλοῦν παρῃτήμεθα.

Ἀκέφ. – Τῆς τῶν ὄντων συστάσεως, καὶ διττῆς ἡμῶν αὐτῶν ἐκ κοινῶν καὶ ἰδίων συνεστώσης ὡς πᾶσιν εὔδηλον· καὶ γὰρ πάντες καὶ τοῦ κοινοῦ τῆς οὐσίας μετέχομεν, καὶ τῷ ἰδιάζοντι τῆς ὑποστάσεως λόγῳ, ἐσμὲν τοῦτο ὅπερ λεγόμεθα, τί τῶν κοινῶν ἢ τῶν ἰδίων θατέρᾳ φύσει, τῶν εἰς τὴν Χριστοῦ παραλαμβανομένων ἕνωσιν λείπει; εἰ γὰρ μὴ λείπει μηδὲν, μᾶλλον φύσεων ἢ ὑποστάσεων ἕνωσιν λέγειν ἀληθές· ἐξ οὗ τί ἀκολουθεῖ; ἢ δύο λέγοντας φύσεις μετὰ τὴν ἕνωσιν, δύο λέγειν καὶ τὰς ὑποστάσεις· ἢ παραιτουμένους τὸν τῶν ὑποστάσεων ἀριθμὸν, κατὰ τὸν ἴσον τῆς ἀντιδόσεως τρόπον, παραχωρεῖν καὶ τοῖς ἐκ φύσεων λέγουσι μίαν φύσιν διὰ τὴν ἕνωσιν γεγονέναι· εἰ δὲ σύγχυσιν οἱ τοῦτο λέγοντες ἐγκαλοῦνται, πῶς οὐχὶ καὶ οἱ μίαν ὑπόστασιν ἐκ τῶν ὑποστάσεων λέγοντες, συγχεῖν τὰς ὑποστάσεις ἐν δίκῃ νομισθήσονται;

Ὀρθ. – Ἀλλ' ἠγνοήκατε, ὦ σοφοὶ, ὅτι ἄλλος μὲν ὅρος φύσεως, ἄλλος δὲ λόγος οἰκονομίας· ὅθεν πῇ μὲν ὡς περὶ πάντη διαιρέτων ποιεῖσθε τοὺς λόγους, ὑποστάσεσι τὰς φύσεις χωρίζοντες, πῇ δὲ ὡς ἐξ ὅλων συγκεχυμένων μίαν φύσιν σαρκὸς καὶ θεότητος δογματίζοντες γεγονέναι· εἰ μὲν οὖν ἦν ποτὲ ὅτε οὐκ ἦν ταῦτα ἡνωμένα, σκοπείτω τις αὐτὰ

οὕτως, ὡς πάντη κεχωρισμένα· εἰ δὲ σύνδρομον τῇ ὑπάρξει τῆς ἀνθρωπότητος, τοῦ θεοῦ λόγου ἴσμεν τὴν ἕνωσιν, πῶς τὰ μηδέ ποτε ἀλλήλων κεχωρισμένα, τὸν τῶν πάντη διαιρετῶν ὑποδέξεται λόγον; ἐπινοίᾳ μὲν οὖν ταῦτα λόγῳ ἄν τις διέλοι, οὐ μὴν αἰσθήσει καὶ ἐνεργείᾳ, καὶ τοῦτο μετὰ τὴν ἕνωσιν, καὶ οὔ τί γε πρὶν συναφθῆναι· καθόλου γὰρ λαμβάνειν διαίρεσιν πρὸ τῆς ἑνώσεως ἄτοπον, ἥ που γε πρὸ τῆς θατέρου ὑπάρξεως οὐ θεμιτὸν, ἐπεὶ μηδὲ στέρησιν πρὸ τῆς ἕξεως, καὶ πολύ γε πλέον ἢ τὴν ἕξιν πρὸ τῶν ἐν οἷς αὕτη θεωρεῖται· οὐ γὰρ ἁπλῶς τὰ τοιαῦτα λέγεται, ἀλλὰ καὶ πρός τι, καὶ ποτὲ, καὶ πῶς· οἷον πρῶτον ὅτι ὑπάρχει τὸ πεφυκὸς δέχεσθαι τὴν στέρησιν, ἔπειτα ἐν ἐκείνῳ τῷ καιρῷ τὴν στέρησιν πέπονθεν, ἐν ᾧ ἔχειν ἠδύνατο· εἶτα εἰ ἐν ᾧ πέφυκε τόπῳ, καὶ ὡς πέφυκεν· οὐ γὰρ εἴ τις τὶ μὴ ἔχοι, τούτου πάντως καὶ τὴν στέρησιν πέπονθεν· ἀλλὰ τὸ πεφυκὸς εἰ τύχοι ἵπτασθαι, καὶ ἐν τῷδε τῷ χρόνῳ· οὐ γὰρ πρὸ τῆς τῶν πτερῶν περιβολῆς καὶ ὡς πέφυκεν· οὐ γὰρ χωρὶς ὧν οὐκ ἄνευ, καὶ ἐν τῷδε τῷ τόπῳ· ἐν ἀέρι γὰρ καὶ οὐχ ὕδασιν ἵπτασθαι πέφυκεν.

Οὕτω τοίνυν καὶ ἐπὶ τῆς διαιρέσεως· οὐ γὰρ προεπινοεῖται τῶν πραγμάτων ἐν οἷς αὕτη θεωρεῖται, ἀλλ' οὐδὲ αὐτῆς τῆς ἑνώσεως, ἀλλ' ὅτε τὰ πράγματα· καὶ μετὰ τὴν τούτων ἕνωσιν καὶ ὡς πέφυκε, τουτέστιν ἐπινοίᾳ ἀλλ' οὐκ ἐνεργείᾳ ἡ ἀνθρωπότης ἀπὸ τῆς θεότητος ἑνωθεῖσα χωρίζεται· τῇ δὲ κατ' ἐπίνοιαν διαιρέσει, οὐ πρὸ τῶν πραγμάτων οὔσῃ οὐδὲ πρὸ τῆς τούτων ἑνώσεως, ἀλλ' ἐν αὐτοῖς ἐπιθεωρουμένῃ διὰ τὸ ἄτρεπτον, καὶ οὐδαμῶς ἕψεται τὰ τῇ κατ' ἐνέργειαν διαιρέσει ἑπόμενα· ἐπεί τοι γε ταὐτὸν ἔσται τὸ κατ' ἐπίνοιαν διαιρετὸν, τῷ κατ' ἐνέργειαν, ὅπερ ἄτοπον·

ἀλλ' οὐδὲ ὅλως ἔσται ἡ κατ' ἐπίνοιαν διαίρεσις, μὴ ἐνεργείᾳ ὄντων τῶν καθ' ὧν ἡ ἐπίνοια, εἰ καὶ ὁμοῦ ταῦτα καὶ ἐν ταὐτῷ εἶεν· εἴ τις τοίνυν τῷ λόγῳ τῆς ἑνώσεως τὰ ἑνωθέντα ὑποβάλοι, ὄψεται ὅτι ὅσα τέλεια ὄντα εἰς τινὸς σύςασιν παρείληπται, ταῦτα τέλεια μένοντα μέρη γίνεται τοῦ ἐκ τῶν τοιούτων μερῶν ὅλου, ὡς προεπινοεῖσθαι τὰ πράγματα, εἶτα τὴν τούτων σύνοδον, εἶτα τὴν κατὰ θεωρίαν διάκρισιν· τοῦ νοῦ γὰρ ἅμα τὰ τρία θεωρεῖν ἀδυνατοῦντος, ἐν μέρει τῶν ἅμα τὴν ἐπιβολὴν ποιεῖται· διά τοι τοῦτο ἐν τῷ τρόπῳ τῆς φύσεως, ἀληθῆ θεωροῦμεν τὸν ἡμέτερον λόγον· οὐχ ὅτι ἐναντία ταῦτα ἀλλήλοις εἰσὶν, τουτέστιν ἡ φύσις τῇ ἑνώσει ἀλλ' ὅτι διάφορα, καὶ περὶ τὸν αὐτὸν μὲν καὶ τοῦ αὐτοῦ· ἀλλ' οὐ ταὐτὸν οὐδὲ κοινὸς τούτων ὁ λόγος· τοῦτο δὲ καὶ αὐτοὶ συνομολογοῦσι· καὶ γὰρ ἡ μία κατ' αὐτοὺς ἐκ δύο φύσις, διὰ τὴν ἕνωσιν μία λέγεται, εἰ καὶ τὴν ἑπομένην αὐτῇ σύγχυσιν οὐ συνιᾶσιν.

Ἐν τοίνυν τῷ λόγῳ τοῦ μεγαλείου τῆς θείας φύσεως, ἀκοινώνητον τὸ τῆς ἑνώσεως καὶ αὐτοὶ δώσουσιν· ἐπεὶ οὐκ ἔςαι φιλανθρωπίας συγκατάβασις, ἀλλὰ φυσικὴ τοῦ ὑψηλοῦ πρὸς τὸ ταπεινὸν ἡ συνάφεια· καὶ τίς οὕτω τοῦ θείου ὕψους ἀνεπαίσθητος, ἢ τῆς ἀνθρωπίνης ταπεινότητος ἀνεπίσκεπτος, ὡς νομίσαι ταύτας φυσικῇ τῇ προσάλληλα ὁλκῇ, δέχεσθαι τὴν τῶν οὕτως ἀμίκτων κοινωνίαν τε καὶ ἕνωσιν; ἐγὼ γὰρ τοσοῦτον δέω εἰπεῖν ἐν τῷ ὅρῳ τῆς φύσεως, τὸν θεὸν λόγον ἔχειν τὴν πρὸς τὸ ἡμέτερον ἕνωσιν; ὥστε οὐδὲ τῆς ἀνθρωπίνης ψυχῆς, τὴν πρὸς τὸ ἑαυτῆς σῶμα συνάφειαν φυσικῶς πάσχειν, ἄνευ τῆς θείας δυνάμεως λέγειν ἀνέξομαι· καὶ τί λέγω τῆς ἀνθρώπου ψυχῆς; ὁπότε οὐδὲ τὴν τῶν στοιχείων μίξιν καὶ κρᾶσιν ἁπλῶς οὑτωσὶ, καὶ μόνῃ τῇ φύσει γίνεσθαι

εἴποιμ' ἄν, λόγῳ δὲ μᾶλλον θείῳ καὶ τῆς φύσεως κρείττονι, εἰς τάξιν ταῦτα καὶ ἁρμονίαν ἄγεσθαι· ἐπεὶ οὖν ὁ τρόπος τῆς ἑνώσεως, ἀλλ' οὐχ ὁ λόγος τῆς φύσεως, τὸ μέγα τῆς εὐσεβείας περιέχει μυστήριον, ἀφέμενοι τοῦ περὶ τῆς φύσεως τῶν ἑνωθέντων, καὶ τοῦ κατ' αὐτὰς τελείου σκοπεῖν, οὐ γὰρ τοῦ παρόντος ἐστὶ ταῦτα προβλήματος, τὸ μὲν γὰρ θεολογίας τὸ δὲ φυσικῆς ἐςι θεωρίας, καὶ τὸ μὲν πρὸς Ἀρειανοὺς οἰκειότερον σκεφθήσεται, τὸ δὲ πρὸς τοὺς πάντη τῆς ἡμετέρας φύσεως τὴν πρόσληψιν ἀρνουμένους, καὶ τὸ μὲν πῶς ἔχει πρὸς ἡμᾶς δηλοῖ, ἀλλ' οὔ τι γε πῶς πρὸς αὐτὸν τὰ αὐτοῦ μέρη περὶ τοῦ τρόπου τῆς ἑνώσεως, καὶ τοῦ κατ' αὐτὸ ἀποτελέσματος ἐξετάσωμεν.

Τρεῖς τοίνυν αἱ ἀνωτάτω δόξαι περὶ τῆς ἑνώσεως τῶν Χριστῷ φύσεων κατεβλήθησαν, διαιρετική, συγχυτική, καὶ ἡ κυρίως ἑνωτικὴ λεγομένη· αἱ μὲν οὖν δύο, παισὶν αἱρετικῶν ἐπαίχθησαν καὶ παιζέσθωσαν· καλῶς γὰρ προλαβὼν αὐτοὺς ὁ θεῖος Γρηγόριος ἐστηλίτευσεν· ἥ τε γὰρ διαιρετικὴ σχετική τις οὖσα, καὶ μηδὲ τὴν ἀρχὴν τὰς φύσεις συνάπτουσα, κεχωρισμένα ἀλλήλων καταλείπει τὰ πράγματα, μηδ' ὅσα κοινά, μηδ' ὅσα ἴδια, τούτοις διδοῦσα ἢ ἀντιδιδοῦσα· ὡς ἐντεῦθεν δύο εἴδη πάντη καὶ χωριστὰ ἀλλήλων ὁρίζεσθαι, πλὴν ὅσον ἀξίᾳ καὶ γνώμῃ καὶ ταυτοβουλίᾳ· τὸν τῶν φύσεων χωρισμὸν ἐπισκιάζουσα, φενακίζει τοὺς ἄφρονας· ἡ δὲ κατὰ διάμετρον ταύτης καὶ συγχυτική, πάντα ἀφανίζουσα καὶ συγχέουσα, ἕν τι πρᾶγμα νόθον ἀναπλάττει τε καὶ φαντάζεται, ἐν οὐδ' ὁποτέρῳ τῶν ἡνωμένων καθαρῶς τὸ ἴδιον ἀποσώζουσα ἀλλὰ τοῦτο ἐκεῖνο κἀκεῖνο τοῦτο, καὶ διὰ τοῦτο οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο εἶναι συγχωροῦσα· νόθον γὰρ ἅπαν τὸ ἐκ τῆς συγχύσεως ἀναφαίνεται, οὐδὲν ἔχον

καθαρὸν οὐδὲ ἐν τῇ μονίμῳ ἱδρυμένον ἑαυτοῦ ἰδιότητι· ἡ δὲ τούτων μέση, ἡ ἀσύγχυτός τε καὶ ἀδιαίρετος ἕνωσις, οἶδεν μὲν τὰ ἑνωθέντα ἀνελλειπῶς ἔχοντα, κατὰ τὴν ἑαυτῶν ἰδιότητα διὰ τὸ ἄτρεπτον· κοινὰ δὲ ταῦτα, καὶ ἑνὸς εἶναι ποιεῖ δι' αὐτήν γε τὴν οὐσιώδη ἕνωσιν· ὡς εἶναι τὰ μὲν κυρίως ἴδια θατέρου κοινὰ τοῦ ὅλου· τὰ δὲ τοῦ ὅλου κοινὰ θατέρου, διὰ τὴν ἐν θατέρῳ τοῦ ταυτοῦ ἀσύγχυτον ἰδιότητα· οὐ γὰρ ἀντίδοσις ἂν τῶν ἰδιωμάτων ἐγίνετο, εἰ μὴ ἐν ἑκατέρῳ ἔμεινε, καὶ ἐν τῇ ἑνώσει ἡ ἰδιότης ἀκίνητος.

Ἔστιν οὖν ἡ τοιαύτη ἕνωσις, τῶν μὲν πάντη διαιρετῶν ἑνικωτέρα, τῶν δὲ πάντη συγχυτικῶν πλουσιωτέρα· ὡς μήτε πάντη ταὐτὸν εἶναι ποιεῖν τὰ ἑνωθέντα ἀλλήλοις, μηδὲ πάντη ἕτερον· εἰ τοίνυν μηδὲ πάντη ταὐτὸν, μηδὲ ἐξ ὅλων ἕτερον τὸ ἐκ τῆς ἑνώσεως ἀποφαίνει, ζητητέον πῇ μὲν ταὐτὸν, πῇ δὲ ἕτερον· ὁ μὲν οὖν τῆς ἀληθείας λόγος, τὸ μὲν ταὐτὸν κατὰ τὴν ὑπόστασιν οι δε * τὸ ἕτερον κατὰ τὴν φύσιν· ἔμπαλιν γὰρ ἡ ἐπὶ τῆς τριάδος ἔχει, κατὰ τὸν θεῖον Γρηγόριον· εἰ δὲ τοῦτο τοῖς ἐναντίοις ἀπαράδεκτον, τὸ ἑξῆς αὐτοὶ συναγέτωσαν· πάντως γὰρ εἰ μὴ ὑποστάσει ταὐτὸν φύσει ἄρα δώσουσιν· εἰ δὲ τοῦτο, εἷς δή που καὶ ὁ αὐτὸς ἔσται λόγος θεότητός τε καὶ ἀνθρωπότητος, διὰ τὴν ἕνωσιν· καὶ εἰ τοῦτο, ταὐτὸν ἔσται ἕνωσίς τε καὶ φύσις· κοινὸν γὰρ τὸ ἐπ' ἀμφοῖν κατηγόρημα· ὥσπερ γὰρ ὧν ἡ φύσις μία, τούτων καὶ ὁ λόγος ὁ αὐτὸς, οὕτως ἀνάγκη καὶ ὧν ἡ ἕνωσις ἅμα, καὶ ἐν ταὐτῷ τούτων κατ' αὐτοὺς καὶ τὴν φύσιν εἶναι κοινήν· οὐκοῦν καὶ τὸ ἔμπαλιν, ὧν ἡ φύσις μία, τούτων ὑποστάσεις διάφοροι, ἐπεὶ μηδὲ μίαν φύσιν ἓν πρόσωπον περιγράφει· ἐντεῦθεν δὲ τί συνάγεται; μίαν μὲν εἶναι φύσιν σαρκὸς καὶ θεότητος, ὑποστάσεις δὲ δύο· εἰ δὲ μήτε φύσει

* ita cod.

μήτε ὑποστάσει καὶ ἀριθμῷ τὸ ἓν ἔχοιεν τὰ συνελθόντα, ποῦ ἡ διὰ τῆς ἑνώσεως τῶν ἑνωθέντων ταυτότης; εἰ δὲ καὶ φύσει καὶ ὑποστάσει τὸ ἓν ἀλλήλοις εἰσὶ, ποῦ ὁ τῆς ἀτρεψίας καὶ τοῦ ἀσυγχύτου λόγος ἐν τῇ ἑνώσει σωθήσεται;

Ὅτι δὲ δυνατὸν καὶ ἐξ ἀτελῶν καὶ ἐκ τελείων, τὸ αὐτὸ γενέσθαι ἀποτέλεσμα, μαρτυροῦσιν οἱ ὑπὸ Χριστοῦ καὶ τῶν ἁγίων ἀναστάντες νεκροί· τοιούτους γὰρ αὐτοὺς, καί τοι τελείους ὄντας κατὰ τὰ μέρη ἡ διὰ τῆς ἀναστάσεως ἕνωσις ἀπειργάσατο, ὁποίους καὶ ἐν τῇ μήτρᾳ ἡ φύσις διαπλάττουσα συνῆψε· τὸ δ' αὐτὸ καὶ ἐν τῇ προσδοκωμένῃ κοινῇ ἀναστάσει, συμβήσεσθαι πεπιστεύκαμεν· τῶν τε γὰρ προδιαλυθέντων καὶ διεφθαρμένων ἤδη σωμάτων, καὶ τῶν ἀρτιτότε ζώντων, καὶ μεταστοιχειουμένων ἢ καὶ προσφάτως ἐκδεδημηκότων ἀτελῶν τε καὶ τελείων, τὴν αὐτὴν ἐκ τῆς ἀναστάσεως σύστασιν γενήσεσθαι πεπιστεύκαμεν· ἐξ ὧν δείκνυται, ὅτι καὶ ἐκ προϋφεστώτων πραγμάτων, ὑπόστασιν γενέσθαι ἀτρέπτως ἐνδέχεται· εἰ καὶ ὅλως ἐπὶ Χριστοῦ τοῦτο οὐ δίδοται, ὅτι οὐ προδιαπέπλασται· οὐ μὴν δι' αὐτό γε τὸ μὴ προδιαπεπλάσθαι, φύσιν γέ τοι Χριστοῦ μίαν ἐκ δύο ἀσυγχύτως γεγενῆσθαι, οὐδὲ ἐπὶ ἄλλης καὶ ἡστινοσοῦν φύσεως ἔγνωμεν· ἤ πού γε ἐπὶ Χριστοῦ, ἐφ' οὗ καὶ τὸ ἐπινοῆσαι τὸ τοιοῦτον εὐσεβοῦσι ἀμήχανον· εἰ γὰρ φύσις λέγεται παρὰ τὸ πεφυκέναι τί, οὐδεμία δὲ φύσις τὸ ἐναντίον καὶ τὸ ἀντικείμενον ἑαυτῇ πέφυκεν, ἡ δὲ μία κατ' αὐτοὺς Χριστοῦ φύσις τοῦτο πέπονθεν, οὐκ ἄρα μία ἔσται φύσις· εἰ γὰρ τύχοι πεφυκέναι τῇ τοιᾷδε φύσει, τὸ ὁρατῇ εἶναι οὐ πέφυκε τῇ αὐτῇ καὶ τῷ ἀοράτῳ εἶναι· καὶ εἰ πέφυκε θνητῇ εἶναι καὶ φθαρτῇ, οὐ πέφυκεν αὐτῇ τὸ ἀφθάρτῳ καὶ ἀθανάτῳ εἶναι· ἐπεί τοι γε ἔσται τῶν ἐναντίων ὁ αὐτὸς λόγος·

ἀλλ' ἄτοπον τοῦτο· καὶ γὰρ εἰ τὰ ἐναντία ἀνὰ μέρος δέχεται, ἀλλὰ τούτων τὶ ἔχουσα κατ' ἐνέργειαν, οὐκέτι καὶ τὸ ἐναντίον τὰ κατ' ἐνέργειαν ἕξει ποτ' ἄν· λεγέτωσαν τοίνυν εἰ μὴ ὁρατὴ καὶ ἀόρατος, καὶ ἀθάνατος περιγραπτὴ καὶ ἀόριστος, καὶ συνόλως γενητὴ καὶ ἀγένητος· ὁμοῦ καὶ ἐν ταὐτῷ ἡ μία κατ' αὐτοὺς Χριστοῦ φύσις καὶ πρὸς αὐτῶν ὁμολογεῖται· ἡ μὲν γὰρ μία ὑπόστασις, καὶ τὸ ἓν πρόσωπον δύνανται ὁμοῦ καὶ ἐν ταὐτῷ, τὰ ἐναντία καὶ τὰ ἀντικείμενα κατηγορήματα δέχεσθαι· ἡ δὲ μία φύσις ὡς εἴρηται, τὰ ἐναντία πεφυκυῖα οὐκέτι καὶ τὰ ἀντικείμενα ἑαυτῇ πέφυκεν· ἐκσταίη γὰρ ἂν πάντως ἑαυτῆς, πρὶν ἢ τοῦτο παθεῖν.

Καὶ ταῦτα μὲν πρὸς ἐκείνους· τὸ δὲ τινὰς λέγειν, διὰ τὸ μὴ προδιαπεπλάσθαι, μηδὲ προυφεστάναι τὴν τοῦ κυρίου ἀνθρωπότητα, μηδὲ τελείαν προσειλῆφθαι ἀλλ' ἐν τῷ λόγῳ ὑποστῆναι, διὰ τοῦτο μίαν ὑπόστασιν ἀμφοτέρων ποιεῖν, τὸ μέν τι ἀληθὲς, τὸ δὲ οὐκ ἀληθὲς ὂν τυγχάνει· τὸ μὲν γὰρ μὴ προϋφεστάναι, μηδὲ προδιαπεπλάσθαι καὶ ἡμεῖς δώσομεν, τὸ δὲ διὰ τοῦτο μίαν ὑπόστασιν ἀμφοτέρων ποιεῖν, ὡς οὐκ ἐγχωροῦν ἄλλως οὐδὲ δυνατὸν Θεῷ, καὶ τελείῳ ἀνθρώπῳ οὕτως ἑνωθῆναι οὐκέτι δώσομεν· τί γὰρ οὕτως ἢ ἐκείνως ἔχοντι, πλέον ἔσται Θεῷ εἰς ἕνωσιν, οὔτε γὰρ ὁ χρόνος τῆς ἑνώσεως, ἢ ὁ τόπος, ἢ τὸ ἀτελὲς τοῦ σώματος, ἀλλ' αὐτὸς ὁ τῆς ἑνώσεως τρόπος τὸν ἕνα Χριστὸν πεποίηκεν· οὐ τοίνυν διὰ τὸ ἀδύνατον, ἀλλὰ διὰ τὸ πρέπειν ψιλήν ποτε καὶ ἄνευ θεότητος εἶναι τοῦ κυρίου τὴν ἀνθρωπότητα, τὴν προδιάπλασιν ἐκβάλλομεν· τοῖς δὲ λέγουσιν ἐξ ὑποστάσεων ἕπεται ἡ προδιάπλασις, καὶ τὸ ποτὲ ψιλὸν ἄνθρωπον, καὶ ἄλλον καὶ ἄλλον τὸν Χριστὸν καὶ τὸν λόγον ἐπίστασθαι· εἰ δὲ μὴ προδιαπέπλασται, οὐδὲ ἐξ ὑποστάσεων· εἰ δὲ μὴ ἐξ ὑπο-

στάσεων, οὐδὲ ὑποστάσεις· πῶς γάρ; εἰ μὴ ἐκ τούτων ταῦτα, ὁπότε οὐδὲ εἰ ἐκ τούτων δοθείη, καὶ ἐξ ὑποστάσεων ἤδη πάντως καὶ ὑποστάσεις ὡς δέδεικται· εἰ δὲ ἐξ ὑποστάσεων λέγουσι, τί μὴ μᾶλλον καὶ ἐκ προσώπων; καὶ εἰ τοῦτο, τί μὴ καὶ ἐξ υἱῶν; τοῦ μὲν ἐκ Θεοῦ ὄντος, τοῦ δὲ ἐκ παρθένου γενομένου εἰπεῖν θαῤῥοῦσι, τοῦ δὲ ταῦτα ἐννοεῖν ἢ λέγειν; οὐδὲν ἂν εἴη διαιρετικώτερον, ἢ τῆς Νεστορίου δυσσεβείας ἐγγύτερον, κἂν ἐκ διαμέτρου δοκοῦσι πρὸς αὐτὸν ἵστασθαι· ὥσπερ ἀμέλει καὶ δειλία πρὸς θρασύτητα μάχεται· κοινὰ δὲ ταῦτα εἰ δὴ κακίας, εἰ καὶ ὑπερβολῇ καὶ ἐλλείψει πρὸς ἑαυτὰ καὶ τὴν ἀρετὴν στασιάζουσι.

Καὶ τοῦτο δὲ ἐπισημήνασθαι χρὴ ὡς ἡ ὑπόστασις, οὐχ ἁπλῶς οὐδὲ προηγουμένως τὸ τέλειον δηλοῖ, ἀλλὰ τὸ καθ' ἑαυτὸ ὑπάρχον, δευτέρως δὲ τὸ τέλειον· ἡ δὲ φύσις τὸ μὲν καθ' αὑτὸ οὐδαμῶς ὑπάρχον δηλοῖ, κυρίως δὲ τὸ τέλειον· τὰ γὰρ εἰς τὸν τῆς ὑποστάσεως λόγον παραλαμβανόμενα ἰδιώματα, τινὰ ἀπό τινων ἕκαστον εἶναι ποιεῖ· τὰ δὲ εἰς τὸν τῆς φύσεως, οὐ τὸν τινὰ μέν· τί δὲ ἀπό τινος εἶναι ποιεῖ· τὰ τοίνυν τοῦ μόνου, καὶ μόνον εἶναι ποιεῖ· τὰ δὲ κοινῶς ὑπάρχοντα, οὐδέν τι μᾶλλον καθόλου τῶν καθόλου λέγεται· εἰ καὶ πάντας τοὺς ὑπὸ τὸ αὐτὸ εἶδος ἀναφερομένους περιείληφεν· καὶ τοῦτο δὲ μὴ ἀγνοῶμεν, ὡς τὰ τὴν φύσιν χαρακτηρίζοντα, συστατικὰ τῆς οὐσίας εἰσί· τὰ δὲ τὴν ὑπόστασιν οἷον συμβεβηκότων λόγον ἐπέχει, κἂν εἶεν χωριστὰ ἢ ἀχώριστα, καὶ ἁπλῶν μὲν ἁπλαῖ αἱ κατ' ἄμφω ἰδιότητες· συγκειμένων δὲ καὶ συνθέτων σύνθετοι· ὥσπερ ἐπὶ ἀνθρώπου ἔχει, καὶ τοῦ κατ' αὐτὸν ὅρου, τὴν μὲν οὐσίαν αὐτοῦ χαρακτηρίζει, τὸ ζῶον, τὸ λογικὸν, τὸ θνητὸν, τὸ τῶν ἐναντίων ἀνὰ μέρος δεκτικόν· οὗτος γὰρ ὁ ἄπταιστος τῆς οὐσίας

ὅρος· τὴν δὲ ὑπόστασιν, σχῆμα, χρῶμα, μέγεθος, χρόνος, τόπος, οἱ γονεῖς, ἡ ἀνατροφὴ, ἡ ἀγωγὴ, καὶ ὅσα τούτοις ἕπεται· ὧν τὸ ἄθροισμα, φασὶν, ἐπ' οὐδενὸς ἑτέρου ἀληθεύειν δύναται· καὶ ὅμως ἑνὸς ταῦτα ἀνθρώπου τοῦ τινὸς δηλονότι· καὶ τῶν μὲν τῆς φύσεως ἰδιωμάτων κυρίως ἐκεῖνα μετέχει τὰ τῆς αὐτῆς οὐσίας ὑπάρχοντα· τῶν δὲ τῆς ὑποςάσεως καὶ ὧν ὁ λόγος διάφορος, ἐπ' ἂν εἴς τινος ἕνωσιν καὶ συμφυΐαν παρείληπται· οὕτως οὖν ἔχει καὶ ἐπὶ τοῦ Ἐμμανουὴλ· μία μὲν ὑπόστασις θεότητος καὶ ἀνθρωπότητος, καὶ διὰ τοῦτο κοινὰ ἐπ' ἀμφοῖν, τὰ ὡς ὑποστάσεως κατηγορήματα· οὐ μία δὲ ἡ φύσις, καὶ δηλονότι οὐδὲ τὰ ὡς φύσεως ἰδιώματα· εἰ γὰρ καὶ τοῦ αὐτοῦ εἶναι λέγεται πάντα ὡς ἑνὸς, ἀλλ' οὐ κατὰ τὸ αὐτὸ, οὐδὲ ὡς κατὰ μιᾶς φύσεως· οἷον ὁ αὐτός ἐςιν ὁρατὸς καὶ ἀόρατος, θνητὸς καὶ ἀθάνατος, ψηλαφητὸς καὶ ἀνέπαφος· οὐ κατὰ τὸ αὐτὸ δὲ, οὐδὲ τῷ αὐτῷ λόγῳ· ἐπεὶ οὖν εἷς ἔστι καὶ ὁ αὐτὸς, ὡς καθ' ἑνὸς πάντα λέγεται, καὶ διὰ τοῦτο κατὰ μιᾶς ὑποστάσεως καὶ προσώπου· ἐπειδὴ δὲ οὐ κατὰ τὸ αὐτὸ πάντα λέγεται, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο, διὰ τοῦτο οὐχ ὡς κατὰ μιᾶς ταῦτα λέγεται καὶ ἁπλῆς φύσεως, ἀλλὰ κατὰ διαφόρων καὶ συγκειμένων καὶ σωζουσῶν ἐν τῇ ἑνώσει τὴν φυσικὴν ἑαυτῶν ἰδιότητα.

Sequebantur heic in codice triginta Leontii dubitationes hypotheticae contra Severum seu Monophysitas, quas praetermisi, utpote a me iam graece editas ex alio exemplari, nempe cum opere theologico Anastasii presbyteri, in tomo septimo Scriptorum veterum p. 40. seqq. Ceteroqui duorum optimorum inter se codicum collationem instituere non fuisset inutile, si commodiore otio abundassem.

ΤΟΥ ΑΥΤΟΥ ΛΕΟΝΤΙΟΥ

ΛΟΓΟΣ Γ.

ΚΑΤΑ ΑΦΘΑΡΤΟΔΟΚΗΤΩΝ ΤΗΣ ΑΠΟΡΡΗΤΟΥ ΚΑΙ ΑΡΧΟΕΙΔΕΣΤΕΡΑΣ ΤΩΝ ΝΕΣΤΟΡΙΑΝΩΝ ΑΣΕΒΕΙΑΣ, ΚΑΙ ΤΩΝ ΤΑΥΤΗΣ ΠΑΤΕΡΩΝ ΦΩΡΑ ΚΑΙ ΘΡΙΑΜΒΟΣ.

EIUSDEM LEONTII

LIBER III.

ADVERSUS INCORRUPTICOLAS, QUI ARCANAM ET PRIMIGENIAM NESTORIANORUM IMPIETATEM SECTANTUR, ET DE HAC EADEM HAERESI INQUISITIO ET TRIUMPHUS.

Τρίτον ἐπὶ τοῖς προλαβοῦσι μοι δυσὶ λόγοις τουτονὶ συντάττων τό τε Θεῷ χαριστήριον, καὶ τῶν ἀσεβῶν στήλην καὶ θρίαμβον, εὐξαίμην ἂν τὸν κύριον παρεῖναι καὶ νῦν ἡμῖν ἀρωγὸν τῆς ἐννοίας, καὶ λόγῳ τὸν λόγον ἡμῶν κατευθῦναι ἐν πνευματοκινήτῳ χάριτι· εἰ γὰρ ἐκ Θεοῦ βοηθούμενοι, τῶν τε ἄλλων πάντων, καὶ τῆς ἐν χερσὶν ὑποθέσεως ἐφαψόμεθα, ἡμῖν τε ἔσται μισθὸς αὐτοτελὴς τῶν πόνων ἡ συμμαχία, τοῖς τε ὑπὲρ ὧν καὶ δι' οὓς οἱ λόγοι, ὠφελείας ἐνέχυρον, εἰ καὶ μὴ τῇ ἀξίᾳ, τῇ γε δυνάμει παραμετρούμενον· ἡμῖν δὲ καὶ ἄλλως ἀφοσιοῦται τὰ νῦν· παλαιὸν γὰρ χρέος εἰσφέρομεν, πάντων χρεῶν εἰς ἔκτισιν δικαιότατον· πάλαι μὲν ἀποδοθῆναι ὀφειλόμενον, διὰ δὲ πολλὴν καὶ μακρὰν πενίαν, νῦν καὶ μόλις, καὶ οὐχ ὅσον ἄξιον ἐκτίννυσθαι ἀρχόμενον· καθ' ὧν γὰρ στήλην ἐγεῖραι τῷ Θεῷ ἄρτι προήρημαι,

θρίαμβον τε αὐτοῖς περιστῆσαι, μηκέτι τὴν ἀσέβειαν ἐν κρυπτῷ ταμιευομένοις, καὶ τῷ ἀφανεῖ καὶ ἀγνώστῳ πολλοὺς δελεάζοντας, ἀλλὰ πόῤῥωθεν φαινομένους, καὶ ταύτῃ γινομένους φευκτοὺς ἀποτροπαίους, ἧν ὅτε καὶ αὐτὸς ὑπῆρχον τοῦ θιάσου μέρος· νέον γὰρ τότε ὄντα με, τόν τε χρόνον καὶ τὸν λογισμὸν ἡρπάκεισαν, οὐδὲν ὅ τι μὴ τῶν τῆς κακίας ὀργάνων εἰς τοῦτο κινήσαντες· προθέμενον γὰρ τὴν τῶν δογμάτων ἀκρίβειαν, ὧν ἐπειδὴ γευσάμενος τούτῳ δὴ τῷ τοῦ λόγου ἄκρῳ δακτύλῳ, λίχνος τε ἐγενόμην, καὶ προθυμίας εἰς μέτρον οὐδὲν ὅ τι ἐνέλιπον· οἱ δὲ λαβόμενοι ὥσπερ τυφλὸν ὁδοῦ τινὸς ἐφιέμενον, εἰς τὸ τῆς σφετέρας ἀσεβείας κατασπάσαι βάραθρον ἐπεχείρησαν· ἀλλ' ἄνωθέν μοι τὶς ἐπιφανεῖσα χάρις, ἐκ μέσου τῶν ὀδόντων ἥρπασεν, ἑτοιμότατον ἤδη γενόμενον θήραμα, πόθον τε θερμότατον ἀρετῆς ἐμβαλοῦσα, καὶ τῆς διὰ ταύτην ξενιτείας ἐπάξιον· πῶς δὲ οὐκ ἤμελλεν ὁ τὸν Ἰσραὴλ ἐν ἐρήμῳ καθοδηγήσαν, κἀμοῦ συνέμπορος γενέσθαι τῆς ἐκδημίας; φέρων τε οὔπω πρότερον ἀνῆκει, ἕως με θείων ἀνδρῶν ἐγκάθετο παλάμαις, οἵ γε οὐ μόνον πάσης ἐκείνης τῆς λήμης, τὸ ὄμμα τῆς ἐμῆς ψυχῆς ἀπεκάθηραν, ἀλλὰ καὶ φωτὸς ἱεροῦ ἀπέπλασαν ταῖς τῶν θεοσόφων βίβλοις, παρ' ὧν αὐτοῖς ἡ ἀλήθεια καὶ ἡ λοιπὴ ἀρετὴ, τὰς ἐμὰς καὶ χεῖρας καὶ φρένας ἁγνίσαντες· ἆρ' οὖν οὐκ ἀσεβείας ἐσχάτης γραφὴν ἂν παρὰ τῶν εὐγνωμόνων ἐνδίκως ἀπηνεγκάμην, εἰ ταῦτα σιωπῇ παντελεῖ παραδοῦναι ὑπέμεινα;

Ὅτι δὲ μὴ ἀπ' ἀρχῆς, μηδὲ κατ' αὐτὴν ἐκείνην ὡς εἰπεῖν τὴν ὥραν, καθ' ἣν ἀναβλέψαι ἠξίωμαι, τὸν εὐχαριστήριον συντέταχα, παραιτείσθω μὲν θεὸς, παραιτείσθω δὲ καὶ τῶν θεοφιλῶν ἕκαστος· οὐ γὰρ δι' ἀγνωμοσύνην, ἀλλ'

ὑπὲρ τοῦ μὴ δόξαι τὴν περὶ τούτων εὐχαριστίαν προπετοῦς συγγραφῆς ποιεῖσθαι πρόφασιν, φόβῳ τὸν λόγον ἐχαλίνωσα· νῦν δ' ἅ τε δικαίας, καὶ οὐδὲ συγχωρούσης ἠρεμεῖν ἀνακινησάσης ἡμᾶς αἰτίας, ἀφοσιώσασθαι τό τε χρέος καὶ τὸν πόθον ἐσπούδακα· ἀξιοπιστότερος δὲ πάντων ἂν ἦν, εἴς τε πίστιν τῶν λεχθησομένων, καὶ εἰς τὸ καταιδέσαι τοὺς ἀθέους, ἂν ἄρα βούλωνται· πεῖρα γὰρ, ἦ φασὶ, τῶν λόγων βεβαιοτέρα· Χριστὸς δέ μοι παρίτω μάρτυς, καὶ ὁ τούτου πατὴρ, ὅτι μὴ ἀπεχθείᾳ τινῶν ἢ τῇ πρὸς ἑτέρους χάριτι, τὰ κατ' αὐτοὺς εἶμι λέξων· ἀλλὰ πρώτους μὲν αὐτοὺς ἐκείνους κατοικτιζόμενος, οὐκ ἔστιν ὅτε μὴ ὀλοφυρόμενος, καὶ τρίτον προφυλακτήριόν τι βοήθημα τοῖς ὅσον οὔπω ἐμπεσουμένοις, τοῦτον τὸν λόγον ὥσπέρ τι ἀλεξιτήριον φάρμακον συγκεράσαι ἐσπούδασα· πρὸς ἔτι δὲ καὶ τὸ κρίμα δεδειὼς, εἰ μήτε τὸ πάθος ἡμᾶς συμπαθεῖς κατεσκεύασεν· ἵν' εἰ μή τι ἄλλο, τοῦτο δὴ καρποφορήσω, τῷ λυτρωσαμένῳ καὶ σώσαντι τὴν ἑτέρων προφυλακήν· μὴ δ' αὐτοὶ δὲ ἡμῖν χαλεπαινέτωσαν, εἰ ἐξειπεῖν ὑπέμεινα, ἅπερ αὐτοὶ φρονεῖν οὐ πεφρίκασιν· ἄγε δὴ οὖν εἰς μέσον αὐτῶν παρεισκυκλήσωμεν τὰς κατὰ τῆς ἀληθείας ἐπινοίας, αἷς κέχρηνται κατὰ τῶν ἀθλίως ταῖς φονικαῖς αὐτῶν ἄρκυσιν ἁλῶναι ἀρχομένων.

Α. Πρῶτον μὲν οὖν αὐτῶν τοῦτο δρᾶμα τῆς πονηρίας ἐπάξιον, ὅτι μήδ' ὅλως τοὺς ἱεροὺς τῆς ἐκκλησίας καὶ θεοσδότους δεχόμενοι διδασκάλους, πλὴν ὅτι μηδὲ Θεόδωρον καὶ Διόδωρον, τὰς πρώτας αὐτῶν τῆς ἀσεβείας πηγὰς δέχεσθαι τῷ λόγῳ ὑποκρίνονται. Β. Καὶ μὴν ὅτι τὴν μεγάλην καὶ πολυάνθρωπον σύνοδον, καὶ ἀντ' ἄλλου τινὸς δελεάσματος, τοῖς ἁπλουστέροις προτείνουσιν, οὐ φρονοῦντες μὲν κατ' αὐτήν· οὐκ οἶδα γὰρ εἴ τινι ἄλλῳ τῶν πρωτείων, τοῦ φρονεῖν

κατ' αὐτῆς παραχωροῦσιν, ὅμως δ' αὐτὴν ὡς σεμνὸν προσωπεῖον, τοῦ καθ' ἑαυτοὺς δράματος ὑπεισερχόμενοι, λανθάνουσι τὰ πρῶτα τῆς ἐγχειρήσεως· ἅπαξ δὲ πείσαντες δέχεσθαι δῆθεν τὴν σύνοδον, ἢ δεχομένου γέ τινος λαβόμενοι διαπυνθάνονται, ὁποῖον αὐτῷ σύνηθές τε καὶ φίλον τῶν πατέρων ἀσκεῖν· εἶτα εἰ τύχοι φήσας ὁ ἐρωτώμενος, ἢ τὸν μέγαν ὀφθαλμὸν τῆς ἐκκλησίας Ἰωάννην, ἢ τοὺς δύο μεγάλους φωστῆρας τοὺς καππαδόκας φημὶ, ἢ τὸν φανώτατον ἑωσφόρον Ἀθανάσιον, οἱ δὲ οὐδὲ γὰρ ὑπομένουσιν οὐδὲ αὐτήν γε τὴν τῶν ὀνομάτων ἀπαγγελίαν, ἀλλοιοῦσι μὲν εὐθὺς τὸ πρόσωπον, ὅμως γε μὴν ὑπὲρ τοῦ μὴ κατὰ τὴν πρώτην ἐντυχίαν πλῆξαι τὸν θηρώμενον, καὶ ταύτῃ ἀποφοιτῆσαι· καλοὶ μὲν φασὶ καὶ οἱ πατέρες οὗτοι, ἀλλ' οὔπω ἀμείνους τῶν ἡμεδαπῶν· εἰ δὲ τὰ ὀνόματα διαπυνθάνοιτο, ἀνάγνωθι πρῶτον φασὶ, καὶ τότε γνώσῃ τίνες τε καὶ ἡλίκοι τυγχάνουσιν, ὧν, ἄθλιε, λέγοντες οὐδὲ τὰς προσηγορίας ἔτι μεμάθηκας. Γ. Πολλάς τε καὶ ἄλλας ὑπισχνούμενοι δωρεὰς καὶ συνάρσεις, καὶ τὰς ἐπὶ βασιλέως εἰ τύχοι χρήζων εἰσόδους, τῶν ἐν τέλει τε τὴν πρώτην τιμὴν, καὶ τῶν λογίων παρ' αὐτοῖς τὴν συνδιαίτησιν, ὢ τῆς τῶν κακῶν ἀμετρίας, οὐ πρότερον ἀπέχονται, πρὶν αὐτοῖς ὑποπεσεῖν τὸν εἴτε ἀμαθίᾳ, εἴτε χρείᾳ, εἴτε κολακείᾳ, εἴτε λακείᾳ, εἴτε ἄλλῳ τινὶ τῶν ὅσα παγιδεύειν οἶδε, τοὺς μὴ πάσῃ φυλακῇ τὴν ἑαυτῶν τηροῦντας καρδίαν.

Δ. Εἶτα ἐπειδ' ἂν ὑπὸ χεῖρα λάβοιεν, καὶ πειθόμενον ἔχοιεν ἐν οἷς βούλονται, εἰ μὲν μοναχὸς εἴη αὐτῶν τὸ θήραμα, ἐπί τε ἑλληνικοὺς λόγους προτρέπονται, εἴ γε πρὸς τούτους ἐπιτηδείως ἔχων εὑρεθείη· καὶ πολλὰ τὴν τοῦ τάγματος ὠφέλειαν σκώψαντες, καὶ ὡς οὐδέν ἐστι νηστεία, ἢ

ἀγρυπνία, ἡ ἀναχώρησις· καὶ γὰρ καὶ τὴν πρακτικὴν διαβάλλουσιν, καὶ μέχρις αὐτοῦ ὀνόματος πρὸς αὐτὴν δυσχεραίνουσιν, ἐπὶ τὸ ἀμεῖψαι τὸ σχῆμα προτρέπονται, ὡς ἐμπόδιον τυγχάνον πολιτικῆς φιλοσοφίας· κλήρῳ δὲ ἐγκαταλέγειν αὐτὸν ὑπισχνοῦνται, ἢ ἄλλως πῶς συγκροτεῖν, μόνον εἰ τῆς ἀσεβείας αὐτῶν γένοιτο μέτοχος· εἰ δὲ κοσμικὸς εἴη, τὰς αὐτῷ ἁρμοττούσας ὑπισχνοῦνται δωρεάς· οὐκ ἀληθεύοντες μὲν, τοῦτο γὰρ αὐτῶν ἐςι τὸ ἐν κακοῖς μακάριον, ὅμως δ' οὖν ἀποβουκολοῦντες ταῖς ἐλπίσι, κεχηνέναι εἰς αὐτοὺς ἀναγκάζουσιν· ἀλλὰ τούτων μὲν εἰ καὶ βραχὺς ὁ ἔλεγχος, ἀλλὰ καὶ κατεπείγων ὁ χρόνος.

Ε. Ἑνὸς δ' οὖν ἢ δευτέρου τῶν κατ' αὐτοὺς ἐπιμνησθεὶς, ἐπὶ τὸν μέγαν αὐτῶν τῆς ἀμαθίας τετράψομαι διδάσκαλον· Θεωρήσαντες γὰρ αὐτοὶ ὁσήμεραι τὸ κατὰ τῶν ἀθέων αὐτῶν δογμάτων, καὶ τοῦ πρωτάρχου τῆς ἀσεβείας, ἐν τοῖς πιςοῖς αὐξόμενον δίκαιον μῖσος, ὡς πικρόν τι διανοοῦνται κατὰ τῆς ἑαυτῶν ζωῆς· δράματι γὰρ δὴ, φασὶ, καὶ προσώπῳ ἡμῖν, ἐῤῥέτω Νεστόριος, δογμάτων δὲ τῶν αὐτῶν ἔσται πατὴρ, ὁ κἀκείνου πατὴρ γεγονώς· ταῦτα παρ' ἑαυτοῖς στήσαντες, καὶ ἀρίςην ταύτην σφίσι καταθέμενοι βουλὴν, Θεόδωρον ἀντ' ἐκείνου τοῖς πιστοῖς προΐσχονται. ς. Τὸ δὲ τούτων θαυμασιώτερον, καί περ παρελθεῖν θέλων, οὐκ ἐπιτρέπομαι· τὴν γὰρ τῶν Μανιχαίων ἐζηλωκότες πανουργίαν, οὐδὲ γὰρ ἄλλως αὐτοῖς βιοτεύειν ἐξῆν, ὥσπερ ἐκεῖνοι εἰς τοὺς καλουμένους ἐκλεκτοὺς καὶ ἀδιαφόρους, οὕτω δὴ καὶ οὗτοι καταδιεῖλον ἑαυτοὺς εἴς τε τοὺς αὐτὸν ἐζηλωκότας Νεστόριον καὶ τὴν κοινωνίαν αὐτοῦ περὶ πολλοῦ ποιουμένους, καὶ εἰς τοὺς ἐκεῖνον μὲν ἀναθεματίζοντας, ὑποκρινομένους δὲ τὴν τῆς ἐκκλησίας κοινωνίαν· καὶ ὅτι τοῦτο οὐ πέπλασταί μοι, μαρτυρεῖ

ὁ τῶν κρυπτῶν ἔφορος· καὶ γάρ τινος τῶν γνησίων, ἀναγκαζομένου παρ' αὐτῶν, καὶ κοινωνεῖν αὐτοῖς, καὶ τῷ κλήρῳ τῆς ἐκκλησίας ἐγγράφεσθαι, ἐπειδὴ πρὸς τὸ οὕτω φρικτὸν τόλμημα ὀκνηρότερον ἴδιον τί λυπῇ, φασὶν, εἰ τῇ μὲν ἐκκλησίᾳ ὡς πραιτωρίῳ χρήσαιο, καὶ τῷ κλήρῳ ὡς στρατιᾷ, τὴν δὲ πίςιν ἔχεις τὴν ἡμετέραν, καὶ τὴν κοινωνίαν τὴν μεθ' ἡμῶν ἀσπάζοιο· ἐκείνου δὲ εἰς τοῦτο αὐτὸ διαπορουμένου, καὶ ἀδύνατον εἶναι φάσκοντος κἀκείνοις κοινωνεῖν καὶ τῇ ἐκκλησίᾳ, οὐ δεῖ σε φασὶ τῇ τοιαύτῃ δυσχειραίνειν οἰκονομίᾳ· τοῦ γὰρ ἐπ' ἀγορᾶς πιπρασκομένου ἄρτου, καὶ ὧν οἱ Φιλομαριαμῖται προσφέρουσιν εἰς τὸ ὄνομα τῆς Μαρίας, πλείονος τετύχηκεν εὐλογίας, ὁ εἰς τύπον τοῦ σώματος τοῦ Χριστοῦ προκείμενος ἄρτος.

Ζ. Καιρὸς δὲ ἤδη τὰ τοῦ μεγάλου αὐτῶν διδασκάλου Θεοδώρου διεξελθεῖν ἐγκώμια· τοῦτον γὰρ φασὶν εἶναι ἐκεῖνον, ὃν ὁ μέγας Ἰωάννης, ἅ τε καὶ τῆς προθέσεως ἐκπεπτωκότα, καὶ τὴν ἐπαγγελίαν ἐξομοσάμενον, δυσὶν ἐπιστολαῖς ὥσπερ κάλοις ἰσχυροῖς τε καὶ εὐμήκεσιν, εἰς τὸν βυθὸν ἐμπεσόντα τῆς ἀκολασίας, ἀνασπᾶσαι ἐσπούδασεν. Η. Τοῦτον φασὶν ὀκτὼ πρὸς τοῖς δέκα, καὶ οὐ πλείονας ἄγοντα χρόνους, κατὰ τῶν ἱερῶν παροινῆσαι γραφῶν· οὐ γὰρ ἂν ἄλλως καλέσαιμ' ἂν τὰς αὐτοῦ ἑρμηνείας, τὰς εἰς τὰς θείας συντεθειμένας γραφάς. Θ. τοῦτον ὡσαύτως φασὶν, ἁρπάσαι θελήσαντα τὸν τῆς Κιλίκων ὀφθαλμὸν τὴν Ταρσὸν, ἐπειδὴ ὁ τῶν κακῶν αὐτῷ καὶ τῆς ἀσεβείας ἀρχηγέτης γενόμενος καὶ πατὴρ Διόδωρος τὸν τῇδε μετήλλαξε βίον, ὁ τῆς Ἀλεξανδρέων Θεόφιλος κωλύει τοῦ τολμήματος· πρὸς αὐτὸν γὰρ ἐστείλαντο πρεσβείαν οἱ τυραννούμενοι. Ι. Οὗτος ὁ βδελυρὸς ἐν τῇ μεγαλωνύμῳ ἐκκλησίᾳ τῆς πάλαι μὲν Ἀντιόχου, νῦν

δὲ Θεοῦ πόλεως καλουμένης ἐξηγούμενος, ἐτόλμησεν ἄλλα τε πολλὰ, καὶ τὴν θεοτόκος δυσφημῆσαι φωνήν· ὡς ὅλον ἐντεῦθεν καθ' ἑαυτοῦ συγκινῆσαι τὸν δῆμον.

ΙΑ. Οὗτος ὁ μιαρὸς ἐπὶ πάσης παρεξηγήσεως τῶν θείων γραφῶν, σκόπτων καὶ διασύρων τοὺς πόνους τῶν εἰς αὐτὰς κεκμηκότων ἱερῶν διδασκάλων, οὐκ ἐπαύσατο, ἔοικα δέ γε λοιπὸν πάσχειν, ὡς ὁ μέγας ἔφη Βασίλειος, ἐκ ῥαπίσματος διευθύνων τὸν ἀνδροφόνον· ἀλλ' ἄγε δὴ μετάβηθι, καὶ τὸν ἔσω κόσμον ἄεισον, καὶ τὸν ἐν ἀποῤῥήτῳ αὐτοῖς καὶ τοῖς πολλοῖς ἄβατον, τὸν τῆς ἀσεβείας λέγω μυχὸν ἐπόπτευσον· οὐκ ἐξορχήσομαι μὲν, ᾗ φασὶν, ἀνακαλύψω δὲ τὰ τῆς ἀθεότητος μυσαρὰ δόγματα· δυσχεραινέτω δὲ ἡμῖν ἐπὶ τοῖς λεγομένοις μηδεὶς, ὅτι μὴ τῶν κακῶν ἀκουσμάτων ἀρχηγοὶ, μηδὲ τὰς αἰτίας ἡμεῖς τοῖς ῥηθησομένοις δεδώκαμεν· πολλαὶ γὰρ βίβλοι φέρουσιν αὐτῶν τὰ ἄθεα μυστήρια· ἐπεὶ κ' αὐτὸς ἐγὼ εὐξαίμην ἂν τῷ θεῷ, σιγῇ καὶ σκότῳ τὰ τοιαῦτα συγκαλυφθῆναι τῆς ἀσεβείας μυστήρια· νῦν δ' οὐ γὰρ ἵνα κακῶν μαθητὰς ποιησαίμην ὑμᾶς, ἀλλ' ἵνα τῶν δεινῶν ἀπαλλάξαιμι, εἰς τούσδε τοὺς λόγους ἐμαυτὸν καθῆκα, αὐτός τε προτροπάδην αὐτοὺς φεύγων, καὶ πᾶσι μέγα βοῶν· φεύγετε, ὦ οὗτοι, φεύγετε κρημνῶν καὶ βαράθρων μακρὰν φεύγετε, τῶν πάσῃ μεμολυσμένων αἱρέσει ἀθέων διδαγμάτων τὰς βίβλους φεύγετε.

ΙΒ. Οὗτος ὁ σοφὸς, ὡς οἱ τοῦτον ζηλοῦντες φαῖεν, καὶ μέγας Θεόδωρος, ἐπειδὴ μικρὸν ἦν αὐτῷ τὸ κατὰ ἀνθρώπων ἀγώνισμα, κατ' αὐτῆς ἐγχειρεῖ καὶ τολμᾷ τῆς τοῦ πνεύματος δόξης, πάσας μὲν τὰς κατ' ἔμπνευσιν αὐτοῦ τῶν θεηγόρων ὑψηλὰς, ταπεινῶς ἐκλαμβάνων γραφὰς, ἀποκρίνων δὲ ἐκ τοῦ θεοκρίτου τῶν ἱερῶν βίβλων ἀριθμοῦ. ΙΓ. Τόν τε

μέγαν τοῦ Θεοῦ θεράποντα, καὶ τῆς ἀνδρείας ἔμψυχον καὶ δι' αἰῶνος ἀνάγραπτον στήλην τὸν Ἰὼβ, δυσὶ περί που χιλιάσι * στίχων πλύνων καὶ διαγραφόμενος τὴν εἰς αὐτὸν τοῦ πνεύματος συγγραφὴν, ἣν ὁ μέγας Ἰάκωβος ἐν τῇ κατ' αὐτὸν καθολικῇ ἐπιστολῇ βεβαιῶν ἔλεγεν, τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος κυρίου ἴδετε· οὐ γὰρ ἄλλοθέν ποθεν, οὐδὲ τὴν ὑπομονὴν ἠκούσαμεν, οὐδὲ τὸ κατ' αὐτὸν τέλος ἱστορήσαμεν, ὅτι μὴ ἐκ τῆς κατ' αὐτὸν γραφῆς. ΙΔ. Δι' ἣν αἰτίαν αὐτήν τε οἶμαι τοῦ μεγάλου Ἰακώβου τὴν ἐπιστολὴν, καὶ τὰς ἑξῆς τῶν ἄλλων ἀποκηρύττει καθολικάς· οὐ γὰρ ἤρκει αὐτῷ κατὰ τῆς παλαιᾶς ἐγχειρεῖν γραφῆς, τὴν Μαρκίωνος ἐζηλωκότι ἀσέβειαν, ἀλλ' ἔδει καὶ κατὰ τῆς νέας αὐτὸν ἀγωνίσασθαι, ἵνα ᾖ περιφανεστέρα αὐτῷ ἡ κατὰ τοῦ ἁγίου πνεύματος ἀγωνία. ΙΕ. Τάς τε ἐπιγραφὰς τῶν ἱερωτάτων ὕμνων καὶ ψαλμῶν καὶ ᾠδῶν πάντη ἐκβαλὼν, τοὺς πάντας ψαλμοὺς ἰουδαϊκῶς τοῖς περὶ τὸν Ζοροβάβελ καὶ Ἐζεκίαν ἀνέθηκε, τρεῖς μόνους τῷ κυρίῳ προσρίψας. Ις. Ἀλλὰ γὰρ καὶ τὸ τῶν ἁγίων ἁγιώτατον τῶν ἀσμάτων ᾆσμα παρὰ πάντων μὲν θεοσόφων, παρὰ πάντων δὲ ὑμνούμενον χριστιανῶν, ταῖς δὲ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαις γνωριζόμενον, θαυμαζόμενον δὲ καὶ πρὸς τῶν ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ ἰουδαίων, κατὰ τὴν πορνικὴν αὐτοῦ καὶ γνώμην καὶ γλῶσσαν, ἐκλαβὼν ὁ θρασὺς καὶ ἄμετρος τὴν τόλμαν, ἐκ τῶν ἁγίων βίβλων ἀπέτεμεν. ΙΖ. Καὶ τί γὰρ οὐκ ἔμελλε δράσειν, ὁ ἐν αὐτῷ ἐνεργήσας τῆς ἀσεβείας εὑρετής τε καὶ πατήρ; τὰς γοῦν παραλειπομένας ὡσαύτως, κακῷ κακὸν προστιθεὶς, πρώτην τε καὶ δευτέραν, Ἔσδραν τε πρὸς ταῖς εἰρημέναις ἐξέβαλεν.

ΙΗ. Ἆρ' οὖν ταῖς μὲν θείαις γραφαῖς ἐγχειρεῖ, καὶ τῶν

* l. manu μυριάσι.

λαμπροτέρων κατὰ τοῦ πνεύματος ἀγωνισμάτων τὸ εὐδόκιμον ἀποφέρεται, τῶν δὲ δευτέρων ἀπέχεται καὶ παραχωρεῖ ἄλλοις τῆς γοῦν ἐν τούτοις πάλης καὶ νίκης; οὐ μὲν οὖν· ἐπειδὴ γάρ, ὡς ᾤετο, ὁ κατὰ τῶν θεοπνεύστων αὐτῇ γραφῶν ἄεθλος ἐκτετέλεστο καὶ διήνυστο, δεύτερον ἐξανύει δίαυλον, τῷ πρώτῳ παρισούμενον· καὶ ἵνα τοῖς κατὰ μέρος ἐγχειρῶν μὴ κάμνῃ, πρὸς τὴν πρώτην στοιχείωσιν τοῦ χριστιανισμοῦ ἵσταται, καὶ τὸ θεσπιὸν σύμβολον τῶν ἀναγεννωμένων διαγράφεται, τὴν ἐν Νικαίᾳ φημὶ πίστιν, οὐκ ἀνορθοτηριάζων αὐτὸ μόνον, ἀλλὰ πᾶσαν καὶ τέλεον ἀποσκευαζόμενος, καὶ παραδιδοὺς παρ' ἐκείνην ἑτέραν, μηδὲν λογισάμενος τοὺς τηλικούτους φωστῆρας, οὐδὲ φρίξας πρὸς τὸ τολμηρὸν τῆς ἐγχειρήσεως· ἕτερον γὰρ ὡς ἔφην ἐκτίθεται πίστεως, μᾶλλον δὲ ἀπιστίας, σύμβολον μετὰ τὴν εἰς θεὸν πατέρα καὶ τὸν μονογενῆ υἱὸν καὶ τὸ ἅγιον πνεῦμα πίστιν, πιστεύειν γράψας καὶ εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν, τέταρτον πρόσωπον ἐπεισάγων τῇ ἁγίᾳ τριάδι, καὶ καταδιαιρῶν εἰς δύο πρόσωπα τὰ τοῦ ἑνὸς Χριστοῦ καὶ θεοῦ ἡμῶν· καὶ τῷ μὲν ἀληθινῷ υἱῷ τὰ θεῖα προσνέμων καὶ τὴν ἄνω γέννησιν, τῷ δὲ ἰδίῳ Χριστῷ τὰ ἀνθρωποπρεπῆ καὶ ἀνθρώπινα, καὶ πρό γε τούτου τὴν ἐκ παρθένου γέννησιν. ΙΘ. Τολμᾷ καὶ ἕτερον κακὸν τῶν εἰρημένων οὐ δεύτερον· ἀναφορὰν γὰρ σχεδιάζει ἑτέραν παρὰ τὴν πατρόθεν ταῖς ἐκκλησίαις παραδεδομένην, μήτε τὴν τῶν ἀποστόλων αἰδεσθεὶς, μήτε δὲ τὴν τοῦ μεγάλου Βασιλείου ἐν τῷ αὐτῷ πνεύματι συγγραφεῖσαν, λόγου τινὸς κρίνων ἀξίαν· ἐν ᾗ ἀναφορᾷ βλασφημιῶν οὐ γὰρ εὐχῶν τὴν τελετὴν ἀπεπλήρωσεν· ἆρ' οὖν τίς ἕτερος ἀντίχριστος, προσδοκᾶσθαι ἔτι ἄξιος εἴη, οὕτω τὰ τοῦ Χριστοῦ μισῶν τε καὶ παρακινεῖν πειρώμενος; ἐγὼ μὲν οὐκ οἶμαι· ἀπόχρη γὰρ φη-

μὴ καὶ οὗτος, ἐν ἅπασι τὸν ἐκείνου ἀποπληρῶσαι τόπον καὶ τρόπον.

Κ. Ἄκουε δὲ αὐτοῦ καὶ τὰ ἕτερα, ὧν μήτε ἀκοῦσαι καλόν τε καὶ εὐκταιότατον ἦν· τὴν κρίσιν τοῦ Θεοῦ, τὴν ἐν πάσαις ταῖς ἁγίαις διαβεβοημένην γραφαῖς, ἧς οὐδ' οἱ μακρὰν τῆς χριστιανῶν θεοσοφίας ἀπεριήχηται μεμενήκασιν, τὴν μονὴν καὶ τῶν ἑστώτων ἵδρυσιν, καὶ τῶν πεπτωκότων ἀνόρθωσιν, τῶν τε ἡμαρτηκότων φάρμακον, καὶ τοῦ διαβόλου ἄξιον τέλος, ἣν οὐδὲ ὁ διάβολος καὶ οἱ δαίμονες ἀρνήσασθαι ὑπέμειναν, λέγοντες τῷ σωτῆρι, τί ἡμῖν καὶ σὺ Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς, τήν τε γέενναν καὶ τὸ σκότος, καὶ τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τὰ ἄλλα ὅσα ἠπείληται τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς, γελᾷ ὁ δείλαιος· οὔτ' αὐτὸς αὐτὴν προσδοκῶν, καὶ τοῖς ἄλλοις ἐγκελευόμενος μὴ δεδιέναι φόβον, ὡς αὐτὸς μὲν οἴεται ἀπειλὴν μόνον ἔχοντα· αἴ, αἴ, ἡ πεῖρα δ' αὐτὸν πείσει, ἐπειδὴ ἀπειλὴ μὴ πεφόβηκε, καὶ ταῦτα γραφῇ παραδοῦναι ὁ ἀσεβὴς καὶ ὄντως ἄφοβος, καὶ ὄντως καταγελῶν σεισμοῦ πυρφόρου, οὗ ἀντανήρηται κατὰ τὸν διάβολον τὰ κρίματα τοῦ Θεοῦ ἀπὸ προσώπου.

ΚΑ. Διὰ ταῦτα σε ἀγαπῶσιν, ὦ δείλαιε, οἱ τῆς αὐτῆς σοι μερίδος· τοῦτο αὐτοῖς τοῦ θείου φόβου ἀνταναιρετικὸν φάρμακον, πικρὸν ὄντως καὶ δακρύων ἄξιον συγκεκέρακας· αὕτη ἡ Εὐνομίου δυσσέβεια ἣν ἐζήλωσας, περὶ οὗ τὰ λεγόμενα ἦν ἄπιστα, ἕως, ὡς μὴ πώποτε ὤφελε, ταῖς σαῖς βίβλοις ταῦτα ἐνετάγη· καὶ τὸν εἰπόντα Εὐνόμιον διδόναι τόπον τοῖς πάθεσι, καὶ μὴ παρέχειν τῷ νῷ πράγματα, ἡ σὴ διδασκαλία ὑπερηκόντισεν. ΚΒ. Σὸς μαθητὴς Βαρσουμᾶς ὃς τὴν Περσῶν ἐκδεδιῄτηκε, τοῖς τε δόγμασι τῆς ἀθεότη-

τος, καὶ τῇ τοῦ βίου ἀδιαφορίᾳ, νομοθετήσας μηδὲ τῶν ἱεραρχουμένων τινὰ, μὴ ὅτι λαϊκὸν, ἀπέχεσθαι κοίτης ἀθέσμου καὶ πολυγαμιῶν· τὰς γὰρ μέθας καὶ τοὺς κώμους, δῶρα εἶναι ὑπελάμβανε θεοῦ. ΚΓ. Τὰς σὰς μεταβαλόντες συντάξεις, εἰς τὴν Χαλδαίων τε καὶ Ἀρμενίων (1) φωνὴν καὶ γλῶσσαν, οἱ τῆς αὐτῆς σοι φατρίας τῆς Ἀρείου ἀσεβείας, ἀθεωτέραν τοῖς ἔθνεσι παραδεδώκασιν αἵρεσιν· καὶ γὰρ τοῦτο ζηλῶσαι ἐσπουδάκασιν οἱ τῶν Ἀρείου θιάσων· πλὴν ὅσον οἱ μὲν τοὺς ἑσπερίους βαρβάρους, οἱ δὲ τοὺς ἑώους εἰς τὴν ἰδίαν ἕκαστος ἀσέβειαν προηγάγετο.

ΚΔ. Μικρά σοι ταῦτα· σὺ δέ μοι προστίθει καὶ τὴν πεπλασμένην Ἀδὰμ παράβασιν, ἣν ὑπὸ θεοῦ λαβὼν ἔπαθεν, ἵνα γένηται κόσμος αὐτῷ εὐπροφάσιστον ἀρχὴν ἔχων, τὴν τοῦ μὴ ἡμαρτηκότος μὲν, σεσυκοφαντημένου δὲ, ἀδικωτάτην καὶ δίκην καὶ ἐξορίαν· οὐ γὰρ ταύτης σοι ἕνεκεν τῆς τῶν κακῶν ῥίζης, καὶ τῆς λοιπῆς κατὰ τὸ ἑξῆς τῶν ἀνθρώπων ἀσεβείας καὶ πονηρίας ὁ Χριστὸς ἦλθε, τὸ πεπλανημένον πρόβατον τὸν Ἀδὰμ, τῆς τῶν ἑκατὸν ἀποσπασθὲν συννομῆς, ὡς καλὸς σῶσαι καὶ ἐπιστρέψαι ποιμήν. ΚΕ. Πρόσθες, εἰ βούλει, καὶ τοὺς τῷ σκότῳ τῷ σῷ συνδημιουργηθέντας ἀγγέλους· οὐ γὰρ ἀξιόχρεως σοι τῆς αὐτῶν φύσεως ἐξηγητὴς ὁ ἱεροψάλτης πρὸς τὸν θεὸν ἐν πνεύματι τὴν λύραν ἀνακρουόμενος, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· τὸ γὰρ ποιῶν τοῦ ἐνεστῶτος χρόνου ὂν σημεῖον, τὸν παρεληλυθότα γραφικῷ ἰδιώματι δηλοῖ, ὡς εὐθέως γε ἐπάγων διδάσκει ὁ θεμελιῶν τὴν γῆν, τουτέστιν ὁ θεμελιώσας· οὔτε μὴν αἱ ἄλλαι σε τῶν

(1) En antiquum testimonium, quomodo Chaldaei et Armenii facti fuerint haeretici, nimirum ob libros Theodori et praedicationem Barsumae.

γραφῶν ἀγγελοφάνειαι καταιδοῦσι, φῶς τε φαινόμεναι, καὶ ἀστραπὰς ἀποστίλβουσαι. Κϛ. Πρόσθες καὶ τὸ Μανιχαίων οὐσιῶδες σκότος, πρῶτον σοι τῆς ὁρατῆς κτίσεως, ἢ ἀγενήτως παρυποστᾶν, ἢ παρὰ θεοῦ γενόμενον.

ΚΖ. Κἀκεῖνο δὲ ἀσόφως σοφίζου, τὸν τοῦ διαβόλου ἀντίχριστον μὴ κολασθήσεσθαι λέγων, φθαρήσεσθαι δὲ καὶ εἰς τὸ μὴ ὂν ἀναλυθήσεσθαι· ἵνα ἔλθῃ καλὸν ἐκ κακοῖο ταῖς ψυχαῖς, ὁ φόβος τοῦ θεοῦ, ὃν οὐκ ἄλλοθεν ἔμελλον ἔχειν· ἡ γὰρ κρίσις σοι ἀνῄρηται, οὐκ ἐκ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως, οὐδ' ἐκ τοῦ φυσικοῦ καὶ ἀῤῥήτου πρὸς θεὸν πόθου, ἐκ δὲ μόνης τῆς τοῦ ἀντιχρίστου παντελοῦς φθορᾶς, καὶ εἰς τὸ μὴ ὂν ἀναλύσεως. ΚΗ. Δίδου δὲ καὶ τῆς δημιουργίας καὶ τῆς προνοίας, οὐχ ὅσον ἐστὶν εἶναι ἐκ θεοῦ, πολλὰ δὲ καὶ τῶν οὐ χρησίμων παρεισῆχθαι παρακολουθήματα, καὶ παρασυμβάματα ὄντα τῶν γεγονότων, οὐκ ἐκ θεοῦ δὲ βουλομένου γινόμενα, τῇ δὲ φύσει τῶν πραγμάτων ἑπόμενα καὶ μὴ κωλυόμενα· λάθοι δ' ἂν ἡμᾶς παραρέων ὁ χρόνος, τὸν καθ' ἕνα τῶν σῶν τῆς σοδομήνης ἀμπέλου βοτρύων ἐπιρωγολογουμένους· σὺ δ' οὐ κάμνεις ἐντρυφῶν ταῖς ἀσεβείαις, ὦ τῶν κακῶν ποριμωτάτη φύσις, ὅτι μὴ τὸν θεὸν οὐσιῶδες εἶναι ἀγαθὸν ὑπολαμβάνεις, οὐδ' εἶναι αὐτὸν πηγὴν καὶ ἀρχὴν παντὸς καλοῦ τε καὶ ἀγαθοῦ, οὐσιωδῶς αὐτὰ προνάουσαν· εἰπὲ δὲ ἡμῖν, πόθεν αὐτῷ πεπόρισται τὸ καλόν; οὐ γάρ ἐστι κατὰ σὲ αὐτὸ καλόν· καὶ τίς ἡ τούτου ἀρχή; αὐτὸς δ' ἄρα σὺ τῶν τοιούτων κακῶν πέλεις ἀρχὴ, τῆς μεγαλορημοσύνης Μαρκίωνος, καὶ τῶν τούτου ἀρχῶν οὐδέν τι ἢ μικρὸν ἀποδέων.

ΚΘ. Ἥκει δ' ἡμῖν ὁ λόγος ἐπ' αὐτὸν τὸν κολοφῶνα τῶν σῶν ἀσεβημάτων· πόθεν σοι πέπλασται ὁ εἰς ἀντίδειξιν τῆς

τριάδος γενόμενος ἄνθρωπος, ἵν' ᾖ ταύτης ἔμψυχον εἴδωλον, τῇ ἀπείρῳ τῶν ὄντων ζωῇ παραμετρούμενον, ὃν ἀντὶ τῆς τριάδος προσκυνεῖσθαι δίδως, ὑπὸ πάσης ὁρατῆς τε καὶ ἀοράτου κτίσεως νῦν τε καὶ ὕστερον; οὐδ' ἡ Μωσέως σε πέπεικεν νομοθεσία, κύριον τὸν θεὸν προσκυνεῖν, καὶ αὐτῷ μόνῳ λατρεύειν νομοθετήσαντος; οὐδ' αὐτὸς ὁ σωτὴρ τοῦτο τῷ πειράζοντι προβαλλόμενος; Λ. σὺ δ' ὡς ἔφην ὑπ' αὐτῆς τῆς τριάδος ἕτερόν τι ἔμψυχον εἴδωλον τὸν Χριστὸν δεδημιουργῆσθαι πλάττῃ, κτισματολατρεῖαν αὐτὴν διδάσκειν συκοφαντῶν· οὐδὲν ὅ τι μὴ τῆς παλαιᾶς πλάνης, καθ' ἣν ἐξολισθῆσαι τοῦ θεοῦ συνέβη τὸν ἄνθρωπον, καὶ δουλεῦσαι τῇ κτίσει παρὰ τὸν κτίσαντα· εἰ μὴ καὶ μάλιστα χαλεπωτέραν ἐκείνης ταύτην κατασκευάζεις, οὐ γὰρ ἀνθρώπους αὐτὸ μόνον πείσεσθαι διδάσκεις, ἀλλὰ πᾶσαν τὴν μετὰ τὴν τριάδα ὑπὸ τῆς τριάδος γεγενημένην κτίσιν· οὐ γὰρ θεῷ ἀνθρώπῳ γενομένῳ, ἀλλὰ ἀνθρώπῳ θεοῦ προσηγορίᾳ τετιμημένῳ εἰς αἰῶνας λατρεύειν, ὦ τῶν κακῶν σὺ τούτων εὐαγγελίων κήρυξ διαγγέλλεις ἀναφορᾷ τῆς εἰς τὸν Χριστόν σου τῶν ὄντων λατρείας, ὡς ἀπὸ εἰκόνος εἰς βασιλέα τῆς αὐτοῦ τιμῆς, ἐπὶ τὴν τριάδα ἀναγομένης· ἡδέως δ' ἂν σου πυθοίμην αὐτὸν δὴ τὸν Χριστὸν, πῶς καὶ τίνι λέγεις προσκυνεῖν; εἰ μὲν αὐτὸν ἑαυτῷ, γελοιότατον· εἰ δὲ τῇ τριάδι διὰ μέσου τινὸς, οὐ γὰρ δι' ἑαυτοῦ, ὁ αὐτὸς εἶ μόνος τῶν ἁπάντων, τοῦτο γέρας ἔχων εὑρίσκεται τὸ μηδενὶ λατρεύειν· ἐπεὶ μὴ τὸν σὸν μεσίτην μόνος αὐτὸς ἔσχηκε, καὶ τὶς ἀντὶ θεοῦ ὅρος, ἢ ὃν σὺ τῷ Χριστῷ δίδως μόνον αὐτὸν τιμώμενον, ἀλλ' οὐ τιμῶντα εἰσάγων τὸν οὕτω τιμήσαντα.

ΛΛ. Ὡς ἡδύς τις εἶ, σεμνὴν γὰρ καὶ ἀστείαν γέννησίν τε καὶ ἀνατροφὴν τούτῳ προσπλέκεις τῷ ἀνθρώπῳ, καὶ

ὅσον προφητικὴν, καὶ μικρὸν ταύτην ὑπεραίρουσαν· ὅτι δὴ κατὰ πρόγνωσιν ὁ Θεὸς λόγος, γνώμῃ ἐν αὐτῇ τῆς μήτρας διαπλάσει, τὴν ἕνωσιν αὐτῷ προσκέχρηκεν, γινώσκων αὐτοῦ τὴν περὶ τὰ καλὰ πρόθεσιν ἀδιάπτωτον ἔσεσθαι. ΛΒ. Ἀγνοίας τε αὐτὸν ζόφῳ καλύπτεις μηδὲν ἐπιστάμενον, ὅτι μὴ ὅπερ ἐδόκει τῷ κατ' ἀξίαν αὐτῷ ἡνωμένῳ λόγῳ· πῶς δ' ἀγνοίας αὐτὸν ἀναπεπλησμένον εἰσάγων, οὐχὶ καὶ ἁμαρτίας; ἐξ ἐκείνης γὰρ αὕτη, ὡς ἀπὸ πηγῆς ποταμὸς προχέεται· ἢ τάχα τὴν ἄγνοιαν αὐτῷ βοηθεῖν δογματίσεις, ἐπεὶ ὡς τὰ πολλὰ συγγνώμης ἀξιοῦται τὸ ἐξ ἀγνοίας παρὰ λόγον πραττόμενον, ἄν περ μὴ λίαν ᾖ φορτικόν. Ἀγνοεῖν δ' αὐτὸν λέγεις τοσοῦτον, ὅτι καὶ πειραζόμενος οὐκ ἐγίνωσκεν ὅς τις εἴη ὁ πειράζων αὐτόν· καὶ τῆς κατὰ διάνοιαν ἁμαρτίας οὐδ' αὐτὸν κύριον, μὴ ὅτι τοὺς ἁγίους καθαρεύειν παραχωρεῖς, οὐδ' ἁμαρτίαν αὐτὴν οἰόμενος εἶναι. ΛΓ. Ὀχλεῖσθαι τε αὐτὸν πλέον ἐκ τῶν ψυχικῶν παθῶν ἢ τῶν σωματικῶν δογματίζειν οὐ φρίττεις, σαφῶς οὑτωσὶ λέγων καὶ τῷ κρείττονι λογισμῷ τὰς ἡδονὰς ἐχειροῦτο. ΛΔ. Δίδως δ' αὐτὸν ἐκ προκοπῆς ἀρετῶν κατὰ μικρὸν καθαίρεσθαι, καὶ ἐπιτηδειότερον ὁσημέραι γίνεσθαι πρὸς ὑποδοχὴν τῶν Θεόθεν αὐτῷ ὡς ἀνθρώπῳ παρεσομένων ἀγαθῶν. ΛΕ. Βαπτίζεις δ' αὐτὸν ἵν' ἐκ τοτε, οὔπω γὰρ πρότερον, τελειωθεὶς κατὰ νομικὴν ἀρετὴν, Χριστὸς χρηματίσῃ τέλειος καὶ τῆς εὐαγγελικῆς ἐφάψηται πολιτείας, καὶ ταύτην ἐκπληρώσῃ· πῶς δ' οὐχὶ καὶ τὸν χρόνον αὐτῷ διὰ τοῦτο συντετμῆσθαι λέγεις; ἀποκάμοι γὰρ ἂν πρὸς τὸ τούτου διάστημα, καὶ διὰ τοῦτο σύντομον ὁδὸν σωτηρίας τὸν σταυρὸν ἀνευρίσκων. Λϛ. Εἰς ὃν καὶ ἄκοντα αὐτὸν ἀναφέρεις, ὑπὲρ ἑαυτοῦ μὲν, οὐχ ἥκιστα δὲ καὶ ὑπὲρ ὅλου κόσμου τεθνηξόμενον· ὡς οὐκ ἄλλως αὐτῷ

περιεσομένης τῆς κατὰ τὴν ἀνάληψιν, καὶ τῆς ἐκ δεξιῶν καθέδρας δόξης, μὴ διὰ μαρτυρίου τελειωθέντι· οὐκ οἶδα τις πόθεν πέλων ἀνδρῶν, ὃς τηλικοῦτο παρὰ σοῦ ἐγχειρίζεται πρᾶγμα, καὶ οἰκονομίαν μεγάλην καὶ οὕτως ἐξαίρετον, καὶ μὴ ὅτι τὴν ἀνθρώπου ἀλλὰ καὶ πᾶσαν γενητὴν ὑπεραίρουσαν φύσιν.

ΛΖ. Δέδοικε δὲ τὸν θάνατον, οὐχ ὡς ἡμᾶς τυπῶν ἐν ἑαυτῷ, καὶ λύων ἡμῶν ἐν ἑαυτῷ τὴν δειλίαν, ἀλλ' ὡς αὐτὸς τοῦτον προτροπάδην φεύγων· ὃν οὔ ποτ' ἂν ὑπελθεῖν ἑκουσίως κατεδέξατο, εἰ μὴ τῆς μακρᾶς οὕτω σου καὶ πολυστίχου νουθεσίας τετύχηκεν, ἣν σὺ περιπλάττων τῷ ἀγγέλῳ προσνέμεις· οὐδὲ γὰρ ἀγγέλους συκοφαντεῖν παραιτῇ, ὁπότε τὸν θεολογικὸν τοῦ ἀγγέλου ὕμνον, καὶ τὸν ἐπινίκιον ὃν ᾖσε τῷ Χριστῷ οἷα θεῷ, ὅσον οὐδέπω διὰ τοῦ θαυμασίου τούτου καὶ ὑπερφυοῦς τῆς δειλίας δράματος, ἀληθινῆς ὄντως δειλείας τοῦ κατὰ τὸν θάνατον, ἐλευθεροῦντι τοῦ πικροῦ τῶν ἀνθρώπων τυράννου· σὺ ὡς ἂν δειλῷ τινὶ καὶ ἀνάνδρῳ καὶ τὸ ὅλον φιλαύτῳ τῷ σωτῆρι ὑπὸ τοῦ ἀγγέλου γεγενῆσθαι παραληρεῖς, ψυχαγωγίας τρόπῳ καὶ παρηγορίας· τὸ γὰρ ἐφάνη ἄγγελος κύριον ἐνισχύων αὐτὸν, ὑμνῶν εἶπαν καὶ θεολογῶν ἄλλοι τέ τινες τῶν πατέρων, καὶ ὁ κύπριος γέρων ὁ μέγας φημὶ Ἐπιφάνιος, καὶ εἰς σύστασιν τῆς θεωρίας ταύτης προήγαγον τὸ ἐν τῇ μεγάλῃ ᾠδῇ τῷ θεοσόφῳ Μωϋσῇ εἰρημένον, ἐνισχυσάτωσαν αὐτὸν πάντες ἄγγελοι θεοῦ· ὡς δὲ σὺ ἀσεβεῖς, τῆς μακρᾶς ἐδέησε τοῦ ἀγγέλου παρηγορίας, καταπεπτωκυῖαν τῇ λύπῃ καὶ καταποθεῖσαν τοῦ Χριστοῦ τὴν ψυχὴν, ἐκ τοῦ κατὰ τὸν θάνατον δέους ἀναςῆσαι σπεύδοντος· κίνδυνον γὰρ εἶχε τὸν ἔσχατον, τόδε τὸ πᾶν ἐπ' αὐτῷ σαλευόμενον· ψευδῆ ταῦτα εἶναι φῄς· πολλοῦ

γε δὴ τοῦτ' ἂν ἐτιμησάμην· νῦν δὲ οἱ θαυμαστοὶ καὶ λαμπροί σου ἀγῶνες κατὰ τῆς τοῦ θεοῦ λόγου ἐνανθρωπήσεως, καὶ οἱ πεπλασμένοι μὲν κατὰ τῶν ἀντιθέτων αἱρετικῶν πόλεμοι, κατὰ δὲ τῆς ἀληθείας ὄντως στρατευσάμενοι, ἣν ἐπειδὴ πολεμῆσαι προθέμενος, ἀδυνατοῦν σοι ἐγίνωσκες τὸ ἐγχείρημα, ἐπίγραμμα τοῦ κατ' αὐτῆς πολέμου, τὸ κατὰ τῶν αἱρετικῶν προέγραψας πρόγραμμα. Ἀλλὰ καὶ τὰ κατὰ Μαγουσαίων ληρήματα, ταῦτα κηρύττουσιν, αἵ τε λοιπαὶ τῶν γραφῶν παρεξηγήσεις· οὐ γάρ ἐστιν ὅπου μὴ ταῦτα τῶν θαυμασίων σου πόνων διατεθρύληται, ἀπὸ μὲν Παύλου τοῦ Σαμοσάτων ἀρξάμενα, διὰ δὲ τῶν ἐν μέσῳ εἰς Διόδωρον καταντήσαντα, ὅς τις σοι τῶν κακῶν τούτων γέγονεν ἡγεμών· οὕτω δὲ γεωργηθέντα παρὰ σοῦ, καὶ τοσοῦτον προσλαβόμενα μέγεθος, ὡς ἐπικαλύψαι τὴν ἄθεον πηγὴν, τὸν σὸν δαψιλῆ ποταμόν.

ΛΗ. Σὸς δε γέγονεν ὁλκός τε καὶ διώρυξ στενὴ, καὶ οὐχ ὅλον σου δυνηθεῖσα χωρῆσαι, τῆς ἀσεβείας τὸ ῥεῦμα Νεστόριος· εἰ δὲ καὶ χωρῆσαι ἴσχυσεν, ἀλλ' οὐκ ἤδη καὶ παῤῥησιάσασθαι, καὶ πᾶσι προχέαι τὰ σὰ τῶν βλασφημιῶν νάματα, οὐ γνώμης ῥᾳθυμίᾳ, ἀπολογήσομαι γὰρ, ἀλλὰ τῷ στενοῦσθαι τοῖς πλήθεσιν· αὐτὸς μὲν γὰρ καθ' ἡσυχίαν τῇ ἀσεβείᾳ συγγινόμενος, ὅλον αὐτῆς ἐκπέπωκας τὸν ὀχετόν· ἐκεῖνος δὲ ἐπειδὴ ἕν τι τῶν σῶν ἄρας ἁμαρευμάτων σκύβαλον, εἰς τὸ κοινὸν προύτεινε, καὶ τὴν θεοτόκος φωνὴν ἀπηγόρευσε μόνην, εὐμηχάνως μὲν πρὸς τὰς ἀρχὰς τῆς ἀληθείας ἱστάμενος, καὶ τῇ πρώτῃ τοῦ θεοῦ ἡμῶν κατὰ σάρκα γεννήσει, τὴν πᾶσαν ἑξῆς ἀναιρῶν τοῦ μυστηρίου ἀκολουθίαν· ὅμως δ' οὖν ἥλω καὶ τὴν ἐσχάτην ἔτισε δίκην, ἔξω θείου χοροῦ μετὰ τῶν ἀσεβημάτων ὧν ἐκ σοῦ γεγεώργηκεν

ἀπελαθεὶς, καὶ τὴν ἀξίαν ἀντέκτισε τῶν σῶν μαθημάτων ποινήν· ἀπόχρη καὶ ταῦτα τὴν πᾶσαν τοῦ ἀνδρὸς παραστῆσαι ἀσέβειαν, ἐξ ὄνυχος, ἥ φασὶ, ὑποδεικνύντα τὸν λεόντα· εἰ δέ τις ἀπιστεῖ τούτοις, καὶ γὰρ ὄντως εἰσὶν ἀπιστίας ἄξια, καὶ οὐ μέμφομαι τοῦ πάθους δικαιοτάτου γε ὄντος, ἐπεὶ τὸ μὴ ἀπιστεῖν τῶν τοιούτων κακῶν οὐκ ἄμοιρον, ἐλέγχει τὸν ῥᾳδίως πιςεύσαντα· τὸ γὰρ εἰς συγκατάθεσιν ἕτοιμον, καὶ εἰς πεῖραν ἑτοιμότατον· ἀλλ᾽ ἡμᾶς γε ἡ πεῖρα, ἥν τε ἐκ τῶν βίβλων αὐτοῦ συνειλέγμεθα, καὶ ἣν ἐκ τῶν ζηλούντων αὐτὸν ἀκηκόαμεν, ἀπιστεῖν οὐκ ἐπιτρέπει, καί περ ἐθέλοντας· πῶς δὲ καὶ ἀπιστεῖν δυναίμην, τῶν κακῶν τὴν πεῖραν ἐν ἐμαυτῷ σχεῖν κινδυνεύσας;

ΛΘ. Οἱ δὲ, οὐδὲ γάρ εἰσι σοφοὶ, πλὴν μόνου τοῦ κακοποιεῖν, ἐπεὶ μὴ δύνανται ὑπὲρ τούτων ἀπολογήσασθαι, τὸν μέγαν ἡμῖν προτείνουσι Βασίλειον γεγραφότα τὲ Διοδώρῳ, καὶ ἀποδεξάμενον αὐτοῦ τινὰ τῶν περὶ τριάδος συνταγμάτων· οὐ γὰρ ἐνανθρωπήσεως εἰπεῖν ἔχουσιν ἄλλους τέ τινας τῶν πατέρων, ἢ γεγραφότας, ἢ μεμνημένους αὐτοῦ παρεισκύκλουσιν. Μ. Τὸν δὲ Ὠριγένην οὐ θαυμάζουσιν, ὅτι ὁ τῶν θαυμάτων ἐπώνυμος Γρηγόριος, τὸν ἐξιτήριον συντάττων, μυρίους ἐγκωμίων διέξεισιν εἰς αὐτὸν κύκλους· καὶ τί λέγω Ὠριγένην; ὅπου γε καὶ Ἀπολινάριος, ὁ κατὰ διάμετρον αὐτῷ τῆς ἀληθείας ἀποσφαλεὶς, μυρίας πρὸς αὐτὸν ἐπιστολὰς γεγενῆσθαι κομπάζει Ἀθανασίου τε τοῦ μεγάλου, καὶ Σαραπίωνος, καί γε τῶν ἄλλων ὅσοι τότε γεγόνασι λαμπροὶ φωστῆρες, καὶ τῆς ἀληθείας πρόμαχοι· εἰ δέ τις τὴν ὅλην μετὰ χεῖρας λάβοι, ἣν ὁ γνώριμος Ἀπολιναρίου Τιμόθεος ἐκκλησιαςικὴν συντάττει ἱστορίαν, οὐδ᾽ ἄλλον τινὰ τοῦ τοσούτου πόνου σκοπὸν εὑρήσει, πλὴν τὴν Ἀπολιναρίου σύστα-

σιν, ἣν ἐκ μυρίων συγκεκρότηκε τῶν ἀπ᾽ αὐτοῦ τε καὶ εἰς αὐτὸν γραφεισῶν τε καὶ ἀντιγραφεισῶν ἐπιστολῶν· οἱ δ᾽ αὐτοί μοι δοκοῦσι καὶ Δημᾶν τάχα συστήσειν ἡμῖν, ὅτι καὶ Παῦλος αὐτὸν Ῥωμαίοις συνέστηκεν, καὶ τὸν Ἰούδαν συντάττειν τῷ χορῷ τῶν ἀποστόλων, πολλάκις τῷ σωτῆρι συναλισθέντα· ἀλλ᾽ ἀκουέτωσαν καὶ πρὸς ἡμῶν, ὡς εἰ μέλλοιεν τὰς πρός τινας τῶν πατέρων γεγραμμένας ἐπιστολὰς, πρὸ τῆς ἀληθείας αἰδεῖσθαι, οὐ Θεόδωρον ἢ Διόδωρον μόνον, ἀλλὰ καὶ ἄλλους πολλοὺς, καὶ οὓς οὐδ᾽ αὐτοὶ βούλονται, συμπαραδέχεσθαι βιασθήσονται.

ΜΑ. Οἷον δὲ αὐτῶν κἀκεῖνο· ἐφ᾽ οἷς γὰρ, φησὶν, εὐθύνετε Θεόδωρον ἢ Διόδωρον, καὶ τοὺς λοιποὺς πατέρας ὑπαιτίους εὑρίσκομεν· καὶ προφέρουσιν ἡμῖν Σαραπίωνος μὲν τὸ, ὁ θεὸς τὸν ἄνθρωπον περιεβάλετο· Βασιλείου δὲ τὸ, ὁ θεοφόρος ἄνθρωπος· θεὸς λέγοιτο ἂν οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δὲ, τοῦ δὲ φάσκοντος, καὶ τοῦ δούλου τοὺς μώλωπας, περὶ ὃν ὁ δεσπότης· τῶν τε λοιπῶν πατέρων τοιαῦτά τινα περιονυχίζοντες ἀποξέουσι λεξείδια· οἷόν ἐστι τό τε ἀνέλαβε, καὶ προσείληφε, καὶ ἐνεδύσατο, καὶ τὸ διπλοῦς γὰρ ἦν, καὶ ὅσα τοιαῦτα, τῆς διαφορᾶς ὄντα δηλωτικὰ τῶν οὐσιωδῶς ἡνωμένων φύσεων τοῦ Χριστοῦ· ἐπὶ πᾶσι δὲ Κυρίλλου τὰς ὑποστάσεις, καὶ τὸν ἐκ Μαρίας ἄνθρωπον, καὶ τὸν ἐκ παρθένου ναόν· τὴν δὲ κρᾶσιν καὶ ἀνάκρασιν συμφυΐαν τε καὶ θέωσιν, αἷμα τε θεοῦ, καὶ σταυρὸν, καὶ πάθος, καὶ θάνατον, καὶ πρὸ τούτων δευτέραν τοῦ λόγου κατὰ σάρκα γέννησιν, τῶν αὐτῶν λεγόντων οὐκ ἐπαΐουσι.

Καὶ τί δεῖ λέγειν περὶ τῆς κατ᾽ οὐσίαν καὶ οὐσιώδους ἑνώσεως, τήν τε μίαν ὑπόστασιν τῶν δύο φύσεων, ὧν οὐδὲν ἑνικώτερον ἢ συμφυέστερον; πρῶτον μὲν οὖν ἐκεῖνο σκοπεῖν

ἄξιον, ὅτι οὐ περὶ λέξεων ἐστιν ἡμῖν τὸ ἀμφισβητούμενον, ἀλλὰ περὶ τοῦ τρόπου τοῦ ὅλου κατὰ Χριστὸν μυστηρίου· τοῦτο δὲ οὐχ ἁπλῶς ἐκ τῆσδε ἢ τῆσδε τῆς λέξεως, ἢ ἐνίων ῥημάτων ἐςὶν ἐγκρίνειν, ἢ διαγράφεσθαι, ἀλλ' ἐκ τῶν πρώτων ἀρχῶν· περὶ γὰρ ταύτας πᾶσα αἵρεσις διαστασιάζει, ἐπεὶ μετὰ τὰς ἀρχὰς πάντες πᾶσι κατὰ τὰς λέξεις συμφέρονται, ὡς καὶ αὐτῶν τῶν γραφῶν τὰς λέξεις σφετερίζεσθαι, πρὸς τὸν οἰκεῖον ταύτας σκοπὸν ἐφαρμόζοντας· τίνες δὲ εἰσὶν αἱ τούτων ἀρχαί; ὁ τρόπος δηλαδὴ τῆς ἑνώσεως, οὐσιωδῶς ἀλλ' οὐ σχετικῶς γεγονώς· ὡς εἶναι ἐν τῇ τελείᾳ ἀνθρωπότητι τὸν λόγον, ὅπερ ἐν ἡμῖν ὁ ἔσω ἄνθρωπος κατὰ τὸν ἀπόστολον συνυφεστῶς, καὶ εἰς τὸν τοῦ ὅλου ὅρον συντελῶν μετὰ τὴν ἕνωσιν, καθὰ καὶ οἱ τὸν Σαμοσατέα στηλιτεύσαντες πατέρες ἀπεφήναντο.

Ἀλλ' οὔτε τῶν ἐκ διαμέτρου ἡμῖν πρὸς τὴν ἀλήθειαν ἱσταμένων, τὰς ὡς οἴονται ἁρμοττούσας αὐτοῖς προφερόντων ἐπιστρεφόμεθα· ὡς ἐντεῦθεν τὴν δόκησιν καὶ τὴν φαντασίαν, ἢ τὴν τροπὴν καὶ τὴν σύγχυσιν, μετ' αὐτῶν ἡμᾶς πρεσβεύειν· οὔτε δὲ παρ' ὑμῶν αὐτῶν, ὡς ἂν οἴεσθε, εἰς συνηγορίαν τῆς κατὰ τὴν θεότητα φαντασίας, ἢ τῆς κατὰ τὸν ψιλὸν ἄνθρωπον, ὑμῶν ματαίας ἐλπίδος, ὡς ἐκ τῶν πατέρων προφερόμενα προσιέμεθα· ἐπειδή περ, ὡς ἔφην, μὴ περὶ λέξεων ἡ διαμάχη ἐστιν ἡμῖν, ἀλλὰ περὶ αὐτῶν τῶν πραγμάτων, καὶ τῆς πρὸς ἄλληλα τούτων ἑνώσεως τε καὶ συμφυΐας, ἣν οἱ πατέρες οὐσιωδῶς γεγενῆσθαι ἐφρόνησαν, ὑμεῖς δὲ σχετικήν τε καὶ γνωμικὴν ταύτην εἰσάγετε, καὶ διὰ ταύτης τὴν ἀνθρωπολατρείαν κρατύνειν βιάζεσθε· οὗ τί ἂν γένοιτο ἀσεβέστερον; τῆς γὰρ Παύλου καὶ Μαρκέλλου, Φωτεινοῦ τε καὶ Νεστορίου καὶ Θεοδώρου δυσσεβείας μόνης

τὸ τοιαῦτα φρονεῖν, τῶν ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἄντικρυς διορισαμένων, ἅπερ ἰδίᾳ τε ἕκαστος, καὶ κοινῇ πάντες οἱ θεηγόροι τῆς ἐκκλησίας μυσταγωγοὶ, ὁμόφροσιν ἀποφάσεσι διέγραψαν τὲ καὶ ἀπεκήρυξαν· καὶ μάλιστα ἡ τελευταία πασῶν, καὶ τῶν πρὸ αὐτῆς ἁγίων συνόδων σφραγὶς γενομένη κατὰ τὴν Χαλκηδονέων, ἣ καὶ τὸν ὑμέτερον τῆς ἀσεβείας πρόβολον τέλεον καταλέλυκεν τό τε τῆς πίστεως σύμβολον κρατύνας, καὶ τὸν τῆς ἀσεβείας ὑμῶν καθαιρέτην, λαμπραῖς ἀνακηρύξασα ταῖς εὐφημίαις, καὶ τὸν ὄντως Λεόντα κατὰ τῆς δολερᾶς Εὐτυχέος ἀλώπεκος ἐξαναστάντα δικαίως, καὶ τὴν κρυπτομένην ἀσέβειαν, τοῖς ἐλεγκτικοῖς διασπάσαντά τε καὶ νεκρώσαντα λόγοις, ταῖς πρεπούσαις αὐτῷ κατεστεφάνωσαν δόξαις.

ΜΒ. Ἀλλ᾽ ἐκεῖνοι μὲν, φασὶ, κατεκρίθησαν· τούτων δὲ οὐδεὶς κατέγνω τοῦτο, ὦ βέλτιστοι, οὐκ ἐκ τοῦ καθ᾽ ἑαυτοὺς ἔσχον ἀμέμπτου, ἀλλ᾽ ἐκ τοῦ σφόδρα τὸ λαθεῖν ἐπιτηδεῦσαι· οὐ γὰρ εἰς πολλοὺς ἐκφαίνειν ὑπέμενον τὴν ἀσέβειαν, ὅτι μὴ δ᾽ ἀσφαλὲς αὐτοῖς τοῦτο ἐγίνωσκον· καὶ ἄλλως ἡ τῶν Ἀρειανῶν τότε φλεγμαίνουσα αἵρεσις, καὶ ὥσπερ ἀγρία φλὸξ νεμομένη τὰς ἐκκλησίας, σχολὴν μὲν παρεῖχε πολλοῖς, ἀτὰρ δὴ Ἀπολιναρίῳ, τέως αὖ καὶ Μακεδονίῳ τὸ βλασφημοῦσι λανθάνειν· καὶ τὸ τῆς ἰατρικῆς ἐστὶ καλῶς ἐνταῦθα λέγειν, ὡς δύο πόνων ἐπικρατούντων ἐν σώματι, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἐλάττονα· ταύτῃ γὰρ καὶ Ἀπολινάριος ὥσπέρ τις σπλὴν ηὔξανεν, ἵνα κατὰ τὸν ὑμέτερον ὑποφήτην εἴπω, καί τι κἂν τοῖς ἐλέγχοις ὑμῖν χαρίσωμαι, ἐν τῇ τοῦ ὅλου σώματος κακοπραγίᾳ, τὸ παρὰ φύσιν προσκτώμενος μέγεθος· τῷ αὐτῷ δὴ παραδείγματι καὶ τὸ ὑμέτερον παραβάλλειν ἔχω· ἡ γὰρ τῶν πατέρων περὶ τὰ ἀναγκαιότατα,

καὶ μάλιστα κατεπείγοντα σπουδὴ, λαθεῖν τοὺς ὑμετέρους τῆς ἀσεβείας προγόνους παρεσκεύασεν, καὶ μάλιστα πλαττομένους τὴν ἐν τοῖς περὶ τριάδος σὺν αὐτοῖς ἀγωνίαν καὶ ἀντιπαράταξιν, καὶ ἐντεῦθεν κλέπτοντάς τε τὴν εὔνοιαν, καὶ τῷ τῆς ὁμοφροσύνης προσχήματι τὸ λαθεῖν προπίνοντας· δυσφώρατον γὰρ ἡ πονηρία, εὐνοίας προσωπείῳ κεκαλυμμένη.

ΜΓ. Ἐπεὶ ἐν τῷ κατὰ τὸν δυστυχέστατον Νεστόριον ἀναθέματι, δυςυχὴς γάρ ἐστιν ὄντως, μόνος τοῦ φόνου τὴν δίκην ὑποσχὼν, παρ᾽ ἄλλων ἢ φασὶ τὸ ξίφος κεκομισμένος, καὶ αὐτοὶ συνεκβέβληνται· ἐν γὰρ τῷ μαθητῇ, τῷ ὡς ἡ γραφὴ φησὶ κατηρτισμένῳ κατὰ τὸν διδάσκαλον, τοὺς ἑαυτῶν πόνους ἐδρέψαντο· καί τοι καὶ εἰ τοῦτο ζητοίη τὶς, εὑρήσει καὶ αὐτοὺς ὡς γραφὴν ἔσχον παρά τε ἑτέρων συχνῶν, καὶ τῶν ζηλωτικωτάτων κατὰ τῆς ἡμῶν ἀσεβείας, Κυρίλλου τε καὶ Πρόκλου· ὧν ὁ μὲν ὅλην γραφὴν κατ᾽ αὐτῶν πεποίηκεν, εἰ καὶ ἀπολογήσασθαί τινες ὑπέμειναν ἀπολογίαν μείζονα τῆς κατ᾽ αὐτῶν κατηγορίας εἰσάγουσαν ὑπόθεσιν· ὁ δὲ τὴν πρὸς Ἀρμενίους συνοδικὴν γράφων ἐπιςολὴν, ταύτῃ τῶν βλασφημιῶν Θεοδώρου κεφάλαια εἰς ἔλεγχον αὐτοῦ τῆς ἀσεβείας ὑπέταξεν· τί γὰρ δεῖ λέγειν περὶ τοῦ ἁγίου Ῥαββούλου τοῦ ἐπισκόπου Ἐδέσσης, ἀνδρὸς ὡς φασὶ προφήτου; οὗ τὴν παῤῥησίαν καὶ τὸν ἔλεγχον ἐπειδὴ μὴ ἤνεγκαν οἱ τότε τῆς δυσσεβείας Θεοδώρου ζηλωταὶ, μετὰ τοὺς μυρίους ἐκείνους κινδύνους, δόλῳ μετῆλθον, ἑνὶ τῶν ἔνδον τὸ δρᾶμα πιστεύσαντες. Εἰ μὲν οὖν ταύτῃ πείσομεν ὑμᾶς, καὶ μεταβάλοισθε ὀψὲ γοῦν, ἀλήθειαν προτιμῶντες προσώπων, τοῦτ᾽ ἄμεινον, καὶ τῷ θεῷ χάρις· εἰ δ᾽ οὔ, ἀλλ᾽ ὑμᾶς γε δακρύσομεν, θρήνων καὶ ὀδυρμῶν ὄντας ἀξίους· ἡμᾶς δ᾽ αὐτοὺς τοῦ θεοῦ τε ἀναρτήσομεν, καὶ τῶν μακαρίων ἐλπίδων

ἐχόμενοι, οὔ ποτε λήξομεν ὧν τε ἔσχον οἱ πατέρες ἡμῶν, καὶ ἡμῖν ταύτας φιλανθρώπως λίαν διὰ τῶν ἐν μέσῳ παρέπεμψαν καὶ μεταπαρέδοσαν, τοῦτο μόνον παρ' ἡμῶν ἐκβιβάζοντες, ἀπρόσκοπον αὐτῶν φυλάττειν τὴν παρακαταθήκην· ἀμείωτόν τε καὶ ἀπλήθυντον φυλάττουσα ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία διατελεῖ, καὶ διατελέσει μέχρι τῆς μεγάλης ἐπιφανείας τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας· ἀμήν.

Sequebantur hoc loco in codice permultae Theodori mopsuesteni auctoritates, quas quia ex Leontio iam olim recitavi in tomo VI. Script. vet. p. 299-312, post eiusdem Theodori commentarios ad prophetas minores, nunc omnes praetermitto, adtexoque heic alia recitata a Leontio haereticorum veterum fragmenta.

Ἀναγκαῖον δὲ ἡγησάμην, καὶ τοῦ πρωτάρχου τῆς ἀσεβείας αὐτῶν γενομένου ὀλίγας παραθέσθαι χρήσεις, δι' ὧν συμπεπλεγμένους αὐτοὺς κατὰ τὴν ἀσέβειαν κατιδεῖν ἔξεστιν.

Διοδώρου ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου α'.

Ἀσφαλίζεσθαι εἰς τὴν ἀκρίβειαν τῶν δογμάτων ὑμᾶς ἐνάγομεν· τέλειος πρὸ αἰώνων ὁ υἱὸς, τέλειον τὸν ἐκ Δαβὶδ ἀνείληφεν υἱὸς θεοῦ υἱὸν Δαβίδ· ἐρεῖς μοι, δύο οὖν υἱοὺς κηρύττεις; δύο υἱοὺς τοῦ Δαβὶδ οὐ λέγω, μὴ γὰρ εἶπον τὸν θεὸν λόγον υἱὸν Δαβὶδ, ἀλλ' οὐδὲ δύο υἱοὺς τοῦ θεοῦ κατ' οὐσίαν λέγω· μὴ γὰρ δύο φημὶ ἐκ τῆς τοῦ θεοῦ οὐσίας, τὸν πρὸ αἰώνων θεὸν λόγον λέγων κατῳκηκέναι ἐν τῷ ἐκ σπέρματος Δαβίδ.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Χάριτι υἱὸς ὁ ἐκ Μαρίας ἄνθρωπος, φύσει δὲ ὁ θεὸς λόγος· τὸ μὲν χάριτι καὶ οὐ φύσει, τὸ δὲ φύσει καὶ οὐ χά-

ριτι· ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χάριν υἱότητος, τὸ τῆς δόξης, τὸ τῆς ἀθανασίας· ὅτι ναὸς τοῦ θεοῦ λόγου γέγονεν, μὴ ὑπὲρ φύσιν ἀναγέσθω· καὶ ὁ θεὸς λόγος ἀντὶ τῆς παρ' ἡμῶν ὀφειλομένης εὐχαριςίας μὴ ὑβριζέσθω· καὶ τίς ἡ ὕβρις τοῦ συντιθέναι αὐτὸν μετὰ τοῦ σώματος, καὶ δεῖσθαι νομίζειν εἰς τελείαν υἱότητα τοῦ σώματος; οὐδὲ αὐτὸς ὁ θεὸς λόγος βούλεται ἑαυτὸν τοῦ Δαβὶδ εἶναι υἱὸν, ἀλλὰ κύριον· τὸ δὲ σῶμα καλεῖσθαι τοῦ Δαβὶδ υἱὸν, οὐ μόνον οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ διὰ τοῦτο παραγέγονεν.

Καὶ μεθ' ἕτερα.

Καὶ περὶ τῶν κατὰ φύσιν γεννήσεων ὅτ' ἂν ᾖ λόγος, μὴ τῆς Μαρίας υἱὸς ὁ θεὸς λόγος ὑποπτευέσθω· θνητὸς γὰρ θνητὸν γεννᾷ κατὰ φύσιν, καὶ σῶμα τὸ ὁμοούσιον· καὶ δύο γεννήσεις ὁ θεὸς λόγος οὐχ ὑπέμενε, τὴν μὲν πρὸ αἰώνων, τὴν δὲ ἐν ὑστέροις καιροῖς.

Τοῦ αὐτοῦ Διοδώρου ἐκ τοῦ αὐτοῦ λόγου.

Εἴ τις βούλοιτο καταχρηστικῶς, καὶ τὸν υἱὸν τοῦ θεοῦ τὸν θεὸν λόγον, υἱὸν Δαβὶδ ὀνομάζειν, διὰ τὸν ἐκ Δαβὶδ τοῦ θεοῦ λόγου ναὸν, ὀνομαζέτω· καὶ τὸν ἐκ σπέρματος Δαβὶδ υἱὸν τοῦ θεοῦ χάριτι καὶ οὐ φύσει προσαγορευέτω, τοὺς φυσικοὺς πατέρας οὐκ ἀγνοῶν, οὐδὲ τὴν τάξιν ἀνατρέπων, οὐδὲ τὸν ἀσώματον λέγων καὶ πρὸ αἰώνων ἐκ θεοῦ καὶ ἐκ Δαβὶδ, καὶ πεπονθότα καὶ ἀπαθῆ.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου δ'.

Ὁ υἱὸς τοῦ θεοῦ, δι' οὐδένα· φύσει γὰρ υἱός· ἡ σὰρξ υἱὸς, διὰ τὸν υἱόν· καὶ τί λέγω διὰ τὸν υἱόν; δι' ἡμᾶς ἡ σάρξ· καὶ μὴ νομίσητε βλάσφημον τὸ ῥῆμα· ἀλλὰ ἀπαιτήσατε τὰς ἀποδείξεις· εἰ μὴ ἔπταισαν οἱ ἄνθρωποι, μὴ χρεία ἦν νόμου· δικαίῳ γὰρ νόμος κεῖται· εἰ μὴ ἐπέτειναν τὴν

ἁμαρτίαν οἱ ἐν νόμῳ, μὴ χρεία ἦν τῆς χάριτος· οὐκ ἐπειδὴ οὐκ ἐδύνατο ὁ νόμος ἀποκτεῖναι τὴν ἁμαρτίαν· οὐχὶ δι' ἡμᾶς ἔλαβεν ἵνα τὸν θάνατον καὶ τὴν ἀπόφασιν τοῦ θανάτου ἀνακαλέσηται, ςαυρωθεὶς καὶ ἀποθανὼν καὶ ἀναςάς; εἰ μὴ ἀπάτη προκεχωρήκει, καὶ ἡ ἀπόφασις τοῦ θανάτου καθ' ἡμῶν, τίς χρεία ἦν τῆς οἰκονομίας ταύτης τοῦ ςαυροῦ; τίς χρεία τῆς ἐνσωματώσεως; οὐ δι' ἡμᾶς ἔλαβε τὴν σάρκα;

Καιρὸς δὲ ἤδη καλεῖ, καὶ τὸν πρῶτον αὐτῶν τῆς ἀσεβείας πατέρα, παρ' οὗ καὶ τὰ σπέρματα ταύτης δεξάμενοι ἔτυχον, εἰς μέσον τῷ λόγῳ παραγαγεῖν· Παῦλος δὲ οὗτός ἐστιν, τὸ ἐκ Σαμοσάτων βλαστῆσαν πικρὸν τοῦ διαβόλου ζιζάνιον. Ἀλλὰ γὰρ καὶ Νεστορίου τοῦ τελευταίου τῆς πρώτης ῥίζης ἀθεωτάτου βλαστήματος, τὸν φθοροποιὸν καρπὸν στηλιτεῦσαι δίκαιον· ἵνα ἐν τοῖς ἄκροις, ἡ τῶν μέσων περιφανὴς καὶ βλάσφημος ξυνωρὶς, τῶν ἀμφὶ τὸν Διόδωρον φημὶ καὶ Θεόδωρον, συνηρμοσμένη γνωσθείη· ἴσως ἀνανῆψαι τῆς μέθης κἂν ὀψὲ γοῦν δυνηθήσονται ἅπαξ μαθόντες, πρὸς τίνας αὐτοῖς καὶ ἡλίκους τῶν κακῶν πατέρας ἔστιν ἡ πρώτη συγγένεια, καὶ ὡς ἐξ ἐκείνων διὰ τῶν ἐν μέσῳ, ὁ τελευταῖος οὗτος τῆς ἀσεβείας ἐξέφυ κλάδος· οὗ τὸν καρπὸν ἄρδην σπάσαντες, ἐμφορεῖσθαι ἐπείγονται· ἔστι δὲ ὁ προκείμενος ἀμφοτέρων, Παύλου φημὶ καὶ Νεστορίου, ἔλεγχος ἐκ τῆς διαμαρτυρίας τῆς δημοσίᾳ προτεθείσης, ὥς φασὶ, παρὰ Εὐσεβίου τοῦ τηνικαῦτα ἐν τῇ δικανικῇ ἐμπρέποντος, ὕςερον δὲ τῆς Δορυλαέων ἐπιστεύθη τοὺς οἴακας· καὶ ζῆλον ἔχων ὡς μαρτυρεῖται θεῖον, πρῶτος τήν τε αὐτοῦ Νεστορίου, καὶ μέν τοι καὶ Εὐτυχοῦς, πεφώρακέ τε καὶ ἐξήλεγξεν αἵρεσιν, μετὰ μυρίων τῶν ὑπὲρ τῆς εὐσεβείας κινδύνων· ἄκουε γοῦν αὐτοῦ οἵαις καὶ ὅσαις τῶν ἐκ τοῦ Σαμοσατέως βλασφημιῶν

συλλογαῖς τὰς Νεςορίου συνήρμοσε, καὶ ἐν ἀμφοτέρων ἔδειξε τὸ ἀφρονέςατον φρόνημα· εἰ δέ τι ἀπᾴδει τῶν σειρηναίων τούτων μελῳδιῶν, τὸ Θεοδώρου καὶ Διοδώρου θανατηφόρον ᾆσμα τοῖς ἀκινδύνως ἐπαΐειν δεδυνημένοις καὶ κρίνειν ἐπιτρέπομεν.

Διαμαρτυρία προτεθεῖσα ἐν δημοσίῳ τόπῳ,

καὶ κατὰ ἐκκλησίαν ἐμφανισθεῖσα.

Ὁρκίζω τὸν λαμβάνοντα τὸ χαρτίον, κατὰ τῆς ἁγίας τριάδος, ὥστε φανερὸν αὐτὸ ποιῆσαι ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ἀναγνώσταις, λαϊκοῖς, οἰκοῦσι Κωνσταντινούπολιν· ἔτι τε καὶ τὸ ἶσον αὐτοῖς ἐκδοῦναι, πρὸς ἔλεγχον τοῦ αἱρετικοῦ Νεστορίου, ὅτι ὁμόφρων ἐστὶ τοῦ ἀναθεματισθέντος Παύλου τοῦ σαμοσατέως πρὸ ἐτῶν ἑκατὸν ἑξήκοντα ὑπὸ ὀρθοδόξων ἐπισκόπων· ἔστι δὲ τὰ παρ' ἁποτέρων εἰρημένα οὕτως.

Παῦλος εἶπεν. Μαρία τὸν λόγον οὐκ ἔτεκεν.

Νεστόριος συμφώνως εἶπεν. Οὐκ ἔτεκεν, ὦ βέλτιστε, Μαρία τὴν θεότητα.

Παῦλος εἶπεν. Οὐδὲ γὰρ ἦν πρὸ αἰώνων.

Νεστόριος εἶπεν. Καὶ μητέρα χρονικὴν τῇ δημιουργῷ τῶν χρόνων ἐφιστῶσι θεότητι.

Παῦλος εἶπεν. Μαρία τὸν λόγον ὑπεδέξατο, καὶ οὐκ ἔςι πρεσβυτέρα τοῦ λόγου.

Νεστόριος εἶπεν. Πῶς οὖν Μαρία τὸν ἑαυτῆς ἀρχαιότερον ἔτεκεν;

Παῦλος εἶπεν. Μαρία ἔτεκεν ἄνθρωπον ἡμῖν ἶσον.

Νεστόριος εἶπεν. Ἄνθρωπος ὁ τεχθεὶς ἐκ παρθένου.

Παῦλος εἶπεν. Κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ πνεύματος ἁγίου, καὶ ἐξ ἐπαγγελιῶν, καὶ ἐκ τῶν γεγραμμένων ἡ ἐπ' αὐτῷ χάρις.

Νεστόριος εἶπεν. Τεθέαμαι γὰρ, φησὶν, τὸ πνεῦμα καταβαῖνον ὡς περιστερὰν, καὶ μένον ἐπ᾽ αὐτὸν, τὸ τὴν ἀνάληψιν αὐτῷ χαρισάμενον· ἐντειλάμενος τοῖς ἀποστόλοις φησὶν, οὓς ἐξελέξατο διὰ πνεύματος ἁγίου, ἀνελήφθη· τοῦτο δὴ τὸ τηλικαύτην τῷ Χριστῷ χαρισάμενον δόξαν.

Παῦλος εἶπεν. Ἵνα δὲ μήτε ὁ ἐκ Δαβὶδ χρισθεὶς, ἀλλότριος ᾖ τῆς σοφίας, μηδὲ ἡ σοφία ἐν ἄλλῳ οὕτω οἰκῇ· καὶ γὰρ ἐν τοῖς προφήταις ἦν, μᾶλλον δὲ ἐν Μωσῇ καὶ ἐν πολλοῖς κυρίοις, μᾶλλον δὲ ἐν Χριστῷ ὡς ἐν ναῷ· καὶ ἀλλαχοῦ λέγει ἄλλον εἶναι τὸν Ἰησοῦν Χριστὸν, καὶ ἄλλον τὸν θεὸν λόγον.

Νεστόριος εἶπεν. Μὴ ἐγχωρεῖν τὸν πρὸ πάντων τῶν αἰώνων, ἄλλο ἅπαξ γεννηθῆναι, καὶ ταῦτα θεότητι. Ἰδοὺ δέδεικται σαφῶς λέγων ὁ παραβάτης, οὐκ ἐτέχθη ἐκ Μαρίας ὁ γεννηθεὶς ἐκ πατρὸς· ἰδοὺ συναινεῖ τῷ αἱρετικῷ Παύλῳ λέγοντι, ἄλλον εἶναι τὸν λόγον, καὶ ἄλλον τὸν Χριστὸν Ἰησοῦν, καὶ οὐχὶ ἕνα ὡς ἡ ὀρθοδοξία κηρύσσει· ἕως ὧδε ἡ διαμαρτυρία.

Παύλου σαμοσατέως.

Ἄνθρωπος χρίεται, ὁ λόγος οὐ χρίεται· ὁ ναζωραῖος χρίεται, ὁ κύριος ἡμῶν· καὶ γὰρ ὁ λόγος μείζων ἦν τοῦ Χριςοῦ· Χριςὸς γὰρ διὰ σοφίας μέγας ἐγένετο· λόγος μὲν γὰρ ἄνωθεν, Ἰησοῦς δὲ Χριςὸς ἄνθρωπος ἐντεῦθεν· Μαρία τὸν λόγον οὐκ ἔτεκεν· οὐδὲ γὰρ ἦν πρὸ αἰώνων ἡ Μαρία· οὐκ ἔστι πρεσβυτέρα τοῦ λόγου Μαρία, ἀλλὰ ἄνθρωπον ἡμῖν ἴσον ἔτεκεν, κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ πνεύματος ἁγίου.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Μαλχίωνα διαλόγου.

Ἵνα μήτε ὁ ἐκ Δαβὶδ χρισθεὶς ἀλλότριος ᾖ τῆς σοφίας, μήτε ἡ σοφία ἐν ἄλλῳ οὕτως οἰκῇ.

Τοῦ αὐτοῦ.

Ὁ φαινόμενος οὐκ ἦν σοφία· οὐ γὰρ ἠδύνατο ἐν σχήματι εὑρίσκεσθαι, οὐδὲ ἐν θέᾳ ἀνδρός· μείζων γὰρ τῶν ὁρωμένων ἐστιν.

Νεστορίου.

Μέγα τῇ χριστοτόκῳ παρθένῳ, τὸ τεκεῖν ἀνθρωπότητα, τῆς τοῦ θεοῦ λόγου θεότητος ὄργανον· ἀρκοῦν αὐτῇ πρὸς τιμὴν ὑπεραίρουσαν τὸ γεννῆσαι μεσίτην τῇ τοῦ θεοῦ συνημμένον ἀξίᾳ.

Ταῦτα ἡμεῖς ὡς ὀλίγα ἐκ τῶν πολλῶν ἀντιπαρατεθείκαμεν, τὴν ἐν τῷ κακῷ συμφωνίαν πρὸς τοὺς παλαιοὺς τῶν αἱρετικῶν πατέρας τούτων παραστῆσαι βουλόμενοι· ἔξεστι δὲ τῷ θέλοντι ἐντυχεῖν τῇ κατὰ τοῦ Σαμοσατέως γραφείσῃ ἐγκυκλίῳ ἐπιστολῇ, τῆς αὐτὸν καθελούσης ἁγίας συνόδου, καὶ μέν τοι καὶ τῷ διαλόγῳ ὃν πρὸς αὐτὸν ὁ πρεσβύτερος Μαλχίων ἐνεστήσατο· γνώσεται γὰρ ἀσφαλῶς, ὡς γνήσιοι ἐκείνου τυγχάνουσι μαθηταὶ, οἱ περὶ Θεόδωρον· σχεδὸν γάρ τι καὶ διὰ τῶν αὐτῶν χωροῦσι λέξεων· ὡς μὴ συγγραφὴν δοκεῖν εἶναι τὰ τούτων συντάγματα, ἀλλὰ μεταγραφὴν μᾶλλον, τὰ ἐκείνου εἰς τὰ οἰκεῖα μεταβαλλόντων· ὅπως δὲ ἐφρόνησαν περὶ τῆς ἑνώσεως, οἱ ἀπ' ἀρχῆς ἅγιοι πατέρες, αἵ τε ὑπ' αὐτῶν κυβερνώμεναι ἁγιώταται ἐκκλησίαι, ἐκ τῆς κατὰ τοῦ Σαμοσατέως γενομένης ἁγίας συνόδου, καὶ τῆς ἐγκυκλίου αὐτῶν ἐπιστολῆς σαφῶς ἐστὶ γνῶναι· ἐν οἷς πρὸς τοῖς ἄλλοις καὶ ταῦτα αὐτοῦ κατηγοροῦσιν αὐταῖς λέξεσι· φησὶ τοίνυν ἐν τοῖς ὑπομνήμασιν ὡς περὶ Παύλου λέγοντες, τηρεῖν τὸ ἀξίωμα τῆς σοφίας.

Καὶ μεθ' ἕτερα.

Εἰ δὲ κατὰ τὴν σύστασιν καὶ γένεσιν συνῆπτο, τῷ ἀν-

θρώπῳ τοῦτο συμβαίνειν· καὶ πάλιν· οὐ γὰρ συγγεγενῆσθαι τῷ ἀνθρωπίνῳ τὴν σοφίαν, ὡς ἡμεῖς πιστεύομεν οὐσιωδῶς, ἀλλὰ καὶ κατὰ ποιότητα.

Καὶ μεθ' ἕτερα.

Τί δὲ βούλεται καὶ τὸ ἑτεροίαν φάσκειν τὴν κατασκευὴν τοῦ Ἰησοῦ Χριστοῦ τῆς ἡμετέρας ἡμῶν; ἑνὶ μεγίστῳ δὲ τούτῳ διαφέρειν αὐτοῦ τὴν σύστασιν ἀξιούντων, τὸ τὸν θεὸν λόγον ἐν ἑαυτῷ εἶναι, ὅπερ ἐν ἡμῖν ὁ ἔσω ἄνθρωπος.

Καὶ μεθ' ἕτερα.

Εἰ τὸ ἐνοικῆσαι ἐν αὐτῷ τὴν σοφίαν λέγειν, ὡς ἐν οὐδενὶ ἄλλῳ· τοῦτο γὰρ τὸν μὲν τρόπον τῆς ἐνοικήσεως τὸν αὐτὸν δηλοῖ, μέτρῳ δὲ καὶ πλήθει ὑπερφέρει, οἷον διπλάσιον, ἢ καὶ ὅπως δήποτε πλεῖον ἢ ἔλασσον τοῦ διπλασίου, γινώσκοντος αὐτοῦ ἀπὸ τῆς σοφίας, ἢ οἱ ἄλλοι· τοῦτο δὲ οὐκ ἀξιοῦσιν οἱ καθολικοὶ καὶ ἐκκλησιαστικοὶ κανόνες, ἀλλ' ἐκείνους μὲν μετεσχηκέναι σοφίας ἐμπνεούσης ἔξωθεν, καὶ ἄλλης οὔσης παρ' αὐτοῖς, αὐτὴν δὲ τὴν σοφίαν δι' ἑαυτῆς ἐπιδεδημηκέναι οὐσιωδῶς ἐν τῷ ἐκ Μαρίας σώματι.

Καὶ μεθ' ἕτερα.

Καί τοι φησὶ, μὴ δύο ὑφίστασθαι υἱοὺς· εἰ δὲ υἱὸς ο Ἰησοῦς Χριστὸς τοῦ θεοῦ, υἱὸς δὲ καὶ ἡ σοφία, καὶ ἄλλο μὲν ἡ σοφία, ἄλλο δὲ Ἰησοῦς Χριστὸς, δύο ὑφίστανται υἱοί.

Καὶ μεθ' ἕτερα.

Τὴν δὲ συνάφειαν ἑτέρως πρὸς τὴν σοφίαν νόει, κατὰ μάθησιν καὶ μετουσίαν, οὐχὶ οὐσίαν οὐσιωμένην ἐν σώματι.

Καὶ μεθ' ἕτερα.

Οὔτε δὲ τῶν ἀνθρωπίνων προηγουμένως παθῶν ἀμέτοχος ἦν, ὁ φορέσας καὶ ἐνδυσάμενος τὸ ἀνθρώπινον θεός· οὔτε τῶν θείων προηγουμένως ἔργων ἄμοιρον τὸ ἀνθρώπινον ἐν ᾧ

ἦν, καὶ δι' οὗ ταῦτα ἐποίει· ἐπλάσθη προηγουμένως ὡς ἄνθρωπος ἐν γαστρὶ, καὶ κατὰ δεύτερον λόγον θεὸς ἦν ἐν γαστρὶ, συνουσιωμένος τῷ ἀνθρωπίνῳ.

Ἐκ τῶν περὶ αὐτοῦ πεπραγμένων πρὸς αὐτὸν παρὰ Μαλχίωνος, ἀντίῤῥησις.

Οὐ πάλαι τοῦτο ἔλεγον, ὅτι οὐ δίδως οὐσιῶσθαι ἐν τῷ ὅλῳ σωτῆρι τὸν υἱὸν τὸν μονογενῆ, τὸν πρὸ πάσης κτίσεως ἀϊδίως ὑπάρχοντα.

Omittimus sequentia apud Leontium Nazianzeni, Nysseni, Athanasii, Cyrilli, Isidorique pelusiotae testimonia, quae in eorum publicis libris legi queunt.

Τοῦ ὁσίου Ἐφραὶμ ἐκ τοῦ λόγου τοῦ εἰς τὸν μαργαρίτην (1) κατὰ Μαρκίωνος.

Ἃ βλέπεις καὶ ψηλαφᾷς, γενέσθω σοι μαρτυρία ἡ φύσις, ἣν εἰπεῖν οὐκ ἐπίστασαι, ὅτι υἱὸς ἄνευ σπορᾶς γίνεται, καὶ δύο ὑπεναντία οὐσιωδῶς ὡμονόησαν, τῆς ὑποστάσεως δεικνυμένης ἐπὶ ἑκάστης φύσεως.

Οἶμαι διὰ πάντων ἀποδεδεῖχθαι τὴν Θεοδώρου καὶ τῶν ἀμφ' αὐτὸν πρός τε τὸν Σαμοσατέα ὁμοδοξίαν, καὶ πρὸς τοὺς ἁγίους πατέρας ἐναντίαν καὶ διάφορον γνώμην· τῆς δὲ τῶν ἐντυγχανόντων ἠρτήσθω ἐξουσίας τῇ τε ἀληθείᾳ προσθέσθαι, καὶ δοῦναι ταύτῃ κατὰ τὸ ψεῦδος ἔχειν τὰ νικητήρια.

(1) Sermonis huius alia duo graeca fragmenta nos dedimus Script. vet. T. VII. pp. 18. et 131.

ΤΟΥ ΑΥΤΟΥ ΛΕΟΝΤΙΟΥ

ΠΡΟΣ ΤΟΥΣ ΕΚ ΤΩΝ ΗΜΕΤΕΡΩΝ ΠΡΟΣΘΕΜΕΝΟΥΣ ΤΗ͂Ι ΚΑΤΕΦΘΑΡΜΕΝΗ͂Ι ΓΝΩΜΗ͂Ι ΤΩΝ ΑΦΘΑΡΤΟΔΟΚΗΤΩΝ

ΔΙΑΛΟΓΟΣ.

EIUSDEM LEONTII

CONTRA ILLOS E NOSTRIS QUI CORRUPTAE INCORRUPTICOLARUM SENTENTIAE ADHAERENT

DIALOGUS

QUI LATINE TANTUMMODO APUD CANISIUM HACTENUS EXTABAT.

Ἐν μὲν τοῖς ἔμπροσθεν εἰρημένοις ἡμῖν, σὺν θεῷ δὲ φάναι, τὰς ἐνστάσεις καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, εἰς δύναμιν διαλελύκαμεν, αἷς δὴ χρώμενοι καθ᾽ ἡμῶν οἱ τῆς ἐναντίας δοκήσεως, οὐ γὰρ μή ποτε τοῦτο καλεῖν αὐτοὺς παυσαίμην, ὅτι μηδὲ θέμις, τῆς εὐθείας ἀπάγειν τοὺς ἁπλουστέρους ὑπολαμβάνουσι· νῦν δὲ αὖθις ἑτέρου σκέμματος καὶ προβλήματος τὴν θεωρίαν ἀναπτύξαι τε καὶ διευκρινῆσαι πειράσομαι· ἡγείσθω δὲ τοῦ λόγου Χριστὸς ὁ θεὸς καὶ λόγος, καὶ φῶς, καὶ ζωὴ, καὶ ἀλήθεια, ἐμπνέων ἡμῖν σύνεσιν εἰς τὸ μετὰ χάριτος καὶ σοφίας τῆς ἄνωθεν, τὰ συντελοῦντα εἰς τὴν ὑπόθεσιν, καὶ νοῆσαι καλῶς, καὶ φράσαι δυνηθῆναι· εἰ μὲν οὖν ἑώρων τὴν νῦν ἐν τοῖς ὑπεναντίοις ἐπαναστᾶσαν κατ᾽ ἀλλήλων ζυγομαχίαν μέχρις αὐτῶν ἐκείνων μείνασαν, ἀλλὰ μὴ καὶ εἰς ἡμᾶς διαβῆναι φιλονεικοῦσαν, τάχα που καὶ κέρδος ὑπελάμβανον τὴν τῶν ἐναν-

τίων μάχην τε καὶ ἀντιπαράταξιν· αὐτοὶ γὰρ ὑπὸ σφῶν βαλλόμενοι καὶ ἀνατρεπόμενοι, οὐδὲν ἡμῖν πρᾶγμα, ὅτι μὴ θεωρίαν φίλην τοῦ πολέμου, προυξένουν· ἐνὶ τούτων μόνον ἡμῶν ἀλγυνομένων, τῇ ἀπωλείᾳ τῶν ἀθετῆσαι μὲν εἰς τὸν οἶκον Δαβὶδ κατὰ τὸ λόγιον τολμησάντων, ὑπεριδόντων δὲ καὶ τὴν πρὸς τὸν οἶκον Ἱεροβοὰμ ὁμόνοιαν, καὶ μηδὲ ἐκείνην συντηρησάντων, ἀλλὰ σχισθέντων τε καὶ διαιρεθέντων ἀπ' ἀλλήλων τε καὶ πρὸς ἀλλήλους· ὡς ἐξεῖναι τοῖς συνετωτέροις ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκειν, κατὰ τὸν σωτήριον λόγον, διὰ τῶν πολυσχιδῶν στάσεων τοῦ ἐν αὐτοῖς ἐνεργοῦντος ταραχώδους πνεύματος τὰ μάλιστα δεικνυμένου· συμπέφυκε γάρ πως τῇ ἀσεβείᾳ, τὸ φίλεχθρόν τε καὶ πολεμοχαρές· νῦν δὲ δὴ γέγονεν ἡμῖν πρὸς κακοῦ ἡ τῶν ἐχθρῶν πρὸς ἀλλήλους δυσμένεια.

Ὢ τῆς ἀπαιδευσίας· καὶ τῶν ἐν κακίᾳ παρ' αὐτοῖς δευτέρων γεγόναμεν ἀθλιώτεροι· μηδὲ ὅσον οἱ ἐχθροὶ τὰ ἡμέτερα ἐποπτεῦσαί τε καὶ φυλάξαι δυνάμενοι· εἴπερ ὁ μὲν θατέρου μέρους τῶν σχισμάτων πατὴρ τὸ δέον ἔγνω, καὶ ᾐδέσθη τὸν κατὰ τῆς ἀληθείας προφανῆ πόλεμον, ἡμεῖς δὲ τὴν ἐκείνων ἐπίγνωσιν, ἀγνοίας ἐφόδιον πεποιήμεθα, καὶ γεγόναμεν καὶ τῶν ἐχθρῶν ἀσυνετώτεροι. Σευήρου γὰρ καὶ Ἰουλιανοῦ, τῶν δύο τῆς μιᾶς ἀσεβείας ἀρχῶν πρὸς ἑαυτοὺς διενεχθέντων, ἀνοήτως μὲν ὡς πρὸς τὰς οἰκείας ἀρχὰς, ἐμφρόνως δὲ ὡς πρὸς αὐτὴν τὴν ἀλήθειαν, καὶ περὶ τοῦ φθαρτοῦ ζυγομαχούντων, οἱ μὲν τῆς Σευήρου μερίδος, φιλαλήθως εἰπεῖν, τῆς τῶν ἐχθρῶν παρεκέρδαινον πονηρίας· ἃ γὰρ οὐκ ἄν τις αὐτοὺς πρὸ τούτου εἰπεῖν ἔπεισε, ταῦτα ἡ νῦν πρὸς τοὺς οἰκείους δυσμένεια ὁμολογῆσαι ἠνάγκασεν· ἡνίκα δὲ πρὸς τὰς αὐγὰς τῆς ἀληθείας ἀνανεύειν ἤρξαντο, τὴν ἐκείνων

ἀνάνευσιν ἀβλεψίας ὑπόθεσιν τινὲς ἔσχον τῶν ἡμετέρων, τῇ χείρονι μοίρᾳ προσθέμενοι, καὶ δι' ἑνὸς ῥήματος εἰς ταυτὸν ἦλθον τοῖς ἐναντίοις· καὶ δι' εὐπρέπειαν ὀνόματος, πᾶσαν σὺν ἐκείνοις ἀπεσκευάσαντο τὴν οἰκονομίαν.

Ἐκείνων γὰρ, ὡς ἔφην, ἀνοήτως μὲν ὡς πρὸς τὰς τῆς ἀληθείας ἀφορμὰς ζητούντων, πότερον δεῖ φθαρτὸν καὶ παθητὸν τὸ σῶμα λέγειν, ὅπερ ἐξ ἡμῶν ὑπὲρ ἡμῶν φορέσας ὁ κύριος ἡμῶν κατεδέξατο, Σευῆρος ὀψὲ μὲν, ὅμως δ' οὖν ᾔσθετο ἑαυτοῦ, καὶ τοῦ κατὰ τῶν οἰκείων παρεκέρδανε πολέμου, ἀναγκασθεὶς διαφορὰν τε καὶ ἰδιότητας ὁμολογῆσαι τε καὶ κηρύξαι· τῆς αὐτοῦ δ' ἂν εἴη σοφίας, καὶ τῶν ἐζηλωκότων αὐτὸν, διαφορὰν καὶ ἰδιότητας κατηγορεῖν, οὐ καθ' ὑποκειμένων πραγμάτων· ἢ δύο παραιτούμενον φύσεις ὁμολογεῖν, δύο λέγειν ἰδιότητας φθαρτοῦ καὶ ἀφθάρτου, καὶ τὴν διαίρεσιν τῆς δυάδος ἣν ἄνω καὶ κάτω ϛρέφων, καὶ τὰ πάντα κυκῶν, ἐν τοῖς προλαβοῦσι διέβαλλεν, ἥκιστά γε τὰ νῦν εὐλαβεῖσθαι· ἢ πῶς γε μὴ ἀγάσαιτό τις αὐτὸν τῆς παιδεύσεως, τὴν μετοχὴν μὲν λαμπρᾷ κηρύττοντα τῇ φωνῇ, ἐξ οὗ δὲ αὐτὴ παρῆκται οὐ φυλαττόμενον μόνον, ἀλλὰ καὶ πολεμεῖν σπεύδοντα; εἰ γὰρ φύσει μὲν παθητὸν λέγει τὸ σῶμα, καὶ φυσικὰ πάθη δίδωσιν αὐτῷ, καὶ ταῦτα μετὰ τὴν ἕνωσιν, ἀποκρινάσθω δὴ οὖν ἡμῖν ὁ σοφὸς, εἰ μὴ ἐκ φύσεως τὰ φυσικὰ, ὥσπερ ἐκ τέχνης τὰ τεχνητά.

Ἀλλὰ τὰ μὲν κατ' αὐτὸν μακροτέροις ταμιευσόμεθα λόγοις, ἢ τοῖς ἡμῶν μάλιστα σχολὴν ἄγουσιν· τί δ' ἂν εἴποις περὶ τῶν ταῦτα λαμπρᾷ κηρυττόντων καὶ διαπρυσίῳ ἀεὶ τῇ φωνῇ; ἐνέργειάν τε πρὸς τούτοις, ἄλλην μὲν σαρκὸς, ἑτέραν δὲ θεότητος, πάθος τε περὶ τὸ σῶμα, καὶ ἀπάθειαν περὶ τὸν λόγον ὁμολογούντων, ἀντιπεριχωρεῖν ταύτας δεδώκασι,

καὶ ἀντικατηγορεῖσθαι θατέρου, διὰ τὴν ἐν θατέρῳ ταυτοῦ ἐπαλλάττουσαν ἰδιότητα· τὰ δὲ νῦν ὥσπερ ἐξεπίτηδες τοῖς οἰκείοις περιπιπτόντων, καὶ τῷ ἀφθάρτῳ προσθεμένων· ὧν οὐκ οἶδα τί καὶ λέγειν χρεὸν, θαυμάσω τὴν στεῤῥότητα, ἢ ἐπαινέσω τὴν κουφότητα, ἑνὶ ῥήματι εὐπρεπεῖ τῇ λίχνῳ τῆς ψυχῆς προσκλήσει, πρὸς τὸ πιθανὸν τῆς ἀπάτης παρασυρέντων· ὃ δὴ καὶ ἑτέρους πάλαι τὲ καὶ νῦν πεπονθότας γινώσκομεν· ἤδη γάρ τινες ἐν τοῖς ἔμπροσθεν τῇ τῶν Ἐγκρατητῶν ἀπάτῃ προσέθεντο, τῷ κομψῷ τῆς φωνῆς εἰς τὸ τοῦ Μάνεντος βάραθρον κατασυρέντες· ἄλλοι δὲ τῇ τῶν Καθαρῶν οὕτω καλουμένων ἐμμολυνθέντες ἀκαθαρσίᾳ, οὐδενί γε ἑτέρῳ ἢ τῷ χαρίεντι τούτῳ ὀνόματι προσεφθάρησαν· πολλοί τε τῶν τε νέων καὶ τῶν παλαιῶν, ὧν καὶ τὰς προσηγορίας ἀριθμεῖν ἐργωδέστατον, τῇ κατ' αὐτοὺς ἐμπαθεῖ συνηγορίᾳ τῆς ἀπαθείας τοῦ λόγου, εἰς τὸ Νεστορίου βάραθρον ἐμπεπτώκασι· καὶ συλλήβδην εἰπεῖν, ὅλους στόλους ψυχῶν, ὥσπερ ὑπὸ Σκύλλης τινὸς, ἢ τῆς ἀντιθέτου Χαρύβδεως ἡρπασμένους τὲ καὶ ὑποβρυχίους γεγονότας ἔγνωμεν, τοῖς ταπεινοτέροις Χριστοῦ τοῦ θεοῦ ἡμῶν, διὰ τὴν πρὸς τὸ ἡμέτερον αὐτοῦ συγκατάβασιν, ῥήμασί τὲ καὶ πράγμασιν ἀπαιδεύτως προσπταίσαντας· τί γὰρ ἄλλο τὰ μυρία φῦλα τῶν ἐθνῶν, ἢ τὰς ἰουδαϊκὰς ἡμῖν φάλαγγας ἐξώπλισέ τε καὶ ἐξέμηνεν, ἀλλ' ἢ, ὡς ὁ Παῦλος ὠνόμακεν, ἡ μωρία τοῦ κηρύγματος;

Καὶ τίς ἂν μὴ θαυμάσειεν τῆς παιδεύσεως τοὺς νέους δογματιστὰς, εἴπερ οἷόν τε ἦν, κατὰ τοὺς αὐτῶν λήρους; πάντας μὲν τοὺς ἀοιδίμους μάρτυρας, πάντας δὲ τοὺς ὁμολογητὰς, καὶ βασάνων ἐκτὸς τοὺς ὑπὲρ εὐσεβείας στεφάνους ἀπολαβεῖν, διὰ δύο τουτωνὶ λέξεων, εἴ γε μεμαθηκότες αὐ-

τὰς ἔτυχον· οἱ δὲ τῆς οὕτω μεγάλης αὐτῶν σοφίας ἀμέτοχοι διαμείναντες, ἀπῆλθον ἀπάτης πάρεργον, οὐκ ἀνδρείας στῆλαι τῷ βίῳ γενόμενοι· οὐδεὶς γὰρ ἂν, ὡς οἶμαι, τῶν τε πικροτάτων καὶ δυσμενῶν διωκτῶν, δίκην τινὰ χριστιανῶν εἰσεπράξατο, εἰ ἐπὶ τοῦ βήματος ὡμολόγουν, ἄνθρωπον αὐτὸν μόνον εἶναι τὸν γεγεννημένον ἐκ τῆς παρθένου, καὶ ἐσταυρωμένον, καὶ τεθαμμένον, καὶ ἐγηγερμένον· ποῖος γὰρ ἂν φθόνος αὐτοὺς ὑπεισῆλθεν, τῆς ἀναστάσεως ἀνθρώπου καταγγελλομένης; οἵ γε οὐδὲ ἐπ' ἄλλῳ τινὶ τῶν εἴτε μεμυθευμένων, εἴτε ἀληθῶς ἀναβιῶναι ἱστορουμένων, ἥλωσαν βασκανίᾳ πολλῶν γε ὄντων· οὔτε δὲ εἰ κατὰ τοὺς τὴν νέαν σοφίαν σοφισθέντας, καὶ αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ ἀπαθές τε καὶ ἄτρεπτον, καὶ ἀναλλοίωτον τῆσδε αὐτῆς ἐξουσίας ἠρτήσθω, καὶ ἀόρατον αὐτὸ βλασφημεῖν, καὶ ἀναφὲς, καὶ ἀψηλάφητον, ἄποιόν τε καὶ ἄποσον, καὶ συλλήβδην ἀσώματον· ἅπερ πάντα τῷ θαυμαστῷ τούτῳ τῆς ἀφθαρσίας συνεπινοοῦσιν ὀνόματι.

Τίς γὰρ ἡ ἀποκλήρωσις, τὰ μὲν διδόναι τῶν θεοπρεπῶν ὀνομάτων αὐτῷ, τὰ δὲ ἀποστερεῖν; καὶ πολύ τι μέρος τῆς ἀξίας τε καὶ τιμῆς ὑποτέμνεσθαι τοῦ, καθάπερ αὐτοὶ ἀτίμως δοξάζουσιν, ὑπερουσίου καὶ ὑπερφυοῦς καὶ ἀσωμάτου σώματος; τίς δ' ἂν καὶ χαλεπαίνοι τῶν ἀπίστων ἡμῖν, εἴ γε μὴ φύσει τὸ σῶμα τοῦ κυρίου λέγοιμεν, ὀφθῆναί τε, καὶ βρῶσιν καὶ ποτὸν προσενέγκασθαι, καί γε ὑπνῶσαι, ἢ πεπονθέναι, καὶ ὅσα πρὸς τούτοις ἀναμαρτήτως ὑπομεῖναι τὴν ἀνθρωπίνην οὐκ ἀπερυθριάσας ἀσθένειαν; ἔστι γὰρ δή που τοῖς πᾶσι καταφανὲς, ὅτι πολλὰ τοιαῦτα ἤδη γεγένηται νόμῳ θαύματος, ἀλλ' οὐ λόγῳ φύσεως· οὐ γὰρ ἂν εἰς τοῦτο μανίας ἐξοίστρησεν ὁ πολυάνθρωπος τῶν Ἰουδαίων δῆμος, εἰ

τις αὐτῷ παρέστησε λόγος, μὴ ὅμοιον ἡμῖν εἶναι κατὰ πάντα, καὶ ὄντως ἀνθρωπίνην φύσιν, τὸ ὑπ' αὐτῶν σταυρωθέν τε καὶ πάθος δεξάμενον σῶμα, καὶ τεθαμμένον ὑπὸ τῶν γνωρίμων· πολλῶν γὰρ θεοφανειῶν ἀναπεπλησμένης τῆς ἱερᾶς γραφῆς, συνιδεῖν ἔξεστιν ὅτι γε δὴ κατὰ τὸ τοῖς οἰκονομουμένοις συμφέρον, εἰς ἀνθρώπινα σχήματά τε καὶ πράγματα, ἐνεργείας τε καὶ λόγους καθῆκεν ἑαυτὴν ἡ τοῦ θεοῦ ἡμῶν περὶ ἡμᾶς ἀγαθὴ πρόνοια· καὶ τούτων ὅμως οὐδὲν αὐτοὺς προήγαγε τὸ ἀνθρωπίνας ὑπολήψεις περὶ τοῦ θείου λαβεῖν, εἰ καὶ ἀνθρωπίνως παρ' αὐτοῦ ᾠκονόμητο· πείθει δὲ αὐτοὺς καὶ τὰ τολμήματα, ὅτι ἄνθρωπός ἐστιν πᾶσιν ὁμοιοπαθὴς ὁ κύριος, εἰ καὶ μὴ πέπεικε τὰ θαύματα, ὅτι καὶ θεὸς εἴη ὑπεροχῇ φύσεως πάντων ἀνῳκεισμένος.

Οὕτως ἥ τε τοῦ μονογενοῦς λόγου, κατὰ τοῦ Χριστοῦ, τῶν ἀθέων ἀπάθεια, καὶ ἡ τῆς σαρκὸς κατὰ τῆς ἡμετέρας σωτηρίας, τῶν νῦν σοφιστῶν ἀφθαρσία, ἐμπαθὴς ὄντως καὶ φθαρτὴ οὖσα γινώσκεται· ἡ μὲν οὐ ποιοῦσα μεθ' ἡμῶν τὸν ὑπὲρ ἡμᾶς, ἡ δὲ οὐκ ἐῶσα μένειν τὸν μεθ' ἡμῶν καθ' ἡμᾶς, ἕως τῆς ἰατρείας ἀπαιτεῖ χρόνος, καὶ ἡ ἐν λόγῳ καὶ τάξει γινομένη τοῦ ἡμετέρου πρὸς τὸ ὑπὲρ ἡμᾶς, ἀνάβασίς τε καὶ ἀνάστασις· πῶς γὰρ δὴ τὸ θεομίμητον ἕξομεν, μὴ συμπαθοῦντες τῷ πεπονθότι; πέπονθε δὲ πῶς, μὴ καθ' ἡμᾶς παθών; οὐκ ἄρα δὲ πέπονθε καθ' ἡμᾶς, εἰ μὴ μεμένηκε καθ' ἡμᾶς· δεδόξασται δὲ οὐδαμῶς, μὴ οὐχὶ τοῦτο λαβὼν κατὰ σάρκα, ὅπερ ἀεὶ ἔχων ἦν κατὰ πνεῦμα.

Ἀλλ' ἐντυχών μοι τὶς ἔναγχος τῶν τὰ τοιαῦτα σοφῶν, ἀρκεῖν ἔλεγε τὸ ἐνανθρωπῆσαι τὸν κύριον, εἰς τὸ σωθῆναι ἡμᾶς. **Ο.** (1) τί δὲ καὶ οὐχὶ ἡ βούλησις, πρὸς αὐτὸν ἔφην,

(1) Deinceps littera O orthodoxum, littera vero A aphtartodocetam seu incorrupticolam designabo loquentes.

μόνη πρὸς σωτηρίαν ἀποχρῆναι; Λ. ἔφη. Ο. πῶς οὖν, ἔφην, μὴ οὐχὶ τὸ βούλεσθαι μόνῳ καὶ σέσωκεν; Λ. ὅτι μὴ τῇ ἐξουσίᾳ πρὸς ἐμὲ, ἔφη, κεχρῆσθαι, τῇ δὲ φιλανθρωπίᾳ μᾶλλον καὶ τῇ δικαιοσύνῃ φίλον αὐτῷ· τὸ μὲν γὰρ ἀνάγκης δεσποτικῆς, τὸ δὲ κηδεμονίας ἐτύγχανε πατρικῆς· καὶ τὸ μὲν ἦν μόνης τῆς βίας, τὸ δὲ καὶ τῆς ἑκουσίου συγκαταβάσεως· καὶ τὸ μὲν αὐτοῦ μόνου, τὸ δὲ καὶ ἡμέτερον· ὅπερ οὐ τὸ βούλεσθαι ἁπλῶς ἕπεται τὸν Θεὸν, ἀλλὰ καὶ τὸ πράττειν ἐκεῖνα, ἅπερ πείθει καὶ καταιδεῖ τὸν σωζόμενον. Ο. εὖ γε, ὦ θαυμάσιε, ἦν δ' ἐγώ· διὰ ταῦτα γὰρ ὥς γέ μοι φαίνεται, ὁ καινοπρεπὴς τῆς περὶ ἡμᾶς εὐεργεσίας εἰσήχθη τρόπος, μετὰ τὸ συχνόν τε καὶ πολυειδὲς, τῆς ἀνέκαθεν περὶ τὸ ἀνθρώπινον ἐνδεδειγμένης προνοίας, ὡς μόνον σωτηρίας ὑπολειπόμενον φάρμακον· τῆς γὰρ μετὰ σαρκὸς οἰκονομίας οὐδὲν ἂν εὕροιμεν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς δραστικώτερον· ταύτῃ γὰρ εἰς ἑαυτὸν ὁ μόνος σοφὸς τῶν ἡμετέρων ψυχῶν ἰατρὸς, τὰ πάθη τῶν ἀνθρώπων ἀναδεξάμενος ἐν ἑαυτῷ, τὴν πάντων ἐξιάσατο νόσον.

Α. Οὐ θέμις τοίνυν, ἔφη, τοῖς φρονοῦσιν ἑτέρως ὁμολογεῖν, ἢ ὅτι γε δὴ πρὸς παντελῆ σωτηρίαν ἡμῖν τὸ θαυμαστὸν καὶ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως αὐταρκέστατον. Ο. οὐδ' αὐτὸς, ἔφην, μὴ οὐχὶ ταῦτα οὕτως ἔχειν εἴποιμ' ἄν· τὸν δὲ τῆς σαρκώσεως τρόπον ἥδιστα ἂν καταμάθοιμεν, τῇ πολυπραγμοσύνῃ τοῦ νοῦ πρὸς τὸ σαφέστερον ἐκκαλυπτόμενον. Α. συνδιασκόπει, ἔφη, εἴ σοι φίλον ἐστίν. Ο. ἐπειδὴ τοίνυν, εἶπον, ἐχρὴν οὐ βουληθῆναι μόνον, ἀλλὰ καί τι πρᾶξαι τὸν Θεὸν εἰς ἡμᾶς, πάντως που καὶ τοιοῦτον ἔδει τὸ πραττόμενον εἶναι, ὥστε μηδεμίαν ἔχειν σοφίας ὑπερβολήν. Α. εὖ λέγεις, ἔφη, ἐπεὶ μηδὲ εἶεν ἁρμοδιώτερον·

ἐδίησε γὰρ ἂν ἐκείνου, καὶ οὐχὶ τούτου τοῦ τρόπου, πρὸς τελείαν τοῦ σπουδαζομένου κατόρθωσιν. Ο. ταῦτα μὲν ὀρθῶς, ἔφην, λέγεις ὦ φίλτατε· ἀλλ' ἐκεῖνο γε πολλῆς ἐστὶν διασκέψεως ἄξιον· εἰ γὰρ σάρκα μόνην ὁ κύριος ἥνωσεν ἑαυτῷ, ἆρ' οὐχὶ τῷ μεγίστῳ ἐκινδύνευε τὰ τῆς σωτηρίας ἡμῖν; Α. πάντως. Ο. ψυχῆς γάρ, ἔφην ἐγώ, τὰ μάλιστα προσδεομένης καθάρσεως, ὡς ἡγοῦμαι, καὶ διὰ τοῦτο προσειλημμένης, διότι πρωτοπαθήσασα, πρώτη καὶ κατακέκριτο. Α. θείως ἔφη λέγεις. Ο. ὅλον οὖν ἄνθρωπον τὸν ἐκ σώματος λέγω καὶ ψυχῆς λογικῆς τε καὶ νοερᾶς συγκείμενον, οὐσιωδῶς προσλαβών, ὅλου ἀνθρώπου τὴν σωτηρίαν εἰργάσατο, τὸ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων. Α. κάλλιςά γε, ἔφη, ταῦτα λέγεις καὶ τελεώτατα. Ο. ἀλλ' ἔγωγε πρὸς αὐτόν, οὐκοῦν ὥσπερ οὖν εἰ ψυχὴν λαβών, οὐ τὴν ἐμὴν προσειλήφει· εἰ δὲ καὶ τὴν ἐμήν, εἰ μὴ κατὰ τὴν ἐμὴν διὰ πάντων οὐσιωδῶς ὑπάρχουσαν, ἄλλό τι παρὰ τὴν ἐμὴν πάντως ὑπῆρχε ψυχὴν τὸ σωζόμενον. Α. δηλονότι, ἔφη· ἐκείνης γὰρ δὴ πάντως ὑπῆρχεν ἡ σωτηρία, πρὸς ἣν καὶ ἀπαραλλάκτως ἔχουσα εὑρίσκετο.

Ο. κατὰ τὸν ἴσον δὴ τρόπον, ἔφην, εἰ καὶ σάρκα λαβὼν μὴ τὴν ἐμήν· εἰ δὲ καὶ τὴν ἐμήν, ἀλλὰ κατά τι παρηλλαγμένην, ἔχοι δ' ἂν τὸ διάφορον· εἰ μὴ καὶ ὁμοιοπαθὴς εἴη, καὶ κατὰ πάντα τοῖς ἡμετέροις συμβαίνουσα, πάντως ἂν ἡ σωτηρία τῆς σαρκὸς ἐκείνης ἐτύγχανεν οὖσα, πρὸς ἣν ἀφομοιῶσαι τὴν σάρκα τὴν ἑνωθεῖσαν αὐτῷ κατηξίωσεν· Α. καὶ τίς, ἔφη, πρὸς τοσοῦτον μανίας ἐλήλακεν, ὅς τις οὐχὶ ταῦτα ἀληθῆ τε εἶναι ὁμολογεῖ, καὶ τοὺς μὴ οὕτως ἔχοντας, τοῖς κατακρίτοις συναριθμεῖ; Ο. ἐκεῖνοι πάντως, εἶπον, οἱ ἀπαθὲς ὑπάρχειν αὐτὸ καὶ ἄφθαρτον ὁριζόμενοι·

Α. οὐ κατὰ φύσιν ἀπαθὲς, ἔφη, τὸ σῶμα καὶ ἄφθαρτον λέγομεν, ἀλλ' ἑνώσει τῇ πρὸς τὸν Θεὸν λόγον γενόμενον. Ο. οὐδὲν διαφέρειν, ἦν δ' ἐγὼ, τοῦ προτέρου τὸ δεύτερον, ἀλλὰ τὴν ἴσην πρὸς τὸ κακὸν δύναμιν ἔχει, εἴπερ γε ὅλως τὴν πρὸς τὸ ὁμοιοπαθὲς τοῦ ἡμετέρου σώματος συγγένειαν, παρῄτηται ἡ τοῦ κυρίου σάρξ. Α. πῶς τοῦτο, ἔφη, λέγεις; Ο. ὅτι μὴ τοῦτο, εἶπον, ἔστι τὸ σκοπούμενον, πότερον ἑνώσει ἢ κατασκευῇ φύσεως, ἄφθαρτον γέγονεν· ἀλλ' εἰ μὴ τῆς ἡμετέρας φύσεως ἀπαραλλάκτως τὰ γνωρίσματα, πλὴν τῆς ἁμαρτίας διέσωζεν, ἔφη. Α. ὅσον γε ἐπὶ τῇ πρώτῃ αὐτῆς συστάσει, καὶ τὸ τὰς ἀρχὰς ἔχειν ἐκ τῆς Θεοτόκου, ἀδελφῆς τε ἡμῶν οὔσης κατὰ τὴν φύσιν, καὶ πάσης κοινωνούσης τῆς ἰδιότητος τοῦ ἀνθρωπείου συγκρίματος. Ο. σαφεστέρας δεῖσθαι τὴν ἀπόκρισιν ἐξηγήσεως, ἔφη, παριστώσης ἡμῖν τηλαυγέστερον τὸ ζητούμενον· οὐ γὰρ ἁπλῶς οὕτως ἐξ ὧν εἴρηκας, γινώσκειν ἔχω. Α. τί μὴν, ἔφη, ἀσαφέστερον εἴρηκα;

Ο. πότερον, ἔφην, ἆρα τοῦ σώματος τῆς παρθένου μεταστοιχειωθέντος, καὶ τῆς ἰδίας ἐκστάντος φύσεως, ὑπὸ τῆς τοῦ λόγου δυνάμεως οὕτως ἐξ αὐτῆς τῆς μήτρας, ἄλλως ἔχουσαν τὴν ἡμετέραν αὐτῷ φύσιν ἡνῶσθαι λέγεις; ἢ τῆς παρθένου μὲν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως μεινάσης, τῶνδε πρώτων ἀρχῶν, τῶν παρθενικῶν αἱμάτων λέγω μεταποιηθέντων, ἄφθαρτον γεγενῆσθαι τὴν σάρκα; Α. τινὲς μὲν, ἔφη, καὶ τῇ προτέρᾳ δόξῃ τῶν ἁπλουστέρων οἶμαι προστίθενται, πλέον ἢ προσῆκε τὴν παρθένον ἀποσεμνύνοντες, καὶ τὴν ἐντεῦθεν ἀναφυομένην ἀτοπίαν οὐ προορώμενοι, καὶ ὡς εἴπέρ τι τοιοῦτο τῇ παρθένῳ συμβεβήκει, καὶ αὐτῆς ἂν τῆς πρὸς τὸ τίκτειν ἐπιτηδειότητος ἀπεστέρητο. Ο. ἀληθέστατα, ἦν δ' ἐγὼ, λέγεις· τὸ γὰρ ἄφθαρτον καταστὰν, οὐκ ἄν ποτε

τοῦ κυοφορεῖν τε καὶ σαρκικῶς ἀποτίκτειν γένοιτο δεκτικόν· ἡ δὲ τοῦ πνεύματος ἐνδημία, οὐχὶ τὴν ἐπιτηδειότητα τοῦ γεννᾷν τὴν παρθένον ἀφείλετο ἢ κεκώλυκεν· τοὐναντίον μὲν οὖν ἐπὶ τὴν ἀσπόρως οἰκονομηθεῖσαν σύλληψιν, ὑπερφυῶς αὐτὴν προσηγάγετο· κἀκεῖνο δέ μοι σκοπεῖν ἔπεισιν, ὡς εἰ κατ᾽ ἐκείνους ἡ παρθένος, ἄφθαρτος τῇ ἐπιφοιτήσει τοῦ πνεύματος γέγονεν, ἐκείνη πάντως ἂν καὶ ῥίζα τῆς τοῦ γένους ἡμῶν ἀφθαρσίας ἐτύγχανεν, ἀλλ᾽ οὐχ ὁ ἐξ αὐτῆς προελθὼν θεῖος βλαστός. Α. κάλλιστα, ἔφη, λέγεις· οὐδὲ γὰρ ἡ λοιπὴ τῆς παρθένου ζωὴ, παραδεδέχθαι καθάπαξ ἱστόρηται τῆς φυσικῆς ἕξεως μεταποίησιν· καθαρότητος μὲν γὰρ ὑπῆρχεν αὐτῇ τῆς κατὰ ψυχὴν, καὶ ἁγιασμοῦ τοῦ κατὰ τὴν σάρκα πρόξενος ἡ τοῦ πνεύματος ἐπιφοίτησις, οὐ μὴν οὐσίας ἢ φύσεως ἄμειψιν ἐν αὐτῇ κατεσκεύασε. Ο. κἀκεῖνο, ἔφην, τοῖς εἰρημένοις προστίθει· ὅτι γε δὴ τὸ πνεῦμα, εἰ τὸ ὑπὲρ τὴν φύσιν ὑπάρξαι τῇ φύσει καρποφορῆσαι στάχυν ἀνήροτον, καὶ κλάδον παρθενικῆς ῥίζης ὑπερφυῶς ἐκφυόμενον. Α. εὖ γε, ἔφη, ὦ βέλτιστε.

Ο. νῦν δὲ δὴ καιρὸς, ὦ φιλότης, ἔφην, ἀγαπητικῶς τε καὶ πραέως τὸ ἑξῆς συνδιασκέψασθαι· τῆς γὰρ παρθένου συνομολογούσης ἡμῖν ὡσαύτως ἔχειν κατὰ τὴν φύσιν ἀεὶ, καὶ μὴ πρὸς ἑτέραν παρὰ τὴν ἐξ ἀρχῆς ὑπάρχουσαν αὐτῇ, μεταχωρῆσαι κατάστασιν, ὁ ἐξ αὐτῆς τῆς ἡμετέρας φύσεως ἀῤῥαβὼν, ἆρ᾽ οὐχὶ ὁδῷ καὶ τάξει φύσεως, τοὺς χρόνους ἐγίνωσκε τῆς κυήσεως; Α. πάνυ μὲν οὖν, ἔφη. Ο. κατὰ βραχὺ γὰρ ἐν τῇ παρθενικῇ μήτρᾳ, προέκοπτε νόμῳ κυήσεως, ὡς πρὸς τὴν ἀπηρτισμένην τοῦ βρέφους τελείωσιν· ὡς καὶ τῆς εὐαγγελικῆς ἐστὶν ἀκοῦσαι φωνῆς, ἐπλήσθησαν λεγούσης αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· ἔνθα περὶ τὸν τόκον, ὥσπερ δὴ

καὶ περὶ τὴν πρώτην σύλληψιν, καινοτομεῖται θαῦμα παράδοξον, οὔτε τοῦ τόκου τὴν παρθενίαν λύσαντος, οὔτε τῆς παρθενίας ἐμποδῶν τῇ κυοφορίᾳ γενομένης. Α. θείως, ἔφη, λέγεις. Ο. ἀλλ' ὥσπερ, ἦν δ' ἐγὼ, ἡ σύλληψις ὑπὲρ ἡμᾶς γεγενημένη, τὸ καθ' ἡμᾶς οὐκ ἠγνόησεν, οὕτω δὴ καὶ ἡ γέννησις τὸ παράδοξον ἔχουσα, τοῦ δι' ἡμᾶς τεχθέντος τὴν φύσιν οὐκ ἤμειψεν, ἀλλ' ἐξέφυ κλάδος τε καὶ καρπὸς, τῇ φυσάσῃ γαστρὶ παραπλήσιος. Α. ἡμεῖς μὲν οὖν, ἔφη, τοιάδε περὶ τῆς σαρκὸς τοῦ Χριστοῦ δοξάζομεν, ὅτι κατ' αὐτήν γε τῆς συλλήψεως τὴν ἀρχὴν, ἅμα τῶν παρθενικῶν ἐφῆπται σπλάγχνων, καὶ τὸ προσληφθὲν εἰς ἀφθαρσίαν μετεσκευάζετο· πῶς γὰρ οἷόν τε ἦν αὐτῷ, μὴ τὴν φθαρτὴν ἀποτίθεσθαι φύσιν, τῷ ἀφθάρτῳ λόγῳ προσενωθέν; Ο. μᾶλλον ἐοικάς μοι, ὦ βέλτιστε, τῶν οἰκείων, ἔφην, λόγων ἀμνημονεῖν· τὴν γὰρ θεοτόκον παρθένον ἐν τοῖς πρότερον ἄτρεπτον διαμεῖναι συνομολογήσας, καὶ ὅτι τὸν ὡρισμένον τῆς ἀνθρωπίνης συλλήψεως χρόνον, ἐν τῇ παρθενικῇ μήτρᾳ μορφούμενος ὁ τῶν χρόνων δημιουργὸς, οἰκῆσαι οὐκ ἀπηνήνατο, πῶς τοίνυν ὁ σπλάγχνοις μητρὸς ἐνοικῆσαι καταδεξάμενος, καὶ τοὺς τῆς κυήσεως χρόνους ἐκτετελεκὼς, κατ' οὐδὲν τῆς παρθένου προυχούσης ἡμῶν, πλήν γε μόνης τῆς ἁγιότητος, ὥσπερ ἐκ μεταμελείας τινὸς, τὴν τοῦ οἰκείου σώματος φύσιν ἀπαξιοῖ, καὶ ταῦτα τῇ γεννησαμένῃ διὰ πάντων ἀπαραλλάκτως συμβαίνοντος;

Α. τούτοις μὲν οὖν, ἐκεῖνος ἔφη, πάντες κοινῶς συνθήσονται· τὸ δὲ ὅτι φθαρτὸν ἐκ μήτρας λαβὼν τὸ ἐκ τῆς παρθένου σῶμα, εὐθέως αὐτὸ πρὸς ἀφθαρσίαν μετεκεράσατο, τῶν ὀρθῶς ἡμῖν δοκούντων ἐστίν. Ο. καὶ ποῦ ὁ τῆς συμπολιτεύσεως ὅρος καὶ χρόνος, ἔφην, οὗ μάλιστα ἐν χρείᾳ

καθειστήκειμεν, ἐν ἀτόμῳ καὶ ῥιπῇ ὀφθαλμοῦ, τὴν πρὸς ἡμᾶς ὁμοιότητα, ὡς φῄς, ἐπιδειξαμένου, καὶ θᾶττον μεταθεμένου; ὁπότε οὐ τούτου μόνου προσεδεόμεθα, ἀλλὰ καὶ τοῦ συναναστραφῆναι ἡμῖν τὸν κύριον, καὶ διὰ πάντων ὁδεῦσαι, δι' ὧν ἡ ἀνθρωπεία φύσις ἀρχομένη, καὶ διὰ τῶν ἐν μέσῳ χωρήσασα, πρὸς τὸ οἰκεῖον ἔρχεται τέλος. Α. τί γάρ, ἔφη, τὸ κωλῦον ἦν, καί περ ἀπαθὲς τῆς ἑνώσεως ποιησάσης τὸ σῶμα; Ο. καὶ πῶς, ἔγωγε ἔφην πρὸς αὐτόν, ἢ τοῖς ἀνθρώποις συνδιαιτῷτο τὴν ἀρχήν, ἢ τὰ ὑπὲρ ἡμῶν κατεδέξατο πάθη, ἠρνημένος ἐκ πρώτης ἑνώσεως τὸ ὁμοιοπαθὲς ἡμῖν καὶ ἐπίκηρον; Α. ἔπασχε μέν, ἐκεῖνος ἀπεκρίνατο, ἀλλ' οὐ δή που ἀνάγκῃ φύσεως, ἀλλὰ λόγῳ οἰκονομίας τοῦ λόγου ἐφιέντος τὸ παθεῖν. Ο. αἰνίγματος οὐδὲν ἀπᾴδειν ἔφην ἐγὼ τὸ ῥηθέν· πῶς γὰρ καὶ φύσις ἔσχεν ἀνωτέραν παθῶν, καὶ πάσχειν πάλιν τὰ τῆς φύσεως σαρκὸς ἠφίετο παρὰ τὴν φύσιν; εἰ μὲν γὰρ ἡ ἕνωσις τοῦ λόγου, τὸ ἀπαθὲς τῇ σαρκὶ ἐδωρήσατο, οὐκ ἂν αὐτὴν ἀπεστέρησεν τοῦ γε δεδωρημένου, καὶ ἅπαξ προσνεμηθέντος αὐτῇ· πρὸς δέ γε καὶ εἰ ἐκ τῆς ἑνώσεως τοῦ λόγου, τῆς ἀφθαρσίας μετειλήφει, ὥρα σοι καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷν τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν· οὐ γὰρ οἷόν τε ἦν πάσχειν τὸ ἐκ τῆς ἑνώσεως ἀπαθές, μὴ τῆς ἑνώσεως πρότερον ἀναιρεθείσης· ὥσπερ οὐδὲ σκότος ἂν ὑποσταίη ποτ' ἄν, μὴ τοῦ αἰτίου καὶ φωτίζοντος ὑποχωροῦντος· καὶ ἁπλῶς γὰρ εἰπεῖν, οὐδὲν τῶν ἐκ τοῦ συνεκτικοῦ αἰτίου τοῖς αἰτιατοῖς παραμένειν πέφυκεν, μὴ τοῦ αἰτίου παρόντος· σκόπει δὲ δὴ καὶ τοῦτο· ὡς εἴ γε πάσχοντι αὐτῷ συνεῖναι ὑπέμεινεν, ὑπομεῖναι ἂν καὶ παθητῷ γε ὄντι ἡνῶσθαι τῷ σώματι. Α. ἆρ' οὖν, ἔφη πρὸς ἡμᾶς, οὐχὶ βουλομένου τοῦ λόγου ἔπασχεν ἡ σάρξ, ἀλλὰ νόμοις ὑπέκειτο φύσεως;

Ο. Καὶ τίς γὰρ ἂν, ἀποκριθεὶς εἶπον ἐγὼ, τοῦτο φήσειεν; ὅτι γε μὴ βουλομένου τοῦ λόγου, τῶν φυσικῶν τι συμπτωμάτων συνέβαινε τῇ σαρκὶ, καὶ οὐχὶ μᾶλλον ἐφιέντος αὐτοῦ, τῇ πάσχειν πεφυκυίᾳ τὰ κατὰ φύσιν ἀναμαρτήτως ὑφίστασθαι· οὐ γὰρ ἀνωτέρα κατὰ φύσιν παθῶν οὖσα, παθητὴ διὰ τὸν λόγον ἐγίνετο· τοὐναντίον μὲν οὖν ἐςιν ὅτε καὶ τῶν κατὰ φύσιν ὑπερεῖχεν παθῶν, τοῦ λόγου αὐτῇ, ὡς τὰ πολλὰ, τὴν κατὰ παθῶν ἐπικράτειαν χαριζομένου· ὥστε τὴν πρὸς τὴν σάρκα τοῦ λόγου συμφυΐαν, ἀχώριστον εἶναι καὶ μέχρι παντὸς ἀδιάσπαστον· τὴν δὲ τῶν παθῶν ἀμεθεξίαν, οὐ πάντοτε παραμένειν τῷ σώματι· καὶ γὰρ οὐκ ἐκ τῆς ἑνώσεως ἔσχε τὸ ἀπαθὲς, ἀλλ' ἐκ τῆς βουλήσεως τοῦ ἑνωθέντος, κατὰ καιρὸν τοῦτο καὶ πρός τι χρήσιμον οἰκονομοῦντος· εἰ γὰρ μὴ τοῦτο ἦν ἀληθὲς, δυοῖν ἀνάγκη θάτερον ὁμολογεῖν, ἢ μηδὲ πεπονθέναι τὶ παντελῶς, ἀπαθῆ τῇ φύσει τυγχάνουσαν διὰ τὴν ἕνωσιν, ἢ πάσχουσαν ὅλως τῆς ἑνώσεως ἀποσχίζεσθαι. Α. εἰ τοίνυν, ἐκεῖνος ἔφη, κατά γε τοὺς σοὺς λόγους, φύσιν ἡ σὰρξ ἔχουσα παθητὴν τά τε ἄλλα δι' αὐτὴν, καὶ δὴ καὶ τὸν θάνατον ἐπέσχεν, οἰχήσεται ἡμῖν τὰ αὐχήματα καὶ διόλωλεν, ἅπερ ἐξ αὐτῆς ὡς δι' ἡμᾶς παθούσης ἐσχήκαμεν.

Ο. Τὸ δι' ἡμᾶς, ἔφην ὦ βέλτιστε, παθεῖν τὴν τοῦ κυρίου σάρκα διττῶς λέγεται, ὅτι τε συγχωροῦντος τοῦ λόγου τὸ περὶ αὐτὴν πάθος συνέβαινε, δυνάμενος γὰρ κωλύειν οὐκ ἐκώλυσε, κατὰ τὸν μέγαν Ἀθανάσιον, καὶ ὅτι πάσης ἁμαρτίας κρεῖττον φανεῖσα, οὐκ ἐχρεώστει δι' ἑαυτὴν θάνατον· εἴπερ καὶ τὴν ἀρχὴν ὁ θάνατος διὰ τὴν ἁμαρτίαν εἰσέφρησε, καὶ διὰ πάσης κεχώρηκε τῆς ἀνθρωπίνης φύσεως, ἐφ' ᾧ κατὰ τὸν Παῦλον πάντες ἥμαρτον· οὐ γάρ ἐστιν ἡ γέ-

γονεν ἐκ τοῦ παντὸς αἰῶνος ἀνθρώπου ψυχὴ, ἑκουσίου τε ἢ ἀκουσίου ἁμαρτίας καθαρά· ἀλλὰ καὶ τὰς τῶν ἁγίων ψυχὰς, εἴποιμ' ἂν μικρὸν, εἰ καὶ μὴ κατ' ἐνέργειαν, ἀλλ' οὖν γε κατὰ διάνοιαν πάντως ῥύπου κακίας εἰσδέξασθαί τι· καὶ τοῦτο σαφῶς ἐστὶν ἀκοῦσαι τοῦ κυρίου διδάσκοντος, ἐν οἷς φησίν· ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν· τὸ γὰρ ἐν ἐμοὶ καὶ τὸ οὐδὲν εἰπὼν, διαῤῥήδην ὑπέδειξεν, ὅτι γε μόνος ἁπάσης μεμένηκε καὶ τῆς κατ' ἐπίνοιαν ἁμαρτίας ἐλεύθερος· διὸ καὶ τὸ τῆς ἁμαρτίας κατάκριμα μηδεμίαν ἐπ' αὐτῷ χώραν εὑρὸν, ἔστη καὶ περιεγράφη, καὶ τῶν ὑπαιτίων εἰς τὸ ἑξῆς ἀνακεχώρηκε· τέθνηκε γὰρ ὁ θάνατος, ἀναμαρτήτου σαρκὸς ἀπογευσάμενος· τὸ δέ γε οἴεσθαι ὡς ἀπαθὴς τῇ φύσει καὶ ἀθάνατος οὖσα, τὸ μὴ τῇ φύσει πρὸς ὃν ἐθελουσίως προσήκατο, πρῶτον μὲν οὐκ εἰδότων ἐστὶν, ὅτι τὸ βούλεσθαι καὶ μὴ βουλέσθαι, οὐκ ἔστι σαρκὸς ἴδιον, ἀλλὰ λογικῆς ψυχῆς· περὶ ἣν ἡ αὐτεξουσιότης τε, καὶ ἡ ἐφ' ἑκάτερα τοῦ θέλειν ῥοπὴ θεωρεῖται· ἔπειτα καὶ ὑπαίτιον αὐτὴν εἶναι κατασκευάζουσιν, τὸ παρὰ τὴν φύσιν θελούσης, καὶ ὃ μὴ πέφυκεν αἱρουμένης· οὗτος δὲ ἁμαρτίας ὅρος ὁ ἔσχατος· καὶ τοῦτο δὲ μὴ καταλείψωμεν ἀπαρασήμαντον, ὅτι τριῶν αἰτιῶν θεωρουμένων, ἐξ ὧν πᾶσα ἀποτελεῖται ἐνέργεια, ἡ μὲν γὰρ ἐςιν ἐκ φυσικῆς δυνάμεως, ἡ δὲ ἐκ παρατροπῆς τῆς κατὰ φύσιν ἕξεως, ἡ δὲ ἑτέρα θεωρεῖται κατὰ τὴν πρὸς τὸ κρεῖττον ἀνάβασίν τε καὶ πρόσοδον, τούτων ἡ μὲν φυσικὴ, ἡ δὲ παρὰ φύσιν, ἡ δὲ ὑπὲρ φύσιν ἐςι καὶ ὀνομάζεται· ἡ μὲν οὖν παρὰ φύσιν, κατ' αὐτό γε τὸ ὄνομα, ἀπόπτωσίς τις οὖσα τῶν φυσικῶν ἕξεων καὶ δυνάμεων, λυμαίνεται τῇ τε οὐσίᾳ αὐτῇ, καὶ ταῖς ταύτης φυσικαῖς ἐνεργείαις· ἡ δὲ φυσικὴ ἐκ τῆς ἀπαραποδίστου καὶ

κατὰ φύσιν ἐρηρεισμένης ἀποτελεῖται αἰτίας· ἡ δὲ ὑπὲρ φύσιν ἀνάγει τὲ καὶ ὑψοῖ, καὶ πρὸς τὰ τελειότερα δυναμοῖ, καὶ ἅπερ οὐκ ἂν ἴσχυσεν ἐνεργεῖν τοῖς κατὰ φύσιν ἐναπομείνασα· οὐκ ἔστιν οὖν τὰ ὑπὲρ φύσιν τῶν κατὰ φύσιν ἀναιρετικὰ, ἀλλὰ παράγωγα καὶ παρορμητικὰ, εἰς τὸ κἀκεῖνα τε δυνηθῆναι, καὶ τὴν πρὸς τὰ ὑπὲρ ταῦτα δύναμιν προσλαβεῖν.

Λ. παραδείγματι οἰκειοτέρῳ σαφήνισον τὸ λεγόμενον· οὐ γάρ μου ὁ νοῦς πω εἷλεν αὐτό. Ο. Σκόπει δὲ, ἔφην, ᾧ δὴ καθάπερ ἐπὶ τῶν τεχνικῶς κατεσκευασμένων ἔστιν ἰδεῖν, μετακοσμοῦσαν τὴν τέχνην τῷ κατασκευάσματι, καὶ τὴν φυσικὴν τὴν ὑποκειμένης ὕλης ἀμορφίαν ἐπὶ τὸ εὐπρεπέστερον σχῆμα τε καὶ εἶδος μετάγουσαν, καὶ πρὸς τὸ χρειῶδες μᾶλλον ἐκκαλουμένην· χαρίζεται γὰρ ἡ τέχνη ὅπερ οὐκ ἔσχεν ἡ φύσις· οὕτω γὰρ αὐλοὶ καὶ κιθάραι, καὶ τὰ τούτοις τῶν ὀργάνων ὅμοια φθέγγεσθαι παρὰ τῆς τέχνης ἐξεβιάσθησαν· οὕτω καὶ πλαστικὴ τά τε ἄλλα καὶ τὸν χρυσὸν εἴς τε μυρία γένη τῶν ἀλόγων ζώων, καί γε πρὸς τὰς ἀνθρωπικὰς μεταμείβει μορφὰς, μηχανική τε αὖ πάλιν ἀστρονομικὰς σφαίρας καὶ ὡροσκόπια, καὶ τὰ τοιαῦτα ἐπινενόηκε· μακρὸν δ' ἂν εἴη τὰ κατ' εἶδος καταριθμεῖν, οἷς ὁ τεχνικὸς λόγος ἐπὶ τῶν οἰκείων ὅρων αὐτῆς μεινάσης τῆς φύσεως, καὶ οὐδὲν ὅλως παραβλαβείσης, τὴν ἀπὸ τῆς τέχνης εὐκοσμίαν τὲ καὶ εὐχρηστίαν προστίθησι· τὸν αὐτόν γε δὲ τρόπον, ἵνα τοῖς θείοις τε καὶ ὑπερτέροις τὰ χαμαίζηλα καὶ πολλοστὸν τῆς ἀληθείας ἀπήχημα φέροντα, πρὸς παράδειγμα λάβωμεν, καὶ τὴν τοῦ κυρίου νόει μοι σάρκα τῶν τῆς φύσεως νόμων, καὶ μετὰ τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν, ἀλωβήτων αὐτῆς συντηρηθέντων, καὶ τὰ ὑπὲρ τὴν φύσιν δεδέχθαι, ὡς μὴ

θ' ὁπότερον ἐκ τοῦ θατέρου χωρίζεσθαι ἢ ἐμποδίζεσθαι· οὐδὲ γὰρ τὰ ὑπὲρ φύσιν ἔχει χώραν, μὴ τῆς φύσεως ἐχούσης κατὰ φύσιν· ἀφῄρηται δὲ καὶ τὸ εἶναι θαῦμα, τῷ ὑπὲρ φύσιν τῆς φύσεως μεταστάσης, καὶ γίνεται ὕβρις ἡ φιλοτιμία τυραννήσασα τὴν ἀλήθειαν. Α. κἀμοὶ δὴ, ἔφη, ταῦτα δοκεῖ· οὕτω μέν τοι ὡς τὰ μὲν πάθη θαύματος λόγῳ τῇ σαρκὶ τοῦ κυρίου συμβαίνειν· τὸ δέ γε ἀπαθὲς αὐτῇ καὶ ἀνώλεθρον, φύσεως νόμοις ἀδιαπτώτοις ἐρηρεῖσθαι.

Ο. Καὶ πόθεν, εἶπον ἐγὼ, τοῦτο λαβὼν ἔχεις ὦ βέλτιστε; τίς δέ σοι γεγένηται τῆς ξένης ταύτης σοφίας ὑποφήτης; ἢ ἀγνοεῖς ὅτι νόμος φύσεως οὐ τὸ σπάνιον, ἀλλὰ τὸ ὡς ἀεὶ, ἢ κατά γε τὸ πλεῖστον ἐνθεωρούμενον καὶ παραμένον; ὁ γοῦν κύριος ἡμῶν τριάκοντα καὶ τρισὶν ὅλοις ἔτεσι, μεθ' ἡμῶν κατὰ σάρκα πολιτευσάμενος, τῇ μὲν ἀπαραλλαξίᾳ τῶν ἡμετέρων, τὸ ἀνθρώπινον ἀπεσέμνυνεν, ἐσθίων τε καὶ πίνων καὶ ὑπνῶν, καὶ τ' ἄλλα δὴ πάντα φυσικῶς προσιέμενος, ἅπερ τὴν ἀλήθειαν συνίστησι τοῦ εἰλημμένου σώματος· καὶ θαυματουργεῖν δὲ τριακονταέτης γεγονὼς, οὐ πρότερον ἤρξατο· μὴ γάρ μοι τὰ παιδικά τις τοῦ κυρίου, ἐκ παιδικῆς φρενὸς προβαλλέσθω θαυματουργήματα, τελείαν βάσανον ἀρετῆς καὶ διδασκαλίας καιρὸν ταύτης ἐχούσης τῆς ἡλικίας, ἡνίκα καὶ τὰ ὄντως ἡμῖν ἐκήρυξεν εὐαγγέλια, καὶ τὸ πιστὸν ἐπάγων τοῖς θεοπνεύστοις διδάγμασι, τῷ παραδόξῳ τῶν θαυμάτων ἐπεσφράγισε τὰ λεγόμενα· τοσοῦτον δὲ κἀνταῦθα φαίνεται τοῖς τοῦ σώματος φυσικοῖς τε καὶ ἀδιαβλήτοις προσχρησάμενος, ὥστε φάγου τε καὶ οἰνοπότου δόξαν ἠνέγκατο, παραπλησίως ἡμῖν τὸ τῆς χρείας μέτρον ἀποπληρῶν· τί δ' ἂν ἔχοις εἰπεῖν, περὶ τοῦ διὰ παντὸς αὐτὸν ἐν τῇ καθ' ἡμᾶς ὁρᾶσθαι μορφῇ, μετὰ τοῦ πλήθους τὲ ἀναστρε-

φέρμενον, καὶ οὐδὲν τῶν πολλῶν τῷ σχήματι διαλλάττοντα· καὶ γὰρ ἀπέθλιβον αὐτὸν οἱ ὄχλοι, ὡς ὁ Πέτρος φησί· καὶ ὁ παραδιδοὺς αὐτὸν σημεῖα ἐδίδου, δι' ὧν γνωσθείη τοῖς θεοκτόνοις, διὰ τὴν, ὡς ἔφη τὶς τῶν ἡμετέρων, κατὰ τὸ σχῆμα τοῦ κυρίου πρὸς τοὺς μαθητὰς ὁμοιότητα· ταῦτα δὲ ἀπὸ τῆς πρώτης γεννήσεως μέχρι τῆς ἐν τῷ σταυρῷ ἀναβάσεως, καί γε τῆς τριημερονύκτου ταφῆς, εἱρμῷ τινὶ καὶ τάξει φυσικῇ προὔβαινεν· εἰς φανέρωσιν δὲ τῆς οὔπω τοῖς πολλοῖς δεδηλωμένης θεότητος, σπανιάκις ὡς πρός γε τὴν ὅλην ἀκολουθίαν, ἐκαινοτόμει τὰς περὶ τὸ σῶμα θεοσημείας, εἰς δήλωσιν ὡς ἔφην τῆς οἰκείας θεότητος, οὐκ ἀναίρεσιν τῆς ἀληθείας τοῦ σώματος· διὰ τοῦτο ἐπὶ πελάγους κουφίζεται, καὶ μεταμορφοῦται ἐπὶ τοῦ ὄρους, καὶ πρό γε τούτων, ἄγευστος ἐπὶ ὅλας τεσσαράκοντα τὰς πάσας ἡμέρας μεμενηκὼς, τῆς φυσικῆς χρείας ἐκλέληστο· παρθενικῶν τε σπλάγχνων ἀνέθηλε, τοῦ τῆς παρθενίας ἄνθους ἀδιαφθόρου συντηρηθέντος, εἰς δήλωσιν τοῦ θησαυρίσματος τῆς θεότητος, ἀλλ' οὐκ ἀναίρεσιν καὶ μεταςοιχείωσιν τοῦ προσλήμματος τεθαυματούργηκεν· καὶ ἵνα συνελόντες εἴπωμεν, τὰς μὲν ἀῤῥήτους θεουγίας, τῆς ὑπερκειμένης θεότητος προυβάλλετο γνωρίσματα· τὰ δὲ πάθη, καὶ πρὸ τούτων τὴν σύλληψιν καὶ τὰ σπάργανα, τήν τε τῆς ἡλικίας αὔξησιν, καὶ τῶν ἄλλων ἕκαςον, ὅσα δὴ νόμῳ φύσεως περὶ τὸ σωματικὸν αὐτοῦ ἐγίνετο, ἀληθῆ αὐτὸν καὶ ἡμῖν ὁμοούσιον ἀπέφαινεν ἄνθρωπον· ἀλλ' ὃ τὴν ἐμὴν μικροῦ ἀπέδρα διάνοιαν, κἀκεῖνο προσθήσω. Α. φάθι γε δῆτα αὐτὸ, εἶπεν.

Ο. Ἐννενόηκα, ἦν δ' ἐγὼ, ἐκεῖνό γε τὸ καλῶς ἔχειν καὶ εὐσεβῶς πᾶσι δοκοῦν, ὅτι ὥσπερ ὁ κύριος πάντων τῶν ἑαυτοῦ μεταδιδοὺς τῇ σαρκὶ, ἀνεκφοίτητος μεμένηκεν ἑαυτοῦ, καὶ

τὴν κατὰ φύσιν ἑδραῖαν ἔχει μονὴν, οὕτω καὶ ἡ κατ' αὐτὸν ἀνθρωπότης, ἐν τοῖς κατὰ φύσιν ἑστῶσα, καὶ τὰς τοῦ σώματος ἔχουσα φυσικὰς δυνάμεις τὲ καὶ ἐνεργείας, καὶ τὰ πάθη τὰ κοινὰ καὶ ἀδιάβλητα οὔ ποτε λείπουσα, τόν τε ὅρον τῆς καθ' ἡμᾶς τελειότητος οὐσιωδῶς κεκτημένη, πάντων κεκοινώνηκε τῶν ἐκ τοῦ λόγου καλῶν, μᾶλλον δὲ αὐτὴν πηγὴν τῶν καλῶν τὸν λόγον ἔχουσα, πηγάζει ἐξ ἑαυτῆς πάντα τὰ τοῦ λόγου διὰ τὸν λόγον· μὴ γὰρ δὴ οἰόμεθα μέγα τὶ λέγειν περὶ τῆς σαρκὸς τοῦ κυρίου, ἐκεῖνο αὐτῇ διδόντες ὃ μηδὲ αὐτὴν τετίμηκε, καὶ τὴν ἡμῶν ἀφήρηται τιμήν· οὐδὲ γὰρ τοῦ λόγου ἦν, τῶν ἡμετέρων αὐτὴν στερῆσαι, μένουσαν μεθ' ἡμῶν· οὔτε τῆς ἀνθρωπότητος, τὴν ἐξ ἡμῶν ἐχούσης συγγένειαν, ὑπερηφανῆσαι τὴν ὁμοιοπάθειαν· εἴ γε μὴ μέλλοιμεν τῆς θεομιμησίας αὐτῆς ἀποπίπτειν· οὔτε δὲ τὰ κοινῶς ὑπάρξαντα, δικαίοις τε καὶ ἀδίκοις μετὰ τὴν ἀνάστασιν, φημὶ δὴ τὴν ἀθανασίαν καὶ ἀφθαρσίαν, καὶ πρὸ τούτων τὸ μὴ πεινεῖν καὶ διψεῖν *, καὶ ὕπνου ὀρέγεσθαι, ὡς μέγα τι προσρίπτειν τῇ σαρκὶ τοῦ κυρίου· ὧδε γάρ ἐστιν ἀληθῶς εἰπεῖν, ὅτι ἡ δόξα ἐν τῇ αἰσχύνῃ τῶν διὰ τιμῆς ἀτιμαζόντων καὶ ἡμᾶς καὶ τὴν τοῦ κυρίου σάρκα, τὴν μὲν τῇ στερήσει τῶν ἡμετέρων, ἡμᾶς δὲ τῇ ἀποπτώσει τῶν ἀπ' ἐκείνης· οὐ γὰρ δοξάσει μὴ συμπαθοῦσα, ἡ διὰ τοῦ παθεῖν δοξάζουσα.

* ita cod.

Α. Ἰδοὺ δὴ νῦν ἔφη καὶ μὴ βουλόμενος, ἀπεδιεστείλω τοῦ παθητοῦ τὸ φθαρτόν· πάσχει γὰρ ἐν τῇ κολάσει τὰ σώματα τῶν ἁμαρτωλῶν σὺν αὐταῖς ψυχαῖς, οὐ δή που δὲ καὶ πάσχοντα θανάτῳ ἢ φθορᾷ ὑποπεσεῖται· ὡς ἐντεῦθεν γνώριμον εἶναι, ὅτι οὐ ταυτόν ἐστι τὸ παθητῷ τὸ φθαρτὸν, εἴπερ κἀκεῖνα πάσχει μὲν, οὐ φθείρεται δέ. Ο. ἀλλ', ὦ βέλ-

τιστε, ἦν δ' ἐγὼ, οὐ τοῦτό φημι, ὅτί ποτε πάθος φθαρτικόν ἐστι τοῦ πάσχοντος, ἀλλὰ τὰ τοιάδε καὶ τοῦ τοιοῦδε· τῶν ἐν ᾅδου τοίνυν κολάσεων, καὶ τῆς ἐξ αὐτῶν γινομένης πικρᾶς συναισθήσεως, οὐκ ἂν εἴποιμεν ἴδιον τὸ φθείρειν τὴν ὑποκειμένην φύσιν· εἰ γὰρ ἐςι τολμήσαντα εἰπεῖν, καὶ συντελεῖ τὶ πρὸς τὴν διαρκῆ ἐπιμονὴν τῶν κολαζομένων· ἴδοι δ' ἄν τις αὐτὸ τοῦτο συμβαῖνον, καὶ ἐν τοῖς ἰατρικοῖς φαρμάκοις· ἀναζῆ τε γὰρ ἐκεῖνα καὶ ἀναθάλπει τὴν φύσιν, τὸ βάθος κεντρίζοντα, καὶ οὐκ ἐᾷ τῇ ἀναισθησίᾳ μαραίνεσθαι, ἀλλὰ τῇ ὀδύνῃ συντηρεῖ, καὶ τῷ διακαεῖ συντονίαν ἄγει καὶ πύκνωσιν· τὰ δὲ ἀνθρώπινα πάθη καὶ φυσικὰ τῆς σαρκὸς, ἅπερ ὁ κύριος κατεδέξατο, πέφυκέ πως καὶ τὴν σάρκα καταμαραίνειν, κοποῦν τε αὐτὴν καὶ ἀνιᾷν, καὶ τέλος διαλύειν, ὃ δὴ γεγονὸς καὶ κατὰ τὸν σταυρὸν ἔγνωμεν· τῇ δὲ διαλύσει ὅσον γε ἐπὶ τῇ φύσει, καὶ τὸ φθαρῆναι ἕπεται· τὰ τοίνυν ἀνθρώπινα πάθη λυπεῖν οἶδεν τὴν φύσιν, καὶ τῇ συνθέσει λυμαίνεσθαι, καὶ τέλος καὶ χωρισμὸν εἰσάγειν, καὶ φθορᾷ ὑποβάλλειν, ὧν περ ὁ κύριος παραπλησίως ἡμῖν πάντων μετέσχηκεν, κατὰ τὴν μεγάλην τοῦ ἀποστόλου μυςαγωγίαν.

Α. Τί δὴ ἄλλο γε ἔφη, διὰ τῶν εἰρημένων τούτων πείθειν τε καὶ δεικνύειν ἐσπούδακας, ἢ ὅτι παθητὸς ὢν ὁ Χριστὸς, καὶ τοῦτο σώματος φύσει οὐχὶ θελήσει θεότητος, καὶ φθαρτὸς ἐξ ἀνάγκης ἔςαι; οὐ γὰρ ἔλαθες τοῦτο κατασκευάζων· ὅπερ οὐκ ἂν δεξαίμεθα πώποτε, κἂν μυρία πρὸς τούτοις ἐρεῖς· πιστέον γὰρ μᾶλλον τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ, προσέτι δὲ καὶ τῷ ἐν βασιλεῦσι θεοκρίτῳ, καὶ ἀρχιπροφήτῃ Δαβὶδ ἀποφαινομένοις, ὅτι ἡ σὰρξ αὐτοῦ οὐκ ἴδεν διαφθοράν. Ο. ἐπειδὴ τῶν μὲν ἀνθρωπίνων, εἶπον ἐγὼ, ὀψὲ γ' οὖν ἀπέστης λογισμῶν καὶ πιθανοτήτων, πρὸς δὲ τὰς

θείας γραφὰς καταπέφευγας, μνήμη δέ τις καὶ ἡμᾶς προφητικῆς ὑπέδραμε ῥήσεως, ἐναντίως ἔχειν δοκοῦσα τοῖς παρὰ σοῦ· ταύτην αἰτῶ σε τὰ νῦν ἡμῖν διασάφησον. Α. τίνα ταύτην ἔφη λέγεις, διέξιθι. Ο. τὴν Ἱερεμίου τοῦ θεηγόρου, πρὸς αὐτὸν ἀποκρινόμενος εἶπον, ἣν ἐν τοῖς θρήνοις τὸν τῶν θρήνων λυτῆρα προαναῤῥητικῶς ὑποφαίνων ἐφθέγξατο· Χριστὸς κύριος, λέγων, συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν· καὶ ἄλλο δὲ δὴ τοιοῦτο ἐκ προσώπου τοῦ κυρίου, διὰ τοῦ προφήτου κηρυχθὲν ἔστιν εὑρεῖν· τίς ὠφέλεια ἐν τῷ αἵματί μου λέγοντος, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; ἥ τε γὰρ ἐπιγραφὴ τοῦ ψαλμοῦ, καὶ ἡ ὅλη τῶν ῥημάτων ἀκολουθία τὸν κύριον ἡμῖν νοεῖν ὑποτίθεται, διὰ τοῦ ψαλμοῦ μυςικῶς προτυπούμενον, κατὰ τὴν τῶν θεολόγων ἐξήγησιν· ἀλλὰ καὶ αὐτὸς ὁ Πέτρος φαίνεται, τοῖς ἀπιστοῦσι τῇ ἀναςάσει τοῦ σωτῆρος ἐμβριθέστατα λέγων, ὅτι δὲ ἀνέςησεν αὐτὸν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν· τὸ δὲ μηκέτι μέλλειν αὐτὸν ὑποστρέφειν, οὐκ ἂν ἐπίδεκτον φθορᾶς εἶναι δηλοῖ τὸν περὶ οὗ ταῦτα εἴρηκεν· ἆρ᾽ οὖν οὐκ οἴει ταῦτα τοῖς παρὰ σοῦ προενηνεγμένοις ἀντιστατεῖν, καὶ μείζοσιν ἡμᾶς ἀπορίας δεσμοῖς περιβάλλειν; Α. νὴ τὴν ἀλήθειαν, ἐκεῖνος ἔφη, πολλῆς ταῦτα γέμει τῆς ἀσαφείας, εἰ μή που τινὸς ἐξηγητοῦ τυγχάνοιεν, κατὰ σκοπὸν τῆς ἀληθείας, τὴν δοκοῦσαν ἐν αὐταῖς διαφωνίαν εὐθύνοντος.

Ο. Δεῦρο δὴ οὖν εἶπον, ὦ κάλλιςε κἀγαθὲ, τὸ τῆς τούτων διανοίας συνεσκιασμένον, εὐθυβόλως ἀνακαλύψας, τὴν ἀλήθειαν ἡμῖν παραγύμνωσον, εἴτε παρ᾽ ἑαυτοῦ ταύτην, εἴτε καὶ παρ᾽ ἑτέρου λαβὼν ἔχεις. Ο. οὐ καλὴν, ἔφη, τινὰ παντελῶς, οὐδὲ εὐπρόσωπον ἔδοξάς μοι τὴν πρόφασιν ἐξευρεῖν, ταῖς ἀντιθέτοις τῶν ῥήσεων, μείζονι τὴν ἀλήθειαν ἀσαφείᾳ

περιβαλὼν, ἵνα σοι ἡ μὲν ἀπορία τὴν ἀμφιβολίαν, ἡ δὲ ἀμφιβολία τὴν ὁμολογίαν παρεισκυκλήσῃ τοῦ ψεύδους· ἐγὼ γοῦν εἴτέ τις ἑρμηνεύσοι λόγος ἡμῖν, εἴτε καὶ μὴ τὸ τῶν ῥήσεων ἄπορον, οὐκ ἄν ποτε τῆς ἐμαυτοῦ γνώμης ἀποςαίην· διαῤῥήδην τῆς θεοπνεύστου βοώσης γραφῆς, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς τὸν ᾅδην, οὐδὲ ἡ σὰρξ αὐτοῦ ἴδεν διαφθοράν. Ο. ὡς πεφυκυία τοῦ φθείρεσθαι, πρὸς αὐτὸν εἶπον, οὐκ ἴδεν διαφθορὰν; ἢ εἰ μὴ τοῦτο, ἀπόκριναι. Α. ὡς μὴ πεφυκυία, εὐθὺς μηδὲ παντελῶς ὑποστειλάμενος, ἔφη. Ο. οὐκοῦν, ἔλεγον, ταυτὸ δὴ τοῦτο καὶ περὶ τῆς ψυχῆς ἀνάγκη σε πάντως ὁμολογεῖν· περὶ γὰρ ἀμφοῖν συνημμένως ὁ προφήτης ἐκ προσώπου τοῦ σωτῆρος εὐχαριςῶν, τὸ μὴ ἐγκαταλειφθῆναι τὴν ψυχὴν αὐτοῦ εἰς τὸν ᾅδην, μηδὲ τὴν σάρκα αὐτοῦ ἰδεῖν διαφθορὰν ἀνεφώνησεν. Α. καὶ γὰρ δὴ καὶ περὶ τῆς ψυχῆς ἔφη τοῦ κυρίου, τὸ ἶσον εἴποιμ' ἂν, ὅτι φύσιν οὐκ εἶχεν εἰς ᾅδου καταλιμπάνεσθαι. Ο. ἆρ' οὖν, ἔφην, οὐδὲ εἰς τὸν ᾅδην αὐτὴν καταπεφοιτηκέναι δώσομεν. Α. ὁ δὲ, τοῦτο μὲν οὐκ ἂν ἀρνηθείην ἔλεγεν, κρατεῖσθαι γε μὴν οὐ πέφυκε παντάπασιν. Ο. παραλλάττει γοῦν, ἔφην, τῶν ἡμετέρων ψυχῶν κατὰ τὴν φύσιν ἡ τοῦ κυρίου ψυχή; Α. οὐχ ὅτι παραλλάττει, ἔφη, ἀλλ' ὅτι τῷ κυρίῳ συγκεκραμένη, τῆς τοῦ ᾅδου κατοχῆς ὑψηλοτέρα καὶ κρείττων ἐτύγχανεν. Ο. οὐκοῦν, ἔφην, οὐ διὰ τὴν ἑαυτῆς φύσιν, ταύτην γὰρ ὁμοίαν εἶχεν ταῖς ἄλλαις ἁπάσαις ψυχαῖς, ἀλλὰ διὰ τὴν τοῦ λόγου θεότητα, μεθ' ἧς καὶ εἰς ᾅδου καταβέβηκεν, οὐ τοῦ κρατεῖσθαι μόνον ἐξῄρητο, ἀλλὰ καὶ τῶν ἐκεῖσε κεκρατημένων, καὶ πιςευσάντων αὐτῷ, τὰ δεσμὰ λέλυκεν. Α. οὕτως εἶπεν ἔχειν.

Ο. Τὰ παραπλήσια δὲ, ἐγὼ εἶπον, καὶ περὶ τῆς σαρκὸς

τοῦ κυρίου νοεῖν ἔξεστιν· ὅτι ὅσον μὲν ἐπὶ τῷ ὁμοφυεῖ τῆς σαρκὸς αὐτοῦ, πρὸς τὰ τῶν λοιπῶν ἀνθρώπων σώματα, ὥσπερ τέθνηκεν, οὕτω καὶ φθαρῆναι ἠδύνατο· τὸ δὲ μὴ ἐφθάρθαι αὐτὸ, οὐ τῆς φύσεως τὴν παραλλαγὴν δείκνυσιν, ἀλλὰ τῆς θείας ῥοπῆς τὴν πανσθενῆ τε καὶ δραστήριον δύναμιν· ὥσπερ αὖ καὶ τὸ ἐπὶ πελάγους πεζεύειν, οὐ δήλωσις ἦν τῆς φύσεως τοῦ σώματος, ἀλλὰ γνώρισμα τῆς θεότητος· ὥστε τὸ μὲν τεθνηκέναι, τῆς φύσεως τοῦ σώματος ἴδιον· τὸ δὲ μὴ ἐφθάρθαι αὐτὸ, τῆς θεότητος τὴν δύναμιν σημαίνειν. Α. οὕτως ἔχειν καὶ αὐτὸς οἶμαι. Ο. καὶ τί δή ποτε, πρὸς αὐτὸν εἶπον, ὀρθῶς προσφέρων, μὴ ὀρθῶς καὶ διαιρεῖς, κατὰ τὸ λόγιον, ἀποδιδοὺς τῇ σαρκὶ μὲν τὰ τῆς φύσεως, τὰ δὲ ὑπὲρ αὐτὴν τῇ ἀποῤῥήτῳ τοῦ λόγου καὶ ὑπερουσίῳ δυνάμει, ταύτῃ γὰρ ἔσῃ καὶ τὴν τῶν ἀνωτέρω ῥητῶν διαφωνίαν ἐπιλυσάμενος, καὶ τῆς ἀληθείας καταστοχάσῃ· συνειλῆφθαι μὲν αὐτὸν ἐν ταῖς διαφθοραῖς ἡμῶν τὸ πεφυκέναι λέγων, καὶ κατεληλυθέναι εἰς διαφθορὰν, ἐν τοῖς φθοροποιοῖς γενόμενον καὶ τόποις καὶ πράγμασι· μὴ ἰδεῖν δὲ διαφθορὰν, τὴν ταύτης πεῖραν τοῦ λόγου κωλύσαντος, ἵν᾽ ᾖ μετὰ τῶν ἄλλων καὶ τοῦτο τῆς κατὰ τὴν ἀνάςασιν χάριτος, τὸ ἐξαίρετον δώρημα· ἀρξαμένης μὲν ἀπ᾽ αὐτοῦ καὶ ἐν αὐτῷ τῆς ἀφθαρσίας, διαβάσης δὲ καὶ διαβησομένης μέχρι παντὸς τοῦ ἀνθρωπίνου φυράματος· οὗ καὶ ἀπαρχὴ γεγονὼς, εἰς ἑαυτὸν ἀνεζύμωσεν καὶ τὸ ὅλον φύραμα.

Ο. Τὸν μὲν Χριστὸν ἔφη πεπονθέναι, τῆς θείας ἠκούσαμεν λεγούσης γραφῆς· καὶ τὸ παθητὸν εἶναι κατὰ σάρκα τὸν Χριστὸν, ἡ Παύλου μεγαλόνοια διαγορεύει· τὸ μέν τοι φθαρτὸν εἶναι τὸν Χριςὸν, οὐδεμία γραφὴ τρανῶς οὕτω καὶ γυμνῇ τῇ φωνῇ παραδέδωκεν· οὐ γὰρ τὸ συλληφθῆναι αὐτὸν

ἐν διαφθορᾷ, πάντως τοῦτο δηλοῖ. Ο. ἆρ' οὖν, πρὸς ἐκεῖνον εἶπον, τὸ πεπονθέναι μόνον αὐτὸν ἡ γραφὴ διηγόρευσεν, ἢ καὶ τὸ γεγενῆσθαι κατὰ σάρκα ἐκ παρθένου; Α. καὶ τοῦτο, ἔφη, τῶν ὁμολογουμένων ἐστί· πῶς γὰρ ἂν ἄλλως νοήσαιμεν τὸ βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ; Ο. οὐκοῦν, εἶπον, πρὸς τὸ πεπονθέναι, καὶ γένεσις αὐτοῦ παρὰ τῆς γραφῆς καταγγέλλεται; Α. σύμφημι ἔφη. Ο. τί δέ; οὐχὶ καὶ αὔξησιν αὐτοῦ σωματικὴν, εἶπον, ἐκ τῆς γραφῆς παρειλήφαμεν; Α. πάνυ μὲν οὖν ἔφη. Ο. τὴν δὲ παρὰ τῶν ἔξωθεν λεγομένην ἀλλοίωσιν, εἶπον ἔγωγε πρὸς αὐτὸν, ἐκ παθητικῆς οἴῃ δυνάμεως τίκτεσθαι, ἢ οὔ; Α. καὶ ποῦ τῆς γραφῆς τὸ τοιοῦτον εὕρομεν; Ο. πρὸς αὐτοῦ γε εἶπον τοῦ σωτηρίου λόγου μυσταγωγούμεθα, τὸ πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενὴς, ἄντικρυς λέγοντος· καὶ πάλιν περὶ αὐτοῦ ὁ θεῖος ἀπόστολος, εἰ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως· ἀσθένεια δὲ τί ἕτερόν ἐστιν, ἢ τῆς καθ' ἕξιν δυνάμεως ἀλλοίωσις καὶ μεταβολή; καὶ ὁ μέγας δὲ Ἡσαΐας φησίν· ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν· καὶ μετ' ὀλίγα· καὶ ἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ δόξαν· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἆρ' οὖν ἄλλο τί ποτέ ἐστιν καλεῖν ἔκλειψιν καὶ μαλακίαν, ἢ τὴν ἐκ πάθους ἀλλοίωσιν; ἣν τὸ σῶμα πέπονθεν ἄχρουν τε γενόμενον, καὶ τὸ φυσικῶς ἐπανθοῦν τῷ σώματι χρῶμα μὴ διασῶζον, ἐκ τοῦ εἰς τὸ βάθος συννεῦσαι τὴν θερμότητα καὶ τὴν ἐπιφάνειαν, διὰ τὴν τοῦ αἵματος συστολὴν, κατεψύχθαί τε καὶ πρὸς τὸ ὠχρὸν μεταχωρῆσαι.

Α. Ὀρθότατα, ἔφη, λέγεις· καί μοι δοκεῖς ἐν τούτοις τὸν μέγαν ἐκμιμεῖσθαι Βασίλειον, τὰ τοῦ σώματος φυσιο-

λογοῦντα πάθη. Ο. οὐδὲ ἄλλό τι τῶν εἰρημένων, εἶπον, ἔςιν ἐμὸν, πάντα δὲ ἐκ πατέρων λαβὼν ἔχω· ἀλλὰ τὸ ἑξῆς, εἰ βούλει, συνδιασκεψόμεθα. Α. ὁποῖον, ἔφη; Ο. γεννήσεως, εἶπον ἐγὼ, καὶ αὐξήσεως καὶ ἀλλοιώσεως σαφῶς ἐκ τῶν θείων γραφῶν δεδομένης, ζητοῦμεν καὶ τὰς λοιπὰς συζυγίας, εἴ γε καὶ ταύτας ἔστιν ἐν τοῖς θείοις λογίοις εὑρεῖν. Α. τοῦ ἐντεῦθεν, ἔφη, κατασκευαζομένου συνίημι· τὴν γὰρ μεταβατικὴν ὁμολογουμένην ἔχων, τὴν ἀπὸ τόπων εἰς τόπους τοῦ κυρίου κίνησιν, τὰ περὶ μειώσεως καὶ φθορᾶς ἀποδεικνύειν ἐπιχειρεῖς, ὅπερ οὐκ ἂν ὥ γέ μοι δοκεῖ συμπερανεῖς. Ο. ὀρθῶς μὲν λέγεις, ἦν δ' ἐγὼ, πρὸς τὴν ἡμετέραν ἀσθένειαν ἀφορῶν, ἡ δέ γε ἀλήθεια συμμαχουμένη συμμαχεῖ τοῖς ὑπερμαχοῦσιν αὐτῆς· δοκεῖ σοι οὖν τὸ πεινεῖν τε καὶ διψεῖν, βρώσεως τε καὶ πόσεως ἔφεσις εἶναι; Α. δοκεῖ, ἔφη. Ο. συμβαίνειν δὲ τὰς ἐφέσεις, οὐ περὶ τὰς ἐνδείας ἔφην ὑπείληφας; Α. ναί· τί γάρ ἐστιν ἕτερον ὄρεξις, ἢ ἐπιθυμία τοῦ ἐλλείποντος, πρὸς ἀναπλήρωσιν τοῦ ὑπεκρεύσαντος; Ο. κάλλιςά γε τὸν τῆς ὀρέξεως ὅρον ἀποδέδωκας· καὶ γὰρ καὶ ὁ μέγας Βασίλειος, πεινῆσαι λέγει τὸν κύριον, τῆς στερεᾶς αὐτῷ τροφῆς διαπνευσθείσης ἐν τῷ σώματι· καὶ τὰ ἐπὶ τούτοις σαφῶς ἐπίστασαι· ὕπνου δὲ συστολὴν οὐχ ἕτερον ὑπάρχειν φαμὲν, ἢ τοῦ αἰσθητικοῦ πνεύματος ἀτονίαν· ἐν γὰρ τούτοις ἐνδεῖ καὶ μειοῦται τὰ τῆς φύσεως, καὶ δεῖται ὕπνου μὲν εἰς τὸ ἀνακτήσασθαι τὴν ζωτικήν τε καὶ αἰσθητικὴν δύναμιν· ἀνέσεως δὲ, ἵνα χαλασθῶσιν οἱ τόνοι τῶν εἴτε ποδῶν εἴτε χειρῶν εἴτε καὶ ὅλου τοῦ σώματος ἐξ ὁδοιπορίας τινὸς, ἢ τῆς περὶ τὰ λοιπὰ τῶν ἔργων συντονίας ἀπειρηκότος· τροφὴν δὲ καὶ ποτὸν ἡ φύσις ἐπιζητεῖ, τῶν στερεῶν ἡμῶν καὶ ὑγρῶν, ἐξ ὧν συνεστήκαμεν, διαπεφορη-

μένων καὶ τῆς ἀντεισαγωγῆς προσδεομένων, τοῦ κενωθέντος ἤδη καὶ ῥεύσαντος.

Α. Ταύτῃ μὲν ἐπὶ τῶν ἡμετέρων, ἐκεῖνος ἔφη, σωμάτων, ὦ βέλτιστε· οὐ μὴν δὲ ἐπὶ τῆς τοῦ κυρίου σαρκὸς οὕτω ταῦτα. Ο. ἀλλ' εἰ μὴ οὕτω ταῦτα, πρὸς αὐτὸν ἔφην, καὶ ἐπὶ τῆς τοῦ κυρίου σαρκὸς, καὶ κατὰ τὸν ἴσον συνέβαινε τρόπον, εἴποιμ' ἂν θαῤῥούντως ὡς οὐδ' ὅλως γεγέννηται· ἐπεὶ τὸν ἕτερον ἡμῖν παράστησον τρόπον· οὐ γὰρ δὴ τὴν φαντασίαν εἴποις ἂν πώποτε. Α. μηδὲ γάρ ποτε οὕτω μανείην, ἐκεῖνος ἔφη, καὶ γὰρ ἀληθῶς ταῦτα συνέβαινεν· ἀλλὰ βουλομένου τοῦ λόγου, καὶ ἐφιέντος τῇ σαρκί. Ο. εὖ ἔφης, πρὸς αὐτὸν εἶπον, μηδὲ γὰρ τύχοι τῆς κρείττονος ἀλλοιώσεως, ὃ μὴ τῇ παραχωρήσει τοῦ λόγου τὰ φυσικὰ τῇ σαρκὶ συμβῆναι πάθη λέγων τε καὶ φρονῶν. Α. οὕτω δὴ καὶ ἡμεῖς, ἐκεῖνος ἔφη, πιστεύομεν· θεὸς γὰρ ἄληπτός ἐστιν ἀνθρώποις ἥν τε θέλησῃ. Ο. δεδομένης τοίνυν, εἶπον ὦ θαυμάσιε, γενέσεως, ἀλλοιώσεως, αὐξήσεως, μεταβατικῆς κινήσεως τῷ σώματι τοῦ κυρίου, τί τὸ κωλύον εἰπέ μοι, μὴ οὐχὶ καὶ τὴν λοιπὴν αὐτῷ συζυγίαν διδόναι; Α. οὐκοῦν κατὰ τοὺς σοὺς ἔφη λόγους, καὶ ἔφθαρται; Ο. Μὴ γένοιτο, πρὸς αὐτὸν ἀπεκρινάμην. Α. πῶς τοῦτο ἔφη λέγεις; Ο. ὅτι μηδὲ θέμις, εἶπον. Α. δι' ἣν αἰτίαν, εἶπεν; Ο. ἐπειδήπερ, ἔφην, ἀπογεύσασθαι ἔδει τῶν ἡμετέρων παθῶν, μέχρις αὐτῆς τῆς τοῦ θανάτου πείρας, οὐ μὴν καὶ ἐν τῇ κατ' ἐνέργειαν γενέσθαι φθορᾷ· ἀλλ' ὥσπερ ἐν πᾶσιν ἔσχε τὸ ἡμέτερον, καὶ τὸ ὑπὲρ ἡμᾶς, οὕτω καὶ κατ' αὐτὸν δὴ τὸν θάνατον· τὸ μὲν γὰρ τεθνηκέναι ἡμέτερον, καὶ τῆς ἡμετέρας νεκρότητος ἴαμα· τὸ δὲ μὴ ἐφθάρθαι, τῆς κρείττονος τοῦ λόγου δυνάμεως, ὅς γε τὴν πεῖραν κεκώλυκεν, ἥκιστα φθαρῆναι συγκεχωρηκὼς

τῇ σαρκί· ὡς ἂν ἀπ' αὐτῆς καὶ εἰς ἡμᾶς διαβαίη, καὶ γένηται τῆς ἀφθαρσίας ἡμῶν ἀπαρχή· τὸ τοίνυν μὴ γενέσθαι τὴν φθορὰν, τῆς ἀνικήτου ἐστὶ δυνάμεως, καὶ λόγῳ θαύματος ἀλλ' οὐ νόμῳ φύσεως.

Α. Ἀλλὰ μὴν, ἐκεῖνος ἔφη, καὶ νέος Ἀδὰμ ὠνομάσθη ὁ κύριος· πῶς δ' ἂν τοῦτο ἐλέγετο, εἰ μὴ τὸ τοῦ πρωτοπλάστου φορέσας σῶμα; ἄφθαρτος δὲ ἦν ὁ πρωτόπλαστος πρὸ τῆς παραβάσεως· ἄφθαρτον ἄρα καὶ τὸ τοῦ κυρίου σῶμα· καὶ γὰρ ἀναμάρτητον πάντη διαμεμένηκεν. Ο. ἐγὼ δὲ εἰ μὲν ἄφθαρτον ἔφην ἢ μὴ, τοῦ πρωτοπλάστου τὸ σῶμα ἐτύγχανεν, οὔπω λέγω, ἕως ἂν μὴ τὸ ἀθάνατον αὐτοὺς καταιδεῖ τοῦ πρωτοπλάστου μὴ διδόμενον τῷ κυρίῳ· τεθνηκέναι γὰρ αὐτὸν πάντως δώσουσιν, εἰ μὴ μέλλοιεν τὸ τῆς φαντασίας ὅλον εἰς ἑαυτοὺς ἀποφέρεσθαι ἔγκλημα· τὸ δέ γε σῶμα τὸν κύριον ἀνειληφέναι τοιοῦτον, ὁποῖον οὐχὶ τὸ τοῦ πρωτοπλάστου μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς, καὶ σφόδρα θαῤῥούντως ἂν διατεινοίμην· κοινῆς γὰρ οὔσης τῆς νόσου, πολὺ τὸ παράλογον ἑνὶ μὲν ἐοικέναι, τῶν δὲ λοιπῶν πάντων ἀπεμφαίνειν, οἵ γε τῆς αὐτοῦ διὰ πάντων ἐμφερείας, εἰς τὸν τῆς ἰατρείας ἐδέοντο λόγον· πόθεν δὲ, ὦ βέλτιστε, ὅτι περ ἄφθαρτον τὸ τοῦ πρωτοπλάστου σῶμα ἐτύγχανεν; οὐ γὰρ ἐν τῇ κατασκευῇ εἶχεν τὸ ἀθάνατον· μή τι γε δὴ τὸ ἄφθαρτον, ἐπεὶ οὐ κἂν οἶμαι τοῦ ξύλου τῆς ζωῆς αὐτῷ προσεδέησεν, οὗ τῆς μεταλήψεως αὐτὸν ἡ παράβασις ἀπεστέρησεν, καθὼς οἱ πατέρες φασὶν, ὡς τῇ τῶν ζωτικῶν καρπῶν μεταλήψει ἀπαθανατισθησόμενος· περὶ μὲν οὖν τῶν, οὐ τοῦ παρόντος ἐστὶ καιροῦ, ὅτι μὴ δὲ δόγμα τὸ κατὰ τὸν Ἀδὰμ τυγχάνει· τὸ γὰρ νῦν ἐν ζητήσει προκείμενόν ἐστιν, ὅτι σάρκα τοιαύτην ὁ κύριος ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν, ὁποίαν

ἔχων ἐφάνη μετὰ τὴν παράβασιν ὁ κατάκριτος, ἡμεῖς τε πάντες οἱ ἐκ τοῦ αὐτοῦ φυράματος· οὐ γὰρ τὸν ἀναμάρτητον Ἀδὰμ ἦλθεν σῶσαι, ἵνα ὁμοιωθῇ ἐκείνῳ, ἀλλὰ τὸν ἡμαρτηκότα καὶ πεπτωκότα, ἵνα δὴ συμπεπονθὼς αὐτῷ καὶ συναναστήσῃ· πῶς δὲ καὶ τὸ ὑπὲρ ἡμῶν ἐξέτισε χρέος, ἢ τὴν ἧτταν ἀνεκαλέσατο, ἢ ὑπογραμμὸς ἀρετῆς γέγονε, καὶ τοῖς πᾶσι τῆς ἀρίστης πολιτείας ὅρον ἐν ἑαυτῷ τὸν τελεώτατον προὔθηκε βίον;

Α. Καὶ πῶς ἄν τις ἐκεῖνος ἔφη, δυνήσηται τὴν τοῦ κυρίου μιμεῖσθαι ζωήν; Ο. ἡ ἀπαράλλακτος, εἶπον, τῆς σαρκὸς τοῦ κυρίου πρὸς τὴν ἡμετέραν ὁμοίωσις, δυνατὴν πεποίηκε τὴν πρὸς αὐτὸν ἀφομοίωσιν, ἵν᾽ ἐξῇ Παύλῳ καὶ τοῖς κατ᾽ αὐτὸν λέγειν· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ· αὐτῷ τε τῷ κυρίῳ, μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐ μὴν οὐδὲ ὁ θάνατος, διὰ τῆς τοῦ κυρίου νεκρώσεως τεθνηκὼς, τῶν ἑξῆς ἀνθρώπων ἀπέσχετο ἂν πώποτε, μὴ διὰ πάντων ὁμοίως τῷ πάλαι καταπεσόντι προσβαλὼν, οὗ ἐπειδὴ γευσάμενος ἔτυχε, τοσοῦτον ὠμωδίασαν αὐτῷ οἱ ὀδόντες κατὰ τὸν λόγον, ὥςε μηκέτι μὲν ἅψασθαι τολμᾶν τῶν ἐοικότων αὐτῷ, προσεξεμέσαι δὲ καὶ οὓς πρώην καταπεπώκει· ἡ γὰρ ἐνέργεια σαφῶς οἶμαι τοῦ φαρμάκου τὴν φύσιν ἐνδείκνυται· τὸ γὰρ ὁμοφυὲς ἅπαν ἐξεμέσαι τὸν λαφύξαντα κατηνάγκασεν· πῶς δ᾽ ἂν καὶ ὁ τῆς συμπλοκῆς νόμος, ἐν τῇ προσαχθείσῃ πείρᾳ πεφύλακται, μὴ τῷ πεπτωκότι τὴν κατὰ φύσιν ἐχούσης ἐμφέρειαν τῆς πειραζομένης φύσεως; οὐ γὰρ νικᾶν, ἀλλ᾽ ἐπηρεάζειν ἐςὶν, τὸ παρὰ τοὺς νόμους τῆς ἀγωνίας συμπλέκεσθαι· νόμος δὲ ἀγωνίας τὸ διὰ τοῦ πάλαι καταπεπτωκότος, καταπαλαίειν τὸν ἤδη νενικηκότα, καὶ ταύτῃ γε δὴ τὴν ἔμπροσθεν ἧτταν ἀνακα-

λεῖσθαι· πῶς δ' ἂν καὶ ἡμεῖς τὸν παρὰ τὴν τοῦ ὀργάνου διαφορὰν, τὸ τῆς ἀρετῆς ἐξαίρετον ἔχοντα μιμησαίμεθα, ἐν παθητῷ καὶ φθαρτῷ σώματι τὴν πρὸς τὸ ἄφθαρτον ὁμοίωσιν ἀπαιτούμενοι; παραπλήσιον γὰρ τὸ τοιοῦτο εἶναι δοκεῖ, καθάπερ εἴ τις ἐν τεκτονικοῖς σκεύεσι τὴν χαλκευτικὴν ἐκπληροῦν τέχνην νομοθετοίη· καὶ γὰρ εἰ τοῦτο ἦν, καὶ τὸ τῆς θεομιμησίας διαμαρτεῖν, ἀνέγκλητον πάντη ἐτύγχανεν· οὐ γὰρ ἐγγὺς τὸ παράδειγμα, καὶ τοῖς ταύτην ἐκμιμουμένοις, τὸ τὸν διδάσκαλον ὑπερβάλλειν περιεγένετο, ἐν ἀσθενεστέρᾳ τῇ φύσει πεπολιτευμένοις καὶ διηθληκόσιν· ἐῶ γὰρ λέγειν ὅτι μηδὲ πρακτικῆς καὶ ἀνθρωπίνης ἀρετῆς νόμους ἔστιν εὑρεῖν ἐν ἀφθάρτῳ σώματι, ᾧ γε διὰ τὸ ἄνω κεῖσθαι τῶν ἀνθρωπίνων παθῶν, οὐδὲ πεῖνα ὅτι μηδὲ ἐγκράτεια, οὐδὲ πόνος ὅτι μὴ ὑπομονὴ, οὐδὲ ὕβρις ὅτι μηδὲ ταπείνωσις, οὐδέ τι τῶν τοιούτων πρόσεστιν, ἵνα μὴ τὰ καθ' ἕκαστα διεξιόντες ἐνδιατρίβοιμεν· οὐ μέγα δὲ εἰπεῖν, ὅτι μηδὲ ἀρετῆς ἐπίδειξιν ἔστιν ἐπὶ τῆς ἀφθάρτου καὶ ἀνενδεοῦς φύσεως ἐπιδεῖν· ἀλύπου γὰρ φύσεως ἀγὼν οὐκ ἔστιν· εἰ δὲ μὴ, οὐδὲ νίκη· εἰ δὲ μὴ νίκη, οὐδὲ στέφανοι· εἰς τοῦτο δὴ τῆς ἀτοπίας τὸ μέγεθος, τὸ κομψὸν ὑμᾶς τῆς ἀφθαρσίας ἀπήγαγεν ὄνομα.

Λ. Κομιδῆ γοῦν, ἐκεῖνος ἔφη, τὸ μέγα τῆς ἑνώσεως ἐκταράττει μυστήριον· εἰ μὴ τὰ τῆς ἀφθαρσίας ὁ λόγος ἀπ' ἀρχῆς τῷ οἰκείῳ δεδώρηται σώματι, ἀλλὰ κατὰ τὸν ἴσον τρόπον ἡμῖν αὐτοῖς, καὶ αὐτῷ τὴν εἰς ὕστερον ἀφθαρσίαν ἐταμιεύσατο. Ο. μείζονος δ' ἂν εἴη τῆς εὐλαβείας ἄξιον, εἶπον, τὸ μετά τινα λέγειν γεγενῆσθαι καιρὸν, τοῦ κυρίου τὴν ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν ἵδρυσιν, ἀλλὰ μὴ ἐκ πρώτης ἑνώσεως· οὐ γὰρ θέμις ἔμοι γε ἄλλη πως αὐτόν ποτε

μεγαλύνειν. Α. ἀλλ' εἰ καὶ τοῦτο γενέσθαι συμβέβηκεν, εἶπεν, οὐδ' ἂν ἦν τι ἐντεῦθεν πλέον ἡμῖν. Ο. τοῦ δὴ χάριν, εἶπον ἐγώ; Α. διότι περ, ἔφη, μὴ δὲ οὕτως οἰκονομούμεθα, εἴτε τὴν φυσικὴν, εἴτε τὴν διὰ τοῦ βαπτίσματος, ἡ τῶν οὐρανῶν ἡμῖν δίδοται βασιλεία. Ο. ταύτῃ μοι δίδου, πρὸς αὐτὸν εἶπον, καὶ τὸ τῆς ἀφθαρσίας ἔχειν μυστήριον· τίς γὰρ ἦν καὶ χρεία τὴν εἰς τὸ ἑξῆς αὐτὸν πολιτείαν ἀναλαβεῖν, ἐχόντων ἡμῶν ἐν αὐτῷ κατὰ τὴν πρώτην διάπλασιν, τὴν τοῦ παντὸς μυστηρίου τελείωσιν; εἰ γὰρ μὴ ταῦτα οὕτως, οὐδὲ πᾶσαν γεγενῆσθαι δι' ἡμᾶς τὴν οἰκονομίαν εὑρίσκομεν, ἀλλ' αὐτὸ μόνον τὸ τοῦ μυστηρίου προοίμιον.

Α. Πῶς, ἔφη, τοῦτο λέγεις; οὐ γὰρ δὴ τοῦ ῥηθέντος συνίημι. Ο. ὅτι γε δὴ κατὰ τοὺς σοὺς, ἔφην, λόγους, σαρκωθεὶς μὲν ἔσται δι' ἡμᾶς καὶ τὴν ἐντεῦθεν ἡμῖν ἀφθαρσίαν, πεπολιτευμένος δὲ παθῶν τε καὶ ἀναστὰς, οὐκ οἶδ' ἀνθ' ὅτου· εἰ δὲ σκοπὸς μὲν ἦν τὸν πεσόντα ἀναστῆσαι, καὶ ἐκ θανάτου λυτρώσασθαι, καὶ εἰς ζωὴν καλέσαι καὶ ἀναβίωσιν, ἀφθάρτῳ τε καταλαμπρῦναι σώματι, ταῦτα δὲ ἡμῖν οὐχ ἑτέρως περιεγίνετο, μὴ οὐχὶ τοῦ κυρίου ἐν τῇ ἰδίᾳ σαρκὶ, τούτων ἕκαστον ἐπιδειξαμένου· ταύτῃ δὲ πάντα καθ' ὑμᾶς ἐκ πρώτης ἑνώσεως ὑπὸ τοῦ κυρίου τετέλεσται, τὸ ἑαυτοῦ σῶμα πρὸς ἀφθαρσίαν μετακεράσαντος, ἔχομεν ἐξ αὐτῆς ἄρα τοῦ μυστηρίου τῆς πρώτης ἀρχῆς τὸ πᾶν τοῦ μυστηρίου, καὶ περιττὴ λοιπὸν ἡ ἑξῆς οἰκονομία· ὥσπερ γὰρ εἰ διὰ πρώτου φαρμάκου τελεία τοῖς κάμνουσιν ὑγίεια προσεγίνετο, περιττὴ λοιπὸν ἡ μετὰ ταῦτα τοῖς ἰατροῖς ἐπιτετηδευμένη κατὰ τῆς ἅπαξ νενικημένης ἀῤῥωστίας σπουδή· τὸν αὐτὸν δὲ τρόπον, εἰ ἐκ τῆς ἑνώσεως τῆς πρὸς τὴν σάρκα, τὸ τῆς ἀφθαρσίας ἐνῆκεν ἡμῖν ἀγαθὸν, περιττὴ πᾶσα ἡ

λοιπὴ τοῦ μυστηρίου περίοδος· ἀλλ' οἶμαι τοῦτο πάσχειν ὑμᾶς ἀγνοοῦντας, ὅτι ἄλλος μὲν ὁ λόγος τῆς οὐσιώσεως τοῦ σώματος, ἄλλος δὲ ὁ τῆς ἑνώσεως τρόπος· καὶ ὅτι τὸ μὲν ὑπῆρξεν αὐτῷ ἐκ τῆς τοῦ πνεύματος παρουσίας καὶ ἐνδημίας, δημιουργικῶς αὐτὸ διαπλαττούσης· τὸ δὲ οὐκ ἐκ τῆς τοῦ λόγου ἐνεργείας, ἀλλ' ἐκ τῆς πρὸς αὐτὸν ὁλικῆς καὶ οὐσιώδους ἑνώσεως· τὸ μὲν γὰρ γόνιμον τῇ παρθένῳ ἡ τοῦ πνεύματος δύναμις ἐχορήγησεν, ὥς τις τῶν παρ' ἡμῖν εἴρηκεν, καὶ λίαν καλῶς· καὶ ἡ οὐσίωσις τοῦ σώματος ἐκ πνεύματός ἐστιν ἁγίου, κατὰ τὴν δημιουργικὴν αὐτοῦ συστᾶσα ἐνέργειαν, ἐκ δὲ τῆς θεοτόκου, ἡ ὕλη τῆς οὐσίας προσείληπται· ὁ δὲ λόγος τὸν ἐκ τοῦ πνεύματος κτιζόμενον αὐτῷ ναὸν, κατ' αὐτὴν τὴν πρώτην ἐνοικεῖ διάπλασιν· οὐδὲ ἀναμείνας, ὥς εἶπε πού τις ὀρθῶς λέγων, τὴν τελείωσιν τοῦ νεὼ, ἀλλὰ τῇ πρώτῃ τῆς ἀῤῥήτου οἰκονομίας ἀρχῇ, ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ συναφθεὶς, τὴν οἰκοδομὴν πᾶσαν ἑαυτῷ περιτέθεικεν· οὐ γὰρ δὴ γενομένου τοῦ σώματος, οὕτω θύραθεν αὐτὸς ἐπεισῆλθεν, ἀλλ' ἑαυτὸν περιπλάσας, ἀγαλματοφορεῖ τὸ ἡμέτερον.

Τὴν τοίνυν ἰδιότητα τοῦ σώματος οὐκ ἐκ τῆς τοῦ λόγου γνωρίζειν ἔστιν ἑνώσεως, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος δυνάμεως, διαπλαττούσης αὐτὸ καὶ διαμορφούσης, δίχα τῶν πρωτουργῶν τῆς φύσεως ὀργάνων· τὴν δὲ ἀναμαρτησίαν καὶ τὴν ὅλην ἁγιότητα, τήν τε ὁλικὴν πρὸς ὅλον τὸν εἰληφότα ἕνωσιν καὶ ἀνάκρασιν, καὶ τὸ ἕνα τε εἶναι καὶ χρηματίζειν υἱὸν, καὶ ὅλης τῆς υἱικῆς ἰδιότητος τοὺς χαρακτῆρας φανωτάτους ἐπιφαίνεσθαι, ἡ τοῦ λόγου συμφυὴς ἕνωσις κατειργάσατο· ὧν ἀναφαίρετος ἡ μακαριότης, ἐπειδὴ καὶ ἡ ἕνωσις ἀδιαίρετος· ὥστε τὴν μὲν σύστασιν καὶ τὴν ἰδιότητα τοῦ

σώματος, ἐκ τῆς ἐνεργείας γενέσθαι τοῦ πνεύματος ἔγνωμεν· τὴν δὲ ἕνωσιν οὐκ ἐκ τῆς τοῦ λόγου ψιλῆς ἐνεργείας, ἀλλ' αὐτοῦ τοῦ λόγου οὐσιώδους ἀνακράσεως.

Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς τὸν ἐντυχόντα πρώην ἡμῖν διειλέγμεθα, τὰς δοκούσας αὐτῷ ἀμάχους εἰς ἡμετέραν δύναμιν λελυκότες διαπορήσεις· ἀξιοῦμεν δὲ τοὺς ἐντευξομένους τῷδε ἡμῶν τῷ μετρίῳ συντάγματι, πρὸς τὰς τῶν πατέρων ἱερὰς ἀναδραμεῖν πραγματείας, ἐξ ὧν καὶ ἡμεῖς τὰς ἀφορμὰς εἰληφότες, ταῦτα γεγραφήκαμεν· καὶ τὰς χρήσεις πρὸς τὴν τῶν εἰρημένων βεβαίωσιν παρεθέμεθα· δοίη δὲ κύριος ἀμφοτέροις τοῖς μέρεσι, φιλαλήθως καὶ κατὰ τὸ αὐτοῦ βούλημα ζητοῦσι καὶ διερευνωμένοις, ἐμφανιζομένην αὐτοῖς εὑρεῖν τὴν ἀλήθειαν, ἥ τις ἔστι Χριστὸς ὁ ἐπὶ πάντων θεὸς, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας· ἀμήν.

Προοίμιον τῶν χρήσεων κατὰ Ἀφθαρτοδοκητῶν.

Ἐπειδήπερ Χριςοῦ χάριτι τὰς μὲν ἐκ τῶν προτάσεων πιθανότητας εἰς δύναμιν λελύκαμεν, ὑπεσχόμεθα δὲ καὶ ταῖς τῶν ἀρχαίων μαρτυρίαις τὸ πιστὸν τοῖς εἰρημένοις ἐπάξειν, αὐτόθεν δέχου τῶν ματυριῶν τὸν ἑσμὸν σύμφωνον καὶ μεμουσωμένον, τῆς ἀληθείας ἀνακρουόμενον τὸ μέλος· εἰ δέ τις τὴν οἰκεῖαν συνείδησιν πατεῖν μεμαθηκὼς, τὰς μὲν παρ' ἡμῶν ἐκτεθείσας μαρτυρίας παρακρούεται, ἄλλας δέ τινας προφέρει τῶν αὐτῶν (1), ὡς ἂν οἴηται μαχομένας, ἐκεῖνο πρὸς αὐτὸν πρῶτον εἰπεῖν ἔχομεν, ὡς ἄρα τοὺς πατέρας συγκρούων, καὶ εἰς ἀντίφασιν αὐτοὺς ἑαυτῶν ἄγειν πειρώμενος, προφανῶς τὸν κατ' ἐκείνων ἤρατο πόλεμον, καὶ οὐ

(1) Intelligit collectas a Monophysitis corruptasque vel perverse intellectas Patrum auctoritates, immixtis etiam haereticis, de qua collectione nos diximus Spicileg. T. III. p. 695.

μᾶλλον τὰ παρ' ἡμῶν ἀνέτρεψεν, ἢ οὐδὲ τὰ ἴδια ἐβεβαίωσεν· ἔπειτα δὲ κἀκεῖνο εἰπεῖν ἔχομεν, ὡς οἱ ὄντως πατέρες τῆς ἐκκλησίας, καὶ τοῦ διδασκαλικοῦ χαρίσματος ἐν τῷ αὐτῷ πνεύματι τὸν λόγον δεξάμενοι, οὔτε πρὸς ἄλλους οὐ μὴν πρὸς ἑαυτοὺς διηνέχθησαν· οὐ μέγα μὲν γὰρ εἰπεῖν ὅτι μηδὲ ἐν ἄλλοις, ἥκιστα δὲ ἐν τῷ νῦν κινουμένῳ προβλήματι, κἂν οὕτω δοκῇ τοῖς ὅλον ἐκπεπωκόσι τῆς ἀμαθίας τὸν ἄκρατον, καὶ τὸν τῆς σφετέρας μέθης ἴλιγγον ἐπὶ τὸ πεπηγὸς καὶ νηφάλιον τῆς πατρικῆς ἀληθείας μεταβιβάζειν τολμῶσιν· πιστέον γὰρ ὡς οὐκ αὐτοὶ ἦσαν οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς αὐτῶν τὸ λαλοῦν ἐν αὐτοῖς· οἱ γὰρ μὴ τοιοῦτοι, ψευδώνυμοι καλεῖσθαι διδάσκαλοί εἰσιν ἄξιοι, κατ' αὐτό γε τὸ μάχεσθαι καὶ στασιάζειν πρὸς ἑαυτοὺς, οὐ τὸ τῆς εἰρήνης πνεῦμα, τὸ δὲ τοῦ ἐναντίου καὶ τῇ στάσει φίλον ἔχειν ἐλεγχόμενοι.

Πῶς οὖν εὑρίσκομεν, φήσει τὶς, καὶ φθαρτὸν καὶ ἄφθαρτον τὸ σῶμα εἰρηκότας; οὐκ ἄλλως φήσαιμ' ἂν ἢ κατὰ δύο τρόπους, ὅτι τῷ ἀφθάρτῳ κατὰ τὸ τῆς γραφῆς ἰδίωμα ἀντὶ τοῦ ἀναμαρτήτου καὶ καθαροῦ καὶ πάσης τῆς κατὰ κακίαν κηλῖδος ἀπηλλαγμένου τάσσειν εἰώθεσαν· καὶ πάλιν ἀδιαφόρως καὶ ἀπαρατηρήτως κατὰ τοὺς χρόνους τὸ αὐτὸ ἐκάλουν καὶ φθαρτὸν καὶ ἄφθαρτον· καὶ ὅτε μὲν αὐτὸ φθαρτὸν ὠνόμαζον, πρὸς τὸν χρόνον ἀπέβλεπον τῆς κατὰ σάρκα οἰκονομίας· ὅτε δὲ ἄφθαρτον, πρὸς τὸν ἐκ τῆς ἀναστάσεως καὶ εἰς τὸν ἑξῆς ἄπειρον αἰῶνα· εἰ δέ τις εἴποι καὶ κατὰ τὸν ἀῤῥαβῶνα τῆς ἀφθαρσίας ἤδη ἔχειν τὴν τοῦ λόγου ἀφθαρσίαν, δι' ἣν καί περ φύσιν ἔχον φθαρτὴν, φθαρῆναι οὐκ ἐπετράπη, οὐ διαφέρομαι· ὡς δέ εἰσι ταῦτα ἀληθῆ, αἱ ὑποτεταγμέναι αὐτῶν δείξουσι μαρτυρίαι, οὐκ ἀδιαρθρώτως οὐδὲ

συγκεχυμένως, ἀλλὰ καὶ μάλα σαφῶς τε καὶ τετρανωμένως διευκρινοῦσαι ἡμῖν τοὺς χρόνους καθ' οὓς παθητόν τε καὶ φθαρτὸν γεγενῆσθαι εἶπον τὸ σῶμα τοῦ κυρίου· καὶ ὡς μετὰ τὴν ἀνάστασιν τὸ τῆς ἀφθαρσίας καταπεπλουτήκαμεν ἐν αὐτῷ χρῆμα καὶ ὄνομα.

Sequentes apud Leontium Patrum auctoritates praetermittimus, quia in eorum editis operibus prostant. Tres itaque tantummodo recitabimus, utpote ex operibus nunc deperditis sumptas.

Τοῦ ὁσίου Ἀμβροσίου ἐκ τοῦ κατὰ Ἀπολιναρίου.

Εἰ μηδαμῶς ἐπιγινώσκεις τὸ παθητὸν, ἀνεσκεύασας τοῦ δεσπότου τὸ εὐσεβὲς, καὶ τὴν σὴν σωτηρίαν ἠρνήσω· ὅθεν ἄφρονας δεῖ τούτους ἡγεῖσθαι.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ α' τόμου τοῦ εἰς τὸν Ματθαῖον.

Πῶς οὖν ἀπέθανεν, ἀθάνατος ὢν, ἵνα καὶ ἐγερθῇ, καὶ νεκρώσῃ τὸν θάνατον, εἰ μὴ προσέλαβε σῶμα τὸ τοῖς τοῦ θανάτου ὑποκείμενον νόμοις; ἢ πῶς ἂν κατέλυσε τὴν φθορὰν, ἐξελὼν αὐτῆς τὸ ὑπ' αὐτῇ πράττον τὲ καὶ κείμενον γένος, εἰ μὴ ἔλαβε τὸ φθείρεσθαι πεφυκὸς, καὶ εἰς ἰδίαν ἐμόρφωσε ζωήν;

Τοῦ αὐτοῦ ἐκ τοῦ τόμου τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Ἐφῆκε μὲν γὰρ τὸ ἴδιον σῶμα παθεῖν τὸν θάνατον οἰκονομικῶς, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· ἐπειδὴ δὲ σῶμα ζωῆς ἀνεβίω παραχρῆμα, νενικηκὸς τὴν φθορὰν, τῶν οὕτω σεπτῶν τὴν κατόρθωσιν οὐ φύσει σαρκὸς, ἀλλὰ τῇ τοῦ λόγου δυνάμει προσνέμοντες, εὐσεβήσωμεν.

ΤΕΛΟΣ.

ΤΟΥ ΑΥΤΟΥ ΟΣΙΟΥ ΛΕΟΝΤΙΟΥ

ΠΡΟΣ ΤΟΥΣ ΠΡΟΦΕΡΟΝΤΑΣ ΗΜΙΝ ΤΙΝΑ ΤΩΝ ΑΠΟΛΙΝΑΡΙΟΥ ΨΕΥΔΩΣ ΕΠΙΓΕΓΡΑΜΜΕΝΑ ΕΙΣ ΟΝΟΜΑ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

EIUSDEM S. LEONTII

ADVERSUS EOS QUI NOBIS PROFERUNT QUAEDAM APOLLINARIS, FALSO INSCRIPTA NOMINE SANCTORUM PATRUM.

HOC QUOQUE OPUSCULUM ANTEHAC NONNISI LATINE APUD CANISIUM LEGEBATUR.

Τινὲς τῶν τὰ Ἀπολιναρίου νοσούντων, ἤτοι τὰ Εὐτυχοῦς, ἢ τῶν ἀπὸ Διοσκόρου, τὴν ἰδίαν αἵρεσιν κρατῦναι βουλόμενοι, τινὰς τῶν Ἀπολιναρίου λόγων, ὡς Γρηγορίου τοῦ θαυματουργοῦ, ἢ Ἀθανασίου, ἢ Ἰουλίου ἐπέγραψαν, τοὺς ἁπλουστέρους ἀπατῆσαι βουλόμενοι, ὃ δὴ καὶ πεποιήκασι· τῇ γὰρ ἀξιοπιστίᾳ τῶν προσώπων, πολλοὺς ἑλεῖν τῶν τῆς καθολικῆς ἐκκλησίας δεδύνηνται· καὶ παρὰ πολλοῖς ἂν εὕροις τῶν τῆς ὀρθῆς πίστεως, τὴν κατὰ μέρος Ἀπολιναρίου πίστιν, Γρηγορίου ἐπιγεγραμμένην· καί τινας αὐτοῦ ἐπιστολὰς, Ἰουλίου ἐπιγεγραμμένας (1), καὶ ἄλλους δ' αὐτοῦ περὶ σαρκώσεως λόγους, ἤτοι ἐκθέσεις Ἀθανασίου ἐπιγραφομένας, ὁποία ἐςὶν ἡ ἐπιγεγραμμένη ἔκθεσις, συμφωνοῦσα τῇ τῶν τινῶν· οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ ἑτέρους τινὰς τοιούτους· δῆλον δέ σοι γενήσεται καὶ παντὶ τῷ φιλαλήθει, ἐκ τῶν παρατεθησομένων αὐτοῦ τε Ἀπολιναρίου λόγων, καὶ τῶν αὐτοῦ μαθητῶν, ὧν σὺν ἄλλοις ἐστὶ καὶ Οὐαλεντῖνος ὁ ὑποτεταγμένος.

(1) Habes haec apud nos Script. vet. T. VII. P. 165-176.

Οὐαλεντίνου ἀπολιναριστοῦ κεφάλαια ἀπολογίας.

Πρὸς τοὺς λέγοντας φάσκειν ἡμᾶς ὁμοούσιον τὸ σῶμα τῷ θεῷ (1).

Τοῦ κυρίου Ἀπολιναρίου ἐκ τῆς πρὸς Σαραπίωνα ἐπιστολῆς.

Ἐδεξάμην τὸ γράμμα τῆς ἀγάπης σου, δέσποτα, καὶ εἰς ὅπερ ἐζήτει πρᾶγμα ὁ κομίσας τὴν ἐπιστολὴν, τὰ δυνατὰ συνεπράξαμεν αὐτῷ· τὴν δὲ ἐπιστολὴν τοῦ δεσπότου μου, τὴν εἰς Κόρινθον ἀποσταλεῖσαν σφόδρα ἀπεδεξάμεθα· τῶν δὲ εἰπόντων ὁμοούσιον θεῷ τὴν σάρκα, πολλὴν μανίαν κατέγνωμεν.

Καὶ πάλιν ἀπὸ τῆς αὐτῆς ἐπιστολῆς.

Τῇ γὰρ ἑνώσει τῇ πρὸς τὸν λόγον, θεία ἡ σὰρξ, οὐ τῇ φύσει· ὥστε ἐν τῇ ἑνώσει καὶ τὸ διαμένειν ἔχει, καθάπερ αὐτὸς φησὶ, τὸ πνεῦμα εἶναι τὸ ζωοποιοῦν τὴν σάρκα· οὐ γὰρ δὴ καὶ ἀσώματον γενέσθαι σῶμα δυνατὸν, ὥσπερ ἀφρόνως ἕτεροι λέγουσιν.

Ἀπὸ τῆς πρὸς Διονύσιον ἐπιστολῆς, ἧς ἡ ἀρχή.

Ἐμοὶ καὶ φιλίας ὑπόθεσις ἡ εὐσέβεια, καὶ ἔχθρας οὐδεμία πρόφασις, πρὸς τοὺς εὐσέβειαν φυλάττοντας· μηδὲν παρ' ἐμοῦ καινὸν ζητείτω τὶς νῦν, μὴ δ' ἀποσιώπησιν τῆς ἀληθείας ἀπαιτείτω, ὡς ἐκ ταύτης εἰρήνην κατασκευάζων· ὅτι δὲ ἡμῖν οὐδεὶς ἐπάγειν δύναται ταῦτα τὰ κατά τινων λεγόμενα, δῆλόν ἐστιν ἐξ ὧν ἀεὶ γεγράφαμεν, οὔτε τὴν σάρκα τοῦ σωτῆρος ἐξ οὐρανοῦ λέγοντες, οὔτε ὁμοούσιον τῷ θεῷ τὴν σάρκα, καθ' ὅ ἐστι σὰρξ καὶ οὐ θεὸς, θεὸς δὲ καθ' ὅσον εἰς ἓν πρόσωπον ἥνωται τῇ θεότητι.

(1) Heic omittimus locos duos ex divi Athanasii epistola ad Epictetum.

Καὶ ἀπ' ἄλλης ἐπιστολῆς τῆς πρὸς αὐτὸν, ἧς ἡ ἀρχή.

Θαυμάζω πυνθανόμενος περί τινων, ὁμολογούντων μὲν θεὸν ἐν σαρκὶ τὸν κύριον, περιπιπτόντων δὲ τῇ διαιρέσει, τῇ κακῶς ὑπὸ τῶν παυλιανιζόντων εἰσαχθείσῃ.

Καὶ πάλιν ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Ὡμολόγηται τὸ σῶμα ἐκ τῆς παρθένου, ἡ θεότης ἐξ οὐρανοῦ· τὸ σῶμα ἐπλάσθη ἐν κοιλίᾳ, ἡ θεότης ἄκτιστος αἰώνιος ἔν τε τῇ συνθέσει μένει καὶ τὸ σῶμα, σῶμα· καὶ ἡ θεότης, θεότης· εἰ δὲ τῇ γραφῇ σύνηθες τὸ ὅλον θεολογεῖν, καὶ τὸ ὅλον ἀνθρωπολογεῖν, ἑπόμεθα καὶ τοῖς ῥήμασι τοῖς θείοις, καὶ μὴ μερίζομεν τὰ ἀμέριστα.

Καὶ ἀπὸ τῆς πρὸς Τερέντιον ἐπιστολῆς.

Καὶ αἰτιᾶται μὲν ὁ Ἰωάννης τὸν λύοντα τὸν Ἰησοῦν, οὗτοι δὲ λύουσιν ἄντικρυς, ὁμολογοῦντες τὴν πρὸς τὸ σῶμα συνάφειαν· οὐ γὰρ αὐτὸ ἑαυτῷ συνάπτεται, οὐδὲ ὁμοούσιον ὁμοουσίῳ, καθάπερ οὗτοι λέγειν οὐκ ὤκνησαν· οὔτε γὰρ σύνθεσις, οὔτε συνάφεια αὕτη· ὅτι μηδὲν αὐτῷ ἑαυτῷ συνάπτεται, ἀλλ' ἕτερον ἑτέρῳ τὸ συναπτόμενον· εἰ δὲ ὁμοούσιος μὲν ὁ λόγος τῷ σώματι, ὁμοούσιον δὲ τὸ σῶμα τῷ λόγῳ, ἀόρατα δήπου ἑκάτερα, κατὰ τὸ οὐδεὶς ἴδεν θεὸν, οὔτε ἰδεῖν δύναται· οὐκ ἄρα ἐφανερώθη κατὰ τοῦτο, οὐδὲ ἐψηλαφήθη ἀφανὴς ὤν· οὐδὲ ἀληθὴς Ἰωάννης λέγων, ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν.

Καὶ πάλιν ἀπὸ τῆς αὐτῆς ἐπιστολῆς.

Εἰ δέ τις ἢ δύο πρόσωπα λέγει τὸν υἱὸν, ἢ τὴν σάρκα ὁμοούσιον τῷ θεῷ, καὶ τῇ ἡμετέρᾳ σαρκὶ, ἢ ἐξ οὐρανοῦ καταβεβηκυίαν, καὶ μὴ τῷ ἐξ οὐρανοῦ προσειλημμένην, παθητὴν λέγων τὴν θεότητα, ἀναθεματιζέσθω.

Ἀπὸ συλλογισμῶν.

Εἰ ὁμοούσιος ὁ λόγος τῷ σώματι, οὐδὲν ἡνώθη αὐτῷ πρὸς ἑαυτό· ἡνώθη δὲ σώματι, οὐκ ἄρα ὁμοούσιος αὐτῷ· εἰ ὁμοούσιον τῷ λόγῳ τὸ σῶμα, οὐκ ἐθεωρήθη καὶ ἐψηλαφήθη· ἀμφότερα γὰρ ἀόρατα καὶ ἀφανῆ, εἴπερ ὁμοούσια· φησὶ γὰρ Ἰωάννης ἐθεασάμεθα καὶ ἐψηλαφήσαμεν· οὐκ ἄρα ὁμοούσιον τὸ πνεῦμα τοῦ κυρίου καὶ τὸ σῶμα· ἀλλὰ τὸ ἀόρατον καὶ ἀναφὲς, ὁρατῷ συνήφθη καὶ ἁπτῷ πρὸς ἑνότητα· διὸ καὶ ἐν τούτῳ ὁρατὸς καὶ ἁπτὸς γέγονεν· ὁ λέγων σῶμα ὁμοούσιον τῷ θεῷ, βλασφημεῖ, ἀσώματον ὡς σῶμα ἔχοντα· ὅτι ὁ υἱὸς ὁμοούσιος τῷ πατρὶ, τὸ ἴδιον ἔχει καὶ ἑνωθεὶς σαρκί· καὶ οὐ διὰ τὸ ὁμοούσιος εἶναι τῷ θεῷ, μεμέρισται τοῦ ἰδίου σώματος, ἵνα μὴ τὸ σῶμα ὁμοούσιον νομισθῇ.

Καὶ πάλιν ὁ αὐτός. Ἀπολινάριος καὶ οἱ σὺν ἐμοὶ τάδε φρονοῦμεν περὶ τῆς θείας σαρκώσεως.

Σάρκα ὁμοούσιον τῇ ἡμετέρᾳ σαρκὶ προσείληφεν ἀπὸ τῆς Μαρίας ὁ τοῦ θεοῦ ζῶν λόγος, καθ' ἕνωσιν τὴν πρὸς θεότητα, ἐκ τῆς πρώτης συλλήψεως τῆς ἐν τῇ παρθένῳ, καὶ οὕτως ἄνθρωπος γέγονεν· ὅτι σὰρξ καὶ πνεῦμα ἔστιν ὁ ἄνθρωπος κατὰ τὸν ἀπόστολον· καὶ τοῦτό ἐστιν τὸ γενέσθαι σάρκα τὸν λόγον, τὸ ἑνωθῆναι πρὸς σάρκα ὡς τὸ ἀνθρώπειον πνεῦμα· καλεῖται γὰρ καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος σάρξ· ὁ δὲ κύριος ὑπὲρ ἡμᾶς ἄνθρωπος· διὸ καὶ ἐπουράνιος ἕνεκα τοῦ ἰδίου πνεύματος ἐπουρανίου τυγχάνοντος· ᾧ τὸ φρόνημα τῆς σαρκὸς οὐκ ἀντετάξατο· καὶ οὕτως ἐλύετο ἐν Χριστῷ ἡ ἁμαρτία, καὶ κατελύθη ὁ ἐκ τῆς ἁμαρτίας θάνατος, καὶ ἡμεῖς μετέχοντες τοῦ κατορθώματος πίστει σωζόμεθα, καὶ ὁμοιώσει τῇ πρὸς τὸν ἐπουράνιον γινόμεθα, ὄντες χοϊκοῦ πατρός· ἀνάθεμα οὖν ὁ μὴ λέγων ἐκ τῆς Μαρίας τὴν σάρκα,

καὶ τῆς ἀκτίστου φύσεως λέγων αὐτὴν, καὶ ὁμοούσιον τῷ Θεῷ· ἀλλὰ καὶ ὁ λέγων τὴν Θεότητα παθητὴν, καὶ ἐξ αὐτῆς τὰ πάθη τὰ ψυχικά.

Καὶ ἐγὼ Ἴσβιος ἐπίσκοπος.

Ὁμολογῶ τὸν κύριον Ἰησοῦν Χριςὸν, ἐξ αἰῶνος μὲν ἄσαρκον Θεὸν λόγον, ἐπ᾽ ἐσχάτων δὲ αἰώνων, σάρκα ἐξ ἁγίας παρθένου ἑνώσαντα ἑαυτῷ, εἶναι Θεὸν καὶ ἄνθρωπον, ἕνα καὶ τὸν αὐτὸν, ὑπόστασιν μίαν σύνθετον, καὶ πρόσωπον ἓν ἀδιαίρετον, μεσιτεῦον Θεῷ καὶ ἀνθρώποις, καὶ συναπτὸν τὰ διῃρημένα ποιήματα τῷ πεποιηκότι, ὁμοούσιον Θεῷ κατὰ τὴν ἐκ τῆς πατρικῆς οὐσίας ὑπάρχουσαν αὐτῷ Θεότητα, καὶ ὁμοούσιον ἀνθρώποις, κατὰ τὴν ἐκ τῆς ἀνθρωπίνης φύσεως ἡνωμένην αὐτῷ σάρκα, προσκυνούμενον δὲ καὶ δοξαζόμενον μετὰ τῆς ἰδίας σαρκὸς· ὅτι δι᾽ αὐτῆς ἡμῖν γέγονεν λύτρωσις ἐκ θανάτου, καὶ κοινωνία πρὸς τὸν ἀθάνατον· ἄκρως γὰρ ἡνωμένη ἡ σὰρξ τῷ λόγῳ, καὶ μηδέποτε αὐτοῦ χωριζομένη, οὐκ ἔστιν ἀνθρώπου οὐ δούλου οὐ κτιστοῦ προσώπου, ἀλλ᾽ αὐτοῦ τοῦ Θεοῦ λόγου, τοῦ δημιουργοῦ, τοῦ ὁμοουσίου τῷ Θεῷ, καὶ οὐχ ὁμοουσίου τῇ ἀσωμάτῳ οὐσίᾳ τοῦ ἀῤῥήτου πατρός· τοὺς δὲ τὴν ἄκρως ἡνωμένην σάρκα τῷ λόγῳ, καὶ μηδέποτε αὐτοῦ χωριζομένην, λέγοντας ἢ διδάσκοντας ὁμοούσιον τῷ Θεῷ, τουτέστιν τῇ ἀσωμάτῳ οὐσίᾳ, τούτους ὡς διχοστασίας καὶ σκάνδαλα, παρὰ τὴν διδαχὴν τὴν ἐξ ἀρχῆς ἐμάθομεν ποιοῦντας ταῖς ἐκκλησίαις, ἐκκλίνομεν κατὰ τὴν ἀποστολικὴν παραγγελίαν, καὶ ἀλλοτρίους ἡγούμεθα· διὰ τὸ ἐναντιοῦσθαι τῇ ἀρχαίᾳ παραδόσει, καὶ τῇ ἐκκλησιαστικῇ εἰρήνῃ.

Οὐαλεντῖνος χριϛιανὸς πρὸς τὰ κακῶς καὶ ἀσεβῶς δογματισθέντα ὑπὸ Τιμοθέου καὶ τῶν μετ' αὐτοῦ, καὶ τοῦ διδασκάλου αὐτῶν τοῦ ἀσεβεϛάτου Πολεμίου, ἀντέγραψα καὶ ταῦτα.

Ἐπειδὴ Τιμόθεος ὁ Πολεμίου γενόμενος πρῶτος μαθητὴς, ἐκ πολλῆς ἀνοίας ἐπεγείρας ἑαυτὸν κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ, δογματίζει κατὰ τῆς ἀληθείας τὴν ἀσέβειαν τοῦ διδασκάλου αὐτοῦ Πολεμίου, ἀφρόνως κατηχῶν τὸν ἑταῖρον αὐτοῦ Καταφρόνιον, ὡς αὐτὸς γράφει τοῖς ὁμόφροσιν αὐτοῦ Πανηγυρίῳ, Οὐρανίῳ, Διοδώρῳ, Ἰοβίῳ, λέγων οὕτως· ὅτι τῇ ἑνώσει τῇ πρὸς τὸν θεὸν λόγον θεολογουμένη, καὶ τῷ θεῷ ὁμοούσιος ὁμολογουμένη ἡ τοῦ κυρίου σὰρξ, τῇ φύσει μένει ἀνθρωπίνη, καὶ ἡμῖν ὁμοούσιος· καὶ πάλιν ἐκ προσώπου τοῦ κατηχηθέντος ὑπ' αὐτοῦ Καταφρονίου, λέγει οὕτως· ὅτι δεῖ τῇ ἑνώσει ταυτὸν τῷ λόγῳ τοῦ θεοῦ ὁμολογεῖσθαι, καὶ ὡς λόγος ὁμοούσιος τῷ θεῷ πιϛεύεσθαι· καὶ ἔτι τούτου ἀσεβέστερον, ὦ Τιμόθεε· ὅτι τὴν σάρκα ἣν ἐφόρεσεν ἡμῶν ὁ κύριος Ἰησοῦς Χριϛὸς ἐκ τῆς ἁγίας παρθένου, ἀφανῆ ποιεῖτε, εἴπερ ὡς ὑμεῖς λέγετε, ὅτι ὡς λόγος θεοῦ ὁμοούσιος ἡ σὰρξ, δι' ἧς σωτηρίας ἡμεῖς ἐτύχομεν· καὶ πιϛεύομεν ὅτι τῷ λόγῳ τοῦ θεοῦ συμπροσκυνεῖται, καὶ συνθεολογεῖται, καὶ συνδοξάζεται ἡ τοῦ κυρίου σὰρξ, ἣν ἐκ παρθένου προσείληφεν, δι' ἧς καὶ μεσιτεία ἡμῖν ἀεὶ φυλάττεται ἡγεμονευομένης εἰς τὸ διηνεκὲς ὑπὸ τοῦ ζωοποιοῦ καὶ θεοῦ λόγου· καὶ οὕτως ἓν πρόσωπον ἀποδέδεικται ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐκ σαρκὸς καὶ λόγου· τῇ γὰρ ἑνώσει τῇ πρὸς τὸν θεὸν λόγον, θεολογεῖται ἡ σὰρξ, οὐ τῇ φύσει· ὥστε ἐν τῇ ἑνώσει καὶ τὸ διαμένειν ἔχει, καθάπερ αὐτὸς φησὶν ὁ κύριος, τὸ πνεῦμα εἶναι τὸ ζωοποιοῦν τὴν σάρκα· οὐ γὰρ δὴ καὶ ὁμοούσιον γεν-

ἔσθαι τὸ σῶμα τῷ ἀσωμάτῳ Θεῷ δυνατὸν διὰ τὴν ἕνωσιν· ὅπερ ἀφρόνως καὶ ἀσεβῶς οἱ περὶ Τιμόθεον καὶ Πολέμιον, καὶ οἱ σὺν αὐτοῖς πολυτροπώτατα φιλοτεχνοῦντες λέγουσιν, εὐφημίαν ἐπιτιθέναι τῷ σώματι βουλόμενοι τὴν ἀδύνατον ἀσωματίαν· ἀλλὰ δοξασθῆναι τῇ δόξῃ τοῦ ἀσωμάτου Θεοῦ δυνατὸν καὶ πρέπον τῇ φορούσῃ αὐτὸ θεότητι· καὶ οὕτως προσκυνεῖται ὑπὸ πάσης τῆς κτίσεως, ὡς δημιουργὸς καὶ ἀληθινὸς υἱὸς τοῦ Θεοῦ σαρκοφόρος, καὶ οὐκ ἄνθρωπος θεοφόρος.

Τί οὖν ἡ τοσαύτη ἀπαιδευσία, μᾶλλον δὲ καὶ ἀπιστία ὑμῶν, ὦ Τιμόθεε, σοῦ καὶ τῶν μετὰ σοῦ, καὶ τοῦ διδασκάλου ὑμῶν Πολεμίου; αὐτὸ ὁμοούσιον, αὐτὸ ἑτεροούσιον σῶμα τῇ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες, αὐτὸ ἀμετάβλητον, αὐτὸ μεταβληθὲν λέγοντες· εἴπερ ὡς λέγετε, ὅτι ὡς λόγος Θεοῦ, ὁμοούσιος ἡ σάρξ· καὶ αὐτοὶ ἑαυτοῖς ἐναντιούμενοι, καὶ αὐτοὶ ἑαυτοὺς ἀναθεματίζετε· καὶ ὥσπερ ὁ κραιπαλῶν καὶ μεθύων, οὐκ οἶδεν τί πράττει ἢ τί λέγει, οὕτως καὶ ὑμεῖς οὐκ οἴδατε ἃ λέγετε, οὔτε περί τινων διαβεβαιοῦσθε, τούτου τοῦ ἀσεβοῦς δόγματος, τοῦ ὑφ' ὑμῶν πλειστάκις δογματισθέντος, ἐλέγχοντος ὑμᾶς· μάθετε οὖν, ὦ ἄπιστοι, ὅτι ἕνωσις οὐχ ὁμοούσιον· εἰ δὲ ὁμοούσιον, οὐχ ἕνωσις· ὅτι μηδὲν αὐτὸ ἑαυτῷ ἑνοῦται ἢ συνάπτεται, ἀλλ' ἕτερον ἑτέρῳ, τὸ ἑνούμενον ἢ τὸ συναπτόμενον, ὅ ἐστι λόγος Θεοῦ σαρκὶ συνάψας ἑαυτόν· καὶ τοῦτό ἐστι τὸ λεγόμενον, τὸ θείου εὐαγγελιστοῦ, ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τὸ ἑνωθῆναι σαρκὶ ἐμψύχῳ τὸν λόγον· εἶτα οὐδὲ τοῦτο οἴδατε, ὦ ἄπιστοι, ὅτι φύσις καὶ οὐσία ταυτόν ἐστι μάλιστα ἐπὶ Θεοῦ, τοῦ Θεοῦ καὶ ἀρρήτου καὶ ἀσωμάτου, καὶ ἀϊδίου θεότητος τῆς σεβασμίου τριάδος· τὸ δὲ σῶμα ὃ ἐφόρεσεν ὁ κύριος, οὐκ ἀΐδιον οὐδὲ ἀσώματον γέγονεν ἐκ τῆς ἑνώσεως·

διὰ τοῦτο οὐχ ὁμοούσιον τῇ ἀῤῥήτῳ καὶ ἀσωμάτῳ οὐσίᾳ· ὁ δὲ κύριος ἀΐδιος, καὶ πρὸ σαρκὸς ὁμοούσιος τῷ πατρὶ, καὶ μετὰ σαρκὸς ὁ αὐτὸς ὁμοούσιος τῷ πατρί· οὐκ ἦν ἡ σὰρξ ὁμοούσιος, στολὴ γὰρ καὶ περιβόλαιον, καὶ προκάλυμμα μυστηρίου κρυπτομένου προσείληφεν, καὶ ὑπὲρ ἀνθρώπων προσήνεγκεν, καὶ διὰ ταύτης ἀνθρώποις ἐπεφάνη· οὐδὲ γὰρ ἄλλως ἐδυνάμεθα θεοῦ θεωροὶ γενέσθαι· εἰ μὴ διὰ σώματος· πάλιν δὲ καὶ ἡμῖν ὁμοούσιος ὁ κύριος κατὰ σάρκα· οὐ γὰρ κατὰ τὴν θεότητα· οὐδὲ γὰρ ἡ θεότης ἐκ γυναικὸς, μὴ γένοιτο· οὐδὲ ἡ σὰρξ ἄνωθεν, οὐδὲ ἀΐδιος.

Ἵνα ταῦτα λέγετε ἀπίστως καὶ ἀσεβῶς κατὰ τῆς ἀληθείας, μετὰ τοσαύτης τεχνολογίας δογματίζοντες τὴν ἰδίαν ἀσέβειαν, καὶ ἐλεγχόμενοι ὑπὸ τῆς ἀληθείας, ὡς κακοῦργοι καὶ ψευδολόγοι καταξιώσατε εἰδέναι, ὅτι ἡ ἕνωσις τὴν φύσιν ἐδόξασεν· οὐδὲ γὰρ ὁμοούσιον ἐποίησεν τὸ σῶμα τῷ θεῷ, ὡς ὑμεῖς φανταζόμενοι τολμᾶτε λέγειν, ἐκπεσόντες τῆς ἀληθείας, καὶ ἐνυβρίζοντες τὴν ἐκ φιλανθρωπίας θεοῦ συγκατάβασιν τοῦ λόγου, πρὸς σώματος συνάφειαν, εἰς ἡμετέραν σωτηρίαν γενομένην, ὁμοούσιον τῇ ἀπαθεῖ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες· ὅτι ἔστιν πάσης ἀσεβείας ἐπέκεινα, κἂν μυριάκις ἑαυτοὺς θελήσητε σοφίζεσθαι, παρερμηνεύοντες καὶ ῥᾳδιουργοῦντες τὰς θείας γραφὰς, καὶ τὰς βίβλους τοῦ τρὶς μακαρίου πατρὸς ἡμῶν καὶ διδασκάλου Ἀπολιναρίου, ὡς τὰ ἔγγραφα ὑμῶν ἐλέγχουσιν ὑμᾶς ἅπερ ἐποιήσατε, πρὸς ἀπάτην καὶ σκάνδαλον τῶν ἀφελεστέρων ψυχῶν, κατὰ τῆς ἑαυτῶν κορυφῆς, ἐπειδὴ τῇ ἀληθείᾳ ἀντεπαθεῖτε· καὶ οἴδατε ὅτι σκληρὸν ὑμῖν πρὸς κέντρα λακτίζειν, καὶ περιδρομῇ πολλῇ ἐχρήσασθε· ὥσπερ καὶ οἱ ἰουδαῖοι παρανομήσαντες, οὕτως καὶ ὑμεῖς σκανδαλιζόμενοι διὰ τὴν σάρκα τοῦ σωτῆρος· κἂν

πολλοὶ ἔσησθε, εἰς οὐδὲν λογισθήσεσθε, διὰ τὴν ἀσέβειαν ὑμῶν· εἰ δὲ περιέλητε τὸ περίεργον τῆς ψυχῆς καὶ τὸ ἄπιςον, νοήσητε ἂν Θεὸν ἐν σώματι πεφηνότα, σώματος μετάληψιν διδόντα πρὸς μετάληψιν θεότητος· τὸ γὰρ σῶμα τὸ προσειλημμένον ἐκ τῆς ἁγίας παρθένου, οὐκ αὐτὸ καθ' ἑαυτὸ τὴν σωτηρίαν δίδωσιν, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος συνουσίας, οὐχ ἵνα τὸ σῶμα ἐξευτελίζηται, ἀλλ' ἵνα τὸ πνεῦμα ὑπερδοξάζηται.

Μὴ οὖν θελήσητε πρὸς ἀπάτην ἀφελεστέρων ψυχῶν, τὰς παραθέσεις τοῦ τρὶς μακαρίου πατρὸς ἡμῶν καὶ διδασκάλου Ἀπολιναρίου γράφειν, εἰς τὴν ὑμῶν δύσφημον παράθεσιν· ἐκεῖναι γὰρ καλῶς καὶ εὐσεβῶς παρετέθησαν, ὑπὸ τοῦ ἁγίου καὶ θεοφόρου ἀνδρὸς· σχέσεως γὰρ καὶ τιμῆς εἰσὶν δελωτικαὶ, καὶ οὐ φύσεως σημαντικαὶ· ἅ τινα δηλοῖ τὸ ὁμοούσιον, ὅπερ ὑμεῖς ἀπίστως καὶ ἀσεβῶς παρεθήκατε· φύσις γὰρ καὶ οὐσία, ταυτόν ἐστιν, ὡς προεῖπον, καὶ πάντες δὲ οἱ τῆς ἀληθινῆς πίστεως ὁμολογηταὶ τοῦτο γινώσκουσιν· ὑμεῖς δὲ ἔριδι καὶ ζήλῳ, καὶ φθόνῳ διαβολικῷ ἐξ ἀρχῆς κινηθέντες πρὸς τοὺς ἁγίους ἐπισκόπους, καὶ ἀγωνισάμενοι κάκιςον ἀγῶνα κατὰ τῆς ἀληθείας, καὶ σχίζοντες τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, εἰς τοιαύτην ἀσέβειαν ἐτράπητε· ὥστε τὸ παθητὸν σῶμα, ὁμοούσιον τῇ ἀπαθεῖ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες, ὅπερ ἀδύνατον καὶ ἀσεβὲς, τοῖς ἀνθρώποις ὁμοούσιον σῶμα, καὶ θεῷ λέγειν ὁμοούσιον· καὶ πῶς ὄψονται εἰς ὃν ἐξεκέντησαν; εἰ γὰρ ὁμοούσιον τὸ ὁρατὸν σῶμα τῇ ἀοράτῳ θεότητι, ὡς ὑμεῖς λέγετε, ἑκάτερα δήπου ἀόρατα κατὰ τὸ γεγραμμένον, ὅτι Θεὸν οὐδεὶς ἑώρακεν πώποτε, οὔτε ἰδεῖν δύναται· ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, κατὰ τὴν ἐκ πατρὸς ἀϊδίως ὑπάρχουσαν αὐτῷ θεότητα ἀόρατος, κατὰ δὲ

τὴν σάρκα ἣν ἐφόρεσεν ἐκ τῆς παρθένου, ὁρατός· ἀμφότερα οὖν συντιθέσθω ἐπὶ τοῦ ἑνὸς προσώπου, καὶ τὸ ἀληθὲς οὐ διαλύσεται· ὥστε οὐδὲ δύο πρόσωπα ὁ Χριστὸς, οὐδὲ ἡ σὰρξ ὁμοουσία τῷ θεῷ, ἡγεμονευομένη ὑπὸ τοῦ θεοῦ λόγου· ὅσοι οὖν τῆς ἀπαραιτήτου ταύτης καὶ ἀληθινῆς, καὶ ἀποστολικῆς πίστεως εἰσὶν ὁμολογηταὶ, μὴ παραδεξώμεθα τὰς βεβήλους τῶν περὶ Τιμόθεον καὶ Πολέμιον καὶ τῶν σὺν αὐτοῖς κενοφωνίας, κατὰ τὸ τοῦ ἀποστόλου παράγγελμα· κἀκεῖνο δὲ διὰ μνήμης ἔχομεν τὸ ὑπ' αὐτοῦ πάλιν εἰρημένον, ὅτι αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

Οἱ δὲ περὶ Τιμόθεον καὶ Πολέμιον, οὐ μόνον αἱρετικοὶ ἀπεφάνθησαν, ἀλλὰ καὶ συκοφάνται· ὁ γὰρ τρὶς μακάριος διδάσκαλος ἡμῶν Ἀπολινάριος, βλασφήμους καὶ μανιώδεις ἐγγράφως ἀπεκάλεσεν τοὺς λέγοντας ὁμοούσιον τὸ σῶμα τοῦ κυρίου τῇ θεότητι· καὶ ὁ μακάριος δὲ Ἀθανάσιος, ὁ ἁγιώτατος ἐπίσκοπος ἡμῶν ἔλεγεν ὡς ἐξ ᾅδου ἀναφανέντας τοὺς τολμήσαντας εἰπεῖν ὁμοούσιον τὸ ἐκ Μαρίας σῶμα τῇ θεότητι· πολὺ δὲ ἠγνόησαν Τιμόθεος, καὶ ὁ διδάσκαλος αὐτοῦ Πολέμιος, καὶ οἱ σὺν αὐτοῖς, ὅτι ἑνὸς ὄντος τοῦ προσώπου τοῦ θεοῦ λόγου, καὶ τῆς σαρκὸς τῆς γενομένης ὑπὸ τοῦ θεοῦ λόγου, πρὸς θεὸν ἡ προσκύνησις σαρκωθέντα, οὐ πρὸς σάρκα ἡ προσκύνησις· οὐδὲ γὰρ ὁ λόγος διὰ τὴν σάρκα προσκυνεῖται, ἀλλ' ἡ σὰρξ τῷ λόγῳ συμπροσκυνεῖται, ὡς στολὴ καὶ περιβόλαιον ὡς προεῖπον· ὅσοι οὖν τῷ κανόνι τούτῳ, καὶ τῇ ἀληθινῇ καὶ ἀποστολικῇ ταύτῃ, καὶ ἀπαραιτήτῳ πίστει μὴ στοιχῶσιν, ἔστωσαν ἀνάθεμα· βλέπετε οὖν τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· ἡμεῖς

γάρ ἐσμὲν ἡ περιτομὴ οἱ πνεύματι Θεοῦ λατρεύοντες ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες.

Τιμοθέου ἀπολιναριστοῦ ἐπισκόπου Βηρυτοῦ, πρὸς Ὁμόνιον ἐπίσκοπον καὶ αὐτὸν ἀπολιναριστὴν, ἐν οἷς ἔχει μαρτυρίας Ἀπολιναρίου.

Ὁ ἀδελφὸς Ἀγάπιος ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἐπακούσας τοῦτό μου τοῦ συντεθέντος παρ' ἡμῶν περὶ τῆς θείας σαρκώσεως τοῦ λόγου, ἐκ διαφόρων λόγων τῶν τοῦ τρὶς μακαρίου διδασκάλου ἡμῶν ἐπισκόπου Ἀπολιναρίου, παρεκάλεσεν μέρος λαβόντας ἐξ αὐτοῦ, ἰδίως ἐκθέσθαι αὐτῷ μεθ' ὑπογραφῆς ἡμετέρας, πρὸς πληροφορίαν ὑμῶν· καὶ ἐποιήσαμεν τοῦτο λαβόντες ἐκ τῆς πρὸς Σαραπίωνα γραφείσης ἐπιστολῆς τάδε· καλῶς οὖν λέγεις καὶ αὐτὸς, οὐκ ἴσον ἡμεῖς καὶ ὁ Χριστὸς· τὸ δὲ λέγειν ὅτι οὐχ ὁμοούσιος ἡμῖν ἡ σὰρξ, ἐπειδὴ Θεοῦ σὰρξ, ὀλίγης χρήζει διαρθρώσεως· ἄμεινον γὰρ λέγειν, ὅτι φύσει μὲν ὁμοούσιον ἡμῖν σάρκα προσείληφεν, ἑνώσει δὲ θεῖαν ἀπέδειξεν· αὐτὸ δὲ καὶ σὺ λέγεις, ὅτι κατὰ τοῦτο οὐχ ὁμοούσιος ἡμῖν ἐπειδὴ Θεοῦ σὰρξ, ἀλλ' οὕτω μᾶλλον διηρθρωμένως ἂν λέγοιτο, φύσει μὲν ὁμοούσιον ἡμῖν εἶναι τὴν σάρκα, ἑνώσει δὲ θείαν, καὶ διὰ τῆς ἑνώσεως ἔχουσαν τὸ διάφορον· ταῦτα δὲ δεξάμενος ὁ προειρημένος ἀδελφὸς, καὶ ἐλθὼν πρὸς ὑμᾶς ἐπέδειξεν ὑμῖν· ἅπερ θεασάμενος σὺ ὁ κύριός μου Ὁμόνιος, γράψας ἐπέδωκας αὐτῷ πιττάκιον περιέχον οὕτως· ἐγὼ Ὁμόνιος ἐπίσκοπος ὁμολογῶ ὅτι ὁ λόγος τοῦ Θεοῦ σάρκα ἐκ Μαρίας ἔλαβεν ἡμῖν ὁμοούσιον· εἰ δέ τις λέγοι τὴν σάρκα τὴν ἑνωθεῖσαν τῷ κυρίῳ, καθ' οἷον δήποτε λόγον, ὁμοούσιον τῷ Θεῷ, ἀναθεματίζομεν.

Ἐπεὶ οὖν τὴν μὲν φύσιν τῆς σαρκὸς καλῶς ὡμολόγησας, ἡμῖν ὁμοούσιον αὐτὴν ὑπάρχειν εἰπὼν, τὴν δὲ πρὸς τὸν σαρ-

κωθέντα λόγον ἄκραν ἕνωσιν αὐτῆς ἀνεθεμάτισας, κατὰ μηδένα λόγον συνουσιῶσθαι αὐτὴν τῇ θεότητι γράψας, ἀλλ' ἕνωσιν μόνον ὀνομάσας τοιαύτην δ' ἕνωσιν, οἵα καὶ ἀνθρώπου γένοιτ' ἂν ἁγίου πρὸς τὸν θεὸν, οὐκ εἰς μίαν ζωήν τε καὶ ὑπόστασιν συναπτομένου, ἀλλ' ἐν χωρισμῷ τῆς θείας φύσεως θεωρουμένου· καί τοι τοῦ μακαρίου ἐπισκόπου διδασκάλου ἡμῶν Ἀπολιναρίου εἰπόντος ἐν διαφόροις λόγοις, ἐπικοινωνεῖν τὴν σάρκα τοῦ κυρίου τοῖς τοῦ λόγου ὀνόμασί τε καὶ ἰδιώμασιν, μένουσαν καὶ ἐν τῇ ἑνώσει σάρκα, μὴ μεταβαλλομένην μηδὲ ἐξισαμένην τῆς ἰδίας φύσεως, καὶ τὸν λόγον ἐπικοινωνεῖν τοῖς τῆς σαρκὸς ὀνόμασί τε καὶ ἰδιώμασι, μένοντα καὶ ἐν τῇ σαρκώσει λόγον καὶ θεὸν, μὴ τραπέντα μηδὲ μεταπεσόντα εἰς τὴν σώματος φύσιν, καταξίωσον δηλῶσαι ἡμῖν, πότερον ἀγνοῶν τὰ εἰρημένα περὶ τῆς ἁγίας καὶ σωτηρίου σαρκώσεως τοῦ λόγου παρὰ τοῦ χριστοφόρου πατρὸς ἡμῶν· ἀνεθεμάτισας ταῦτα; ἢ ἐπιστάμενος μὲν, ὡς μὴ καλῶς δὲ εἰρημένα καὶ αὐτὰ ἐξέβαλες, καὶ ἡμᾶς κατὰ τόπον διέβαλες ὡς αἵρεσιν παραδεξαμένους, καὶ τὸν κήρυκα τῆς εὐσεβείας σὺν αὐτῇ ἀνεθεμάτισας τῇ εὐσεβείᾳ; ἔφη γὰρ ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ ἅγιον, ἐξ ἀρχῆς καλῶς ὁμολογεῖται κατὰ τὸ σῶμα ὁ Χριστὸς οὕτως πῶς, καὶ οὐκ ἔστιν ἰδίως κτίσμα τὸ σῶμα εἰπεῖν, ἀχώριστον ὂν ἐκείνου πάντως, οὗ σῶμα ἐστὶν, ἀλλὰ τῆς τοῦ ἀκτίστου κεκοινώνηκεν ἐπωνυμίας καὶ τῆς τοῦ θεοῦ κλήσεως, ὅτι πρὸς ἑνότητα θεῷ συνῆπται.

Καὶ μεθ' ἕτερα.

Οὕτω καὶ θεῷ ὁμοούσιος κατὰ τὸ πνεῦμα τὸ ἀόρατον, συμπαραλαμβανομένης τῷ ὀνόματι καὶ τῆς σαρκὸς, ὅτι πρὸς τὸν θεὸν ὁμοούσιον ἥνωται.

Καὶ πάλιν.

Ἀνθρώπεις ὁμοούσιος συμπεριλαμβανομένης καὶ τῆς θεότητος τῷ σώματι, ὅτι πρὸς τὸ ἡμῖν ὁμοούσιον ἡνώθη· οὐκ ἀλλαττομένης τῆς τοῦ σώματος φύσεως ἐν τῇ πρὸς θεὸν ὁμοουσίῳ ἑνώσει, καὶ τῇ κοινωνίᾳ τοῦ ὁμοουσίου ὀνόματος· ὥσπερ οὐδὲ τῆς θεότητος ἤλλακται φύσις, ἐν τῇ κοινωνίᾳ τοῦ ἀνθρωπείου σώματος, καὶ τῇ ὀνομασίᾳ τῆς ἡμῖν ὁμοουσίου σαρκός.

Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ, οὗ ἡ ἀρχὴ, σὰρξ καὶ τὸ σαρκὸς ἡγεμονικὸν ἓν πρόσωπον, τάδε φησίν.

Ἀναμάρτητος οὖν ὁ κύριος Ἰησοῦς Χριστὸς ὡς θεὸς, καὶ μετὰ τῆς σαρκὸς, ὁμοούσιος τῷ μόνῳ θεῷ προαιώνιος δημιουργός· ἡ δὲ σὰρξ ὡς θεοῦ σὰρξ θεὸς, ὡς ὁμοούσιος τῷ θεῷ, μέρος ἡνωμένον αὐτῷ ὁμοούσιον τῷ θεῷ οὐ κεχωρισμένον, οὐδὲ γὰρ κεχωρισμένως, οὐδὲ κινεῖται ἰδιαζόντως, ὥσπερ ἄνθρωπος ζῶον αὐτενέργητον· ὁ μὲν γὰρ θεὸς κοινωνίᾳ τῆς σαρκὸς, ὁ μὴ ὢν καθ' ἑαυτὸν ἄνθρωπος· ἡ δὲ σὰρξ κοινωνίᾳ τοῦ θεοῦ, ἡ μὴ οὖσα καθ' ἑαυτὴν θεός· καὶ τὰ μὲν σαρκὶ ἑπόμενα πάντα, ἑνότητι σαρκὸς ἴσχει ὁ θεός· τὰ δὲ θεοῦ ἴδια, τῇ πρὸς θεὸν ἑνώσει προσλαμβάνει ἡ σάρξ.

Πάλιν ἐν ἑτέρῳ λόγῳ ἐπιγεγραμμένῳ Μαρίας ἐγκώμιον, καὶ περὶ σαρκώσεως, οὕτω φησίν.

Μεῖζον ἤδη ὁρᾷ τὸ σῶμα διὰ τὸν συγκραθέντα, μεῖζον οὐ τοῦ ἑαυτοῦ λέγω σώματος μόνου, ἀλλὰ καὶ τῶν πυρίνων τῶν ἀγγελικῶν· πρὸς οὐδὲν γὰρ ἐκείνων συγκέκραται ὁ θεός· οὐδὲν ζωοποιὸν κόσμου, τῶν σωμάτων ἐκείνων οὐδέν· οὐκ ἐξισοῦται πρὸς θεὸν τῶν ἀγγέλων οὐδεὶς, ὡς ὁ κεκραμένος ἐκ σώματος καὶ θεότητος, ἑαυτὸν ἐξισοῖ τῷ θεῷ λέγων· ὡς ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ.

Καὶ μεθ᾽ ἕτερα πάλιν.

Καὶ ἐν ἑαυτῷ μὲν ἐνεργοῦν εἰδὼς τὸ πνεῦμα, τοιαύτην ἐνέργειαν οἵα καὶ χωρισθείη ἄν, θεῖον ἡγῇ σαυτὸν, ὡς καὶ ἀπὸ τοῦ σοῦ χρωτὸς ἀποφερόμενον ὕφασμα, δύνασθαι νόσους ἰᾶσθαι; τὸ δὲ ἀχωρίστως θεῷ συναφθὲν, καὶ ταυτὸν ἐκείνῳ διὰ τὴν ἕνωσιν τὴν οὐσιώδη γενόμενον, ὁ λόγος γάρ φησι σὰρξ ἐγένετο, τοῦτο οὐ θεῖον οὐδὲ θεὸν ὑπείληφας.

Πάλιν ἐν ἑτέρῳ λόγῳ, οὗ ἡ ἀρχὴ, οὐχ ἡδονὴ κρεοφαγίας παρὰ θεῷ, φησὶν οὕτως.

Οὐ μὴν ὅτι τὸ συναμφότερον ἐξ οὐρανοῦ, ἀλλ᾽ ἡνωμένον τῷ οὐρανίῳ, καὶ πρόσωπον ἓν μετ᾽ αὐτοῦ γεγονὼς οὐράνιον κατὰ τὴν ἕνωσιν ἐστὶν, καὶ ὡς οὐράνιον προσκυνεῖται τῇ τοῦ οὐρανίου θεοῦ προσκυνήσει, καὶ ὡς οὐράνιον σώζει τῇ τοῦ οὐρανίου δυνάμει.

Καὶ ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς, ἧς ἡ ἀρχὴ, ἐμοὶ καὶ φιλίας ὑπόθεσις ἡ εὐσέβεια, μετ᾽ ὀλίγα φησὶν οὕτως.

Ὅτι δὲ ἡμῖν οὐδεὶς ἐπάγειν δύναται ταῦτα κατά τινων λεγόμενα, δῆλόν ἐστιν ἐξ ὧν ἀεὶ γράφομεν· οὔτε τὴν σάρκα τοῦ σωτῆρος ἐξ οὐρανοῦ λέγοντες, οὔτε ὁμοούσιον τῷ θεῷ καθ᾽ ὅσόν ἐστι σὰρξ καὶ οὐ θεὸς· θεὸν δὲ καθ᾽ ὅσον εἰς ἓν πρόσωπον ἥνωται θεότητι.

Πάλιν ἐν ἑτέρῳ λόγῳ, οὗ ἡ ἀρχὴ, δοξάζομεν πρεπόντως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, φησὶν οὕτως περὶ τὸ τέλος.

Ζῶν δὲ Χριστὸς σῶμα θεόπνουν, καὶ πνεῦμα ἐν σαρκὶ θεϊκὸν, νοῦς οὐράνιος, οὗ μετασχεῖν εὐχόμεθα· κατὰ τὸ, ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· σὰρξ ἁγία θεότητι συμφυὴς, καὶ τοῖς μετέχουσιν αὐτῆς ἐνιδρύουσα θεότητα, θεμέλιος αἰω-

νίου ζωῆς, ἀρχηγὸς ἀφθαρσίας, ἀνθρώποις αἰωνίου κτίσεως δημιουργὸς, τοῦ μέλλοντος αἰῶνος πατήρ.

Πάλιν ἐν ἑτέρῳ λόγῳ συλλογιστικῷ, συγκειμένῳ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην, οὗ ἡ ἀρχὴ, διὰ τοῦ λόγου τὰ πάντα ἐγένετο, κατὰ τὸν εὐαγγελιστὴν, φησὶν οὕτως.

Πῶς οὐ θεὸς ἀληθινὸς ὁ λέγων τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμὶ, καὶ οὐκ ἔγνωκας με Φίλιππε; τὴν ὡς ἀνθρώπου συνδιατριβὴν μετὰ ἀνθρώπων ἐν τοσούτῳ χρόνῳ δηλῶν, καὶ τὸν ἄνθρωπον θεὸν ἀποδεικνὺς· ὥστε οὐκ αἰσχυντέον ὁμοούσιον τῷ θεῷ τὸν τοιοῦτον ἄνθρωπον λέγειν, θεότητος εἴδει τῷ πατρικῷ γνωριζόμενον, ὡς ἡ ὕλη τῷ σώματι.

Πάλιν ἐν τῷ ἑξῆς φησὶν οὕτως.

Οὔτε οὖν τὸ θεϊκὸν ἀνθρώπινον ποιεῖ τῇ διαιρέσει τῇ κατὰ τὸ σῶμα, τὸ ἐν ἰσότητι τῇ πρὸς τὸν θεὸν ποιητικῇ καὶ ἀνανεωτικῇ, ἀδύνατον εἶναι ἑτέραν φύσιν τὸ ἀνθρώπινον τοῦ Χριστοῦ κατὰ τὸ σῶμα ἐν τῇ πρὸς θεὸν ἰσότητι περιορίζεσθαι ἀνθρώπου περιορισμῷ, ὡς ἀνθρώπου σῶμα καὶ οὐ θεοῦ.

Καὶ πάλιν ἐν ἑτέρῳ λόγῳ συλλογιστικῷ, οὗ ἡ ἀρχὴ, τὸ διάφορον ἔχον ζωὴν, διάφορον ἐνέργειαν, φησὶν οὕτως.

Ζωοποιεῖ δὲ ἡμᾶς ἡ σὰρξ αὐτοῦ, διὰ τὴν συνουσιωμένην αὐτῇ θεότητα· τὸ δὲ ζωοποιὸν θεϊκὸν, θεϊκὴ ἄρα σὰρξ, ὅτι θεῷ συνήφθη· καὶ αὕτη μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα μετέχοντες αὐτῆς ὡς περιτροφῆς· τὸ δὲ θρεπτικὸν ἐνεργὸν ὂν ἐν τῷ τρεφομένῳ, ὁμοούσιον αὐτῷ καὶ οὐ τρεφόμενον· ὁμοίως καὶ εἰ τὸ ζωοποιὸν, οὐ ζωοποιούμενον ἐστὶν ὁμοίως τῷ ζωοποιουμένῳ, οὐχ ὁμοούσιον αὐτῷ· ἢ γὰρ ἂν ἦν σῶμα θανάτου ὡς τὸ ἡμέτερον ζωοποιεῖσθαι δεόμενον· οὐ σῶμα δὲ θανάτου

ἀλλὰ ζωῆς τὸ σῶμα τοῦ Χριστοῦ· οὐκ ἄρα ὁμοούσιον ἀνθρωπίνῳ τὸ θεῖον.

Καὶ ἐν τῷ πρὸς Φλαουϊανὸν λόγῳ, οὗ ἡ ἀρχὴ, ἔτι καὶ νῦν ὑπὸ τῶν εὐτελῶν ἀνθρώπων ῥαπίζεται Χριστὸς, μετὰ πολλὰ φησίν.

Πολλῷ δὲ μᾶλλον ἐπὶ τῆς τοῦ σώματος πρὸς σῶμα κράσεως, μένει τὸ τῆς φύσεως τῶν ἑνωθέντων· καὶ γὰρ καὶ τὸ σῶμα σῶμα, καὶ τὸ ἀσώματον ἀσώματον· καὶ τελεωτάτην ἕνωσιν λέγεται θεὸς σεσωματωμένος, καὶ σῶμα τεθεωμένον· καὶ καθ' ὃ μὲν θεὸς ὁ σεσωματωμένος ἄνθρωπος, τὸ συναμφότερον· καθ' ὃ δὲ σῶμα τεθεωμένον θεὸς, πάλιν αὐτὸ συναμφότερον.

Ἔπειτα μετὰ βραχέα φησὶν οὕτως.

Ἤδη ἀφίσταται τὸ σῶμα, τοῦ πλαστὸν εἶναι καὶ ἐν μορφῇ δούλου· ἀλλὰ δεδόξασται τῇ πρὸς ἄκτιστον ἑνώσει φυσικῇ, καὶ κατ' αὐτὴν τὴν γέννησιν τὴν ἐκ τῆς παρθένου· καὶ κατὰ τοῦτο οὐ μετέπεσεν ἐκ τοῦ πλαστὸν εἶναι, εἰς τὸ ἄκτιστον εἶναι, ἀλλ' ἥνωται τῷ ἀκτίστῳ· καὶ θεὸς ὢν κατὰ τὴν τοῦ θεοῦ ἕνωσιν, ἄκτιςόν ἐστιν ᾗ θεός· καὶ ἐπειδὴ τοῦ πατρὸς οὐκ ἂν γένοιτο σῶμα, οὐ γὰρ σωματοῦται πατὴρ, κατὰ τοῦτο οὐκ ἀγέννητον ῥηθείη ποτὲ, οὔτε ἰδίᾳ φύσει ἀγέννητον, ὥσπερ υἱὸς καὶ γέννημα, τῇ πρὸς τὸν γεννητὸν υἱὸν ἑνώσει φυσικῇ τε καὶ ἐξ ἀρχῆς.

Καὶ ἐν τῷ πρὸς Διόδωρον λόγῳ, τῷ πρώτῳ μετὰ τὸν περὶ τριάδος λόγον, ἐν κεφαλαίῳ ιδʹ οὕτως φησίν.

Τὸ ἐξαίρετον ἦν καὶ τὸ θαυμάσιον, καὶ τὸ εἰς ἅπαξ οὐκ ἐκ δευτέρου γινόμενον, ἡ πρὸς σάρκα ἕνωσις θεοῦ· ἣν οὐδαμῶς ἡ σὴ ψυχὴ παραδέχεται, οὐδὲ τῶν σὲ προαγόντων εἰς τὴν ἀσέβειαν ταύτην, καὶ τὴν ἀντίχριστον ἀπιστίαν· καὶ

διαπαίζεις τὴν ἄκραν ἕνωσιν, καὶ λέγεις οὐκ ἔτι μένει τὰ ἴδια τοῦ Θεοῦ, καὶ τὰ ἴδια τῆς σαρκὸς, ἐὰν ἕνωσις ᾖ, ἀλλὰ λύεσθαι τὴν ἄκραν ἕνωσιν Δαβὶδ, ἐὰν κατὰ σάρκα τὴν ἄκραν ἕνωσιν ὁμολογοῦμεν τὴν ἐκ Δαβίδ.

Καὶ ἐν τῷ κζ′ κεφαλαίῳ φησίν.

Ἀγανακτεῖς γοῦν ὅτι χάριτι τῇ τοῦ Θεοῦ προσειληφέναι τὴν ἀθανασίαν, τὸ ἐκ σπέρματος Δαβὶδ οὐ προσιέμεθα· κἂν τὴν αἰτίαν ἐρωτηθῶμεν, λέγομεν διὰ τὴν ἄκραν ἕνωσιν.

Πάλιν ἐν τῷ ξα′ κεφαλαίῳ.

Καὶ οὐκ αἰσχύνεται φύσιν μὲν τὴν αὐτὴν λέγων, γένεσιν δὲ διάφορον· μάταιον ὂν καὶ περιττὸν, τὴν ἐκ παρθένου γέννησιν εἰσάγεσθαι, εἰ μὴ καὶ τὸ γεννώμενον ἐπάξιον εἴη τῆς γεννήσεως, ἀλλὰ ταυτὸν τοῖς ἐξ ἀνδρὸς καὶ γυναικὸς γεννωμένοις· χλευάζων τὴν ἄκραν ἕνωσιν ὡς ἄκραν ἀσέβειαν, ἣν αἱ θεῖαι σαφῶς εἰσάγουσιν γραφαὶ, οὔτε τὸ ἀνθρώπινον ἀναιρετικὸν τοῦ Θεοῦ ποιοῦσαι, οὔτε τῷ θεϊκῷ τὸ ἀνθρώπινον ἀνατρέπουσαι.

Καὶ ἐν τῷ β′ λόγῳ τῷ πρὸς αὐτὸν Διόδωρον,
ἐν κεφαλαίῳ κβ′ οὕτως φησίν.

Καὶ ἐπειδὴ παρακαλεῖς ἡμᾶς ἀποκρίνασθαι, πῶς σπέρμα τοῦ Δαβὶδ, τὸ ἐκ τῆς θεϊκῆς οὐσίας, ἄκουε· ὅτι κατὰ σάρκωσιν πῶς τὸ κτιςὸν ἄκτιστον, ὡς ἑνωθὲν τῷ ἀκτίστῳ· πῶς δημιουργὸς τῆς κτίσεως, ὁ καρπὸς τῆς Δαβὶδ κοιλίας ὡς ἑνωθὲν τῷ δημιουργῷ· πῶς τὸ ἐξ Ἀβραὰμ πρὸ Ἀβραάμ, ὡς ἑνωθὲν τῷ πρὸ Ἀβραάμ.

Καὶ ἐν τῷ λς′ κεφαλαίῳ τοῦ αὐτοῦ λόγου.

Ἀλλὰ ταῦτα φλυαρῶν, λεγέτω πῶς τῷ Θεῷ καθ' ἑνότητα προσώπου συναφθὲν, οὐχὶ Θεὸς σὺν αὐτῷ; πῶς τὸ τῷ ἀκτίστῳ καθ' ἑνότητα ζωτικὴν ἑνωθὲν, οὐκ ἄκτιστον σὺν

αὐτῷ· εἰ γὰρ οὐ κοινὴ ἡ ἐπωνυμία, οὐδὲν οὕτως ἔσται τὸ συγκεκραμένον· πάντων δ' ἀλογώτατον, εἰ τοῖς μὲν τοῦ σώματος ὀνομάσωμεν τὸ ἀσώματον, λέγοντες σάρκα γεγενῆσθαι τὸν λόγον· τῷ δὲ τοῦ ἀσωμάτου μὴ προσαγορεύσομεν τὸ σῶμα, κατὰ τὴν ἕνωσιν μέν τοι τὴν πρὸς ἐκεῖνο· καὶ εἰ θαυμάζει πῶς τὸ κτιστὸν εἰς τὴν τοῦ ἀκτίστου προσηγορίαν ἑνοῦται, πολλῷ μᾶλλον ἕτερος θαυμάσει δικαίως, πῶς τὸ ἄκτιστον τῇ προσηγορίᾳ τῆς κτιστῆς σαρκὸς ἥνωται.

Καὶ ἐν τῇ ἀνακεφαλαιώσει τοῦ αὐτοῦ λόγου φησίν.

Εἰ ὁ λόγος σὰρξ ὠνόμασται διὰ τὴν ἕνωσιν, ἕπεται καὶ τὴν σάρκα λόγον ὀνομάζεσθαι διὰ τὴν ἕνωσιν· ὡς δὲ λόγος, οὕτω καὶ ἄκτιστος, οὐχ ὅτι μὴ ἔκτισται, ἀλλ' ὅτι λόγος ἐκ τῆς ἑνώσεως ἀπεφάνθη.

Πάλιν ἑξῆς οὕτως φησίν.

Ὡς ἄνθρωποι τοῖς ἀλόγοις ζώοις ὁμοούσιοι κατὰ τὸ σῶμα τὸ ἄλογον, ἑτεροούσιοι δὲ καθ' ὃ λογικοὶ, οὕτω καὶ ὁ κύριος ἀνθρώποις ὁμοούσιος ὢν κατὰ τὴν σάρκα, ἑτεροούσιος ἐστὶν καθ' ὃ λόγος καὶ θεός.

Καὶ ἐν συλλογιστικῷ λόγῳ, οὗ ἡ ἀρχὴ, ὅσα δύο ὄντα ἑνοῦται, ἢ εἴδει ἡ ὁμονοίᾳ δύο μένει, φησὶν τάδε.

Ὄργανον καὶ τὸ κινοῦν, μίαν πέφυκεν ἀποτελεῖν ἐνέργειαν· οὗ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία· μία ἄρα οὐσία γέγονεν τοῦ λόγου καὶ τοῦ ὀργάνου.

Πάλιν ἐν διαλόγῳ, οὗ ἡ ἀρχὴ, θεὸν ἢ ἄνθρωπον λέγεις τὸν Χριστὸν, μετ' ὀλίγα τὰ πρῶτα ἐρωτήσαντος τοῦ δι' ἐναντίας, καὶ πῶς τὸ σῶμα θεὸς καὶ δημιουργὸς καὶ δεσπότης, ἀπεκρίνατο εἰπών.

Ὅτι θεοῦ σῶμα καὶ δημιουργοῦ καὶ δεσπότου τὴν ἑνότητα ἔχον, ἣν οὐχ εὑρήκαμεν οὖσαν ἀνθρώπου πρὸς θεόν.

Πάλιν ἐν λόγῳ, οὗ ἡ ἀρχὴ, τὸ πίστεως ἀγαθὸν φυλάξωμεν, φησὶν οὕτω περὶ τὰ τέλη.

Ἄθλιοι δὴ καὶ ὄντως ταπεινοὶ τὰς ψυχὰς, οἱ τὸ οὕτω σεμνὸν καὶ μέγα, καὶ παγκόσμιον σέβασμα μικρὸν ἡγούμενοι· ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσι, τοῦ Ἀπολιναρίου εἶναι τὰς ἐπ᾽ ὀνόματι Ἰουλίου φερομένας ἐπιστολὰς, πλὴν ὧν Ἀθανάσιος καὶ οἱ ἱστορικοὶ μέμνηνται αὐτοῦ ἐπιστολῶν· οἱ γὰρ αὐτοῦ Ἀπολιναρίου μαθηταὶ, παλαιότεροι πάντων τῶν ταύταις χρησαμένων, οὐ μόνον ἀποσχιστῶν τῶν Ἰουλίου ὡς εἰκὸς ταύτας ἐπιγραψάντων, ἀλλὰ καὶ τῶν ὀρθοδόξων εἰσὶν, ὧν οἱ τῇ ἐπιγραφῇ συναρπαγέντες, ὀρθῶς ταύτας καὶ νοεῖν καὶ λέγειν ἴσως ἠνεχέθησαν, διὰ τὸ τοῦ προσώπου ἀξιόπιστον· ἄλλως τε καὶ πάντων μᾶλλον τὸν ὀρθοδόξων, ἐκείνους εἰκὸς τοὺς λόγους τοῦ ἰδίου ἐπίστασθαι διδασκάλου· ἵνα δὲ μὴ μόνον ἐκ τῆς μαρτυρίας τῶν μαθητῶν, τοὺς αὐτοῦ ἐπιγινώσκωμεν λόγους, κἄν τε Ἰούλιον, κἄν τε Γρηγόριον, κἄν τε Ἀθανάσιον ψευδῶς τινὲς αὐτοῖς ἐπιγράφουσιν, ἀλλὰ καὶ ἐκ τῆς συγγενείας τῶν λόγων, καὶ τοῦ χαρακτῆρος φέρε πρὸς αἷς οἱ προειρημένοι αὐτοῦ μαθηταὶ παρήγαγον αὐτοῦ χρήσεις λόγων, καὶ ὁλοτελεῖς αὐτοῦ καὶ ὁλοκλήρους παραθῶμεν λόγους, πρὸς τελεωτάτην πληροφορίαν, τῶν φιλαληθῶς ἐντυγχανόντων τῆς ἐν τούτοις τε καὶ τοῖς ψευδεπιγράφοις ταυτότητος.

Ἀπολιναρίου ἐκ παλαιοῦ ἀντιγράφου εὑρεθέντος ἐν τῇ βιβλιοθήκῃ τοῦ τῆς Σιδωνίων θεοφιλεστάτου ἐπισκόπου Ἀνδρέου.

Κυρίοις τιμιωτάτοις ἐπίσκοπος τοῖς ἐν Διοκαισαρείᾳ ἐν κυρίῳ χαίρειν.

Προσεδοκῶμεν γράμματα τιμῆς ἀποστείλαντες, ὁμοίως

τεύξεσθαι παρὰ τῆς ὑμετέρας ἀγάπης, κύριοι τιμιώτατοι, οἵων ἀεὶ παρὰ τοῦ μακαρίου ἐπισκόπου Ἀθανασίου, εἰδότες ἡμᾶς καὶ τοῖς δόγμασι συμφώνους αὐτῷ, καὶ περὶ πάντα πειθηνίους· ἐπεὶ δὲ οὐκ ἀντεγράψατε, διὰ τοῦτο λογισάμενοι, μή ποτε τὸ μῆκος τῆς ἐπιστολῆς οὐ σαφῆ τὴν γνώμην ἡμῶν κατέστησεν ὑμῖν, ἰδοὺ σαφῶς γράφομεν ἀκόλουθα τῷ κοινῷ διδασκάλῳ ὑμῶν τε καὶ ἡμῶν, λέγω δὲ ταῦτα περὶ τῆς θείας σαρκώσεως· ἐπειδὴ τούτων ἕνεκα πολὺς θόρυβος οὐκ ἐξ ἡμῶν κινηθεὶς, ἀλλ' ἐξ ἑτέρων, περὶ ὧν σιωπῶ· ἡμεῖς ὁμολογοῦμεν, οὐκ εἰς ἄνθρωπον ἅγιον ἐπιδεδημηκέναι τὸν τοῦ θεοῦ λόγον, ὅπερ ἦν ἐν προφήταις, ἀλλ' αὐτὸν τὸν λόγον σάρκα γεγενῆσθαι, μὴ ἀνειληφότα νοῦν ἀνθρώπινον, νοῦν τρεπόμενον καὶ αἰχμαλωτιζόμενον λογισμοῖς ῥυπαροῖς, ἀλλὰ θεῖον ὄντα νοῦν ἄτρεπτον οὐράνιον· διὸ καὶ οὐ σῶμα ἄψυχον, οὐδὲ ἀναίσθητον, οὐδὲ ἀνόητον εἶχεν ὁ σωτὴρ, οὐδὲ γὰρ οἷόν τε ἦν τοῦ κυρίου δι' ἡμᾶς ἀνθρώπου γεγενημένου, ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ· υἱός τε ὢν ἀληθῶς τοῦ θεοῦ, γέγονε καὶ υἱὸς ἀνθρώπου· καὶ μονογενὴς ὢν υἱὸς τοῦ θεοῦ, γέγονεν ὁ αὐτὸς καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς· διὸ οὐδὲ ἕτερος ἦν ὁ πρὸ Ἀβραὰμ υἱὸς τοῦ θεοῦ, ἕτερος δὲ ὁ μετὰ Ἀβραὰμ, ἀλλ' εἷς τέλειος τοῦ θεοῦ μονογενής· τέλειος δὲ θείᾳ τελειότητι καὶ οὐκ ἀνθρωπίνῃ· τοῖς ταῦτα φρονοῦσιν ὁμολογοῦμεν κοινωνεῖν· τοῖς δὲ τἀναντία φρονοῦσι καὶ γράφουσιν, οὐ κοινωνοῦμεν.

Τοῦ αὐτοῦ ἐκ τῆς κατὰ μέρος πίστεως.

Ἐπειδή τινες παρηνόχλησαν ἡμῖν, ἀνατρέπειν ἐπιχειροῦντες τὴν πίστιν ἡμῶν, τὴν εἰς τὸν κύριον Ἰησοῦν Χριστὸν, ὡς θεὸν σαρκωθέντα ἀποφαίνοντες αὐτὸν, ἄνθρωπον θεῷ συναφθέντα, τούτου χάριν ὁμολογίαν ποιούμεθα περὶ

τῆς προειρημένης πίστεως, ἐκβάλλοντες τὴν ἄπιστον ἀντιλογίαν, καὶ τὸν εὐπρόσωπον αὐτῆς σχηματισμὸν, τὸ λέγειν ὅτι θεὸς ἦν ἄνθρωπον ὅλον ἀναλαβὼν, ἐπειδήπερ ὅλος ἄνθρωπος, οὐ καθαρὸς ἁμαρτίας ἐν τῇ παρούσῃ ζωῇ κατὰ τὰς γραφὰς, διὰ τὸ μὴ δύνασθαι ταῖς θείαις ἐνεργείαις εἰς ταυτὸν ἄγειν τὰς ἑαυτοῦ· καὶ διὰ τοῦτο οὐδὲ ἐλεύθερος θανάτου· θεὸς δὲ σαρκὶ ἑνωθεὶς ἀνθρωπείᾳ, καθαρὰν ἔχει τὴν ἰδίαν ἐνέργειαν, νοῦς ἀήττητος ὢν τῶν ψυχικῶν καὶ σαρκικῶν παθημάτων, καὶ ἄγων τὴν σάρκα καὶ τὰς σαρκικὰς κινήσεις θεϊκῶς τε καὶ ἀναμαρτήτως, καὶ οὐ μόνον ἀκράτητος θανάτῳ, ἀλλὰ καὶ λύων θάνατον· καὶ ἔστιν εἷς ἀληθινῇ καὶ θείᾳ τελειότητι· οὐ δύο πρόσωπα, οὐ δύο φύσεις τέλειαι καθ᾽ ἑαυτάς· ὅτι μηδὲ θεμιτὸν δύο υἱοὺς λέγειν, μηδὲ τέσσαρα προσκυνεῖν, θεὸν, καὶ υἱὸν θεοῦ, καὶ υἱὸν ἀνθρώπου, καὶ πνεῦμα ἅγιον, μηδὲ ἄνθρωπον πρὸ τοῦ ἁγίου πνεύματος δοξάζειν· διὸ καὶ ἀναθεματίζομεν ὡς ἀσεβοῦντας τοὺς ἄνθρωπον ἐν τῇ θείᾳ δοξολογίᾳ τιθέντας μετὰ τοῦ θεοῦ καὶ τοῦ υἱοῦ πρὸ τοῦ πνεύματος· ἄνθρωπον δὲ ὅλον ἀναλαμβανόμενον ὑπὸ τοῦ θεοῦ πρὸς σωτηρίαν φαμὲν ἕκαστον ἡμῶν τῶν ἁγιαζομένων, καὶ τὴν ὁμοίωσιν τοῦ ἐπουρανίου λαμβανόντων ἀνθρώπου, καὶ θεοποιουμένων πρὸς ὁμοίωσιν τοῦ φύσει καὶ ἀληθῶς θεοῦ, κατὰ σάρκα δὲ ἀνθρώπου κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ ἐν τῷ πρὸ αὐτοῦ κεφαλαίου.

Ὁμολογοῦμεν ἕνα θεὸν ἀληθινὸν ὡς μονάρχην, καὶ ἕνα υἱὸν ἀληθινὸν θεὸν ἐξ ἀληθινοῦ θεοῦ, φυσικῶς τὴν πατρικὴν θεότητα ἔχοντα, τουτέστιν ὁμοούσιον τῷ πατρί· καὶ ἓν πνεῦμα ἅγιον φύσει καὶ ἀληθείᾳ, τὸ πάντων ἁγιαστικὸν καὶ θεοποιὸν, ὑπάρχον ἐκ τῆς οὐσίας τοῦ θεοῦ δι᾽ υἱοῦ (1)· τοὺς

(1) Hoc denuo loco animadvertamus processionem aeternam Spiritus

δὲ ἢ τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον κτίσμα λέγοντας ἀναθεματίζομεν, καὶ τοὺς μὴ εἶναί ποτε φάσκοντας τὸν υἱὸν ἢ τὸ πνεῦμα· τὰ δὲ πάντα ὁμολογοῦμεν ποιήματα καὶ δοῦλα καὶ κτισθέντα ὑπὸ θεοῦ δι' υἱοῦ, ἐν ἁγίῳ πνεύματι καὶ ἁγιασθέντα· ἔτι ὁμολογοῦμεν τὸν υἱὸν τοῦ θεοῦ, υἱὸν ἀνθρώπου γεγενῆσθαι, οὐκ ὀνόματι ἀλλ' ἀληθείᾳ προσλαβόντα σάρκα ἐκ Μαρίας παρθένου, καὶ εἶναι ἕνα τέλειον, οὐ δύο τέλεια ἡνωμένα, αὐτὸν υἱὸν θεοῦ καὶ υἱὸν ἀνθρώπου, μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον, καὶ μίαν τὴν προσκύνησιν τοῦ λόγου καὶ τῆς σαρκός· καὶ ἀναθεματίζομεν τοὺς δύο λέγοντας καὶ διαφόρους προσκυνήσεις ποιοῦντας, μίαν θεϊκὴν καὶ μίαν ἀνθρωπίνην, καὶ τοὺς προσκυνοῦντας τὸν ἐκ Μαρίας ἄνθρωπον, ὡς ἕτερον ὄντα παρὰ τὸν ἐκ θεοῦ θεόν· ὁμολογοῦμεν τὸ πάθος τοῦ κυρίου κατὰ σάρκα, τὴν ἀνάστασιν ἐν δυνάμει θεότητος αὐτοῦ, ἀνάβασιν εἰς οὐρανὸν, παρουσίαν ἐρχομένην ἔνδοξον ἐπὶ κρίσει ζώντων καὶ νεκρῶν, καὶ ζωῇ αἰωνίῳ τῶν ἁγιαζομένων.

Τοῦ αὐτοῦ Ἀπολιναρίου, ἐκ τοῦ εἰς τὴν παράδοσιν τῆς ἀποτάξεως καὶ τῆς πίςεως λόγου, οὗ ἡ ἀρχὴ, τὸν ἐκπεσόντα θεοῦ ἄνθρωπον κατεῖχεν ὁ ἀπατήσας διάβολος.

Εἰ ἄνθρωπος ἐξ ὁλοκλήρου, καὶ θεὸς ὁ αὐτὸς, τὸν μὲν ἄνθρωπον ὁ εὐσεβὴς νοῦς οὐ προσκυνῶν, τὸν δὲ θεὸν προσκυνῶν, εὑρεθήσεται τὸν αὐτὸν προσκυνῶν καὶ μὴ προσκυνῶν, ὅπερ ἀδύνατον· καὶ αὐτὸς ἑαυτὸν ὁ μὲν ἄνθρωπος οὐχ ἡγούμενος προσκυνητὸν, οὐ γὰρ ἀσεβήσει· ὁ δὲ θεὸς εἰδὼς

sancti etiam a Filio. Nam sicuti mox dicit Apollinaris creaturas a Deo factas per Filium, ita heic adfirmat Spiritum sanctum existere substantialiter a Deo per Filium. Iam si nemo negat, Filium creatorem esse mundi cum Patre; nemo item negare poterit, eundem Filium spiratorem esse Spiritus sancti cum Patre; quod est sollemne et invictum catholicae rom. ecclesiae adversus schismaticos graecos dogma.

ἑαυτὸν προσκυνητόν· ἀδύνατον δὲ τὸν αὐτὸν, καὶ προσκυνητὸν ἑαυτὸν εἰδέναι καὶ μὴ, ἀδύνατον ἄρα τὸν αὐτὸν εἶναι Θεόν τε καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν μονότητι συγκράτου φύσεως θεϊκῆς σεσαρκωμένης· ὥστε πρὸς Θεὸν ἀφορᾷν ἀχώριστον τῆς σαρκὸς τοὺς προσκυνοῦντας, καὶ μὴ ἀφορᾷν εἰς ἕνα μὲν οὐ προσκυνητὸν, εἰς ἕτερον δὲ προσκυνητόν· μηδὲ ἐν αὐτῷ εἶναι, τὸν μὲν οὐκ ἀνεχόμενον προσκυνεῖσθαι, τὸν δὲ προσδεχόμενον τὴν ἐπὶ σωτηρίᾳ τῶν προσκυνούντων προσκύνησιν· ἀλλ' ἕνα εἶναι τῷ ὄντι κατὰ τὴν μίαν οὐσίαν, καὶ οὐδαμῶς δύο τινὰς ἐν προσώποις ὑφεστῶσι, κατ' ἴδια μέτρα καὶ ἰδίας ἀξίας· οἶμαι τὸν μὴ πάνυ φιλονεικεῖν ἐγνωκότα, μηκέτι οἴεσθαι τούτοις εὐλόγως ἀντειπεῖν δύνασθαι· ἀλλ' εὐθὺ, καὶ οἷον εἰπεῖν ἀβιάστως, πείθεσθαι τῇ ἀληθείᾳ, καὶ πάσαις ψήφοις ὁμολογεῖν, ὡς εἶεν Ἀπολιναρίου αἱ ψευδῶς Ἰούλιον, Γρηγόριόν τε, καὶ Ἀθανάσιον ἐπιγραφόμεναι τῶν ἐπιστολῶν, ἤτοι περὶ σαρκώσεως λόγων.

Οὐ χρὴ δὲ ἡμᾶς θαυμάζειν, εἰ καὶ οἱ περὶ Οὐαλεντῖνον, καὶ οἱ περὶ Τιμόθεον μαθηταὶ ὄντες Ἀπολιναρίου, οἱ μὲν τὸ ὁμοούσιον ὁμολογοῦσιν, οἱ δὲ ἀθετοῦσι, καὶ ἀμφότεροι ἐκ τοῦ διδασκάλου ἀλλήλους καταγωνίζονται καὶ γὰρ καὶ ἄλλας ἀσεβεστέρας αὐτοῦ βλασφημίας ἐκτίθεται ὁ θεολόγος Γρηγόριος ἐν τῇ πρὸς Νεκτάριον ἐπιστολῇ, ὡς ἐκ τῶν αὐτοῦ λόγων· διαβεβαιοῦται γὰρ, φησὶ, μὴ ἐπίκτητον εἶναι τὴν σάρκα κατ' οἰκονομίαν ὑπὸ τοῦ μονογενοῦς υἱοῦ προσληφθεῖσαν, ἐπὶ μεταστοιχειώσει τῆς φύσεως ἡμῶν, ἀλλ' ἐξ ἀρχῆς ἐν τῷ υἱῷ τὴν σαρκώδη ἐκείνην φύσιν εἶναι· καὶ ἔτι εἰπὼν ὀλίγα, ἐπάγει· καὶ οὔπω τοῦτο δεινὸν, ἀλλὰ τὸ πάντων χαλεπώτατον, ὅτι αὐτὸν τὸν μονογενῆ Θεὸν, τὸν κριτὴν πάντων, τὸν ἀρχηγὸν τῆς ζωῆς, τὸν καθαιρέτην τοῦ θανάτου

θνητὸν εἶναι κατασκευάζει, καὶ τῇ ἰδίᾳ αὐτοῦ θεότητι τὸ πάθος καταδέξασθαι, καὶ ἐν τῇ τριημέρῳ ἐκείνῃ νεκρώσει τοῦ σώματος, καὶ τὴν θεότητα συναπονεκρωθῆναι τῷ σώματι, καὶ οὕτω παρὰ τοῦ πατρὸς πάλιν ἀπὸ τοῦ θανάτου διαναστῆναι· τὰ δ᾽ ἄλλα ὅσα προστίθησι τοιαύταις ἀτοπίαις, μακρὸν ἂν εἴη διεξιέναι· οὐ θαῦμα οὖν εἰ διὰ μέσου τῆς ἐλάττονος ἀσεβείας, τῆς ὁμοούσιον τῇ θεότητι τὸ σῶμα γεγενῆσθαι λεγούσης, ἐπὶ τὰς μείζους προέκοψεν, ἀγνοίᾳ προσλαμβάνων ἄγνοιαν, καὶ ἀσέβειαν ἀσεβείᾳ· καὶ φαίνεται μᾶλλον ὁ Τιμόθεος εἶναι τῶν τὰ ἀπόῤῥητα τῆς ἀσεβείας καὶ ῥᾳδιουργίας θαῤῥουμένων· δι᾽ αὐτοῦ γὰρ καὶ τὰ συστατικὰ αὐτοῦ γράμματα πρὸς τοὺς δυτικοὺς, ἠδυνήθη παρὰ τοῦ μεγάλου Ἀθανασίου λαβεῖν, ὡς κατὰ τῆς ἀσεβείας Ἀρείου σπουδάζων, καὶ παρ᾽ ἐκείνων ὡς πρὸς ἐπίσκοπον κομίσασθαι γράμματα· ἀλλ᾽ οὐκ εἰς τέλος αὐτοῦ διέλαθεν ἡ σκευωρία· τὸ δεύτερον γὰρ μετὰ τὴν Ἀθανασίου κοίμησιν, ἐπὶ Ῥώμην πάλιν σταλεὶς, δέχεται τήν τε ἑαυτοῦ καθαίρεσιν, καὶ τοῦ ἀποστείλαντος Ἀπολιναρίου.

Edidi, non sine meo labore nisuque per aestivos romani caeli calores, graecum quinque opusculorum Leontii textum, ex praeclaro codice sumptum. Hactenus enim, ut iam monui, nonnisi latina extabat Fr. Turriani magni viri et de ecclesia Dei optime meriti interpretatio; bona quidem, sed quae originalis dictati desiderium non restinguebat. Quippe scimus quanti intersit, divinis praecipue in rebus, fontem ipsum doctrinarum adire. Praeter quam quod graecae quoque linguae, ad theologicum sermonem quod adtinet, non mediocri locutionum atque idiotismorum numero augeri contingit. Iam si haec opuscula cum duobus aliis maioris molis iungantur, quae in tomis septimo et nono Script. vet. dedimus, et si reliquae Leontii partes sive apud nos sive apud alios sparsim editae coacerventur, egregium quoddam theologiae corpus existet, quod suadente S. Germano (Spicileg. T. VII. p. 49.) appellandum erit ΛΕΟΝΤΙΑ, *et in ecclesiae thesauro cum reverentia locandum.*

ΤΟΥ ΟΣΙΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΕΦΑΛΑΙΑ ΙΒ (1)

Δι' ὧν ἐλέγχονται οἱ τῆς ἀποστασίας ἔξαρχοι, προσκόψαντες εἰς τὴν ἱερὰν ἡμῶν καὶ ἀμώμητον πίστιν, ἀνατρέποντες τὴν ἔνσαρκον καὶ σωτήριον οἰκονομίαν τοῦ δεσπότου Χριστοῦ καὶ Θεοῦ ἡμῶν· ὅθεν κατὰ τοὺς θείους κανόνας καὶ φιλευσεβεῖς νόμους, ἀλλότριοι τῆς ἁγίου τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τυγχάνουσι· καὶ ὡς οὐκ ἔξεστιν αὐτοῖς λαλεῖν οὔτε ἐπ' ἐκκλησίας οὔτε ἐπὶ κοινοῦ καὶ δημώδους δικαστηρίου.

A Ὅτι τὴν παράδοσιν, ἣν παρέλαβεν ἐξ ἀρχῆς καὶ ἄνωθεν ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, καὶ πάντες οἱ χριστιανοὶ ἐφύλαξαν καὶ φυλάττουσιν, οὗτοι ἠθέτησαν καὶ ἀπεσείσαντο· φανερὸν δὲ πᾶσιν ὅτι ἡ χρονία καὶ ἀρχαία τῆς ἐκκλησίας παράδοσις, πάντων ἔστι τὸ ἰσχυρότατον, καὶ πάσης ἀποδείξεως ἐναργέστερον καὶ βεβαιότερον, καθὼς οἱ ἅγιοι ἡμῶν πατέρες διδάσκουσι τοῖς ἀποστολικοῖς ἑπόμενοι θεσπίσμασιν· ὁ γὰρ μέγας ἀπόστολος παρακελεύεται, ὅτι κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε ἐγγράφως καὶ ἀγράφως· καὶ εἴ τις παρὰ ταῦτα εὐαγγελίζεται ὑμῖν, ἀνάθεμα.

(1) Sancti Nicephori patriarchae CP. opuscula duo latine tantummodo dedit Canisius A. L. T. II. part. 2. p. 4-8, Fr. Turriano interprete. Nos eadem graece invenimus in prisco codice, unde Germani quoque tractatum et canonicum Photii syntagma extulimus; eaque heic atteximus. Prius opusculum capitulis duodecim constans varie invehitur contra Iconomachos. Alterum item contra Iconomachos decem capitulis demonstrat Christi imaginem cruce ipsa esse venerabiliorem.

Ὅτι τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους ἔῤῥιψαν, τὴν μὲν B
ἁγίαν σύνοδον ἠθέτησαν, Εὐσέβιον τὸν τοῦ Παμφίλου διδάσκαλον προβαλλόμενοι, καὶ τοὺς ὁμόφρονας αὐτοῦ· ὅστις γέγονε τῆς ἀρειανῆς μανίας ἔξαρχος, πλείονα καὶ χείρω ἁπάντων Ἀρειανῶν εἰς τὸν υἱὸν τοῦ θεοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν δυσφημήσας, κτίσμα καὶ ποίημα αὐτὸν κακῶς καὶ ἀθέως δογματίσας, ὡς δηλοῦσι καὶ τὰ λοιπὰ συντάγματα αὐτοῦ, καὶ αὕτη ἡ ἐπιστολὴ ἣν πρὸς Κωνσταντίαν τὴν βασίλισσαν γεγράφηκεν, ἐν ᾗ κατὰ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, τὸ ἀπαράγραπτον ἐκενολόγησεν· οἱ δὲ τὸ ἀσεβὲς αὐτοῦ δόγμα ἀποδεχόμενοι καὶ λέγοντες ὅτι μετέγνω καὶ ἐδέχθη παρὰ τῇ συνόδῳ, ἴστωσαν ὅτι ψευδές ἐστι· μετὰ γὰρ χρόνους τινὰς, ἡνίκα τινὲς τῶν ἁπλουστέρων μνήμην αὐτοῦ ἐποιοῦντο, σύνοδος ἠθροίσθη ἐν τῇ Ἀλεξανδρέων πόλει, καὶ τούτους μὲν ἐπιτιμίοις καθυπέβαλον, τὴν δὲ μνήμην αὐτοῦ παντάπασιν ἐκ τῆς ἐκκλησίας ἐξώρισαν· καὶ ὡς ἐξωσμένος ἐκ τῆς τοιαύτης ἁγίας συνόδου, οὐδαμοῦ ἐν τῇ ἐκκλησίᾳ μνήμη αὐτοῦ πολιτεύεται· οἱ δεχόμενοι δὲ τοὺς παρὰ τῆς ἁγίας συνόδου ἐκβεβλημένους, τῷ αὐτῷ ἀναθέματι ὑπόκεινται.

Ὅτι παρὰ τῆς ἁγίας τρίτης συνόδου τοῖς ἀναθέμασι καθυποβέβληνται· ἐκήρυξε γὰρ ἡ αὐτὴ ἁγία τρίτη σύνοδος περιγραπτὸν εἶναι τὸν Χριςὸν καὶ θεὸν ἡμῶν τὸ κατὰ σάρκα, καὶ τοὺς μὴ καταδεχομένους τὴν φωνὴν ταύτην ἀνεθεμάτισαν. Γ

Ὅτι τοῖς αὐτοῖς ἀναθέμασιν ὑπόκεινται παρὰ τῆς ἁγίας με- Δ
γάλης τετάρτης συνόδου, ἥ τις τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριςὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ φύσεσι καὶ μιᾷ ὑποστάσει γνωριζόμενον, τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι ἐδογμάτισεν· ὅπερ οὐδὲν ἕτερον, ἢ ἀπερίγραπτον ὁμολογεῖν κατὰ τὴν θεότητα, περιγραπτὸν δὲ κατὰ τὴν ἀνθρωπότητα· τὸ γὰρ τέλειον ἐπ' ἀμφοτέρων ἑτέρως οὐ διασώζεται· οὗτοι δὲ τὴν σύνοδον ἀθετήσαντες, τὸ ἀπερίγραπτον αὐτῷ κατὰ πάντα ἐπιφημίζουσιν.

Ὅτι τὰ καλῶς καὶ εὐσεβῶς δογματισθέντα παρὰ τῶν πατέ- E
ρων τῆς ἁγίας ἕκτης συνόδου, διέπτυσαν καὶ κατεπάτησαν· οὗτοι γὰρ οἱ θεοφόροι ἡμῶν πατέρες, ἔν τισι τῶν σεπτῶν εἰκόνων

γραφαῖς, καὶ τὸν ἀμνὸν ἱστορούμενον εὑρόντες· εἰς τύπον παραληφθέντα τοῦ ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου Χριστοῦ, τοῦτον μὲν ὡς τύπον καὶ σκιὰν τοῦ μυστηρίου τῆς οἰκονομίας φέροντα ἔπαυσαν, τὴν χάριν δὲ προτιμῶντες καὶ τὴν ἀλήθειαν, ὡρίσαντο ἐξ ἐκείνου τοῦ χρόνου καὶ εἰς τὸ ἑξῆς, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ μόνον, τὴν τοῦ σωτῆρος εἰκόνα ἀναστηλοῦσθαι.

ς "Οτι πρὸς τούτοις ἀποβάλλονται τὴν ἁγίαν οἰκουμενικὴν ἑβδόμην σύνοδον, τὴν ἐν Νικαίᾳ τὸ δεύτερον, ἥ τις κανονικῶς καὶ ἐνθέως συνηθροίσθη, συνεδρευόντων καὶ τῶν λοιπῶν ἀποστολικῶν καὶ ἀρχιερατικῶν θρόνων, ἧς καὶ ἐν τῷ ὅρῳ πάντες οἱ νῦν ἀποστατήσαντες ὑπέγραψαν· τά τε ἰδιόχειρα αὐτῶν πατήσαντες, καὶ τὴν ἐπ' αὐτοὺς γενομένην χάριν ἀθετήσαντες, καὶ τῆς χάριτος ἐκπεπτωκότες τοῦ ἁγίου πνεύματος, τὴν ματαίαν καὶ ἀνθρωπίνην δόξαν ἑκόντες τῆς θείας ἀληθοῦς δόξης προκρίναντες· αὕτη δὲ ἡ ἁγία σύνοδος τὴν μὲν ἐξ ἀρχῆς κρατήσασαν ἐν τῇ ἐκκλησίᾳ συνήθειαν, ἀποςολικῶς καὶ πατρικῶς δογματίσασα ἐκύρωσε· τοὺς δὲ ἀθετήσαντες καὶ ὑβρίσαντας τὴν θείαν τοῦ σωτῆρος ἡμῶν οἰκονομίαν ἀνεθεμάτισεν, ὡς τολμήσαντας παρανόμως καὶ ἀνοσίως κατὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ χεῖρας ἐπιβαλεῖν.

Ζ "Οτι τὴν ἔνσαρκον τοῦ θεοῦ λόγου οἰκονομίαν, τὴν κυρίως καὶ οὐ κατὰ φαντασίαν οὐδὲ δόκησιν, ἠρνήσαντο· τοῖς ἀνοσίοις δὲ δόγμασι τῶν ἀθέων Μανιχαίων μαθητευθέντες, καὶ ἐξακολουθήσαντες· δογματίζοντες ὅτι ἀπερίγραπτός ἐστιν ὁ Χριστὸς κατὰ τὸ ἀνθρώπινον· καὶ φαντασίᾳ καὶ δοκήσει τὴν θείαν σάρκωσιν καὶ οἰκονομίαν γενέσθαι φλυαρήσαντες, καὶ διὰ τοῦτο εἴδωλον τὴν εἰκόνα Χριστοῦ ἐτόλμησαν ὀνομάσαι, καὶ εἰδωλολατρίαν ἑαυτοῖς καὶ τῆς χριστιανοῖς ἐπέγραψαν, κατηγοροῦντες τοῦ Χριστοῦ ὅτι οὐκ ἴσχυσεν ἡμᾶς ἐκ τῶν εἰδώλων της λατρείας λυτρώσασθαι· καὶ διὰ τοῦτο ὡς εἰδωλολάτρας ἑαυτοὺς νομίζοντες, ὡς ἕλληνες ἄπιστοι καταδικάζονται.

Η "Οτι τὴν τῶν χριστιανῶν ἀμώμητον πίστιν, καὶ τὴν ἀρχαίαν παράδοσιν ἀρνησάμενοι, παντάπασι τοὺς σεβασμίους ναοὺς κατ-

ἔσκαψαν, τὰ θυσιαστήρια κατώρυξαν, τὰς ἱερὰς ἐνδυτὰς ἐν μέσῃ τῇ ἀγορᾷ κατέκαυσαν, καὶ τὰ λοιπὰ ἱερὰ σκεύη συνέτριψαν· μεθ' ὧν καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, συγκατεπάτησαν καὶ ἠφάνισαν, χείρονα Ἰουδαίων καὶ ἑλλήλων εἰς τὰ σύμβολα τῆς πίστεως ἡμῶν διαπραξάμενοι, ἅπερ τὸ ἐξ ἀρχῆς εὐσεβεῖς βασιλεῖς καὶ ἱερεῖς καὶ ἕτεροι φιλόθεοι ἄνδρες, πόθῳ καὶ πίστει τῇ εἰς Χριστὸν εἰργάσαντο καὶ προσήνεγκαν αὐτῷ.

Ὅτι αἴτιοι καὶ ἀρχηγοὶ ἐγένοντο τῆς ἐκτομῆς τῶν μελῶν τῶν Θ
χριστιανῶν, καὶ τῆς ἐκχύσεως τῶν αἱμάτων αὐτῶν, καὶ τῶν ξένων καὶ παραδόξων θανάτων δεσμῶν τε καὶ φυλακῶν καὶ λιμῶν, καὶ ἐξοριῶν καὶ θηρεύσεων αὐτουργοὶ γενάμενοι· ἐπειδὴ ἀπατεῶνες καὶ πλάνοι ὄντες, καὶ ψευδομαντείαις καὶ γοητείαις χρώμενοι, τοὺς διὰ τὰς ἁμαρτίας ἡμῶν ἄρξαντας ἀσεβεῖς εἰς τὴν τῶν εὐσεβούντων μιαιφονίαν ἐπὶ πλεῖον παρώρμησαν, πλῆθος ἐτῶν, καὶ εὐημερίαν αὐτοῖς ψευδῶς καὶ ἀθέως ἐπαγγειλάμενοι· ὧν τὸ ψεῦδος καὶ τὴν ἀπάτην τὸ ἐξαίσιον τέλος καὶ ἡ πονηρὰ καταστροφὴ τῶν πλανηθέντων ἤλεγξεν.

Ὅτι τὰς βίβλους τῶν ὁσίων πατέρων ἡμῶν, ἃς εἰς διδασκαλίαν I
καὶ ὠφέλειαν της ἐκκλησίας ἐξέθεντο, ἐνόθευσαν καὶ διέφθειραν.

Ὅτι οἱ ἀρχηγοὶ τῆς ἀποστασίας, ἑκόντες ἑαυτοὺς τῆς καθολι- IA
κῆς ἐκκλησίας χωρίσαντες, καὶ παρὰ συναγωγὰς ποιήσαντες παρὰ τῶν τηνικαῦτα ἀρχιερέων ὑπὸ τῶν ἱερῶν κανόνων καθῃρέθησαν.

Ὅτι παντελῶς τῆς πίστεως τῆς καθολικῆς ἐκκλησίας ἀποστα- IB
τήσαντες, καὶ πάντα τὰ ἔθη καὶ τοὺς νόμους καὶ τὰ μυστήρια τῶν χριστιανῶν καταπατήσαντες, καὶ αὐτοὺς τοὺς ἱεροὺς ἡμῶν πατέρας ἀναθεματίσαντες, ἀπόβλητοι παρά τε τῶν ἀποστολικῶν καὶ ἀρχιερατικῶν μεγάλων θρόνων, καὶ πάντων χριστιανῶν ὑπάρχουσι, καὶ οὐδεμίαν κοινωνίαν οὐδὲ κλῆρον μετὰ τῶν εὐσεβούντων ἔχουσιν· ἀλλὰ μυρίων κακῶν ὑπεύθυνοι γενόμενοι, μυρίοις καὶ ἀναθέμασι καθυπεβλήθησαν παρὰ τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ ξένοι καὶ ἀλλότριοι τῆς τῶν χριστιανῶν ἐλπίδος καὶ σωτηρίας τυγχάνουσι· διὸ τούτων πάντων ἕνεκεν, κἂν δόξωσί ποτε καιρῷ μετανοῆσαι ἐπὶ τοῖς ἀπεί-

ροις βλασφημήμασι καὶ ἀτόποις καὶ ἀθέοις πράξεσιν οἱ χριστομάχοι, ἀπρόσδεκτοί εἰσι καὶ παρὰ τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· οὐ γὰρ εἰλικρινὴς ἡ μετάνοια αὐτῶν, κᾂν ἐπιςρέφειν ἐπαγγέλλωνται, ἀλλὰ πεπλασμένη καὶ ἐσχηματισμένη ἐςί· τοιαύτην γὰρ οἴδαμεν τὴν τῶν Μανιχαίων ἄθεον καὶ ἐσκοτισμένην θρησκείαν, ἧς κοινωνοὶ καὶ μυσταγωγοὶ γεγόνασι· νόμος γὰρ παρ' αὐτοῖς καὶ δόγμα πρόκειται τοῖς μυσταγωγουμένοις παρ' αὐτῶν, ἵνα ὅταν φωραθῶσι παρὰ χριστιανῶν, καὶ λόγους εἰσπράττωνται παρὰ τῆς μυσαρᾶς αὐτῶν πλάνης, ἀπαρνῶνται καὶ ἀθετῶσιν αὐτῶν τὰ δόγματα· καὶ πάλιν καιροῦ ἐπιλαβόμενοι καὶ ἐλευθεριάζοντες, ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφωσι, καὶ τῆς ἰδίας πλάνης καὶ δυσωδίας ἀντέχωνται· διὸ ὁ τούτους δεχόμενος, κοινωνός ἐστι τῆς ἀπωλείας αὐτῶν, καὶ μυρίων ἀναθεμάτων ἔνοχος· ὅτι δὲ τῆς καθολικῆς ἐκκλησίας ἀπεῤῥιμμένοι εἰσὶ, σαφῶς μαρτυροῦσι καὶ ἐπισφραγίζουσι καὶ τὰ πρὸ χρόνων τινῶν ἐκπεμφθέντα γράμματα παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως τῆς πρεσβυτέρας Ῥώμης, τουτέστι τοῦ πρώτου καὶ ἀποστολικοῦ θρόνου (1), ἔτι δὲ καὶ οἱ τούτου τοποτηρηταὶ καὶ ἀποκρισιάριοι· οἵ τινες οὐ μόνον μὴ κοινωνήσαντες αὐτοῖς, ἀλλὰ μὲν δὲ εἰς ὄψιν μὴ δὲ εἰς λόγον αὐτῶν ὁπωσοῦν ἐλθεῖν ἀνασχόμενοι, καὶ αὐτὸ τὸ συνεστιαθῆναι αὐτοῖς τέλειον παραιτησάμενοι· διὰ ταῦτα οὖν πάντα καὶ ἡμεῖς τὴν κοινωνίαν αὐτῶν ἀποστρεφόμεθα, καὶ τὸ συναναστρέφεσθαι αὐτοῖς παραιτούμεθα, ἵνα μὴ ὡσαύτως τοῖς αὐτοῖς κρίμασιν ὑποπέσωμεν, καὶ ξένοι καὶ ἀλλότριοι τῶν ἀποστολικῶν θρόνων δειχθῶμεν, καὶ τὸ πάντων βαρύτερον, τῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν βασιλείας ἐκπέσωμεν, καὶ τῷ αἰωνίῳ πυρὶ καταδικασθῶμεν.

(1) En ut reverenter loquitur de primatu romano sanctus Nicephorus patriarcha CP. vix dimidio saeculo vetustior Photio, qui contra rom. Sedem tam impie debacchatus est. Porro ad Pontificum rom. scripta adversus Iconomachos, nonnulla nos quoque addidimus Spicileg. T. VI, in praef. p. XV.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

διαφορὰ εἰκόνος Χριστοῦ καὶ σταυροῦ, ἐν δέκα ἀποδείξεων συλλογιστικῶν * τρόποις.

Ὅτι ἡ εἰκὼν τοῦ Χριστοῦ ὁμοίωμα αὐτοῦ ἐστὶ, καὶ τῷ σώματι αὐτοῦ προσέοικε, καὶ τὸν τύπον τοῦ σώματος αὐτοῦ ἡμῖν ὑπογράφει, καὶ τὸ εἶδος κατεπαγγέλλεται, καὶ τρόπον πράξεως ἢ διδασκαλίας ἢ πάθους ὡς τὰ πολλὰ ἀπομιμουμένη, διασημαίνει· ὁ δὲ τοῦ σταυροῦ τύπος οὐδὲν προσέοικεν αὐτοῦ τῷ σώματι, οὔτε οὐδὲν τῶν εἰρημένων ἡμῖν ὑποδείκνυσι, τὸ δὲ τινὶ ὅμοιον τοῦ μὴ ὁμοίου ἐγγύτερόν ἐστι καὶ οἰκειότερον· ὡς διὰ τῆς ὁμοιότητος γνωριμώτερον ἐκεῖνο ποιοῦν· καὶ διὰ τοῦτο τιμιώτερον ἡ εἰκὼν ἄρα τοῦ Χριστοῦ, ὡς οἰκειοτέρα καὶ γνωριμωτέρα· τιμίου οὖν καὶ σεπτοῦ τοῦ τύπου τοῦ σταυροῦ παρ' ἡμῖν τυγχάνοντος, τιμιωτέρα ἂν εἴη καὶ σεβασμιωτέρα ἡ εἰκὼν, ὡς εἴρηται, τοῦ Χριστοῦ. A

Ἔτι ἡ εἰκὼν τοῦ Χριστοῦ πρώτως καὶ ἀμέσως, εὐθύς τε καὶ ἐκ πρώτης ἐντεύξεως, τὸ εἶδος αὐτοῦ παρ' ἡμῖν ἐμφανίζει, καὶ τὴν μνήμην ἐντίθησιν, αὐτὸν γὰρ τὸν εἰκονιζόμενον ἐν αὐτῇ κατοπτριζόμεθα· ὁ δὲ σταυρὸς οὐχ' οὕτως, σταυρὸν γὰρ ἐνορῶντες, πρῶτον μὲν πρὸς τὸ φαινόμενον τὸν νοῦν ἀπερείδομεν· ἔπειτα δὲ τί ἐστι ἐννοοῦμεν, καὶ πῶς ἡγίασται ἀναθεωροῦμεν καὶ παρὰ τίνος, καὶ οὕτω κατὰ δεύτερον λόγον, ἐπὶ τὸν σταυρωθέντα καὶ ἁγιάσαντα αὐτὸν μέτιμεν· τὸ τοίνυν πρώτως ἐπί τι μεταβαῖνον, καὶ πρώτως αὐτὸ γνώριμον ποιοῦν, τοῦ δευτέρως ταῦτα ποιοῦν- B

(*) Cod. συλλογισμῶν. Sed a Turriano quoque constat fuisse lectum συλλογιστικῶν.

τος, τιμιώτερον· ἡ εἰκὼν ἄρα τοῦ Χριστοῦ, τοῦ σταυροῦ τιμίου ὄντος τιμιωτέρα ὑπάρχει.

Γ Εἶτα παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν ὡμολόγηται, ὅτι τὸ ἁγιάζον τοῦ ἁγιαζομένου κρεῖττον ἐστί· καὶ γὰρ χωρὶς πάσης ἀντιλογίας φησὶ τὸ ἀποστολικὸν λόγιον, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· εἰ τοίνυν τὸ σῶμα Χριστοῦ τὸν σταυρὸν ἡγίασε, προσομιλῆσαν αὐτῷ προσηλούμενον, καὶ ἡμῖν δι' αὐτοῦ τὸν ἁγιασμὸν ἐνῆκεν· ὁ δὲ σταυρὸς δι' αὐτοῦ ἡγίασται· ὧν δὲ τὰ πρωτότυπα τιμιώτερα, καὶ αὐτὰ τιμιώτερα· ἐπειδὴ δὲ ἀμφότυπα, καὶ ὁ τύπος τοῦ ἁγιασθέντος σταυροῦ τίμιος, ὁ τύπος ἄρα τοῦ ἁγιάσαντος σώματος, μᾶλλον τιμιώτερος.

Δ Ἔτι ὁ τύπος τοῦ Χριστοῦ τῆς ἐκτάσεως τῶν χειρῶν καὶ τοῦ σχήματος, τοσοῦτον καὶ τὰ ἀπ' αὐτῶν διοίσει· ὧν γὰρ τὰ ἀρχέτυπα τιμιώτερα, καὶ αὐτὰ τιμιώτερα· καὶ γὰρ τὸ σχῆμα διὰ τὸ σῶμα, καὶ ἡ ἔκτασις οὐ μὴν ἔμπαλιν τὸ σῶμα διὰ τὸ σχῆμα· καὶ τὸ μὲν σῶμα οὐσία καὶ ὑποκείμενόν ἐστι· τὸ δὲ σχῆμα, συμβεβηκὸς καὶ παρακολούθημα· οὕτως οὖν οὐσία, συμβεβηκότος κρείττων· τοῦτο καὶ σῶμα σχήματος, ἢ ὅσον ψυχὴ ἐπιστήμης· καὶ τὸ μὲν σχῆμα, ἐσχηματισμένον ἔστι τε καὶ λέγεται· σχῆμα δὲ σεσωματωμένον οὐδεὶς τῶν εὖ φρονούντων ἐρεῖ· οὕτω γὰρ καὶ τὸ σῶμα κεχρωσμένον λεχθείη ἄν, οὐκέτι δὲ χρῶμα τὸ σῶμα, οὐδὲ χρῶμα σεσωματωμένον· κρείττονα οὖν τὰ τοῦ σώματος τοῦ τύπου τοῦ σχήματος.

Ε Ὁ σταυρὸς ἁπλοῦν πως καὶ ἀποίκιλον ἡμῖν εἰσφέρει τὸ Χριστοῦ πάθος, τοῖς δὲ ἀγροικοτέροις μόλις ἂν καὶ πάθους σύμβολον νοηθείη· τὰ δὲ ἱερὰ μορφώματα, οὐ τὸ πάθος μόνον ποικίλλουσι καὶ λεπτότερον διαγράφουσιν, ἀλλ' ἤδη καὶ τὰ θαύματα καὶ τεράστια ἅπερ ὁ Χριστὸς εἰργάσατο, πλατύτερον καὶ σαφέστερον ἡμῖν διατυποῦσι· τὰ τοίνυν τρανότερον καὶ ἐκδηλότερον ἡμῖν ταῦτα ὑποφαίνοντα, τῶν ἀμυδρότερόν πως τὰ τοιαῦτα δηλούντων, τιμιώτερα καὶ εὐσημότερα.

ϛ Ἔτι ὁ σταυρὸς πάθους σύμβολόν ἐστι, καὶ τὸν τρόπον, καθ' ὃν ὁ πεπονθὼς τὸ πάθος διήνεγκεν, ὑπαινίσσεται· τί γὰρ ἕτερον

βούλεται τὸ ἄρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι, ἢ τὸν καθηλωμένον τῷ φόβῳ κυρίου, καὶ τοῖς τοῦ κόσμου ματαίοις ἀποταξάμενον, εὐτρεπῆ εἶναι, πᾶν ὁτιοῦν ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης ὑπομένειν; οὕτω δὴ καὶ ὁ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ φέρων, καὶ μέγα ἐπὶ τῷ πάθει αὐτοῦ φρονῶν ἐφιλοτιμεῖτο λέγων, ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν σταύρωσιν ἡμῖν διὰ τούτων ὑπογράφων, ἤτοι τὸ τοῦ Χριστοῦ πάθος· εἰ δὲ εἰκὼν αὐτοῦ τοῦ πάσχοντος ἐκσφραγίσμα καὶ ὁμοίωμά ἐστιν, οἰκειότερον δὲ καὶ ἀξιολογώτερον τὸ αὐτὸν τινὰ διαγράφον, ἢ τὸ τὰ ἐκτὸς καὶ περὶ αὐτὸν ὑποφαῖνον; ἀξιολογωτέρα ἄρα ἡ εἰκὼν ὡς τὸν Χριστὸν αὐτὸν ἡμῖν ἐμφανίζουσα, τοῦ σταυροῦ τὸν τρόπον ἡμῖν τοῦ πάθους παραδεικνύντος.

Τὸ Χριστὸς ὄνομα ὁμωνύμως κατὰ τῆς εἰκόνος Χριστοῦ κατ- Z
ηγορεῖται· Χριστὸς γὰρ καὶ αὕτη λέγεται· ὥσπερ καὶ βασιλεὺς ἡ τοῦ βασιλέως εἰκών· κατὰ τοῦ σταυροῦ δὲ κατηγορεῖσθαι ἀδύνατον· οὐδεὶς γὰρ ἂν φαίη τῶν σωφρονούντων Χριστὸν τὸν σταυρὸν οὐδενὶ τρόπῳ· ὃ τοίνυν ἐν μεθέξει καὶ αὐτοῦ τοῦ ὀνόματος γέγονε, καθάπερ ἤδη καὶ τῷ τοῦ σώματος τύπῳ κεκοινώνηκε, τοῦ μηδενὸς τούτων μετασχόντος τιμιώτερον· ἡ εἰκὼν ἄρα τοῦ τύπου τοῦ σταυροῦ τιμιωτέρα.

Τὸ αἴτιον τοῦ αἰτιατοῦ προηγεῖται, καὶ μᾶλλον τὸ ποιητικὸν H
αἴτιον, τοῦ τύπου τοῦ σταυροῦ τιμιώτερον οὗ προηγεῖται· ἐπεὶ οὖν αἴτιον τοῦ τύπου τοῦ σταυροῦ, τὸ πάθος τοῦ σώματος τοῦ Χριστοῦ, καὶ προκαταρκτικὸν τὸ σῶμα τοῦ τύπου, καὶ ἡ εἰκὼν ἄρα τοῦ σώματος τοῦ Χριστοῦ, ὡς ποιητικὸν αἴτιον τοῦ τύπου τοῦ σταυροῦ, τιμιωτέρα.

Ἔτι οὗ τινος ἕνεκεν γέγονεν, ἔλαττόν ἐστιν ἐκείνου τοῦ δι' Θ
ὃ γέγονεν· εἰ τοίνυν ὁ σταυρὸς τοῦ κυριακοῦ σώματος ἕνεκεν, ἀνάγκη καὶ ἐν τοῖς τούτων τύποις, τὸ ἔλαττον τὸν τύπον τοῦ σταυροῦ ἀποφέρεσθαι· δέδεικται οὖν διὰ πλειόνων, ὡς καὶ αὐτοῦ τοῦ τύπου τοῦ ζωοποιοῦ σταυροῦ τιμίου ὄντος παρ' ἡμῖν, ἡ εἰκὼν τοῦ Χριστοῦ κατὰ τὴν τῶν ἀποδεδομένων ἀκολουθίαν τε

καὶ ἐξέτασιν, τιμιωτέρα ὑπάρχει· ὁ τοίνυν τὸν σταυρὸν τιμᾷν ἐπαγγειλάμενος, τιμήσει ἄρα καὶ τοῦ κυρίου τὴν εἰκόνα· εἰ δὲ ταύτην οὐ τιμᾷ, οὐδὲ ἐκείνην πολλοῦ γε καὶ δεῖ.

I Εἶτα ὁρῶμεν ἐν πλείοσι τόποις τὴν τοῦ κυρίου σταύρωσιν ἐν εἰκόνι διαγεγραμμένην, καὶ ὡς τὸ εἰκὸς ἔχει ἀνάλογον τὸ τοῦ πράγματος, καθ' ὃν τρόπον πέπρακται, ἐκκρέμασθαι τὰς χεῖρας διαπλουμένας, καὶ τοῖς ἥλοις διαπεπερονημένας· ὑφ' ὧν τὸ πάντων θαυμασίων θαυμασιώτερον, καὶ τῶν δι' ὧν σεσώσμεθα τὸ καιριώτατον πάθος ἡμῖν τοῦ Χριστοῦ τὸ σωτήριον ὑπογράφεται· τί οὖν πρὸς τοῦτο οἱ ἐχθροὶ τοῦ ϛαυροῦ δράσειαν; ἀνάγκη δυοῖν τὸ ἕτερον, ἢ προσκυνοῦντας τὸν σταυρὸν, καὶ τὴν εἰκόνα προσκυνῆσαι, εἴπερ μὴ μέλλει τὰ τῆς ἐπαγγελίας αὐτῶν διαπεσεῖσθαι· ἢ καθαιροῦντας τὴν εἰκόνα, συγκαταβάλλειν καὶ τὸν σταυρόν. (*)

(*) Compertum est, quosdam ex Iconomachis priscis, quos inter Leonem armenium imp., etsi ceteras sacras imagines exhorrescerent et exterminarent, cruci tamen honorem deferendum censuisse; quam sententiam nostri quoque occidentales Iconomachi partim amplexi sunt. Legatur Gretserus de cruce lib. I. capp. 58. 83. 100, rursusque in mantissa cap. 12. Nicephorus ergo ut hoc Iconomachorum veluti effugium praecluderet, demonstrandum suscepit, quoniam ii crucem venerarentur, debere eosdem hanc ipsam ob causam immo et multo potiorem ac graviorem, Christi imagini honorem exhibere: quam veritatem decem expositis argumentis propugnavit.

ΝΙΚΟΛΑΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΠΙΣΤΟΛΑΙ.

I. ΤΩ ΠΕΡΙΔΟΞΩ ΚΑΙ ΛΑΜΠΡΟΤΑΤΩ ΑΜΗΡΑ ΤΗΣ ΚΡΗΤΗΣ ΚΑΙ ΗΓΑΠΗΜΕΝΩ.

Πᾶσα ἐπίγειος ἐξουσία καὶ ἀρχὴ ἐκ τῆς ἄνωθεν ἤρτηται, ὦ φιλότης, ἀρχῆς καὶ ἐξουσίας, καὶ οὐκ ἔστιν ἐξουσία ἐν ἀνθρώποις, οὐδὲ δυνάστης ἐξ οἰκείας περινοίας ἐπὶ γῆς δυναςείαν κληρονομῶν, εἰ μὴ ὁ ἐν ὑψίστοις ἐξουσιαστὴς καὶ ἄρχων καὶ μόνος δυνάστης κατανεύσῃ τὴν κληρονομίαν· διὰ τοῦτο προσῆκεν, εἰ δυνατὸν, πάντας τοὺς ἐν ἀνθρώποις δυναστείαν λαχόντας, εἰ καὶ μηδὲν ἕτερον ἦν τὸ πρὸς ἀλλήλους κοινωνεῖν ἐπιτρέπον, καὶ ποιεῖσθαι τὴν διὰ λόγων προσομιλίαν, δι᾽ αὐτό γε τοῦτο, καθ᾽ ὅτι τῶν ἐξουσιῶν τὴν δωρεὰν παρ᾽ ἑνὸς ἐλάχομεν, μὴ διαλιμπάνειν ὅσαι ἡμέραι ποιεῖσθαι τὴν πρὸς ἀλλήλους κοινωνίαν, καὶ διὰ γραμμάτων καὶ δι᾽ ἀποςόλων τῶν ἐξυπηρετούντων τοῖς πράγμασι· τοσούτῳ δὲ πλέον τοὺς τὰς μεγάλας ἀρχὰς καὶ ἐξουσίας διέποντας, ὅσῳ καὶ μᾶλλον διαφερόντως τετίμηνται, καὶ οἷον ἀδελφοί τινες τῶν ἄλλων ἀδελφῶν ὑπερέχοντες καὶ προκριθέντες, καὶ τὰς τῶν μεγίστων ἀρχῶν καὶ ἐξουσιῶν διοικήσεις ἐπιτραπέντες· τί βούλεται ἡμῖν τὸ εἰρημένον; ὅτι δύο κυριότητες πάσης τῆς ἐν γῇ κυριότητος ἥ τε τῶν Σαρακηνῶν καὶ ἡ τῶν Ῥωμαίων ὑπερανέχουσι καὶ διαλάμπουσιν, ὥσπερ οἱ δύο μεγάλοι ἐν τῷ στερεώματι φωστῆρες· καὶ δεῖ κατ᾽ αὐτό γε τοῦτο μόνον κοινωνικῶς ἔχειν καὶ ἀδελφικῶς, καὶ μηδ᾽ ὅτι τοῖς βίοις καὶ τοῖς ἐπιτηδεύμασι καὶ τῷ σεβάσματι κεχωρίσμεθα, παντάπασιν ἀλλοτρίως διακεῖσθαι καὶ ἀποστερεῖν ἑαυτοὺς τῆς διὰ τῶν γραμμάτων συνομιλίας παρὰ μέρος ἐντυχίας· δεῖ μὲν οὖν οὕτω καὶ φρονεῖν ἡμᾶς

καὶ ποιεῖν, κἂν μηδεμία τις ἄλλη πραγμάτων χρεία πρὸς τοῦτο προὐτρέπετο.

Νῦν δὲ μεθ' ἧς ἔφημεν εὐλόγου αἰτίας, καὶ πράγματα συμβεβηκότα οἷα ὥστε πειθόμεθα, οὐδὲ τῇ σῇ ἀρέσκει μεγαλωσύνῃ, καὶ πρὸς τὸ γράφειν ἡμᾶς παρώρμησε, καὶ πρὸς τὴν ἀποστολὴν τῶν ἤδη πρὸς τὴν θεόσδοτον ὑμῶν ἐξουσίαν ἀπεσταλμένων· ἀλλὰ πρό γε τῆς τῶν πραγμάτων ἐξηγήσεως, ἐκεῖνο φαμὲν, ὡς πολλὰ μέν ἐστιν, οἷς ὁ εἰς ἀρχὴν καταστὰς δίκαιος ἂν εἴη σπουδὴν ποιεῖσθαι τοῦ διαπρέπειν, εἴγε μὴ τῇ ἀναξίῳ τῆς ἀρχῆς εἶναι τοῦ ἔλεγχον διδόναι τοῦτο προκέκριται· καὶ ἀντὶ τοῦ παράδειγμα βίου πρὸς ἀρετὴν ὁρῶντος γίνεσθαι τοῖς ἀρχομένοις, καὶ θαῦμα γλυκὺ τῆς οἰκείας ἀρχῆς, καὶ πόθον παρέχειν αὐτοῖς, πρὸς μῖσος μᾶλλον καὶ ὕβριν διερεθίζει καὶ προκαλεῖται· τὸ δὲ οἷον κορυφὴ τῆς τοῦ ἄρχοντος ἀρετῆς, καὶ τὸ κεφάλαιον τῶν κατορθωμάτων δικαιοσύνη ἐστὶ, δι' οὗ αὐτός τε ἰσχὺν περιβάλλεται, καὶ τὸ ὑποχείριον ἀσφαλῶς πολιτεύεται, καὶ τὸ πολέμιον εἰς ἀντίστασιν οὐ ῥᾳδίως καθίσταται· τὰ μὲν γὰρ ἄλλα τῆς τοῦ ἄρχοντος ζωῆς πρὸς ἀρετὴν ἀποβλέποντα, ἐκεῖνον μὲν κοσμεῖ, καὶ ὥσπερ ἄνθη τινὰ ἐξωραΐζει· πρὸς δὲ τὸ ὑπήκοον, εἰ μὴ προαίρεσίς ἐστιν αὐτοῖς ἀγαθὴ ζηλοῦν καὶ ἀπομιμεῖσθαι τὴν τοῦ ἄρχοντος ἀρετὴν, οὐ μέγα τι συμβάλλεται· δικαιοσύνη δὲ κοινή τις οὖσα σωτηρία, τόν τε ἄρχοντα δείκνυσιν ἀρχικώτερον, καὶ τοῖς ὑπὸ τὴν ἐκείνου τεταγμένοις ἀρχὴν τὸ ἀσφαλὲς προμηθεύεται.

Ἀλλ' ἐπεὶ ταῦτα εἴρηται, λέγομεν ἤδη καὶ τὰς αἰτίας, δι' ἃς εἰς τούτους τοὺς λόγους κατέστημεν· ἡ τῶν Κυπρίων νῆσος, ὦ μεγαλοδοξότατε τῶν Σαρακηνῶν ἀρχηγὲ, ἀφ' οὗ χρόνου σπονδῶν εἰρηνικῶν πρὸς αὐτοὺς γεγενημένων ὑπόφοροι τῆς ὑμῶν κατέστησαν ἐξουσίας, καὶ μέχρι τοῦ παρόντος ἐν τῇ τῶν συνθηκῶν ἀσφαλείᾳ διέζησαν, οὐδενὸς τῶν προπατόρων ὑμῶν, ὅσοι τὸ Σαρακηνῶν ἔθνος ἔλαχον διέπειν, οὔτε λύσαντος τὰς σπονδὰς, οὔτε κακοῦ τινος εἰς πεῖραν αὐτοὺς καταστήσαντος, ἀλλὰ κατὰ καιροὺς οἱ τῆς ἀρχῆς κληρονόμοι καλῶς καὶ δικαίως φρονοῦντες τὰ ἐπ' ἀρχῆς ἀρέσαντα τοῖς πατράσιν αὐτῶν, καὶ βεβαιώσει διησφα-

λισμένα ἐγγράφῳ, ἐτίμησάν τε καὶ διεσώσαντο, μηδέν τι καινοτομήσαντες μηδὲ φρονήσαντες ἕτερον, οὐδ' ὅτι πράξαντες παρὰ τὴν τῶν προγόνων προαίρεσιν· νῦν δὲ τί ἐροῦμεν; καί τοι ἔδει ὅσον ὁ χρόνος προέβη, καὶ ἡ ἀρχαιότης ἐκράτει τῶν συμπεφωνημένων, τοσοῦτον εὐλαβῶς ἔχειν περὶ τὴν ἀθέτησιν αὐτῶν· ἀλλ' ὅμως πάντα ἠθέτηται καὶ καταπεπάτηται, καὶ βουλαὶ ἃς οἱ πατέρες ὑμῶν ἐβουλεύσαντο, καὶ γραφαὶ ἃς οἰκείαις χερσὶν ἔγραψαν, καὶ σπονδὰς καὶ ὅρκοι, οὓς τότε πρὸς Κυπρίους Σαρακηνοὶ πίστιν αὐτοῖς παρεχόμενοι ἐποιήσαντο· καὶ ἀντὶ τῆς εἰρήνης, ἀντὶ σπονδῶν, ἀντὶ ὁρκίων, ξίφη καὶ πόλεμοι καὶ σφαγαὶ τοῖς ἀθλίοις ἐπέθεντο Κυπρίοις· οὓς ἔπρεπεν, εἰ καὶ ἄλλός τις ταῦτα εἰς αὐτοὺς ἐξειργάζετο, παρὰ τῶν Σαρακηνῶν βοηθείας τυχεῖν· τοῦτο γὰρ κοινὸν δίκαιον παρὰ πᾶσιν, ὅσοι πόλεις ἢ ἔθνη κέκληνται ὑποφόρους, τὸ πρὸς τοὺς κατ' αὐτῶν ἐπιόντας καὶ πόλεμον συνιστῶντας, αὐτοὺς ἀντεπιέναι καὶ ῥύεσθαι τῆς ἐπιθέσεως, ὡς ἑαυτῶν οἰκείους τοὺς ὑποτελεῖς καθεστηκότας.

Ἀλλὰ τοῦτο παρὰ πᾶσιν ἔθνεσι δίκαιον ὑπάρχον καὶ τοῖς οὐκ εἰδόσι νόμον, ἀντέστραπται παρὰ Σαρακηνοῖς τοῖς νόμῳ πολιτευομένοις, καὶ νῆσος μικροῦ ἔτη τριακόσια ἐξ οὗ ὑπόφορος οὖσα ὑμῖν ἐγεγόνει, καὶ κατὰ μηδὲν ὀφθεῖσα τῆς ὑπηκόου τάξεως μεταβαλλομένη, μὴ δὲ καινοτομήσασά τι περὶ τοὺς φόρους, μὴ δὲ περὶ τὴν ἄλλην δουλείαν, ὅσην Σαρακηνοῖς δουλεύειν ἐχρῆν, μηδ' ὅλως τὶ τῶν ἔγκλησιν ἐπαγοντων αἰτίαν φέρουσα, ἐκ μόνης ἀπονοίας ἀνδρὸς, καὶ τὴν τῶν Χριστιανῶν ἀπηρνημένου πίστιν, καὶ τὸ Σαρακηνῶν σέβας νοθεύοντος, ἐξηρήμωται καὶ ἀπόλωλε· καὶ οἱ ταύτης οἰκήτορες οἱ μὲν μαχαίρας ἔργον, οἱ δὲ ἀνάστατοι γεγόνασι, τοῦτο μόνον ἔχοντες ἔγκλημα, ὅτι ἐπὶ μακροτάτοις οὕτω χρόνοις ὑπέκειντο εὐγνωμόνως ὑμῖν, καὶ οὐδὲν ὤφθησαν τῶν εἰς ὑμετέραν ἐλλείψαντες θεραπείαν, πολλάκις ὑμῶν βαρέως ἐπενεχθέντων αὐτοῖς καὶ παρὰ προσῆκον καὶ τὰ κοινὰ δίκαια τῶν συμφώνων· καί τοι γε εἴπερ καὶ οἷα τὰ ἀνθρώπινα σφαλέντες ἐτύγχανον, καὶ ἀπεναντίας ἐφρόνησάν τι τοῦ ὑμετέρου φρονήματος, οὐδ' οὕτως ἐχρῆν ὅπλοις ἐπιέναι, οὐδ' αὐτίκα πρὸς αἵματα χω-

*

ρεῖν καὶ σφαγάς· τοῦτο γὰρ οὐχ ὅτι Σαρακηνῶν ἄξιον, ἀλλ' οὐδέ τινος ἑτέρου ἔθνους ἀνθρωπίνην πολιτείαν καὶ βίον εἰδότος καὶ σώζοντος· ἀλλὰ πρότερον ἐγκαλεῖν περὶ τοῦ σφάλματος, ἐξελέγχειν ὡς οὐ δίκαια πράττουσι, παραινεῖν ἑαυτῶν γενέσθαι, καὶ μὴ ἐκφέρεσθαι τοῦ προσήκοντος, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πλέον· καὶ εἴγε ἀνεπιστρόφως εἶχον, καὶ ἀντὶ τοῦ μεταμαθεῖν τὸ καλὸν τῇ χείρονι προσέκειντο γνώμῃ, τότε πᾶσαν ἀπεκδυσαμένους καὶ θείαν νέμεσιν καὶ ἀνθρωπίνην, ἐπιχειρεῖν τὴν ἀπόνοιαν τῶν εἰς τοῦτο συνελασθέντων τιμωρεῖσθαι καὶ ἀνακρούειν· ἐπράχθη δὲ τοιοῦτον οὐδέν· ἀλλ', ὅπερ εἶπον, ἀνθρώπους ἀναιτίους μηδὲν ἠδικηκότας, μηδὲν τῶν ἐξ ἀρχῆς δοξάντων ἠθετηκότας, ἴσα καὶ πολεμίοις διεχειρίσασθε.

Τίς ἀκούων ταῦτα ἢ τῶν νῦν, ἢ τῶν μετέπειτα ἐσομένων οὐχὶ μεγάλην ἀδικίαν τῶν ταῦτα καταγνώσεται διαπεπραγμένων; πῶς δὲ οἱ προπάτορες ὑμῶν οἱ τὰ σύμφωνα καὶ τοὺς ὅρκους θέμενοι πρὸς Κυπρίους, εἴ τις ἐστὶ τῶν ἐν τῷ βίῳ τούτῳ πραττομένων τοῖς ἀποιχομένοις συναίσθησις, οὐχὶ μεγάλως στενάξαιτο καθ' ὑμῶν, καὶ πάσης κατακρίσεως ἐνόχους καταψηφιοῦνται, οὐ μόνον ὡς ἐξαμαρτῶντας εἰς τὴν τῶν Κυπρίων νῆσον, ἀλλὰ καὶ εἰς ἐκείνους αὐτούς, καὶ ὡς πατραλοίας πάσαις ὑποβαλοῦσιν ἀραῖς; ἢ ἐάν τις κατὰ τοῦ ἰδίου πατρὸς ἐν τῷ παρόντι βίῳ εἰς ἐπανάστασιν καταστῇ, τοῦ πατραλοίας εἶναι τὴν γραφὴν οὐκ ἐκφεύξεται, τῆς δὲ παρούσης ἀπελθόντος ζωῆς, ἐὰν τὰ ἐκείνῳ ἀνατρέψῃ δόξαντα, οὐκ ἔσται πατραλοίας, οὐδὲ τῆς αὐτῆς ἔνοχος καταδίκης; Τί γὰρ τοῦτο ἐκείνου πρὸς ἐπανάστασιν διαφέρει; μᾶλλον δὲ εἴ τις ἀκριβῶς βούλεται συνιδεῖν, αὕτη μείζων τοῦ ζῶντι ἐπαναστῆναι τῷ πατρὶ ἐπανάστασις, ὅσῳ καὶ μᾶλλον πλέον ὀφείλεται τοῖς πρὸς τὴν μέλλουσαν μεταβεβηκόσι ζωὴν ἡ παρὰ τῶν τέκνων τιμή, καὶ ἡ σὺν εὐλαβείᾳ μνήμη, καὶ ἡ τῶν διατεταγμένων συντήρησις· ὢ ὅπως εἴπω ἄνθρωπος ἐκεῖνος ὁ μήτε τὰ Χριστιανῶν στέρξας, καὶ τὰ τῶν Σαρακηνῶν παρὰ φαῦλον θέμενος, Δαμιανὸν δὲ φησὶν ὁ λόγος, οὐδὲν λαβὼν ἐπὶ νοῦν οὔτε τὰ παρόντα, οὔτε τὰ ὕστερον ἐπιλογισάμενος, μόνῃ δὲ τῇ ἀπονοίᾳ καὶ

τῷ ἀλόγῳ θυμῷ ἑαυτὸν ἐπιτρέψας, ἔπραξεν ἔργον ἀνόσιον, τῷ παντὶ αἰῶνι στήλην τῆς ἑαυτοῦ κακίας ἐσόμενον, πολυανθρωποτάτην νῆσον, ὅσον ἐπ' αὐτῷ ἧκεν, ἐκ γῆς ἐξαφανίσας, πανωλεθρίᾳ παραδεδομένων τῶν ταύτης οἰκητόρων.

Ναὶ φησὶν, ἀλλ' ἐρεῖ τις· ἦν αἰτία κινοῦσα πρὸς τοῦτο, καὶ διὰ τοῦτο κεκινημένος τὸ δοκοῦν ἀνόσιον διεπράξατο· Σαρακηνοὺς γὰρ ἐν τῇ νήσῳ λαβὼν Ἡμέριος διεχρήσατο, δέον κατὰ τὰ συμπεφωνημένα σώζεσθαι μᾶλλον αὐτοὺς παρὰ τῶν Κυπρίων, καὶ πρὸς τὸν ἴδιον τόπον ἀποκαθίςασθαι· εἶτα οὐ λογίζῃ, ὦ ἄνθρωπε, μετὰ τῆς σῆς ἐγκλήσεως, καὶ τοῦ δικαίου λόγου τὸ βούλημα; οὐδ' ἐννοεῖς τίς ἐστι δίκαιος τὴν αἰτίαν ἣν προφέρεις ἀναδέχεσθαι; καὶ τίς ὀργίζεσθαι ἄξιον; ἔστω δίκαιον τὸ ἔγκλημα ὃ προβάλῃ, καὶ ὑπὲρ τῶν τὰ χαλεπὰ πεπονθότων Σαρακηνῶν Κύπριοι δώσουσι δίκην, καὶ οὔπω φημὶ ὅτι μὴ δὲ τότε ἄξιον διὰ τὴν Ἡμερίου καὶ τῶν σὺν αὐτῷ ἁμαρτίαν πάντας κολάζεσθαι, οὐδ' ὅλην τὴν ἐξ ὑμῶν ὀργὴν καὶ τὴν πικρίαν ὑφίστασθαι· ὅμως ὅπερ εἶπον ἔστω, καὶ κολαζέσθωσαν Κύπριοι, διότι καὶ Ἡμέριος Κυπρίοις συνοικῶν ἐν τῇ νήσῳ χαλεπὸς ὤφθη Σαρακηνοῖς· εἰ δὲ κατ' οὐδένα τρόπον Ἡμέριος τοῖς Κυπρίοις συντάσσεται, τί δι' ἐκεῖνον κινδυνεύουσιν οἱ μὴ δίκαιοι ὄντες ἢ τῆς ἐκείνου κληρονομεῖν κατηγορίας, ἢ διὰ τὰ πεπραγμένα τούτῳ τιμωρίαν ὑπέχειν; ὁ μὲν γὰρ τοῦ ῥωμαϊκοῦ στρατοῦ ἡγεμὼν ὑπάρξας, ὅποι δὴ γῆς ἠδύνατο τοὺς πολεμίους χειρούμενος, τὸν δοκοῦντα μετῄει τρόπον· Κύπριοι δὲ οὔτε πολεμίους ἡγοῦνται ὑμᾶς, οὔτέ τι δεινὸν κατειργάσαντο, οὔτε δὲ πάλιν ἱκανοὶ ἀντεπιέναι πρὸς τὸν Ἡμέριον, καὶ Σαρακηνοὺς ἐξαρπάζειν τῆς ἐκείνου χειρός· οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὡς ἐξὸν τοῦτο ποιεῖν, οὐκ ἐποίησαν· ἢ ὅτι συνήραντο αὐτῷ καὶ συνηγωνίσαντο εἰς τὴν κατὰ τῶν Σαρακηνῶν κάκωσιν.

Τί οὖν διὰ τοῦτο πολεμεῖς Κυπρίοις, καὶ κατ' αὐτῶν κενοῖς τὴν ὀργήν; τί δὲ ἀντὶ τοῦ τῷ σὲ λυπήσαντι σπουδάζειν ἃ ἔδρασεν ἀνταποδοῦναι, τοῖς οὐδὲν λυπηρὸν ἐργασαμένοις τὰ σῆς σῆς λύπης ἀνταποδίδως; ἢ καὶ διό τι πρὸς τὴν σὴν εἰσήλασε χώραν Ἡμέριος, καὶ τῆς Συρίας πολύσματά τινα ἐκπολεμήσας κεχείρω-

ται, διὰ ταῦτα ὑποκείσονται Κύπριοι τιμωρίαις, καὶ κατ' αὐτῶν ἀγανακτεῖν εὐλόγως νομίσεις, καὶ ὅπλα κινήσεις, καὶ ἀντὶ τοῦ μάχεσθαι πρὸς Ἱμέριον, κατ' ἐκείνων συςήσεις τὸν πόλεμον; ἀλλ' οὐκ ἔδοξεν οὕτως, οὔτε τοῖς σοῖς πατράσιν, οὔτε τοῖς ἐκείνων μέχρι σοῦ διαδόχοις· διὰ τί; ὅτι Κύπριοι μεθόριοι τῆς τε ῥωμαϊκῆς καὶ τῆς τῶν Σαρακηνῶν ἐξουσίας, καὶ οὔτε ὑμῖν ἀνταίρουσι χεῖρας, οὔτε Ῥωμαίοις, ἀλλ' ἐπ' ἴσης ἀνατέθεινται πρὸς δουλείαν τήν τε ὑμετέραν καὶ τὴν ἡμετέραν, μᾶλλον δὲ τὸ πλέον τῇ ὑμετέρᾳ δουλεύοντες· ὡς οὖν ἄδικον καὶ ἀπάνθρωπον πολεμεῖν Κυπρίοις, διότι κατὰ τῆς ὑμετέρας ἐξεςράτευσε χώρας Ἱμέριος, οὕτω παράνομον καὶ πάσης ἄξιον κατηγορίας πολεμεῖν Κυπρίοις, διότι κατὰ τὴν νῆσον τινὰς τῶν Σαρακηνῶν συνέβη ταῖς Ἱμερίου χερσὶ περιπεπτωκέναι· σὺ δέ μοι δοκεῖς, ὁδῷ τοῦ πράγματος προϊόντος, καὶ κατὰ τῶν ἐν τῇ Συρίᾳ Χριστιανῶν πόλεμον ἐπενεγκεῖν, διότι Χριστιανοὶ καθ' ὑμῶν ἐκστρατεύονται· εἰ δὲ τοῦτο πράττειν, πάσης ἐπέκεινα μιαιφονίας ἐστὶν, οὐδὲ τὰ τῶν Κυπρίων ἀπήλλακται τῆς ἴσης μιαιφονίας· ἀλλ' ἐάσθω τὰ παρ' ἡμῶν εἰς ἔλεγχον τοῦ παρανόμου πολέμου λεγόμενα.

Σκέψαι δὲ καὶ τὰ ἐκ τῆς θείας δίκης, καὶ ὧν συνετώτατος, καὶ συνιδεῖν ἱκανὸς θεῖα κρίματα· κατανόει μοι καὶ τὴν ἐξ οὐρανοῦ ἐπὶ τοῖς γεγενημένοις τῷ παρανομωτάτῳ Δαμιανῷ ἀγανάκτησιν· ὅ τε γὰρ ἐξ ἀνθρώπων ἀφανισμὸς αὐτοῦ τοῦτο διδάσκει, ἀλλὰ καὶ ἡ ἐξ οὗ χρόνου σφαγαῖς ἀδίκοις τὴν γῆν ἔχρανε τῶν Κυπρίων, συσχοῦσα τοῦτον ἀῤῥωστία, καὶ κατὰ μικρὸν δαπανῶσα, μαρτύριόν ἐστι τῆς δικαίας παρὰ θεοῦ τιμωρίας, ἀνθ' ὧν παρηνόμησεν· εἰ βούλει δὲ καὶ ἃ διὰ θαλάττης ἀπήντησε τῷ ὑμετέρῳ στόλῳ, καὶ ἡ κατ' αὐτὴν τὴν νῆσον ἀπώλεια τῶν πλοίων ὑμῶν, ἣν ἀπολέσαι ὁ βδελυρὸς ἐκεῖνος διανενόηται· οἶδα ὅτι χωρὶς τῶν ἡμετέρων λόγων, ταῦτα συνίης καὶ συγγινώσκεις· ὅμως δὲ ἐπείπερ οὐδὲν ἦν κωλύον, καὶ παρ' ἡμῶν ἐπισημανθῆναι ταῦτα προσείρηται· τὸ λοιπὸν ἔστι τῆς δεδομένης θεόθεν ὑμῖν ἐξουσίας, μὴ μόνον συνιδεῖν, ἀλλὰ καὶ ἐπανορθώσασθαι τὸ γεγονὸς πταῖσμα, καὶ τοῖς ταπεινοῖς Κυπρίοις ἀποκαταστῆσαι τὰ ἐξ ἀρχῆς

παρὰ τῶν πατέρων ὑμῶν αὐτοῖς παρεσχημένα δίκαια, καὶ τὸ ἀβλαβὲς καὶ ἀνεπηρέαστον, καταλιπεῖν αὐτοὺς ἐπὶ τοῦ ἀρχαίου σχήματος τῆς εἰρήνης, παρέχοντας ὅσα νενόμισται ὑποτελεῖν, καὶ ὑπουργοῦντας τὴν ἄνωθεν καὶ μέχρι τοῦ νῦν ὑπουργίαν Σαρακηνοῖς, πάσης καὶ βαρύτητος καὶ βίας ἐλευθέρους διατελοῦντας, τῆς χθὲς καὶ πρώην ἐπιτεθειμένης αὐτοῖς ὑπὸ τῆς τοῦ Δαμιανοῦ σκαιότητος καὶ ἀπανθρωπίας· ἵνα μήτε τῶν πατέρων ὑμῶν ἀθετοῦντες ὀφθείητε τὰ καλῶς δόξαντα βουλεύματά τε καὶ σύμφωνα, μήτε ἀντὶ τῆς πρεπούσης ὑμῖν ἐπὶ τῇ δικαιοσύνῃ τιμῆς τε καὶ δόξης πρὸς τοὐναντίον εἴητε μεταπίπτοντες.

II. ΤΩ ΑΥΤΩ.

Ἁπάντων ὅσα τοῖς ἀνθρώποις ὁ βίος φέρει καλὰ, καὶ δι' ὧν ἀνθρωπίνη ζωὴ κέκτηται τὸ ἡδὺ, οὐδὲν οὕτω καλὸν, οὐδὲ ἥδυτερον τοῖς φρονήσει κεκοσμημένοις, ὡς κτῆσις φιλίας, καὶ ἡ περὶ ταύτην σπουδή· ἐντεῦθεν ἄλλοι μὲν πρὸς οὓς οὐκ ἔσχον συνήθειαν διὰ φροντίδος ἔθεντο, οἷον ἀρχήν τινα καταβαλέσθαι, καὶ φυτεῦσαι φιλίαν· ἕτεροι δὲ πάλαι καὶ ἄνωθεν ἀναβλαστησάσης, εἶτα ὥσπερ ἀπομαρανθείσης τῷ χρόνῳ, δεῖξαι ἀναθάλλουσαν διεσπούδασαν, καὶ δι' ἑαυτῶν εἰς τὸ ἀρχαῖον ἐπανήγαγον, ὀρθῶς εἰδότες, καὶ συνέσει τελειοτάτῃ τὴν φύσιν τοῦ πράγματος κατανοήσαντες, ὅτι τῶν ἐν τῷ βίῳ πάντων καὶ τιμιώτερον καὶ χαριέστερον τὸ τῆς φιλίας τερπνόν· ταῦτα προοιμιάζομαι οὐχ ὡς ἀγνοούσης τῆς ὑμῶν εὐγενείας, ἀλλ' ὡς πρὸς εἰδότα καὶ αὐτὸς εἰδὼς καὶ οἷον κοινὴν συνομιλίαν περὶ τοῦ ἀμφοτέρους ἀναλαβέσθαι τὸ πρᾶγμα τῆς φιλίας, οὗπερ οὐ νῦν ἀρχόμεθα, ἀλλὰ μᾶλλον κλῆρον ὄντα πατρικὸν ἐπιζητοῦμεν, καὶ ὃ προέφημεν ἀναθάλλειν παρασκευάσαι σπουδάζομεν, οὐκ οἶδα ὅπως τῷ χρόνῳ κινδυνεύσασαν διαῤῥυῆναι.

Οὐ λανθάνει γὰρ τὴν ὑμετέραν σύνεσιν, ὅτι περ ὁ ἐν ἀρχιερεῦσι θεοῦ μέγιστος καὶ ἀοίδιμος Φώτιος ὁ ἐμὸς ἐν πνεύματι ἁγίῳ πατὴρ πρὸς τὸν πατέρα τῆς ὑμῶν εὐγενείας οὕτως συνῆπτο

τῇ τοῦ πόθου σχέσει, ὡς οὐδεὶς οὐδὲ τῶν ὁμοδόξων καὶ ὁμοφίλων φιλικῶς διετέθειντο πρὸς ὑμᾶς· ἄνθρωπος γὰρ ὢν τοῦ θεοῦ, καὶ πολὺς τάτε θεῖα καὶ τὰ ἀνθρώπινα ᾔδει, ὅτι κᾀν τὸ τοῦ σεβάσματος διΐστη διατείχισμα, ἀλλὰ τό γε τῆς φρονήσεως, τῆς ἀγχινοίας, τοῦ τρόπου εὐςαθὲς, τὸ τῆς φιλανθρωπίας, τὰ λοιπὰ ὅσα κοσμεῖ καὶ σεμνύνει τὴν ἀνθρωπίνην φύσιν προσόντα, πόθον ἀναφλέγει τοῖς τὰ καλὰ φιλοῦσι τῶν οἷς πρόσεστι τὰ φιλούμενα· διὰ τοῦτο κᾀκεῖνος ἐφίλει τὸν σὸν πατέρα οἷς εἶπον κοσμούμενον, εἰ καὶ μεταξὺ τὸ διαφέρον τῆς πίστεως ἵστατο· ἐκινήθημεν δὲ οὐ νῦν πρὸς τὴν προαίρεσιν ταύτην, ἀλλὰ πάλαι καὶ πρώην συνεκινούμεθα, καὶ περὶ πολλοῦ ἐποιούμεθα· τοῦτο δὴ ὃ προέφην τὴν ζήτησιν τῆς πατρικῆς ἡμῶν φιλίας, παρέστηκε δὲ νῦν ὑπόθεσις τὸν σκοπὸν ἡμῶν πληροῦσα, ἣν ὡς ἀληθῶς ἔδει τοῦ τοιούτου πράγματος ἀρχὴν γενέσθαι· ἡ δέ ἐστιν ὡς ὁρᾷς συμπάθεια πρὸς τὸ ὁμοφυὲς, φιλανθρωπία, ἔλεος, ἡμερότης· καὶ τί ἄλλο ἢ αὐτοῦ τοῦ θεοῦ τῆς ἀγαθότητος μίμησις; ὃς διὰ πολλὴν χρηςότητα καὶ ἄπειρον ἔλεος, καὶ οὐκ ὄντας ὑπέστησεν, καὶ ὑποστάντα ἐκ πηλοῦ οἷα πατὴρ ἐφαπλῶν τὴν κηδεμονίαν τὰ σπλάγχνα περιέπει, τὴν ζωὴν συνέχει, πάντα χορηγεῖ, οἷς τὸ ἀνθρώπινον ἔχει τὴν διαμονήν· τοιαύτη τις ἡ παροῦσα ὑπόθεσις, τούτων ὧν εἶπον καὶ αὐτὴ φέρουσα τὴν ἀπόλαυσιν· ἡ γὰρ τῶν δεσμίων ἐλευθερία, ἡ τῆς αἰχμαλωσίας ἀνάκλησις, ἡ τῆς δουλείας ἀπολύτρωσις, ἡ πρὸς τοὺς οἰκείους, ἡ πρὸς τοὺς συγγενεῖς, ἡ πρὸς τοὺς φίλους ἐπάνοδος τῶν αἰχμαλώτων, ταῦτα ἔχει τὴν διαμονὴν τοῦ γένους, τὴν συνοχὴν τῆς φιλίας, τὴν γλυκεῖαν τῆς ζωῆς μέθεξιν.

Ἀλλ' ἐπεὶ ταῦτα ἔφημεν ἤδη καὶ ὡς φίλοι καὶ ὑπὲρ φίλου δόξης φροντίζοντες, τὴν συμβουλὴν καὶ τὴν πρὸς τὸ φιλάνθρωπον ἔργον τῆς τῶν δεσμίων ἐλευθερίας, παραίνεσιν συνεισάγομεν, καὶ πρόθυμόν σε πρὸς τοῦτο τυγχάνοντα ποιεῖν σπουδάζομεν προθυμότερον, ἵνα ἐπὶ τῶν σῶν ἡμερῶν τοιαύτης εἰς τοὺς αἰχμαλώτους γεγενημένης φιλανθρωπίας, αὐτός τε κλέος ἀείμνηστον ἔξῃς, καὶ ἡμεῖς ὡς φίλοι τοῦ φιλουμένου τῆς δόξης συναπολαύωμεν· πολλαὶ, φίλων ἐμοὶ ἄριστε, τοῦ βίου περιστάσεις, αἳ συνέχουσι καὶ στε-

νοχωροῦσι τοὺς ἀνθρώπους, καὶ βαρείας ἀπεργάζονται ἀλγηδόνας· οὐδὲ μία δὲ πρὸς αἰχμαλωσίαν συγκρίνεται, ἀλλ' ὅσα ἐάν τις εἴπῃ, κᾂν τε πενίαν, κᾂν τε ἀσθένειαν, ἢ μελῶν πηρώσεις, πάντα πρὸς ἐκείνην τὴν κάκωσιν καὶ ταλαιπωρίαν εὑρίσκονται ἀνεκτότερα· τί γὰρ ἐπωδυνώτερον, γονεῖς ἐκ παίδων χωρισθῆναι συζύγων διατομὴν, ἀδελφῶν ἀποξένωσιν; καὶ οὔπω φημι ὅσα λοιπὰ τοὺς αἰχμαλώτους συνέχει, ἃ καὶ ἡ σὴ εὐγένεια, καὶ πάντες ὅσοι νοῦ μετέχουσι συνεπίστανται· διὰ τοῦτο ἐπὶ νοῦν ἀναληψάμενος τὰ κοινὰ πάθη τῶν τε ὑμῖν ὁμοπίστων, καὶ τῶν τῆς ἡμετέρας πίστεως, μὴ βουληθῇς πρὸς τὴν τελείωσιν τοῦ σωτηρίου πράγματος δυσχερὴς ὀφθῆναι, μὴ δὲ προφάσεις τινὰς δυσκολίαν φερούσας πρὸς τὴν ἀπαλλαγὴν τῶν τῆς αἰχμαλωσίας δεσμίων τῶν τε ὑμετέρων, καὶ τῶν ἡμετέρων προβαλέσθαι· μᾶλλον μὲν οὖν ὡς δικαιοσύνην τιμῶν, πρὸς τὸ δίκαιον ἀφορῶν, καὶ μὴ ἀντεχόμενος κέρδους οἰκείου, καινοτομίαν δὲ Χριστιανοῖς ἐπιβάλλων· οὐκ ἔστι κέρδος τὸ ἄδικον, οὐδὲ ὠφελεῖν οἶδε τὸ πλεονεκτικὸν, ἀλλ' ἐσχάτη βλάβη καὶ καινοτομία τοῖς ὥσπερ σὺ οὖσιν ἱκανοῖς τὰ πρέποντα ἐκλογίζεσθαι· τοῦτο μεγίστη ὠφέλεια, τοῦτο ἀσύγκριτον κέρδος τὸ ἐπὶ τῆς ὑμῶν ἀρχῆς καὶ διοικήσεως πρὸς τὴν οἰκείαν πατρίδα τοὺς ὁμοεθνεῖς ἀποκαταστῆναι, τὸ γονεῖς ἀπολαβεῖν τὰ ἴδια τέκνα, τὸ τέκνα τοῖς πατράσι συναφθῆναι, τὸ γυναιξὶ τοὺς ὁμοζύγους ἀποδοθῆναι, τὸ φίλοις συγγενέσθαι τοὺς φίλους, καὶ ἁπλῶς ὅσα καλὰ δίδωσιν ἡ πατρὶς τὸ τούτων μετέχειν τοὺς ἄχρι καὶ νῦν τῆς πατρίδος ἀποξενωμένους· ταῦτα, φίλων ἐμοὶ ἄριστε, καὶ ἀρχὴν ποιοῦμαι τῆς πρὸς σὲ φιλίας, καὶ γράφω καὶ παραινῶ, ἐπεὶ καὶ σοὶ πρέπον τοιαῦτα ποιεῖν, καὶ ἡμῖν τοιαῦτα πρὸς τὸν φιλούμενον γράφειν· τὰ δ' ἄλλα ἐῤῥῶσθαί σε ἐπευχόμεθα ὑψηλότερον συντηρούμενον πάσης βιωτικῆς ἀνωμαλίας καὶ περιστάσεως, ὅση τῷ θνητῷ τούτῳ βίῳ ἄνω καὶ κάτω στρεφομένῳ οἶδεν ἐμπολιτεύεσθαι.

IV. ΤΩ ΥΠΕΡΦΥΕΣΤΑΤΩ ΜΕΓΑΛΟΔΟΞΩ ΠΝΕΥΜΑΤΙΚΩ ΤΕΚΝΩ ΣΥΜΕΩΝ ΑΡΧΟΝΤΙ ΒΟΥΛΓΑΡΙΑΣ.

Ἴσως περιττόν τι ποιεῖν δοκοῦμεν, τέκνον ἡμῶν, δυσωπεῖν σε βουλόμενοι τοιαύτην δυσώπησιν, ἣ τις καὶ χωρὶς τῶν ἡμετέρων λόγων ἐν τῇ σῇ θεοφιλεῖ ψυχῇ ἐναπόκειται· παντὶ γὰρ ἀνθρώπῳ γνώμην συμπαθῆ φέρειν ὀφειλομένου τυγχάνοντος, μάλιστα χρέος ἐστὶν ἀπαραίτητον τοῖς ἀναβεβηκόσιν εἰς ἀρχῆς ὕψος, τοῦτο διασώζειν, ἐπεὶ καὶ παρὰ τοῦ πάντων ἄρχοντος θεοῦ παρεσχέθη τοῖς ἄρχουσιν ἡ ἀρχὴ, οὐδενὸς ἄλλου χάριν, ἢ ἵνα πρὸς μίμησιν τοῦ τιμήσαντος, καὶ εἰς τὸ ἄρχειν ἀναβιβάσαντος ἀναφαίνωνται διαβιοῦντες· πάντως δὲ νουνεχὴς ὢν καὶ συνετὸς ἐπίστασαι τὴν τοῦ θεοῦ φιλανθρωπίαν καὶ τὴν χρηστότητα, καὶ τὸ συμπαθές· ὃς καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, τοσοῦτον ἡμῶν μακρύνει τὰς ἁμαρτίας ἀφ' ἡμῶν· καὶ τοῦτο δὲ λίαν ἐπίστασαι, ὅτι οἵ γε ὡς ἀληθῶς ἄξιοι τῆς παρὰ θεοῦ δεδομένης αὐτοῖς ἀρχῆς, πλείστων ὑπαρχόντων δι' ὧν ἔστιν αὐτοῖς θεραπεύειν θεὸν, ταύτην μάλιστα τὴν ἐξαίρετον θεραπείαν προσφέρουσι, τὸ φιλάνθρωπον ὡς εἶπον καὶ τὸ ἀνεξίκακον, καὶ τὸ πρὸς τοὺς ὑποχειρίους ἀόργητόν τε καὶ συμπαθές· οὐ γὰρ διὰ τοῦτο τῶν λοιπῶν προεκρίθησαν, ἵνα τῇ ἐξουσίᾳ πρὸς θυμὸν ἀποχρῶνται καὶ κάκωσιν τῶν ἀνθρώπων, ἀλλ' ἵνα σπλάγχνοις πατρικοῖς, κἂν πολλάκις τινὰ συμβῇ ἐξαμαρτῆσαι, τὸ ἁμάρτημα μεθοδεύωσιν· ἀρκεῖ ἐπὶ τοσοῦτον προοιμιάζεσθαι, αὐτὴν σοι λοιπὸν ἐκτιθέμεθα τὴν ὑπόθεσιν, περὶ ἧς δυσωποῦμεν.

Ἄνθρωπός τις οὐκ οἶδα δίκαιος ὢν ὑποσχεῖν τιμωρίαν, οὐκ οἶδα οἷα τὰ ἀνθρώπινα εἰς περίστασιν ἐμπεσὼν, ἕνεκεν τοῦ φοβεῖσθαι τὴν ὑμῶν ἐξουσίαν, τῷ ναῷ τοῦ θεοῦ, ὃν πᾶς ὁμολογεῖ χριστιανὸς ὀφθαλμὸν εἶναι τῆς οἰκουμένης προσπέφευγεν, ἐν ᾧ ἡμεῖς, εἰ καὶ ἀχρεῖοι νύκτα καὶ ἡμέραν τὴν λατρείαν προσφέρομεν· οὗτος ἐπειδὴ ἀπαραιτήτως εἵλκετο τοῦ ναοῦ, πολλὰ τό τε ἅγιον ἱλαστήριον ἐπιβοώμενος, καὶ τὴν κοινῶς πᾶσι χριστιανοῖς ὀφει-

λομένην τοῖς θείοις ἱεροῖς σεβασμιότητα, καὶ τὴν τῶν ἐν αὐτοῖς προσφευγόντων ἀσυλίαν, ἐκίνησεν ἡμᾶς· καὶ τί γὰρ ἄλλο ἔδει ποιεῖν λειτουργοὺς ὄντας εἰ καὶ ἀναξίους τοῦ ἁγίου θυσιαστηρίου, εἰς τὸ μὴ δὲ τὴν ἀρχὴν συγχωρῆσαι τοῖς βουλομένοις αὐτὸν ἕλκειν; τοῦτο παριδεῖν ἐκτελέσαι, καίτοι χαλεπαινόντων, καὶ σκληρῶς ἡμῖν διὰ τὴν σὴν χάριν προσφερομένων, ὅμως ἐπαγγελλομένων καὶ πᾶσι τρόποις βεβαιούντων ἡμᾶς, ὡς οὐδὲν δεινὸν ἀπεργάσῃ, τέκνον ἡμῶν, ἀλλὰ συγγνώμης ἀξιωθήσεται παρὰ σοὶ, καὶ τῆς ἐπὶ τῷ πταίσματι συγχωρήσεως, ἐξηγάγομεν αὐτὸν τοῦ ναοῦ καὶ ἀπεστείλαμεν, θεὸν ἐπιμαρτυρόμενοι καὶ τὸ πανάγιον αὐτοῦ ἱλαστήριον καὶ κατὰ τὸν παρόντα αἰῶνα καὶ κατὰ τὸν μέλλοντα, μὴ περιϊδεῖν αὐτὸν ἀνεκδίκητον, εἴ τι λυπηρὸν αὐτῷ καὶ δυσχερὲς, ὅπερ μὴ γένοιτό σε τέκνον ἡμῶν διαπράξασθαι, ἀπαντήσει· μὴ νόμιζε οὖν τοῦτον ἐκ χειρὸς λαμβάνειν τῶν πρὸς σὲ παραγινομένων, ἀλλ' ἐμὲ λογίζου αὐτὸν παρεῖναι, ὃς τοῦτον ἐξείλκυσα τοῦ θείου ναοῦ, καὶ χειρὶ τῇ ἐμῇ τῇ σῇ παραδιδόναι χειρί· σκόπει δὴ ὅπως καὶ τὸ ἱερὸν τοῦ θεοῦ τιμήσῃς, καὶ διὰ τούτου πρὸς αὐτὸν τὴν τιμὴν ἀνενέγκῃς, καὶ σεαυτῷ τὴν ἄνωθεν αὐτοῦ εὐμένειαν ἐπισπάσῃ, καὶ τὴν ἡμῶν ταπεινότητα διὰ τῆς πρὸς τὸν ἄνθρωπον συμπαθείας ἕξῃς ὑπερευχομένην σοι τὰ ἀγαθὰ καὶ σωτήρια, ἀλλὰ μὴ καταβοῶσαν ἀντὶ τῆς εἰς τὸν θεῖον ναὸν ὕβρεως, εἴ τις, ὅπερ μὴ γένοιτο, τιμωρία καὶ κόλασις τὸν ἄνθρωπον ὑποδέξεται.

Χωρὶς δὲ τούτων ἀναμνήσθητι, τέκνον ἡμῶν, ὡς καὶ αὐτὸς ἐπὶ τοῖς οἰκείοις πταίσμασι τῆς θεϊκῆς χρηστότητος καὶ φιλανθρωπίας χρήζεις, ἧς οὐκ ἔστιν ἐπιτυχεῖν μὴ ἀφιέντα τοῖς ὀφείλουσι τὰ ὀφειλήματα· καλὸν οὖν ὥσπέρ τινα καταβολὴν δοῦναι θεῷ τὸν εἰς τὸν ἄνθρωπον ἔλεον, ἵνα καὶ αὐτὸς τύχῃς τῆς θεϊκῆς ἐλεημοσύνης· καὶ τοῦτο δὲ ἄξιόν σε συνιδεῖν, ὅτι καὶ φιλανθρώπῳ γενομένῳ σοι, καὶ ὅπερ μὴ συγχωρήσοι θεὸς εἰς τὸ ἐναντίον τρεπομένῳ, πολλαπλάσιος ἔσται ἡ τῆς φιλανθρωπίας ἢ τῆς κολάσεως ἡ ἀντίδοσις· οὐ γὰρ ἁπλοῦν ὡς ὁρᾷς πραχθήσεταί σοι τὸ ἁμάρτημα· ὅ τε γὰρ ναὸς ὑβρίζεται τοῦ θεοῦ, καὶ ὁ τούτου

ἀρχιερεὺς εἰ καὶ ἐλάχιστος, καὶ δόγματα κατασφαλιζόμενα τὴν ἀσυλίαν τοῖς εἰς τὸ μέγα τοῦτο καταφύγιον καταφεύγουσιν· ἀλλὰ ταῦτα μὲν τὰ ἐκ τῆς τοῦ λόγου παραινέσεως ἡμῖν προσείρηται· ὑπόλοιπον δὲ καὶ ἔτι δεσμῷ τοῦ ἁγίου πνεύματος τὰ εἰρημένα ἐπὶ πλέον ὀχυρῶσαι, καὶ σὲ, τέκνον ἡμῶν, εἰς τὸ μὴ ἀνάξιόν τι παθεῖν τῆς σῆς μεγαλοτίμου ἀρετῆς, μὴ δὲ ἐξαμαρτεῖν διασφαλίσασθαι· καὶ λοιπὸν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, παρ' οὗ ἡμῖν τοῖς ταπεινοῖς ἐξουσία δέδοται δεσμεῖν ἐπὶ σωτηρίᾳ ψυχῆς τοὺς ἐν χρείᾳ τοῦ δεσμοῦ καθισταμένους, ἀπαγορεύομέν σοι μηδὲ μίαν κόλασιν ἢ τιμωρίαν ἐπαγαγεῖν τῷ ἐκ τοῦ ἱεροῦ οἴκου τοῦ θεοῦ ληφθέντι, μήδ' εἰς πεῖραν τινὸς κακώσεως αὐτὸν καταστῆσαι, ἀλλ' οἰκτιρμῶν ἀξιῶσαι καὶ συγγνώμης, ὡς ἂν καὶ αὐτὸς εὕροις ἐπὶ ταῖς σαῖς ἐξαιτήσεσι πειθόμενον τὸν πάντων ἄρχοντα καὶ δεσπότην, ἀλλὰ μὴ ὀργιζόμενον, καὶ προτείνοντά σοι τοὺς λόγους ἐκείνους, οὓς ὁ τῶν πολλῶν ὀφλημάτων τῆς λύσεως οἰκέτης ἀξιωθεὶς, ἐπείπερ τῷ πλησίον ὤφθη ἀσυμπαθὴς, σὺν ἀπειλῇ ἀποφηναμένου τοῦ δεσπότου διήκουσεν.

IV. ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΘΕΟΦΙΛΕΣΤΑΤΩ ΣΥΛΛΕΙΤΟΥΡΓΩ ΚΑΙ ΤΕΚΝΩ ΗΜΩΝ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΒΟΥΛΓΑΡΙΑΣ.

Καὶ ἄλλως ἡμῖν ἐπιθυμητῆς ὑπαρχούσης τῆς πρὸς τὴν σὴν ὁσιότητα διὰ τοῦ γράφειν συνομιλίας, νῦν ἐπειδὴ καὶ πράγματος ἀναγκαίου ὑπόθεσις προελθοῦσα πρὸς τὸ γράφειν ἐκίνησεν, ἅμα μὲν καὶ τὴν ἐπιθυμίαν παρηγοροῦντες, καὶ τῷ ἀναγκαίῳ τοῦ πράγματος συγκινούμενοι, τὸ παρὸν σοι γράμμα διαχαράττομεν· ἀλλ' ἐκεῖνο προλαβεῖν δεήσει περὶ τῆς κατὰ μέρος τοῦ πράγματος διηγήσεως, ὅτι καταξιωθέντες τῷ ἁγίῳ θυσιαστηρίῳ παρίστασθαι καὶ μεσιτεύειν ὑπὲρ ἀνθρώπων ἐν γῇ στρεφόμενοι πρὸς τὸν ἐν οὐρανοῖς δεσπότην κατασταθέντες, ὢ τῆς φρικτῆς καὶ ὑπὲρ λόγον δωρεᾶς καὶ φιλοτιμίας, ὀφείλομεν συντόνῳ λογισμῷ τὴν τάξιν, ἐφ' ἣν κατέστημεν ἐννοεῖν· καὶ ἐπεὶ τὰ πρὸς θεὸν ἁμαρτανόμενα τοῖς ἀνθρώποις παραιτούμεθα, πολλῷ πλέον τὰ εἰς ἀλ-

λήλους πταίσματα τῶν ἀνθρώπων διαλύειν σπουδάζειν, καὶ τὰς πολλάκις ἐπαγομένας παρὰ τῶν ὑπερεχόντων παραιτεῖσθαι τιμωρίας, ἅτε δὴ καὶ ἀσυγκρίτου ἡμῖν τῆς πρὸς ἀνθρώπους παῤῥησίας ὑπαρχούσης, καὶ εὐλόγου παραιτήσεως· τί γὰρ ἂν εἴη ἄνθρωπος ἐξημαρτηκὼς εἰς ἄνθρωπον, ὃ μὴ κατὰ πολὺ ἔλαττον ἀποφαίνεται τῶν πρὸς θεὸν καθ' ἑκάστην ἁμαρτανομένων, ὧν οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ παριστάμενοι, πρέσβεις καὶ παραιτηταὶ καθεστήκασι; διὰ τί ταῦτα εἶπον; ἵνα καὶ ἡ σὴ θεοφιλὴς ὁσιότης ἱερατεύειν λαχοῦσα τοῦ Βουλγάρων ἔθνους, τῇ δεδομένῃ σοι παρὰ τοῦ ἁγίου πνεύματος παῤῥησίᾳ τὸν τὴν ἀρχὴν ὑμῶν κεκτημένον, φημὶ δὴ τὸ ἠγαπημένον ἡμῶν τέκνον, ἐπειδὰν οἷα τὰ ἀνθρώπινα πρὸς ἀγανάκτησιν τινὸς ἐξαχθείη, τοῦτο μὲν πατρικῶς παραινῶν, τοῦτο δὲ καὶ ἀρχιερατικῶς παῤῥησιαζόμενος, ἀναδιδάσκῃς μέτρα εἰδέναι τῆς ἀγανακτήσεως, μᾶλλον δὲ τὰ πολλὰ νικᾷν τῷ φιλανθρώπῳ τὴν ἀγανάκτησιν, καὶ παρορᾷν τὴν τιμωρίαν, ὡς εἰδότα, ὅτι παντὶ μὲν ἀνθρώπῳ κατὰ πολὺ κρεῖττόν ἐστι τοῦ λαβεῖν τιμωρίαν τὸ δοῦναι συγγνώμην, μάλιστα δὲ τοῖς ἀρχὴν καὶ ἐξουσίαν εἰληφόσι παρὰ θεοῦ, οὓς τοσοῦτον ἀποφαίνει θαυμαστὸν καὶ τιμίους τὸ συγγνωμονικὸν, ὅσον ἐξουσίαν ἔχοντες κολάσαι, τὴν συγγνώμην προέκριναν τῆς κολάσεως.

Ἀλλ' ἐπεὶ ταῦτα ὑπεμνήσαμεν, φέρε δηλώσωμεν καὶ τὴν ὑπόθεσιν, δι' ἣν τὸ γράμμα διατυποῦται· ἄνθρωπός τις προσπέφευγε τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ ἐκκλησίᾳ, ὥς φησιν, οὔτε τοῦ Βουλγάρων τυγχάνων γένους, οὔτέ τινος τῶν ἐν Βουλγαρίας χρηματίσας οἰκέτης, καὶ νῦν ὡς δραπέτης οἰκέτης ἐπιζητούμενος· τοῦτον προσφυγόντα τῷ ἱερῷ τοῦ θεοῦ, πρὸς χάριν τοῦ ἐκ θεοῦ ἄρχοντος ἧκον ἀποσπάσαι βουλόμενοι τοῦ ναοῦ, οἷς ἡμεῖς πολλὰ χαλεπαίνουσι καὶ σκληρῶς προσφερομένοις, πεισθῆναι οὐκ ἐβουλόμεθα, οὐδὲ συγχωρεῖν ἀποσπάσαι τοῦ ναοῦ τὸν ἱκέτην, ἕως οὗ πληροφορίαν παρασχόντες, ὡς οὐδὲν πείσεται δεινὸν παρὰ τοῦ ἐκ θεοῦ ἄρχοντος, τοῦ παναγίου ἔλαβον θυσιαστηρίου πολλὰ καὶ θεὸν ἐπιμαρτυρομένων ἡμῶν, καὶ τὸ ἅγιον ἱλαστήριον, ὡς εἰ κακόν τι ἀπαντήσει αὐτῷ οὐ μὴ ἀνήσωμεν ἕως ἂν ἐν ζῶσι στρεφώμεθα,

ἀλλὰ καὶ μετὰ τὴν ἐκ τοῦ βίου ἀπαλλαγὴν, εἴ τις ἡμῖν ἀχρείους οὖσι παρασχεθείη τόπος ἐντεύξεως πρὸς Θεὸν, κατὰ τοῦ ὑβριστοῦ τοῦ ἁγίου θυσιαστηρίου τὰς ἐντεύξεις ποιεῖσθαι καὶ τῆς τούτου τιμωρίας· πάντως δὲ δῆλός ἐστιν ὁ ὑβριστής· οὐδεὶς γὰρ ἕτερος ἢ ὁ τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐπενέγκαι τολμήσων, ὅπερ μὴ δοίη Θεὸς τῷ ἐκ τοῦ ναοῦ ληφθέντι ἀνθρώπῳ· οἱ μὲν γὰρ πείσαντες ἡμᾶς ἐξαγαγεῖν αὐτὸν οὐκ ἂν εἴησαν ὑβρισταὶ, διότι μὴ δ᾽ αὐτοὶ γίνονται τιμωροὶ, ἀλλὰ μᾶλλον χαριζόμενοι τῷ ἐκ Θεοῦ ἄρχοντι τὴν τοιαύτην κατεβάλλοντο σπουδὴν, καὶ ἄξιοι χαριζόμενοι ὡς φίλῳ τυχεῖν χάριτος φιλικῆς, ἀλλ᾽ οὐχὶ διὰ τῆς ἐκείνου εἰς τὸν ἄνθρωπον τιμωρίας ἔνοχοι κατακρίσεως ὀφθῆναι, οἷς τε παρέπεισαν ἡμᾶς, καὶ οἷς τὸν προσπεφευγότα τῷ θυσιαστηρίῳ λαβόντες ἀπέστειλαν πρὸς αὐτόν.

Ἐγὼ δὲ εἴ τις ἐστὶ νοερὰ διάβασις καὶ παρουσία ψυχῆς καὶ ἕνωσις ἀνθρώπου πρὸς ἀνθρώπους, καὶ τοῦτό σοι γράφω τῷ θεοτιμήτῳ ἡμῶν καὶ φιλαρέτῳ τέκνῳ προσειπεῖν, τέκνον ἐμὸν, αὐτόν με νόμιζε τοῖς σοῖς ὁρᾷν ὀφθαλμοῖς, καὶ τὸν ἄνθρωπον τῇ ἐμῇ χειρὶ ἐκ τοῦ θυσιαστηρίου ἐξαγαγόντα τῇ σῇ χειρὶ παρατιθέσθαι· μηδείς σε παραπείσῃ, μὴ παραλογίσῃ, μήτε τὸν ἐν τῷ ἁγίῳ κατοικοῦντα ναῷ, ὃς τὸν οὐρανὸν πληροῖ καὶ τὴν γῆν, μήτε τὸν ἀχρεῖον τοῦ ναοῦ ἱερέα, μηδέ τι πράξῃς ἀνιαρὸν εἰς τὸν παρ᾽ ἡμῶν ἐκ τοῦ ἱεροῦ ναοῦ ἐξενηνεγμένον καὶ σοὶ παραπεμφθέντα· προμαρτύρομαί σοι ὡς οὐχὶ τοῦ Θεοῦ ἡ δίκη νυστάξει, ἀλλὰ πολλῷ βαρυτέραν ἀπαιτήσει τὴν δίκην, ἧς ἂν αὐτὸς ἐπιθήσῃς τῷ ταλαιπώρῳ ἀνθρώπῳ· καὶ τοῦτο δὲ τῇ σῇ ἀρχιερωσύνῃ μὴ γενέσθω ὑποστολὴ προσειπεῖν αὐτῷ, ὅτι μὴ μέγα τὸ ἀνελεῖν, μὴ δὲ τὸ τιμωρεῖσθαι· τοῦτο γὰρ καὶ τοῦ τυχόντος· λῃσταὶ γὰρ καὶ καταποντισταὶ, καὶ τὸ ἄλλο μυρίον τῶν κακούργων γένος, εἰ βούλει δὲ καὶ ὄφεις καὶ λύκοι καὶ ἄρκτοι καὶ λέοντες, καὶ τὰ ἄλλα ἀνήμερα ζῷα δυνατὰ εἰς τὸ ἀνελεῖν καὶ λυπεῖν τὸ ἀνθρώπινον· ἀλλ᾽ ἐκεῖνο μέγα ὡς ἀληθῶς τὸ εὐεργέτην ὀφθῆναι, τὸ ψυχὴν παρασφαλεῖσαν ἐπανορθώσασθαι ἢ κεκακωμένην ἰάσασθαι· καὶ τούτου χρὴ πάντα μὲν τὸν μὴ ἀγνοοῦντα ὅτι κατ᾽ εἰκόνα τετίμηται τοῦ

θεοῦ, φροντίδα ποιεῖσθαι· μάλιστα δὲ τοὺς οὐ μόνον ἐκ τῆς πλάσεως, ἀλλὰ καὶ διὰ τοῦ ἄρχειν τῶν ὁμοδούλων πλέον τι φιλοτιμηθέντες, τὸ φέρειν τοῦ πλάσαντος τὴν ὁμοίωσιν· πολλὰ εἴχομεν καὶ ἕτερα γράφειν, ἀλλὰ τοῦτο μὲν τῆς σῆς ἀρχιερατικῆς τελειότητος ἱκανῆς οὔσης καὶ οἴκοθεν τὰ πρέποντα παραινεῖν, τοῦτο δὲ καὶ τοῦ λόγου φεύγοντος διὰ τὸ μῆκος τὸ ὀχληρὸν, τοῖς εἰρημένοις ἠρκέσθημεν, ἐκεῖνο μόνον προσεπιλέγοντες, ὡς παράσχοι θεὸς μηδὲν ἐναντίον τῆς ἡμετέρας παρακλήσεως καὶ τῆς ἐλπίδος γενέσθαι· ἵνα μήτε τὸ πνευματικὸν ἡμῶν τέκνον ὁ ἐκ θεοῦ ἄρχων ὑπόδικος αἰωνίου γένηται κρίματος, μήτε οἱ κοινωνήσαντες αὐτῷ τῆς βουλῆς καὶ τῆς πράξεως, κοινωνοὶ καὶ τῆς κατακρίσεως γένωνται.

V. ΣΥΜΕΩΝ ΑΡΧΟΝΤΙ ΒΟΥΛΓΑΡΙΑΣ.

Ἃ γράφομεν, τέκνον ἡμῶν, μὴ νόμιζε μέλανι, ἀλλὰ τοῖς ἡμῶν δάκρυσι γεγράφθαι· εἰς τοῦτο γὰρ ὡς ἔοικε περιέστησαν ἡμᾶς αἱ ἁμαρτίαι ἡμῶν, ἵνα τοιαύτας περὶ σοῦ ἀκούσωμεν ἀγγελίας, αἳ τὸ ἡμέτερον πρὸς σὲ γράμμα τὰ δάκρυα ἕξουσιν ὑπουργοῦντα πρὸς τὴν γραφήν· φεῖσαι ἡμῶν κύριε ὁ θεὸς ἡμῶν, καὶ μὴ παραχωρήσῃς ἐν ἡμέραις τῆς ταπεινότητος ἡμῶν καὶ ἀναξιότητος τοῦ σοῦ θυσιαστηρίου τοιαῦτα ἐνεργηθῆναι ὑπὸ τοῦ πονηροῦ πράγματα, ἃ μὴ διαλείψει πάντα αἰῶνα μεμπτοὺς καὶ ἐπονειδίστους παντὶ τῷ κόσμῳ ποιεῖν τοὺς ταῦτα πράττειν ὁρμήσαντας· ἀλλὰ μέχρι τίνος φεύγει ὁ λόγος καὶ ἀναβάλλεται τὴν πονηρὰν ἀγγελίαν, καὶ θεῷ μισητὴν καὶ ἀνθρώποις ἀποτρόπαιον ἐμφανῶς σοι λέγειν; ἀνήγγειλαν ἡμῖν, ὡς ὁ φρόνιμος, ὁ συνετώτατος, ὁ χριστιανικώτατος, ὁ πολλὰ μετακλαυσάμενος τὴν πονηρὰν ἐκείνην ἐκστρατείαν, ἣν ἐποιήσω κατὰ χριστιανῶν, νῦν πάλιν χείρονι ἐκστρατείᾳ καὶ θεῷ μισητοτέρᾳ ἐκείνην ἀποκρύπτειν ἐπιχειρεῖς, κινῆσαι βουλόμενος καὶ τυραννικῶς ἐπελθεῖν κατὰ τοῦ μηδὲν ἀδικήσαντος, κατὰ τοῦ μηδὲν ὅλως λυπήσαντος νηπίου καὶ ὀρφανοῦ, καὶ παιδὸς βασιλέως, οὔτε τῆς τυραννίδος ἔννοιαν λαβὼν,

ὡς βδελυρὰ παρὰ Θεῷ καὶ ἀνθρώποις· τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ Θεὸς τυραννίδα μεμίσηκε, καὶ ἄνθρωποι τὸν αἰῶνα πάντα τοὺς τυράννους ὡς κοινοὺς ἀλάστορας διαβάλλουσιν; ἀλλὰ γὰρ οὔτε ταῦτα εἰς ἔννοιαν ἔθου, οὔτε τὸν πατέρα τῶν ὀρφανῶν ἐνεθυμήθης, ὃς καὶ τὴν κατὰ τοῦ τυχόντος ὀρφανοῦ ἀδικίαν δυσχεραίνει καὶ βδελύσσεται, καὶ ἀτιμώρητον οὐκ ἐᾷ, μὴ ὅτι γε τὴν κατὰ βασιλέως, ὃν αὐτὸς κρίμασιν οἷς ἐδικαίωσε, τῶν σκήπτρων τῆς αὐτοῦ κληρονομίας κατέστησε δεσπότην καὶ κύριον· ἀλλ' οὐδὲ τῶν κοινῶν συμφώνων ἐποιήσω λόγον, ἃ τὴν εἰρήνην ἐξ ἀρχῆς, ἀφ' οὗ τῷ βαπτίσματι προσεληλύθατε, Ῥωμαίοις ἐμεσίτευσαν καὶ Βουλγάροις· οὐδὲ πάλιν τῶν δευτέρων, ἃ τῆς πρώτης κακῶς διαλελυσμένης εἰρήνης, εἰς ἀνακαινισμὸν καθιστῶντες αὐτὴν ὑπὸ σοῦ αὐτοῦ γεγενημένα ὅρκοις φρικτοῖς κατησφαλίσθησάν τε καὶ ὠχυρώθησαν.

Τί τοῦτο, τέκνον ἡμῶν; ποῦ μοι τὸ περὶ σὲ καύχημα; ποῦ ἐκεῖνα τὰ καλὰ, ὅσα ἡ ἀγαθὴ περὶ σοῦ φέρουσα ταῖς ἀκοαῖς ἡμῶν φήμη, ὡς ὁ ἐκ Θεοῦ ἄρχων, ἀγαθὸς, φιλόθεος, δίκαιος, μισοπόνηρος, ἐραστὴς ἀληθείας, πολέμιος ψεύδους; καὶ τί μὴ δεῖ καθ' ἕκαστον λέγειν, ὅσα κομίζουσα ἡμῖν ἡ καλὴ ἐκείνη καὶ δεξιὰ φήμη ἐποίει χαίρειν ἐπὶ σοὶ, εὐφραίνεσθαι, σεμνύνεσθαι, εὐχαριστίαν Θεῷ ἀναφέρειν, δοξάζειν τὸν τῶν ὅλων ἄρχοντα καὶ Θεὸν καὶ δεσπότην, ὅτι τοιοῦτον ἄνδρα τῷ γένει τῶν Βουλγάρων κεφαλὴν καὶ ἄρχοντα ἔδωκε· ποῦ ταῦτα, δι' ὧν καὶ νυκτὶ καὶ ἡμέρᾳ χαίρων ἐπὶ σοὶ εὐχὰς ἀνέφερον, εἰ καὶ ταπεινὸς, εἰ καὶ ἀχρεῖος τοῦ ἁγίου θυσιαστηρίου παραστάτης, μὴ ἐπιλιπεῖν τὸ σὸν σπέρμα ποτὲ τοῦ ἄρχειν τῶν Βουλγάρων τοῦ ἔθνους, μὴ δὲ τῆς κληρονομίας τῶν σῶν κατορθωμάτων τὰ σὰ ἐκπεσεῖν τέκνα; ποῦ μοι ἐκεῖνα τὰ καλὰ καὶ σεμνὰ διηγήματα; πόθεν δὲ ταῦτα τὰ ἐναντία, τὰ σκυθρωπὰ, τὰ μεμισημένα Θεῷ καὶ ἀνθρώποις, τὰ εἰς αἰσχύνην ἀπάγοντα, τὰ ποιοῦντά μοι ἄρτον τὰ ἐμὰ δάκρυα; τίς γὰρ μὴ ὅτι γε ὡς ἐγὼ τὴν σὴν φιλήσας καὶ φιλῶν ἀρετὴν, ἀλλὰ καὶ ἄλλος δίκαια λογιζόμενος, καὶ χωρὶς τοῦ σε φιλεῖν ἀκούων ταῦτα, οὐχὶ πλήττεται τὴν καρδίαν, οὐ σκυθρωπάζει, οὐκ ἀνιᾶ-

ται, οὐχ ὅλος γίνεται τῶν δακρύων; τί γὰρ ἐπωδυνώτερον ἀνθρώποις; τί δὲ μᾶλλον ἀξιώτερον θρηνεῖσθαι τοῦ ἄνθρωπον ἐν ἀρετῇ διανόητον ὄντα, καὶ ὀνόματος ἀεὶ μνήστου τυχόντα, καὶ οἷον παράδειγμα καὶ τοῖς κατ᾽ αὐτὸν καὶ ταῖς μετέπειτα γενεαῖς τρόπων καὶ βίου φιλοθέου γενόμενον, ἐξαίφνης τοῦτον μὲν ἐκπεσεῖν καὶ ἀλλοτριωθῆναι, πρὸς δὲ τὰ χείρω δέξασθαι τὴν μετάπτωσιν; οἴμοι τῶν ἐμῶν συμφορῶν τῆς ἐμῆς ταλαιπωρίας, τῶν ἐμῶν ὡς ἔοικεν ἀπείρων ἁμαρτιῶν· φεῦ τῆς ἐπηρείας τοῦ ἐξ ἀρχῆς μισανθρώπου, τοῦ τοῖς καλοῖς ἀεὶ διαφθονοῦντος, τοῦ πᾶσαν σπουδὴν ποιουμένου ἐπὶ τὰ χείρω τοὺς ἀνθρώπους ἀπάγειν.

Ἐγὼ, τέκνον ἐμὸν, τὸ σὸν ἑκάστῃ τε ἀναμανθάνων εὐγενὲς φρόνημα τῆς ψυχῆς, καὶ ὅτι μηδὲν ἕτερον οὕτω σοι διασπουδάζεται, ὡς τὸ παραστῆσαι τὴν σὴν ἀρχὴν ἀκατάκριτον καὶ ἀνεύθυνως, οὐκ ὀλίγων καὶ πρὶν τὰ νῦν λεγόμενα φημιζόντων, λῆρον ἐποιούμην τοὺς λόγους, καὶ ἐχθροὺς ὑπελάμβανον τῆς σῆς ἀρετῆς, καὶ διὰ τοῦτο ταῦτα λογοποιεῖν, ἵνα σε μωμητὸν καταστήσωσι, καὶ πολλοῖς ἔλεγον, ὡς οὐδαμῶς ἔχει χώραν ἡ τοιαύτη κατηγορία κατὰ τοῦ ἐκ θεοῦ ἄρχοντος· ἔλεγον γὰρ ὡς ἄνθρωπος τιμῶν εὐσέβειαν, ἀληθείᾳ χαίρων, δικαιοσύνην τιμῶν, ὀνόματος ἀγαθοῦ καὶ μνήμης ἐφιέμενος, οὐκ ἄν ποτε τυραννίδος ἐπιθυμίαν ἕξῃ· ὁ γὰρ τύραννος τούτων μὲν πάντων ἀλλότριος ὑπάρχων, πεπληρωμένος δὲ τῶν ἐναντίων τὴν ἀθλίαν ψυχὴν, πρὸς ταύτην ἀναφλέγεται τὴν ἐπιθυμίαν· καὶ γὰρ πᾶς τύραννος, καὶ ἄπιστος, καὶ ψεύστης, καὶ παράνομος, καὶ ἄδικος, καὶ τὸ κεφάλαιον τῆς κακίας, μὴ νομίζων εἶναι θεοῦ πρόνοιαν, μήθ᾽ ὑπὸ τῆς ἐκείνου κρίσεώς τε καὶ νεύσεως τὰ ἀνθρώπινα διοικεῖσθαι, καὶ ἀρχὰς καὶ ἐξουσίας διανέμεσθαι τοῖς ἀνθρώποις, ἀλλὰ μόνῃ τεθάῤῥηκεν τῇ ἑαυτοῦ μανίᾳ καὶ ἀθεότητι καὶ ἀπονοίᾳ· ἔλεγον δὲ πρὸς τοὺς σὲ διαβάλλοντας, ὡς τυραννίδος ἐπιθυμεῖς, ἄνθρωποι ἄλαλα ὑμῶν εἴη τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ ἐμοῦ θεοφιλοῦς τέκνου, κατὰ τοῦ εὐσεβεστάτου, κατὰ τοῦ πιστοτάτου, κατὰ τοῦ δικαίου ἀνομίαν καὶ ἀδικίαν· καὶ τοῦτο οὐχ ἁπλῶς ἀλλὰ προστιθεὶς ταῦτα, ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς

καρδίας προβάλλει τὰ πονηρά· ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προβάλλει τὰ ἀγαθά· τὸ ἐμὸν τέκνον ἀγαθότητι χαίρει· ἀληθινὸς γὰρ, καὶ ψεῦδος πάσῃ δυνάμει ἐν τοῦ οἰκείου ἔθνους διώκει καὶ ἀπελαύνει· καὶ πιστότατος δὲ, ὅτι πάντως ἀκούω τοὺς ὑφ᾽ ἑαυτὸν πᾶσι τρόποις ἐν τῇ πίστει· ὅτι δὲ καὶ δικαιότατος, οὕτω πάντες κεκράγασιν· οὐδεὶς γὰρ ἄδικος τὴν ἐκείνου καυχήσεται μυκτηρίζειν δικαιοσύνην· πῶς οὖν ἔχει λόγον τὸν ἀληθινὸν ἄνθρωπον, τὸν πιστότατον, τὸν δικαιότατον, τὸν ἄλλους ταῦτα παιδεύοντα, καὶ λόγοις καὶ ἔργοις αὐτὸν γενέσθαι ψεύστην, ἢ ἄπιστον, ἢ ἀδικώτατον; οὐκ αἰσχυνθήσεται αὐτὸς ἑαυτὸν τοὺς μὲν ὑπηκόους ἀρετὴν ἐκπαιδεύων, αὐτὸς δὲ χάριτι θεοῦ ἄρχων καθιστάμενος πρὸς κακίαν καὶ τότε μιαρωτάτην; τί γὰρ μιαρώτερον τυραννίδος, ἀποκρίνων; οὐκ ἔστι ταῦτα, μὴ γένηται· οὐ μᾶλλον ἢ ὁ ἥλιος ἀντὶ τοῦ φωτίζειν τοὺς ὑπ᾽ αὐτοῦ λαμπομένους σκοτίζειν διαλοιδορούμενος.

Οὕτως ἐγὼ διϊσχυριζόμην, οὕτω καὶ πρὸς βασιλέα καὶ πάντας ἀντέλεγον, ὁπότε τέκνον ἐμὸν περὶ σοῦ τυραννικὴν ἐπιθυμίαν, καὶ τυραννίδος ὑπέβαλλον λόγους· νῦν δὲ τί εἴπω, καὶ γὰρ ἐκεῖνα πάντα, ὅσα πρότερον ὑπὲρ σοῦ ἔλεγον, ὅσα ἐπῄνουν, ὅσα πρὸς σύστασιν τῆς σῆς διεβεβαιούμην ἀρετῆς, εἰς τὸ ἐναντίον με περιΐστησιν, ἀποφράττει μοι τὸ στόμα, καταισχύνει, καὶ οὐδὲ βλέπειν μοι συγχωρεῖ πρὸς οὓς πρότερον ἀντέλεγον ὑπὲρ τῆς σῆς ἀρετῆς· τί τοῦτο, τέκνον ἐμὸν; ποῖος πονηρὸς δαίμων τῇ σῇ δόξῃ φθονήσας εἰς τοῦτο κατέστησεν, ἵνα τυραννίδος ὄνομα κληρονομήσῃς; πόσῳ ἄμεινον ἐκ θεοῦ ἄρχοντα κεκλῆσθαι ἢ τύραννον; ποῖος ὄφις ἠρεύξατο εἰς τὰς ἀκοὰς τοῦ ἐμοῦ τέκνου; οὐ πεφρίκαμεν τὴν θείαν δικαιοσύνην; οὐ φοβερὸν ποιούμεθα τὸ ἅρπαγμα νομίζειν ποιεῖσθαι, ἣν ὁ Χριστὸς ἐπὶ γῆς ἐμεγάλυνε βασιλείαν; ὅρα τέκνον ἐμὸν ποῦ φερόμεθα; ποῦ ὁρμῆσαι διενοήθημεν; μισεῖ τὰς ἐπάρσεις ὁ θεὸς, καταβάλλει τοὺς ἐπαιρομένους τὰ ὑψηλὰ φρονήματα· εἰ καὶ πρὸς ὀλίγον συγχωρεῖ δοκεῖν ἵστασθαι, ἀλλὰ πάλιν ἀνατρέπει αὐτά· οὐδεὶς δυνατὸς παρ᾽ ἑαυτοῦ τι λαβεῖν· καὶ φρόνιμος ὢν οἶδας καὶ χωρὶς τῶν ἡμετέρων λόγων, ὡς πολλοὶ πει-

θέντες ἀβούλως, κακῶς ἀπήλλαξαν καὶ μετέγνωσαν, καὶ πολλὰ τῆς ἀβουλίας ἑαυτοὺς κατεμέμψαντο· καὶ ἵνα πάντα ἐάσω τὰ προλαβόντα, τίς οὕτως φιλόνεικος, καὶ ὑπὸ τῆς οἰκείας ἐπιθυμίαις ἐξαγόμενος, καὶ πρὸς τόλμαν ἕτοιμος, ὃν οὐ διδάσκει ὁ χθὲς καὶ πρὸ τῆς ἐχθὲς ἐπιστὰς αὐτοῖς τοῖς βασιλείοις τύραννος, καὶ σύντομον εἰσπραχθεὶς δίκην τῆς δυσσεβεστάτης αὐτοῦ καρδίας ἐπαξίαν καὶ τοῦ θράσους καὶ τοῦ τολμήματος; ὅτι οὐδεὶς λαμβάνει, καὶ μάλιστα τοιοῦτον ὑπερμέγεθες δώρημα, ἐὰν μὴ ᾖ αὐτῷ ἄνωθεν· εἶτα οὐκ αἰσχυνόμεθα ἑαυτοῖς ἄλλους ὅτι ψεύδονται τιμωρούμενοι, αὐτοὶ δὲ ἀδικοῦντες καὶ παράνομα πράττοντες; τὴν δὲ παράβασιν τῶν φρικτῶν ὅρκων ποῦ θήσομεν; οὐκ ἔστι πίστεως ἄρνησις; οὐκ ἔστιν εὐσεβείας ἀλλοτριώσεις; οὐκ ἔστιν αὐτοῦ τοῦ χριστιανῶν πληρώματος ἀνατροπή; ὅταν γὰρ τὰ φρικτὰ τῶν χριστιανῶν τὶς ἐνυβρίσῃ μυστήρια, πῶς ἔτι χριστιανὸς ἐκεῖνος κεκλήσεται;

Ἀναγκάζομαι ὑπὸ τῆς σφοδροτάτης τῆς ψυχῆς ὀδύνης, καὶ τοῦ περὶ σὲ διαπύρου φίλτρου, ὁ ἐξ ἀρχῆς ἀνεφλέχθη ἐν τῇ ἐμῇ ψυχῇ, καὶ ἔτι δὲ ἀναφλέγεται, μακρύνειν τὸν λόγον· πάλιν δὲ ὑπὸ τῆς ἀπροσδοκήτου ταύτης συμφορᾶς καὶ τῆς ἐπηρείας τοῦ πονηροῦ δαίμονος, ὃς τῇ σῇ βούλεται λυμήνασθαι μεγαλειότητι, ἀνακόπτομαι τοῦ λέγειν, θαμβούμενος ἐπὶ τῷ παραλόγῳ τοῦ ἐγχειρήματος· ὅμως ἔτι προσθεὶς παλαιάν τινα ἱστορίαν σιγήσομαι· ἀκούεις τὴν Περσῶν βασιλείαν, ὅση μὲν τὴν δύναμιν, ὅση δὲ τὸν πλοῦτον, καὶ ὡς οὐ διέλιπον ἐξ ἀρχῆς Πέρσαι Ῥωμαίοις πολεμοῦντες· ἀλλ' οὗτοι οἱ διηνεκῶς τὰ ὅπλα πρὸς Ῥωμαίους ἐπαίροντες, ἐπειδὴ Ἀρκάδιος ὁ τῶν Ῥωμαίων βασιλεὺς τὸν βίον καταλιπὼν τῷ παιδὶ Θεοδοσίῳ τριετεῖ ὄντι κατέλιπε τὴν βασιλείαν, ἄδικον καὶ ἀπάνθρωπον εἶναι νομίσαντες βασιλεία πολεμεῖν, ἣν ὁ κατέχων τῶν ἀνθρωπίνων πραγμάτων καὶ διοικήσεων διὰ τὴν νηπιότητα ἦν ἀνεπαίσθητος, οὐ μόνον τὸν πόλεμον ἔπαυσαν, ὃν πρὸς Ἀρκάδιον ἐνήργουν, ἀλλὰ καὶ πρὸς τοὺς ἐνταῦθα τῆς συγκλήτου προέχοντας ὁ βασιλεὺς ἀπέστειλε τῶν Περσῶν, Χοσρόης δὲ ἦν ὁ πάντων Περσῶν ἐπὶ μιαιφονίᾳ διαβόητος, ἀλλὰ

γὰρ οὗτος ἀπέστειλε πρὸς τοὺς τῆς συγκλήτου λογάδας δηλῶν, ὡς καὶ τὸν πόλεμον καταλύει, καὶ τοῦ νηπίου βασιλέως προστήσεται, καὶ εἴ τις ἀντάραι χεῖρας πολεμικὰς τολμήσει, πάσῃ ἀμυνεῖται δυνάμει, καὶ χωρήσει καὶ κατ' αὐτῆς τῆς πόλεως σὺν τῷ οἰκείῳ στρατῷ, καὶ πᾶσαν σπουδὴν θήσεται καὶ ἀγῶνα τοῦ καὶ τὰ θεμέλια ταύτης ἀναστρέψας εἰς θάλασσαν ἐμβαλεῖν.

Ἀκούεις βασιλέως βαρβάρου καὶ δυσσεβῆς φιλανθρωπίαν; ἀκούεις κρίσιν διανοίας κατά γε τοῦτο δικαιοτάτης; καὶ γὰρ ὥσπερ ὁ ἐπιτρέχων ὀρφανοῦ παιδὸς πράγμασι, λῃστής ἐστι καὶ ἅρπαξ, καὶ οὐχ ἁπλῶς ἄδικος, οὕτω καὶ ὁ τυραννεῖν βουληθεὶς ὀρφανὸν βασιλέα καὶ νήπιον, οὐ μόνον ἔργον τυράννου ποιεῖ, ἀλλὰ λῃστοῦ καὶ ἅρπαγος, καὶ πάντων ἀνθρώπων βιαιοτάτου· ὅπερ ἐκεῖνος ὁ βάρβαρος συνιδὼν βασιλεὺς, ὁ μὴ τὸν Χριστὸν καὶ θεὸν ἡμῶν γινώσκων, ᾐσχύνθη ἀντὶ τῆς βασιλικῆς αὐτοῦ τιμῆς πρὸς ἅρπαγος καὶ λῃστοῦ ἀτιμίαν ἑαυτὸν ἐμβαλεῖν, λέγων τοῖς πρὸς τοῦτο διερεθίζουσιν αὐτὸν, καὶ γὰρ ἦσαν καὶ τότε πολλοὶ μιαροὶ καὶ λῃσταὶ ὄντως, πρὸς τοῦτο ὑποκινοῦντες, ὥσπερ καὶ νῦν εἰσιν οἳ τὴν σὴν σύνεσιν πρὸς τοῦτο ὑπάγειν σπουδάζονται· ἀλλ' ἐκεῖνος ἔλεγεν οὔτε δίκαια οὔτε συμφέροντα συμβουλεύειν αὐτῷ· τὸ μὲν γὰρ προσλαβεῖν τυχὸν πλοῦτον ἢ δυναστείαν ἐστὶ καὶ τῶν πονηρῶν ἀνθρώπων, τὸ δὲ ὄνομα ἔνδοξον κτήσασθαι, ἢ κτηθὲν διαφυλάξαι καὶ μὴ ἀπολέσαι, μόνων ἐστὶ φρονίμων καὶ ἀρετὴν τιμώντων, καὶ μνήμην ἀγαθὴν καταλιπεῖν τῷ βίῳ σπουδαζόντων· τί λέγεις; ἆρα καλῶς ἔχει σοι τέκνον ἐμὸν δι' ἐπιθυμίαν τυραννίδος χείρω γενέσθαι χριστιανὸν ὄντα καὶ τῆς ἐκείνου δόξης κληρονομίαν ἐλπίζοντα, ἀνδρὸς βαρβάρου καὶ ἀθέου καὶ πυρσολάτρου καὶ ἥλιον καὶ σελήνην θεοὺς νομίζοντος; καὶ πῶς οὐκ ἄμεινον καταδῦναι εἰς γῆν τὸν οὕτω φρονοῦντα, ἢ βλέπειν τὸν ἥλιον;

Ἐγὼ, τέκνον ἐμὸν, ὅπερ καὶ προλαβὼν εἶπον, ἐξ ὅλης σε φιλήσας ψυχῆς, φιλίαν τοῦ πνεύματος καθαρὰν, ὡς χριστιανικώτατον, ὡς δικαιότατον, ὡς συνετώτατον, ὡς κατὰ πάντα θεοῦ θεράποντα, καὶ αὐτῷ ἀρέσκειν μελετῶντα· μάλιστά γε καὶ ὑπὸ πολλῶν ἀκούω, ὅτι καὶ νυκτὶ καὶ ἡμέρᾳ οὐ λήγεις θεοῦ δεόμε-

νος ὑπὲρ τῆς προτέρας σου κατὰ Χριστιανῶν ἐκστρατείας, καὶ πᾶσι τρόποις ἐκείνης τῆς ἁμαρτίας ἑαυτὸν ἐκκαθαίρων νηστείαις καὶ δάκρυσι καὶ συντρίψει καρδίας· ἀλλὰ γὰρ ταύτην τὴν καλὴν σου προαίρεσιν μανθάνων, καὶ τὴν ἄλλην ἀρετὴν, ὅσην διεξῆλθεν ὁ λόγος, ὁλοψύχως ἐφίλησα· καὶ νῦν δὲ τὴν αὐτὴν πρὸς σὲ διασώζων φιλίαν, καὶ τὴν ἀπαίσιον καὶ πονηρὰν ταύτην ἀκούσας ἀγγελίαν, οὐκ ἤνεγκα σιωπῆσαι, ἀλλὰ δακρύων καὶ στενάζων τὸ γράμμα ἀπέστειλα· πρῶτον μὲν δεόμενος τοῦ Θεοῦ τῆς σῆς ἅψασθαι καρδίας, καὶ μεταστρέψαι αὐτὴν πρὸς τὸ εὐάρεστον αὐτοῦ καὶ σωτήριον, καὶ σὲ δεικνύον ἀκατάκριτον καὶ ἀκατάγνωστον θέλημα· ἔπειτα δὲ διανοῖξαι καὶ τὰ ὦτα, καὶ ἠρεμίαν τῷ λογισμῷ παρασχεῖν ἐκ τῶν ἔξωθεν θορύβων καὶ ταραχῶν διακοῦσαι τῶν ἡμετέρων λόγων, καὶ πεῖσαι οἷον ἐλπίζομεν γενέσθαι, καὶ ἀκοῦσαι ἡμᾶς ἀντὶ τῶν νῦν πονηρῶν λόγων, καὶ ὀδύνην μὲν ἡμῖν ἐμποιησάντων, σὲ δὲ ὅσον ἐφ᾽ ἑαυτοῖς δόξης μεγάλης ζημιωσάντων τὰ καλὰ καὶ συμφέροντα, καὶ μὴ αἰσχύνοντα τὴν σὴν ἀρετὴν, μήτε ἐν τῷ νῦν αἰῶνι μήτε ἐν τῷ μέλλοντι, ποιοῦντα ὑπόδικον αἰωνίου ἀδοξίας καὶ ἀτιμίας, καὶ ἀπαρηγορήτου κολάσεως, ἣ τοῖς ἀθετοῦσι τὸ μέγα ὄνομα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἐποφείλεται.

Πάντως δὲ οὐκ ἀμφιβάλλεις, ὡς ἀθέτησίς ἐστι τοῦ μεγάλου ὀνόματος ἡ τῶν συμφώνων καὶ τῶν ὅρκων ἀθέτησις, καὶ τὸ βουληθῆναι ἁρπάσαι βασιλείαν, τὴν κατὰ μηδὲν τῷ σῷ γένει προσήκουσαν· ἐπὶ πᾶσι τοῖς εἰρημένοις καὶ ὡς πατὴρ κατὰ πνεῦμα, εἰ και ἐλάχιστος, καὶ ὡς ἱερεὺς καὶ τοῦ ἁγίου θυσιαστηρίου παραστάτης, εἰ καὶ ἀνάξιος, καὶ λαβὼν ἐξουσίαν παρὰ τοῦ παναγίου πνεύματος δεσμῷ ὑποβαλεῖν τοὺς ἐξαμαρτάνοντας, εἰ καὶ πάντων ἁμαρτωλῶν ἐγὼ πρῶτος, δεσμῷ ὑποβάλλομέν σε ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ἵνα εἴ τι τοιοῦτον βεβούλησαι, καὶ ὡς ἡ φήμη προέδραμεν, ἐπὶ τυραννίδι πρὸς τὴν πόλιν διέγνως, καταργήσῃς τὸ ὅρμημα, καὶ πρὸς τὴν οἰκείαν ἐξουσίαν ὑποστρέψῃς, καὶ τὴν ἐξ ἀρχῆς εἰρήνην στέρξῃς, καὶ μηδὲν καινοτομῆσαι τολμήσῃς· γινώσκων ὡς εἰ τοῦτο πράξεις, ἀλύτοις δεσμοῖς τὸν

πάντα αἰῶνα τοῦ παναγίου πνεύματος ὑποβεβλημένος ἔσῃ, καὶ τῶν ἱερῶν καὶ ἀχράντων μυστηρίων ἀκοινώνητος· καὶ τῷ αἰωνίῳ βήματι μετὰ σοῦ παραστήσομαι, ἐξελέγχων σε, ὅτι ὅσον τὸ ἐπ' ἐμοὶ οὐκ ἐσίγησα, οὐδὲ πρὸς τοιαύτην φερόμενον ἀτοπίαν παρεῖδον, οὐδὲ τῆς σῆς ἠμέλησα σωτηρίας, ἀλλὰ σπουδὴν ἐθέμην καὶ ἀνενεγκεῖν σε καὶ ἀποστρέψαι τοῦ ἀσυμφόρου κινήματος τῆς ψυχῆς σου, καὶ τοῦ ὑπόδικον γενέσθαι καὶ τοῦ δεσμοῦ καὶ τοῦ ἀλύτου κατακρίματος· πρὸ δὲ τούτων καὶ νῦν τὰς ἀναξίους μου χεῖρας οὐ κατασπάσω τοῦ οὐρανοῦ, δεόμενος τῆς θείας δυνάμεως, μέχρις ἂν δικάσῃ δικαίαν κρίσιν μεταξὺ τῆς τε σῆς ἐπηρείας καὶ τῶν ἀδίκως ἐπηρεαζομένων.

VI. ΤΩ ΑΥΤΩ.

Καὶ πρότερον ἃ ἐγράφη, τέκνον ἐμὸν, ὑπὲρ τοῦ κοινῇ συμφέροντος Ῥωμαίων καὶ Βουλγάρων ἐγράφη, καὶ νῦν δὲ τὰ γραφόμενα τῆς αὐτῆς ὑπάρχει προαιρέσεως καὶ σπουδῆς· εἰδότες γὰρ ἀσύμφορον ὑπάρχειν ἑκατέρᾳ ἐξουσίᾳ καὶ τοῖς ὑπ' αὐτῇ λαοῖς τὸ διαστασιάζειν καὶ τὸ ἀνειρήνευτον, καὶ σφόδρα τὴν ψυχὴν ἐπὶ τοῦτο συνεχόμενοι, οὐ μόνον ὅτι λειτουργοὶ τοῦ ἁγίου θυσιαστηρίου, εἰ καὶ τῆς τοιαύτης ἀνάξιοι λειτουργίας, ἀλλ' ὅτι καὶ τῷ μακρῷ χρόνῳ τῆς ταλαιπώρου ζωῆς ἡμῶν, οὐκ ὀλίγην συνελεξάμεθα ἔκ τε τῶν ἱστορημένων τοῖς παλαιοῖς, καὶ τῶν κατὰ τοὺς ἡμετέρους καιροὺς γεγονότων μάθησιν τῶν συμβαινόντων ἐν τῇ στάσει χαλεπῶν· ἀλλὰ γὰρ εἰδότες τὰ καταλαμβάνοντα τὸ ἀνθρώπινον ἐκ φιλονεικίας καὶ ἔριδος λυπηρὰ καὶ ἐπώδυνα πράγματα, καὶ νῦν γράφομεν· χαλεπὸν γὰρ καὶ ἑνὸς ἀνδρὸς πρὸς ἕνα φιλονεικία· καὶ γὰρ οὕτως ἐχόντων, εἰ μὴ φθάσασα εἰρήνη τὸ φιλόνεικον διαλύσῃ, κίνδυνος περιστῆναι ἢ τοῦτον ἢ ἐκεῖνον εἰς ἐσχάτην βλάβην· χαλεπώτερον δὲ καὶ οἶκον πρὸς οἶκον, καὶ πόλιν πρὸς πόλιν οὕτω διακεῖσθαι· ἔθνος δὲ πρὸς ἔθνος φιλονείκως ἔχειν, καὶ μὴ ἐθέλειν καταλλάττεσθαι, πόσῳ χαλεπώτερον οὐκ ἔστιν ἐμὲ διδάσκειν; ἀλλὰ πᾶς τις συνίησι, μὴ ὅτι γε ἡ σὴ

ἐμφρονεστάτη καὶ τελεωτάτη σύνεσις· οὐκ ἔχω τί πλέον εἰπεῖν, διότι καὶ πρότερον εἴρηται, καὶ ὅτι καὶ χωρὶς τοῦ ἐμὲ λέγειν, ἱκανὸς εἶ, τέκνον ἐμὸν, καὶ ἄλλους περὶ τοῦ συμφέροντος καὶ τοῦ καλοῦ καὶ τῆς εἰρήνης διδάσκειν, μὴ ὅτι γε σεαυτῷ ποιεῖσθαι παραίνεσιν.

Ἃ δὲ εἰς βουλὴν προήχθη καὶ οἷς διακονούμενοι τὴν πρὸς ὑμᾶς ἐστείλαντο πορείαν οἱ τὸ ἡμέτερον γράμμα κομίζοντες, διηγήσονται μὲν καὶ αὐτοὶ χείλεσιν ἰδίοις· ἀπαγγελεῖ δέ σοι καὶ τὸ ἡμέτερον γράμμα, ὥστε εἰ ἀμεταθέτως ἔχεις τοῦ σοῦ φρονήματος, καὶ μὴ ἐπανελθεῖν ἐθέλης εἰς τὴν προτέραν τάξιν, ἔνορκον ἀσφάλειαν γενέσθαι τοῦ μὴ τοὺς Βουλγάρων ἀσύμφορόν τι πράττειν, καὶ τελεῖσθαι μὲν καθὼς ἐξ ἀρχῆς καὶ τὸ λεγόμενον κομβέντον, στέλλεσθαι δὲ καὶ τὰ ἐκ τῆς ῥωμαϊκῆς βασιλείας ὡς ἔθος πρὸς σὲ στελλόμενα μέχρι τῆς Δεβελτοῦ, ἐκεῖθεν τε διὰ τῶν ὑμετέρων ἀνθρώπων κομίζεσθαι πρὸς τὴν σὴν ἐξουσίαν, καὶ ἀρκεῖσθαι τούτων οὕτω γινομένων, καὶ μηδὲν πλέον ἐπιζητεῖν, μὴ δὲ τὴν τῶν βασιλικῶν ἀνθρώπων πρὸς σὲ ἄφιξιν τὲ καὶ προσκύνησιν· τούτων οὕτω δοξάντων, ἐγράψαμεν καὶ ἡμεῖς παρακαλοῦντες καὶ δυσωποῦντες φείσασθαι μὲν τῆς καταλαμβανούσης ἀμφότερα τὰ γένη, Ῥωμαίους τέ φημι καὶ Βουλγάρους συμφορᾶς, εἰ τὰ τῆς εἰρήνης ὅπερ μὴ δοίη θεὸς, ἐκποδὼν γένηται· φείσασθαι δὲ καὶ τῆς οἰκείας τιμῆς τε καὶ δόξης, καὶ μὴ τῷ βίῳ καταλιπεῖν ἀφορμὰς πρὸς διαβολήν τε καὶ μέμψιν τοῦ σοῦ περιδόξου ὀνόματος, μὴ δὲ ἀνθ᾽ ὧν μέλλουσιν ὑποστῆναι συμφορῶν τὰ ἀμφότερα ἔθνη, ἀρὰς ἐπαφίεσθαι κατὰ σοῦ ὑπὸ τῶν περιπιπτόντων ταῖς συμφοραῖς· ταῦτα δυσωπῶ, ταῦτα παραινῶ, καὶ ὡς πατὴρ τέκνον, καὶ ὡς λειτουργὸς εἰ καὶ ἀνάξιος τῆς θείας δόξης παρὰ θεοῦ σε δεδοξασμένον, καὶ μέλλοντα λόγον ὑφέξειν αὐτῷ εἴ τι ἀνάξιον, καὶ παρὰ τὸ ἐκείνου ἅγιον θέλημα, ὀφθείης διαπραξάμενος.

Ἐπεὶ δὲ οἱ πρὸς σὲ μετὰ τοῦ ἡμετέρου γράμματος πρότερον καταλαβόντες, ὑποστρέψαντες, ἀπήγγειλαν πρὸς ἡμᾶς, ὡς εἰπόντων ἡμῶν ἐν τῷ γράμματι, ὅτι ἀδύνατον χωρὶς χύσεως αἱμάτων τὴν

σὴν ὁρμὴν γεγενῆσθαι, αὐτὸς ἀνθυπέφερες, ὡς τοῦτο φαμὲν, ὅτι μετὰ τῆς τῶν αἱμάτων χύσεως δυνηθήσῃ ἐπιτελέσαι τὸ ἐπιχείρημα, μεγάλως μὲν ἐξεπλάγημεν, μεγάλως δὲ ἠνιάθημεν ἐπὶ τοῖς τοιούτοις ῥήμασι, καὶ ἐθαύμασα εἴ γε ἀληθῆ λέγουσιν, ἀλλὰ μὴ τὸ ὅλον ἐστὶ ψεῦδος καὶ ἀνάπλασμα τῆς τῶν εἰπόντων προαιρέσεως· πῶς μὲν ἐνεθυμήθης τοιοῦτον; πῶς δὲ τὸ ῥῆμα προσήνεγκας; ἡμεῖς γὰρ πρὸς τὰς συμφορὰς ἀποσκοπήσαντες, ὅσαι καταλαμβάνουσι τοὺς μαχομένους καὶ στασιάζοντας ἔφημεν, ὡς ἀδύνατον μὴ οὐχὶ αἵματα χυθῆναι τῆς σῆς ἐξορμήσεως γινομένης, καὶ τῆς φιλονεικίας κρατούσης· οὗτοι δὲ οὐκ οἶδα εἴτε ἀφ' ἑαυτῶν, εἴτε τῆς σῆς ἀκούσαντες γλώσσης ἀπεφθέγξαντο λόγον, ὃν οὐχ ὅτι γε ἡμεῖς πρεσβῦται ὄντες καὶ ἀρχιερεῖς, εἰ καὶ ἀνάξιοι, ἀλλ' οὐδ' ἂν παῖς φθέγξασθαι βουληθείη· τίς γὰρ οὐκ οἶδεν ὅτι στάσεως ἀναμεταξὺ τινῶν γενομένης, ἀνάγκη καὶ πληγὰς ἀκολουθῆσαι καὶ φόνους; οὐ πάντως δὲ ἀνάγκη καὶ τοῦ σκοποῦ τυχεῖν ἐκεῖνον, δι' ὃν κεκινημένος τις αἴτιος ὑπῆρξε τῆς τῶν αἱμάτων ἐκχύσεως· ἢ οὐχ ὁρᾷς τοὺς καθ' ἑκάστην γινομένους πολέμους; ἐκστρατεύονται μὲν γὰρ οὗτοι ἐπιθυμοῦντες τὰ τῶν πολεμίων προσκτήσασθαι· ἀντεπεξέρχονται δ' ἐκεῖνοι ὑπὸ τῆς ἴσης ἐπιθυμίας τοῦ τὰ τῶν πολεμίων λαβεῖν, καὶ συμβαίνουσι μὲν πάθη παρ' ἑκατέροις, οἷα συμβαίνουσιν οὐ πάντως δὲ κατ' ἐλπίδας ἀμφοτέροις ἐκβαίνει τὰ πράγματα, ἀλλ' οἱ μὲν ἐψεύσθησαν καὶ διέπεσον τῶν ἐλπίδων, τοῖς δὲ τυχὸν συνέπεσε παντελὴς ὄλεθρος καὶ ἀπώλεια.

Μὴ οὖν τὸν ἡμέτερον λόγον μήτε σὺ τέκνον ἡμῶν ἐπηρεάζῃς, μήτέ τις ἄλλος πρὸς τὸ οἰκεῖον αὐτὸν διαστρέφων βούλημα, ὑπολαμβανέτω λέγειν ἡμᾶς ὃ μήτε ἴσμεν, μήτε διενοήθημεν, μήτε εἰρήκαμεν· μᾶλλον δὲ ὃ μηδ' ἂν ἕτερός τις εἴποι, μὴ δυστυχῶν ἐσχάτην δυστυχίαν εἰς φρένας· ὡς οὖν προέφημεν, σφόδρα τὴν ψυχὴν ἐπλήγημεν ἐπὶ τῇ τοιαύτῃ τῶν εἰπόντων ματαιολογίᾳ· καὶ εἴθε μόνον ἦν τὸ εἰρημένον ματαιολογία, ἀλλὰ μὴ καὶ ὑπόδικον κρίματος αἰωνίου· εἰ γὰρ λόγος ἀργὸς οὐκ ἀνεύθυνος παρὰ τῷ ῥήματι τοῦ Χριστοῦ, πόσῳ μᾶλλον τοιαύτη συκοφαντία; ἀλλ' εἰ

μὲν οἱ πρὸς ἡμᾶς εἰπόντες ἐκ τῆς ἑαυτῶν καρδίας τοῦτο ἠρεύξαντο, οὐ τοσοῦτον λυποῦσιν, εἰ καὶ λυπηρὸν τὸ ῥηθὲν· διότι φρονήματος ἀτελοῦς καὶ ἐσφαλμένου τυγχάνοντος, εἰκὸς καὶ ἀτελῆ καὶ ἐσφαλμένα καὶ διανοεῖσθαι καὶ φθέγγεσθαι· εἰ δὲ τῆς σῆς ἐστι σύνεσιν φιλούσης καὶ μεγαλοτίμου ἐξουσίας τὸ γέννημα, ἡμῶν μὲν ὁ Θεὸς ἡμῶν φείσαιτο καὶ ῥύσαιτο ἀπὸ συκοφαντίας, σοὶ δὲ γένοιτο εὐμενὴς νῦν τε καὶ μετέπειτα, καὶ διδοὺς ἐκεῖνα καὶ φρονεῖν καὶ λογίζεσθαι καὶ πράττειν, ἃ καὶ ἀνθρωπίνης μέμψεως ἐκτὸς δείξει, καὶ τῷ αἰωνίῳ κριτῇ ἀκατάκριτον παραστήσει.

VII. ΤΩ ΑΥΤΩ.

Ἐπλήγημεν τὴν καρδίαν πληγὴν ὀξυτάτην, τέκνον μου πολυέραστον, ὑπὸ δεινῆς ἀγγελίας, καὶ τοῦτο μὲν ὑπὲρ σοῦ καὶ τῆς σῆς δόξης, τοῦτο δὲ καὶ ὑπὲρ ἡμῶν ἐγράψαμεν ἃ προεγράψαμεν κινούμενοι πατρικῶς, καὶ νῦν μὲν παρακαλοῦντες, νῦν δὲ ἐπιτιμῶντες οἷα τὰ πατρικὰ σπλάγχνα θαῤῥοῦντα καὶ συγκινούμενα οἶδε πρὸς τὰ τέκνα ποιεῖν· ὥστε εἰ ἐνέτυχες τοῖς προλαβοῦσι γράμμασι, τέκνον ἡμῶν, ἐγνώρισας πάντως νῦν ἐπὶ πλέον τὸ διάπυρον πρὸς σὲ φίλτρον ἡμῶν, καὶ ὅπως περικαιόμεθα σοῦ ἕνεκεν καὶ τῆς ἐν γῇ τιμῆς τε καὶ δόξης, καὶ τῆς ἐν οὐρανοῖς σωτηρίας καὶ ἀπολαύσεως· ἀλλὰ ταῦτα μὲν ὑπὲρ τῶν προγεγραμμένων, νῦν δὲ διὰ τοῦ πεμφθέντος γράμματος πρὸς τὸ τέκνον ἡμῶν τὸν φιλόχριστον βασιλέα τὰ διοικηθέντα μεμαθηκότες, τῆς προκατασχούσης ἡμᾶς βαρυτάτης ἀνείθημεν θλίψεως, καὶ γράφομεν ἵνα καὶ σὺ τέκνον ἡμῶν εἴ τι ἐπὶ τῇ πατρικῇ ἐπιπλήξει λελύπησαι πρότερον, τὴν λύπην ἀποῤῥίψῃς· τοῦτο εἰδὼς ὅτι καὶ ἡ ἐπίπληξις οὐκ ἦν μίσους ἀλλὰ πολλῆς ἀγάπης, καὶ οὐ μόνον πολλῆς ἀλλὰ καὶ πατρικῆς ἀληθῶς· καὶ εἰ μὲν παρήμην αὐτὸς ἐγὼ, ἄλλως ἂν τὴν σὴν ἐπισχεῖν σπουδὴν ἐποιησάμην ὁρμήν· πῶς καὶ τίνα τρόπον; λαμβανόμενος τῶν χειρῶν, περιπτυσσόμενος κεφαλὴν καὶ τὰ ὄμματα καὶ τὰ μέλη πάντα τοῦ ἐμοῦ υἱοῦ· φιλονεικοῦντος δέ σου, πάντως ἂν ἡψάμην καὶ τῶν ποδῶν· ἐπεὶ δὲ παρὼν

αὐτὸς ἐγὼ κωλύειν οὐκ ἐδυνάμην, ἀνάγκη δὲ ἀπόντι μοι σπουδὴν ποιεῖσθαι ὑπὲρ τοῦ ἐπισχεθῆναί σε τῆς ὁρμῆς, ἐδέησεν ἡμῖν καὶ πρὸς ἐπίπληξιν καταστῆναι οἷα δὴ πατρὶ, καὶ τῷ θαῤῥεῖν ἔχοντι ἐπιπλήττειν σοι, τέκνον ἡμῶν, οὐ μόνον διότι τέκνον ὑπάρχεις, ἀλλὰ διότι καὶ λίαν φιλεῖς· πεφύκασι γὰρ οἱ λίαν φιλοῦντες ἡδέως τὰς ἐπιπλήξεις τῶν φίλων φέρειν, πόσῳ δὲ μᾶλλον τέκνα πατέρων, καὶ τότε τῆς πλήξεως ὑπὲρ τιμῆς καὶ σωτηρίας γινομένης τῶν ἐπιπληττομένων; ἔχει δὲ καὶ ἄλλως τῶν φρονίμων ἀνθρώπων οὕτως ἡ φύσις τὸ φέρειν ἡδέως τὰς ἐπιτιμήσεις τῶν φίλων· διὰ τί; ὅτι τῶν μὲν ἐχθρῶν οὐδεὶς ἐπιτιμήσει κακῶς τινὶ πράττοντι, ἀλλὰ μᾶλλον εἰ δύναιτο, καὶ πίστεως ἀξιοῖτο, αὐτὸς ὑποθήσει τὰ χείρω· λείπεται οὖν τοὺς φίλους ἐπιτιμᾷν· καὶ διὰ τοῦτο, καθὼς ἔφημεν, χαίρουσιν οὐ λυποῦνται, ὅταν ἐπὶ τὰ χείρω φέρωνται οἱ παρὰ τῶν φίλων ἐπιτιμώμενοι· εἴτε οὖν ὡς φιλοῦντος ἐπιτιμήσεις, εἴτε ὡς πατρὸς δεξάμενος, πάντως χαίρειν ὀφείλεις· πεποίθαμεν γὰρ ἐν θεῷ τῷ πάντων σωτῆρι καὶ ἄρχοντι καὶ δεσπότῃ, ὡς ὀνήσουσιν οὐ βλάψουσι τὰ γραφέντα, καὶ τὴν ἐν γῇ εὐημερίαν δωρούμενα, εἰ προσέξειν αὐτοῖς ἐθελήσεις, καὶ τὴν οὐράνιον δόξαν, ἧς τινος χωρὶς τὰ ἐν γῇ δοκοῦντα καλὰ καὶ δόξα καὶ ἀρχὴ καὶ πᾶσα ἐξουσία, χαλεπὰ καὶ ἐπώδυνα τῷ κτησαμένῳ γίνεται, καθ᾽ ὅτι διὰ τούτων ἡ ἐκεῖθεν ἀπομειοῦται ἀπόλαυσις· ἧς γένοιτό σε μὴ ἐκπεσεῖν, καὶ ἣν παράσχοι σοι Χριστὸς ὁ θεὸς ἡμῶν πρεσβείαις τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν τῆς ἐλπίδος τῶν χριστιανῶν καὶ σωτηρίας, καὶ πάντων τῶν ἁγίων.

VIII. ΤΩ ΑΥΤΩ.

Ἃ πολλάκις, τέκνον ἡμῶν, μετὰ συνοχῆς καρδίας, μετὰ δακρύων ἐγράψαμεν, ταῦτα καὶ νῦν σοι πενθοῦντες καὶ δακρύοντες γράφομεν· πῶς γὰρ οὐχὶ πενθήσω; πῶς δὲ οὐ δακρύσω καὶ κόψομαι ὁ ταπεινὸς ἐγὼ, καὶ ἀρχιερατεύειν θεῷ δι᾽ οὓς οἰκτιρμοὺς ἐκεῖνος οἶδε καταξιωθεὶς, ὁπότε καὶ ἄλλος ὁστισοῦν μὴ μόνον

ἐν πόλει διατρίβων, ἀλλὰ καὶ τῶν ἀνθρώπων κεχωρισμένος, καὶ ἐν ὄρει δίαιταν ἔχων καὶ ἐρημίᾳ, τοιαῦτα πράγματα διακούων, οἷα ἐν τοῖς παροῦσι συμπέπτωκε καιροῖς, οὐ δύναται χωρὶς δακρύων τὴν ἀκοὴν ὑποδέξασθαι; πῶς οὐ δακρύσω, ὅταν λυπῇ μὲν τὰ πράγματα Θεὸν τὸν τῶν καλῶν αἴτιον, εὐφραίνῃ δὲ τὸν πατέρα τῆς κακίας, καὶ τὸν δημιουργὸν τῶν σκανδάλων διάβολον; ἢ οὐκ ἔστι, τέκνον ἐμὸν, σκάνδαλον χαλεπώτατον ἡ νῦν γεγενημένη μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἀντὶ τῆς φιλίας, ἀντὶ τῆς εἰρήνης, ἀντὶ τῆς ἑνώσεως ἔχθρα καὶ διάστασις καὶ δυσμένεια; ἦν ποτε καιρὸς ὅτε διΐσταντο Ῥωμαῖοι καὶ Βούλγαροι, ὅτε πρὸς ἀλλήλους μεθ' ὅπλων ἐπῄεσαν, διατειχίζοντος αὐτοὺς τοῦ μεσοτοίχου τῆς ἔχθρας, ὃ ἡ κατέχουσα ὑμᾶς ἀσέβεια ὑπέβαλεν· Θεοῦ δὲ τοῦ τὸν κόσμον ἀγαπήσαντος, τοῦ τὸ οἰκεῖον πλάσμα διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ πρὸς ἑαυτὸν ἐπιστρέψαντος, καὶ ὑμᾶς ἐλλαμφθῆναι τῷ φωτὶ τῆς ἐπιγνώσεως αὐτοῦ εὐδοκήσαντος, καὶ καταλύσαντος μὲν τὸ μεσότοιχον τῆς ἔχθρας, προσκεκληκότος δὲ ὑμᾶς εἰς τὸν φωτισμὸν τῆς δόξης αὐτοῦ, καὶ συνάψαντος Ῥωμαίοις ὥσπερ τῇ πίστει, οὕτως καὶ τῇ ἀγάπῃ, κατήργητο μὲν ἡ ἔχθρα, πέπαυτο δὲ τῶν ὅπλων ἡ κίνησις, καὶ τὴν διάστασιν ἡ ἀγάπη, καὶ ἡ ἕνωσις, καὶ ἡ πρὸς ἀλλήλους οἰκείωσις διεδέχετο.

Νῦν δὲ τί; φεῦ τῆς τοῦ πονηροῦ δαίμονος ἐπηρείας μετὰ τοσούτων χρόνων παρέλευσιν, ἀφ' οὗ τῆς τοιαύτης ἠξιώθητε χάριτος, μετὰ μακρὰν οὕτως ἀγάπην, μετὰ πολλὰν οὕτως φιλίαν, χώραν εὑρηκὼς ὁ πονηρὸς δαίμων, πάλιν διάστασιν, πάλιν ἔχθραν ἀντὶ τῆς φιλίας καὶ τῆς ἑνότητος ἐπεισήγαγε, καὶ οὐκ ἔφριξεν ὁ παμμίαρος ὅσον ἐπ' αὐτῷ τοσοῦτον ἔργον Θεοῦ τῆς Ῥωμαίων καὶ Βουλγάρων ἑνώσεως καταλύειν ἐπιχειρεῖν· οὐδὲ τὸν χρόνον ἐδυσωπήθη, οὐδὲ τὴν ὥσπερ ἀνάκρασιν ἐκ τοσούτου χρόνου ἀμφοτέρων τῶν ἐθνῶν, ἀλλ' ἐφιλονείκησε καὶ φιλονεικεῖ ταῦτα μὲν παρ' οὐδὲν θέσθαι, πρὸς δὲ τὴν φίλην αὐτῷ δυσμένειαν, καὶ ἧς αὐτὸς ἐχρημάτισε πατὴρ, Ῥωμαίους καὶ Βουλγάρους συγκρούων, τὴν μακαρίαν καὶ θεοποιὸν διαλύειν ἀγάπην· ταῦτά μοι

τέκνον ἐμὸν πένθους καθ᾽ ἑκάστην ὑπόθεσις γίνεται· ταῦτά μοι ἄρτον τὰ δάκρυα ποιεῖ· διὰ τοῦτο καὶ πρότερον παρῄνουν, ἐδυσώπουν, παρεκάλουν σεαυτοῦ γενέσθαι, καὶ φείσασθαι δὲ καὶ τῶν κοινῶν συμφορῶν, ὅσας ἀνάγκη Ῥωμαίους καὶ Βουλγάρους ἐκ τῆς τοιαύτης ἔχθρας καὶ διαστάσεως συναντήσειν· καὶ νῦν δὲ τὰ ὅμοια καὶ παραινῶ καὶ δυσωπῶ, τέκνον ἐμόν· ἀναμνήσθητι τῆς τοῦ κυρίου παραινέσεως, ἥν ἐκεῖνός φησι, συμφέρει τῷ σκανδαλίζοντι ἕνα τῶν μικρῶν, μύλον ὀνικὸν δεδέσθαι περὶ τὸν τράχηλον, καὶ εἰς τὴν θάλασσαν ἐῤῥίφθαι· πρόσχες νουνεχῶς· εἰ τῷ σκανδαλίζοντι ἕνα τῶν μικρῶν τοῦτο συμφέρει· τί ἐροῦμεν περὶ τοσούτου σκανδάλου, ὃ οὐ πρὸς ἕνα διαβαίνει, οὐδὲ πρὸς πέντε καὶ δέκα καὶ ἑκατὸν, ἀλλὰ τίς ἂν ἀριθμήσοι τὸ πλῆθος; οὐδὲ πρός τινα τῶν μικρῶν, ἀλλὰ πρὸς βασιλείαν τὴν ἐπάνω πάσης ἐπιγείου ἀρχῆς, ἣν μόνην ἐν γῇ ὁ τοῦ παντὸς ἔπηξε βασιλεύς· ἐννόει, τέκνον ἡμῶν, τίνος ὁ λόγος· οὐκ ἄγγελος ταῦτα λέγει, οὐκ ἄνθρωπός τις τῶν χάριν θείαν πλουτούντων, οὐκ ἀπόστολος, οὐ προφήτης, ἀλλ᾽ αὐτὸς ὁ μέλλων πᾶν τὸ πλάσμα συναγαγεῖν, καὶ τῷ ἑαυτοῦ φρικτῷ βήματι παραστῆσαι· ἐκείνην ἀναλογίζου μοι τὴν ὥραν, ὅτε τοὺς λόγους τούτους εἰς τὸ μέσον προενεγκὼν, τὸ μέγα τοῦτο σκάνδαλον τῇ ἑαυτοῦ δοκιμάσει δικαιοσύνῃ· τί ἐροῦμεν τότε; τί ἀπολογησόμεθα; ποίαν ἀφορμὴν προβαλλούμεθα εἰς ἀπολογίαν τῆς φρικτῆς κατακρίσεως; εἶτα ἐὰν καὶ τοῦτο προενέγκῃ τὸ τί ὠφελήσει ἄνθρωπον ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ, τί ποιήσομεν; τί γενοίμεθα; τίνα παράκλησιν εὑρήσομεν; ἐγὼ, τέκνον ἐμὸν, καὶ πρὸ τῆς ὥρας ἐκείνης ταῦτα νῦν λέγων, ὅλος πληροῦμαι φρίκης, ὅλος ἔντρομός εἰμι· σὺ δὲ οὐκ οἶδα εἰ μὴ φρίττεις καὶ τρέμεις συνετὸς ὢν καὶ φρόνιμος· καὶ ὅσον τῆς ἐπιγείου δόξης ὀρέγῃ τῆς νῦν μὲν ἀνθούσης, αὔριον δὲ μαραινομένης, πολλῷ πλέον τῆς ἐπουρανίου καὶ ἀμαράντου.

Ἀναγκάζομαι, τέκνον ἐμὸν, καὶ ὑπὸ τῆς συνεχούσης με ἀθυμίας καὶ ὑπὸ τῆς περὶ σὲ φιλίας ἐπιπλέως τὸν λόγον ἐκτείνειν, καὶ ἀνεπαχθῶς ἄκουε· ἔθετο ἑκάστῳ ἔθνει ὁ θεὸς ὥσπερ ὅριον

οὕτως καὶ τιμὰς καὶ κλήσεις· καὶ ὅσοι μὲν ἐνέμειναν ταῖς παρ' αὐτοῦ δεδομέναις τιμαῖς, οὗτοι καὶ διήρκεσαν· ὅσοι δὲ τῶν μὲν θείων δωρεῶν καὶ τιμῶν ὥσπερ ἠλόγησαν, ἐφιλονείκησαν δὲ πλέον τι παρ' ἑαυτῶν προσλαβεῖν, οὗτοι κἂν ἐπὶ μικρὸν ἔδοξαν εἰς αὔξησιν προελθεῖν, ἀλλ' οὐ πολὺ τὸ ἐν μέσῳ καὶ πάντων ἐξέπεσον· καὶ εἰ βούλει ἔξεστιν ἡμῖν τοῦτο ἐκ τῶν οἰκείων συνορᾷν πραγμάτων· καὶ σκόπει ὃ λέγω· εἴ τις τῶν ἡμετέρων ὑποχειρίων τιμῆς τινος ἀξιωθεὶς παρ' ἡμῶν, μὴ ταύτην ἀγαπᾷ μὴ δὲ στέργει, ἀλλὰ καὶ φιλονεικεῖ πλέον τι ἑαυτῷ περιθέσθαι, οὐκ ἀγανακτήσομεν, οὐ μισήσομεν, οὐκ ὀργιούμεθα κατ' αὐτοῦ; εἶτα ἡμεῖς μὲν ἄνθρωποι ὄντες θνητοὶ καὶ ἐπίκηροι, ἣν ἂν τιμὴν δοίημεν ἀνθρώπῳ ἴσῳ τὴν φύσιν, ἐὰν μὴ ταύτην ἀγαπήσῃ, μὴ δὲ εὐχαρίστως ἐμμείνῃ τῇ δωρεᾷ, ἀλλὰ παρ' ἑαυτοῦ προσφιλονεικήσῃ, καὶ περιεργάσηται καινότερός τις εἶναι καὶ δοκεῖν, ἀγανακτήσομεν παντελῶς τὴν δεδομένην αὐτῷ παρ' ἡμῶν τιμὴν, καὶ ἄτιμον μᾶλλον ποιήσομεν· ἀνθ' ὧν ἐνόμισεν οἰκείᾳ περινοίᾳ πλέον τοῦ δέοντος ἑαυτὸν τιμᾷν· τὸν δὲ θεὸν οὐχ οὕτως ὑποληψόμεθα τοῖς μὴ βουλομένοις ἐμμένειν τῇ παρ' αὐτοῦ δεδομένῃ τούτοις τιμῇ ἕξειν; οὐδ' ὀργιεῖσθαι ἂν τοὺς ὅρους ὑπερβαίνειν βουληθεῖεν τῆς δόξης καὶ τῆς τιμῆς, οὓς αὐτὸς ἐδωρήσατο; μὴ ὑπολάβῃς ταῦτα σοφιστικῶς γράφειν ἡμᾶς· οὔτε γὰρ σοφιστὴς ἐγὼ οὔτε πιθανολόγος, ἀλλ' εἰ καὶ ἀνάξιος τοῦ ἁγίου θυσιαστηρίου λειτουργὸς, καὶ τῆς πάντων σωτηρίας ὑπερευχόμενος· καὶ ὑπολαμβάνω ὡς ἐμαυτὸν πείθω ἀληθῶς, ὅτι μὴ τοῖς τοιούτοις ἐπιχειρήμασιν ἀρέσκεται ὁ θεός.

Χωρὶς δὲ τούτων κἀκεῖνό σε δεῖ, τέκνον ἡμῶν, διενθυμεῖσθαι, ὅτι πέρυσιν εἰς ὄψιν ἀλλήλων καταστάντων ἡμῶν, ἐπηγγείλω πάντα εἰρηνικὰ, πάντα φιλίας καθαρᾶς· καὶ ὡς ἀπό γε τοῦ νῦν λυθήσεται μὲν πᾶσα ἔρις, πᾶσα πρόφασις σκανδάλων, παύσεται δὲ πᾶσα στάσις, καὶ βραβευθήσεται σὺν θεῷ μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνη ὄντως σταθηρὰ, καὶ οἵα οὔπω πρότερον γέγονεν, οὐδ' ἐπειράθησαν οἱ πρὸ ἡμῶν ἐν βίῳ γεγονότες· ποῦ μοι, τέκνον ἐμὸν, ἡ τότε γλυκεῖα διάθεσις; τί γέγονεν ἡ τῆς εἰρήνης ὑπό-

σχεσις; ποῦ ἐκεῖνα τὰ ῥήματα οἷς ἔχαιρε μὲν Θεὸς, ἔχαιρον δὲ οἱ ἀκούοντες ἄνθρωποι; ποῦ ἐχώρησαν αἱ χρησταὶ ἐλπίδες ἃς εἴχομεν ἀδιστάκτως, ὡς οὐκέτι μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἰσχύσει ὁ πονηρὸς δαίμων ὑποβαλεῖν σκάνδαλον, οὐδὲ συνταράξει τὴν καθαρὰν αὐτῶν ἀγάπην; σκόπει φρόνιμος ὢν χάριτι Θεοῦ, καὶ ὀξὺς συνιδεῖν τὸ καλὸν, τὰς μεθοδείας τοῦ πονηροῦ· πολύτροπός ἐστι καὶ πάσῃ μηχανῇ κατὰ τῆς σωτηρίας τοῦ θείου πλάσματος ἀγωνίζεται· φθονεῖ μὲν παντὶ ἀνθρώπῳ, πλέον δὲ τοῖς μειζόνως χάριν λαβοῦσι παρὰ Θεοῦ· εἶδεν οὖν καὶ σὲ, τέκνον ἐμὸν, φρονήσει, συνέσει, χρηστότητι, ἐπιεικείᾳ, καὶ ἄλλοις πλείστοις καλοῖς φιλοτιμηθέντα παρὰ Θεοῦ, καὶ πρὸς φθόνον ὀξύτερον κατὰ σοῦ ἀναφλέγεται, καὶ βούλεται πάσῃ μηχανῇ τὸν κατὰ σοῦ φθόνον πληροφορήσειν· ἀλλὰ μὴ λανθανέτω σε ἡ ἐκείνου ἐπιβουλὴ, μᾶλλον δὲ ὅσῳ τοῖς καλοῖς πλουτεῖς, τοσούτῳ ταπεινότερος γίνου, ἵνα τὴν ἐκείνου ἐπιβουλὴν διαφύγῃς· ἐδόθη σοι ἐπὶ γῆς τιμὴ καὶ δόξα παρὰ Θεοῦ, σπούδασον ἐπὶ ταύτῃ καὶ τὴν οὐράνιον προσλαβεῖν· προσλήψῃ δὲ ταπεινοφρονῶν, μὴ μετεωριζόμενος, μὴ τὴν καρδίαν ὑψούμενος, μὴ ὑπὲρ ὃ προσῆκεν ἐπαιρόμενος, μὴ σπονδὰς καὶ ὅρκια παραβαίνων· ἃ ἔθεντο μὲν οἱ πατέρές σου πάλαι καὶ πρόπαλαι, ἔθου δὲ καὶ αὐτὸς χθὲς καὶ πρώην· εἴ τις ὅρκον τὸ σὸν ὄνομα ποιήσαιτο, εἶτα παραβῆναι τὸν ὅρκον τολμήσας, ἀπαραιτήτως θάνατον ὑπέχει τὴν δίκην, ὁ δὲ τὸν πάντων Θεὸν καὶ δημιουργὸν καὶ δεσπότην εἰς ὅρκον προθέμενος, εἶτα παραβάτης γινόμενος, οὐ μυρίων θανάτων ἔνοχος; ἀλλὰ τί; διότι μὴ παραυτίκα ὑπὸ φιλανθρωπίας καὶ ἀφάτου μακροθυμίας ἐπάγει τὴν δίκην, διὰ τοῦτο καταφρονήσωμεν; ἀλλ' αὐτὸ τοῦτο οἶμαι χαλεπωτέραν ἡμῖν τὴν ποινὴν ἐποίσει· καὶ ὅσῳ πλέον μακροθυμεῖ, τοσοῦτον ἀλγεινοτέραν.

Ἀλλὰ γὰρ ἴσως τὸ γράμμα πλέον ἐξέτεινα· διὰ τοῦτο ἓν εἰπὼν, σιωπήσομαι· οὐκ εἰμὶ προφήτης οὐδὲ τῶν προορᾷν τὰ μέλλοντα χάριν λαβόντων, ὡς δὲ λειτουργὸς τοῦ ἀχράντου θυσιαστηρίου, εἰ καὶ ἀνάξιος, καὶ ὡς πατὴρ τέκνου τὴν σωτηρίαν κηδόμενος, προασφαλίζομαι καὶ προλέγω· ἔα τὴν τῶν σκανδάλων

αἰτίαν· ἀπόστηθι τοῦ φρονήματος, δι' οὗ ἡ κατάλυσις ἐνεργεῖται τῆς οἰκοδομῆς τοῦ ἁγίου πνεύματος, ἥ τις ἐστὶν ἡ ἀναμεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἐπὶ τοσοῦτον χρόνον κατασχοῦσα εἰρήνη καὶ ἀγάπη· ἀπάνελθε πρὸς τοὺς ἐξ ἀρχῆς λογισμούς, μεθ' ὧν χάριτι θεοῦ εὐδαιμόνως χωρὶς δακρύων καὶ συμφορῶν ἑκάτερον ἔθνος ἐπολιτεύετο· ἐπεὶ εἴ τι ἐγὼ συνίημι τῆς τοῦ θεοῦ ἐγέρσεως, ἀναστήσεται εἰς ἐκδίκησιν, καὶ οὐδεὶς ἔσται ὁ ἐκ τῶν χειρῶν αὐτοῦ ἐξαιρούμενος.

IX. ΤΩ ΑΥΤΩ.

Τίνας ποταμοὺς εὑρήσω δακρύων; ποίους ἐπὶ τοῖς ἐμοῖς πάθεσιν ἀναλάβωμαι θρήνους; ἐμὰ γὰρ τὰ πάθη ὅσα τὸν λαὸν τοῦ Χριστοῦ καὶ θεοῦ μου κατέλαβε, τὴν ἁγίαν αὐτοῦ περιπόθητον κληρονομίαν, δι' ἧς ὑπέμεινε τὸν σταυρὸν καὶ τὸν θάνατον· πῶς οὖν ἀποκλαύσωμαι ταῦτα; ἢ τίνα εὕρω τῆς ἐμῆς ὀδύνης καὶ τῶν σπαραγμῶν τῆς καρδίας παράκλησιν; ὢ τῆς κακίας τοῦ ἀπ' ἀρχῆς μισανθρώπου, τοῦ τὸν πικρὸν φθόνον κατὰ τοῦ τῆς θείας παλάμης πλάσματος ἐξοπλίσαντος, τοῦ ἀεὶ τὸν ἄνθρωπον πρὸς ὄλεθρον καὶ ἀπώλειαν ἄγοντος· ἀπ' ἀρχῆς γὰρ ὁ μιαρὸς, ὁ ἀρχέκακος, ἐκμανεὶς κατὰ τοῦ ἀνθρωπίνου γένους, οὐ παύεται μέχρι καὶ σήμερον, μᾶλλον δὲ μέχρις ἂν ἐπὶ γῆς πολιτεύηται ἄνθρωπος, ἀνασοβῶν καὶ κατ' ἀλλήλων ἀνεγείρων· ἵνα ἐπεὶ αὐτὸς μὴ συγκεχώρηται προφανῶς ἐπιβουλεύειν ἡμῖν, αὐτοὶ δι' ἀλλήλων τὰς ἐπιβουλὰς καὶ τὴν ἀναίρεσιν διαπράττωμεν· ἐκ ταύτης τῆς ἀπ' ἀρχῆς μανιώδους αὐτοῦ προαιρέσεως, καὶ ἀδελφοὶ ὥπλισαν χεῖρας κατὰ τῶν ἐκ τοῦ αὐτοῦ σπέρματος καὶ τῆς αὐτῆς προελθόντων γαστρός· καὶ πατέρες ἀπέκτειναν παῖδας, ὑπὲρ ὧν ηὔξαντο πολλάκις τὰς ψυχὰς προαφεῖναι, καὶ φίλοι φίλους ἠγνόησαν· ἐκείνου τοῦ ἀλάστορος οἴμοι δαίμονος καὶ τὰ νῦν ἐμὲ καταλαβόντα πάθη καὶ οἱ θρῆνοι, καὶ τὰ δάκρυα· ἐκείνου τῆς κακομηχανίας ἡ διάρρηξις τοῦ συνδέσμου τῆς ἀγάπης τῶν τοῦ Χριστοῦ καὶ θεοῦ μου τέκνων, τῆς τε ῥωμαϊκῆς καὶ τῆς βουλγαρικῆς ἐξουσίας.

Ἀφ' οὗ γὰρ ὁ βραβεῦσαι βουληθεὶς εἰρήνην τῷ κόσμῳ διὰ τῆς ἐκ τῶν πατρικῶν κόλπων κενώσεως, τὸ τῶν Βουλγάρων γένος πρὸς ἑαυτὸν ᾠκειώσατο, καὶ εἰς ἀδελφότητα τῷ ῥωμαϊκῷ γένει συνῆψε, καὶ τὴν αὐτὴν παρέσχε τιμὴν τῷ καλεῖσθαι τούτους χριστιανοὺς, ὥσπερ καὶ ἡμῖν, οὐ φέρων τὴν τοσαύτην γεγενημένην εἰς ὑμᾶς εὐεργεσίαν ὁ ἀεὶ φθονῶν τοῖς καλοῖς, ἀκατάπαυστον δὲ ἀγῶνα ποιούμενος τοῦ ὅσον ἐπ' αὐτῷ λυπῆσαι μὲν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν τὸν κοινὸν εὐεργέτην, ζημιῶσαι δὲ τὸ Βουλγάρων γένος τῆς παρ' αὐτοῦ δεδομένης τιμῆς, εὗρεν ὡς ἔοικεν ὀψέ ποτε τὴν ἔκβασιν τῆς ἐπιβουλῆς, καὶ εὑρὼν σκεύη κατὰ τὸν μακάριον ἀπόστολον κατηρτισμένα εἰς ἀπώλειαν, ἃ μὲν ἐκ τοῦ ὑμετέρου γένους, ἃ δὲ ἐξ ἡμῶν, ἐνήργησε τὸ ἐλεεινὸν τοῦτο καὶ πολυδάκρυτον ἡμῖν τε καὶ ὑμῖν ἔργον, καὶ τοσοῦτον φόνον καὶ ὄλεθρον τῆς τοῦ Χριστοῦ ἐξετέλεσε κληρονομίας, χειρῶν ἐργασαμένων τὸν φόνον, οὐχὶ ἀκαθάρτων, οὐδὲ τῇ ἀσεβείᾳ δουλεύειν ἐπισταμένων, ἀλλὰ τῶν κεκαθαρμένων τῷ ἁγίῳ βαπτίσματι, καὶ πρὸς τὸν οὐράνιον πατέρα ἐπαιρομένων, καὶ τῷ τοῦ σταυροῦ σημείῳ ἑαυτοὺς κατασφαλιζομένων ἐκ τῆς τοῦ πονηροῦ ἐπηρείας· τίς γένωμαι πρὸς ταῦτα; τί διαπράξωμαι; τίνας ἀποκλαύσωμαι, τοὺς κατ' ἀλλήλων συγκινηθέντας, καὶ τῷ οἰκείῳ φόνῳ καὶ ταῖς σφαγαῖς μολύναντας μὲν τὴν γῆν, μολύναντας δὲ τὸν ἀέρα· σκυθρωπάσαι δὲ οὐ μόνον τοὺς ἀκούοντας ταῦτα χριστιανοὺς ἐν ὅλῃ τῇ οἰκουμένῃ ποιήσαντας, ἀλλὰ καὶ τοὺς ἐν οὐρανῷ ἀγγέλους· σκυθρωπάζουσι καὶ αὐτοὶ πάντως, καὶ εἰ παρεῖχε δάκρυα ἡ φύσις, ἐθρήνησαν ἂν, τοῦ τῶν ὅλων δεσπότου ἐπὶ τῷ γεγονότι ἀλγοῦντος· εἰκάζεις γὰρ πάντως, τέκνον ἐμὸν, οἷον τὸ ἄλγημα τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ἐπὶ τοσούτοις θανάτοις, οὓς οὐδεὶς ἄλλος ἢ διάβολος ὁ τῆς ἁμαρτίας γεννήτωρ, καὶ οἱ ταύτην ἀγαπῶντες εἰργάσαντο.

Ἀλλὰ μέχρι ποῦ ταῦτα θρηνῶ καὶ ἀποκλαίωμαι; δέον τὰ μὲν γεγονότα χαλεπὰ λιπεῖν, ἐπείπερ ἀναβίωσις οὐκ ἔστι τῶν τεθνηκότων, πρὸς δὲ τὰ ἤδη ἀπό γε τοῦ νῦν πράγματα μεταφέρειν

τὸν λόγον, τέκνον ἐμὸν σπλάγχνον ἐμόν· εἰ γὰρ καὶ τὴν καρδίαν ἔπληξας, εἰ καὶ ὀδύνης ἐνέπλησας, δι' ὧν ἔπραξας τὰ πατρικὰ σπλάγχνα συστρέφεται ἐπὶ σοί· ἀρκέσθητι τοῖς εἰργασμένοις, μέχρι τούτου στήτω ἡ τοῦ πονηροῦ δαίμονος κατὰ τῆς κοινῆς τῶν χριστιανῶν μιαιφονίας ἐνέργεια, μὴ δέ τι πλέον ἰσχύσει αὐτὸς μὲν ἐξορχεῖσθαι καὶ χαίρειν ἐπὶ τῇ κοινῇ συμφορᾷ, τῷ Χριστῷ δὲ καὶ θεῷ ἡμῶν περιποιεῖν τὸ σκυθρωπάζειν, καὶ τοῖς φιλανθρώποις ἀγγέλοις, καὶ πᾶσιν ὅσοι τὸ εὐσεβεῖν ἐκληρώσαντο· ἀγαθὸν μὲν γὰρ μηδόλως λαβεῖν ἀρχὴν ἔργον πονηρόν, μὴ δὲ τοῦ πρέποντος ἀποσφαλῆναι τὸν ἄνθρωπον· ἐὰν δὲ ἄρα καὶ γένηταί τι τοιοῦτον, οἷα συμβαίνειν ἀνάγκη τῷ πολυαμαρτήτῳ καὶ πολυπλανεῖ βίῳ, ἀλλὰ πάλιν ὡς μοίρας θεοῦ μίξιν ἔχουσιν, ὀφειλόμενόν ἐστι τῷ πταίσματι προσάγειν τὴν ἐπανόρθωσιν· γέγονε το ἤδη γεγονὸς ἐλεεινὸν καὶ πολυπενθὲς μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων πταῖσμα, ὃ τίς ἂν χρόνος δώσῃ λήθην καὶ μὴ πάντα τὸν αἰῶνα εἰς κοινὴν στήλην καὶ ὄνειδος εἴη διαμνημονευόμενον, τὸ μέν τι καὶ ἡμῶν πταισάντων, τὸ δὲ καὶ ὑμῶν; ἀλλὰ τὸ μὲν ὑμέτερον καὶ χωρὶς τῶν ἐμῶν λόγων αὐτοὶ ἐπιγινώσκετε· πάντως γὰρ φρόνιμος ὤν, καὶ τὴν οἰκείαν συνείδησιν κριτὴν καθιστάνων, ἐπιγνώσῃ τὴν αἰτίαν καὶ πρὸ τῶν ἡμετέρων λόγων.

Τὸ δὲ τοῦ ἡμετέρου λαοῦ πταῖσμα, φεῦ τῆς τῶν πονηρῶν ἀνθρώπων ἰσχύος, οὐκ οἶδα εἰπεῖν ἀκριβῶς, ὅπως ἀπήντησεν, ἐπεὶ οὐδ' ἔχω οὔτε τῶν βεβουλευμένων ἀκριβῆ τὴν εἴδησιν· ἃ μὲν γὰρ προεμελετήθη καὶ προκατεσκευάσθη, δεῖ γὰρ κατηγορῆσαι τὴν ἀλήθειαν τιμῶντας ἡμᾶς, καὶ τῶν ἐνταῦθα λαχόντων ἄρχειν, οὔτε συνέγνωμεν, οὔτε εἰς μάθησιν ἔσχομεν οὐδ' ὅπως ἡ κίνησις τῆς τοσαύτης ὑπῆρξε στρατιᾶς· ἐπεὶ δὲ τὰ ἐνταῦθα κατέλαβον ὡς εἰκὸς ἦν, οὐδ' ἡμᾶς τὸ πρᾶγμα διέλαθε· πῶς γὰρ τοσούτου πλήθους ἐνταῦθα συνειλεγμένου, ἀλλὰ τὸ τηνικαῦτα εἰ καὶ μὴ παρὰ τῶν τὰ πράγματα διοικούντων, ἀλλὰ παρά γε τῶν ἄλλων τὴν αἰτίαν τῆς συλλογῆς τοῦ στρατοῦ ἐξεδιδασκόμεθα, ὡς ἕνεκα τῆς πρὸς Βουλγάρους ἐκστρατείας ἡ τοσαύτη γέγονε κίνησις, τότε

δὴ τότε τὴν εἰς τὰ βασίλεια ζητήσαντες εἴσοδον, ἐπείπερ τοῖς ἄρχουσιν ἐνετύχομεν, οἰκείᾳ γλώσσῃ μαθεῖν ἐζητοῦμεν τοῦ στρατοῦ τὴν συγκίνησιν, καὶ ὥσπερ ἐχρῆν καὶ ἐμεμψάμεθα καὶ ὠνειδίσαμεν τοσούτου πράγματος ἐπισκόπους ἡμᾶς ὄντας τῆς πόλεως μὴ λαβόντας κοινωνὸν τῆς βουλῆς· τῶν δὲ ἡ μὲν ἄλλη ἀπολογία, προήρχετο μὲν ὡς ἦν δυνατὸν ἀπολογεῖσθαι αὐτοῖς, καὶ τὴν αἰτίαν διαλύειν τῆς μέμψεως· ἔλεγον δὲ πρὸς ὑμᾶς ἐκστρατεύειν οὐ πολέμου χάριν, οὐδὲ φόνων ἕνεκεν καὶ αἱμάτων ἐκχύσεως, ἀλλ' ἅπερ ἀπήγγελλον ταῦτά σοι, τέκνον ἡμῶν, ἤδη γνωρίζομεν.

Ἐπίστασαι, πάτερ καὶ δέσποτα, τοὺς τῆς Μακεδονίας καὶ τῆς Θράκης στρατηγούς· οὗτοι δὴ οὖν ἔλεγον, οὐ διαλείπουσι καθ' ἑκάστην τὰ μὲν γράμμασι δηλοῦντες, τὰ δὲ καὶ γλώσσῃ τῶν οἰκείων ἀποκρισιαρίων, καὶ διαβεβαιούμενοι, ὡς ἀληθῆ λέγοιεν, καὶ οὐδεμία τοῖς λόγοις πρόσεστιν ἀμφιβολία, ὅτι περ ὁ τῶν Βουλγάρων τοιοῦτος εἴη σκοπὸς, ὥστε τὴν ἡμετέραν χώραν σκυλεῦσαι παντελῶς καὶ λαφυραγωγῆσαι· καὶ προσεπέφερον πίστιν τοῖς λόγοις αὐτῶν, ὅτι μὴ ψεύδονται, ἀλλ' ὡς ἀληθῶς τοιαῦτα σκέπτονται Βούλγαροι ποιεῖν τὴν τῶν γεγενημένων συμφώνων ῥίψιν ἣν ἔλεγον ποιήσασθαι Βουλγάρους, ὡς οὐκέτι βουλομένων ἐμμένειν τοῖς ἤδη συμπεφωνημένοις· εἶτα καὶ τούτοις προσετίθεσαν λέγοντες ἡμῖν, ὡς οὐδὲ τὸν Βωγᾶν ἀγνοεῖς, ὅτι τῆς Χερσῶνος τέτακται στρατηγεῖν· οὗτος δὴ ὁ τῆς Χερσῶνος στρατηγὸς οὐ διαλιμπάνει διηνεκῶς ἀναφέρων, ὡς πᾶσαν σπουδὴν τίθενται Βούλγαροι, καὶ Πατζηνακίτας, καὶ εἴ τινα ἕτερα ἐν ἐκείνοις ἔστι τοῖς τόποις ἔθνη, προσλήψεσθαι εἰς τὴν κατὰ Ῥωμαίων ἔφοδόν τε καὶ τὸν πόλεμον· καὶ οὐχὶ ταῦτα νῦν μὲν λέγει, νῦν δὲ σιγᾷ, ἀλλὰ διηνεκῶς καὶ καθ' ἑκάστης τοιούτοις γράμμασι καὶ ῥήμασι τὰς ἀκοὰς ἡμῶν καὶ τὰς καρδίας παρενοχλεῖ· ἐπὶ τούτοις καὶ ἀποκρισιαρίους ἔλεγον μέχρι τῶν ἑξκαίδεκα ἥκοντας τοῦ τῶν Πατζηνακιτῶν γένους τοιαῦτα προσαγγέλλειν, ὡς ἐξαπεστάλησαν πρὸς αὐτοὺς ἐκ Βουλγαρίας ἀποκρισιάριοι οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ καὶ πλειστάκις προσκαλούμενοι τούτους εἰς τὴν πρὸς ἑαυτοὺς ἕνωσιν· καὶ τοσοῦτον τὸ πρᾶγμα σπουδάζεται Βουλγάροις,

ὥστε καὶ γάμου κοινωνίᾳ τῶν οἰκείων παίδων σπουδάζειν ἑνῶσαι καὶ συνδῆσαι τὴν πρὸς ἑαυτῶν συμμαχίαν Πατζηνακιτῶν· ὡς οὖν τοιούτοις λόγοις διαταρασσόμενοι, ἐπειδήπερ προλαβόντες καὶ δηλώσεσιν ἐγγράφοις καὶ μηνύμασιν ἀγράφοις σπουδὴν ἐποιησάμεθα τὸ εἰρηνικὸν φρόνημα μεταξὺ Βουλγάρων καὶ ἡμῶν ῥιζῶσαι, οὐκ ἠδυνήθημεν δὲ, ἤλθομεν καὶ ἄκοντες εἰς τοιαύτην περίνοιαν, ὥστε στρατείαν κατ' αὐτῶν σχηματίσαι, καὶ πειραθῆναι τῷ τοιούτῳ τρόπῳ Βουλγάρων τὴν ὁρμὴν ἐπισχεῖν, ἀλλ' οὐχὶ πρὸς αἵματα καὶ σφαγὰς τὸν λαὸν χωρῆσαι, εἴ πως δοίη Θεὸς διὰ τῆς τοιαύτης περινοίας ἑλκύσαι ἡμᾶς πρὸς ἀγάπην αὐτοὺς, καὶ ἀσφαλῆ τὸν δεσμὸν ἐξεργάσασθαι τῆς φιλίας.

Ἔχεις τὴν ἀπολογίαν, ὦ πατὲρ καὶ δέσποτα, καὶ μὴ ὀργίζου μὴ δὲ ἀγανάκτει· ἐγὼ δὲ ἀπιστεῖν οὐκ εἶχον, πλὴν καὶ οὕτως ἐπετίμων, ἐπέπληττον, ἐξωνείδιζον, καὶ ὡς ἔδει ἔλεγον, καὶ ἔτι μηνύσαι ταῦτα διὰ γραφῆς· καὶ οἱ μὲν ἠξίουν ἐμὲ γράφειν· ἐγὼ δ' ὁ μάταιος, ὁμολογήσω γὰρ τὴν ἐμαυτοῦ ἁμαρτίαν, καὶ κατηγορήσω τῆς ἐμαυτοῦ ἀθλιότητος, οὐκ οἶδα πῶς ὀκνηρὸς ἐγενόμην πρὸς ταύτην τὴν διακονίαν, τὸ μέν τι ὡς ἔοικε τῶν ἐμῶν ἁμαρτιῶν τὸν ὄκνον ἐμποιησαμένων, τὸ δὲ καὶ ὑπολαβόντων ἡμῶν, ὡς ἐπείπερ κατὰ τοὺς ἐκείνων λόγους εἰς σχῆμα μόνον καὶ φαντασίαν μάχης ἡ τοῦ λαοῦ συγκίνησις ἐπινενόηται, οὐ προκόψει πρὸς ἀληθῆ πόλεμον, οὐδὲ πρὸς σφαγὰς καὶ χύσεις αἱμάτων ἡ τοιαύτη ὁρμὴ, καὶ διὰ τοῦτο οὐδ' ἡ τοῦ ἡμετέρου γράμματος ἀποστολὴ ἔδοξε περισπούδαστος· ταῦτα τὴν ἐμὴν ἀνέστειλε γνώμην τοῦ πρὸς σὲ, τέκνον ἡμῶν, γράφειν πρὸ τῆς πολυωδύνου τοῦ πολέμου συμβάσεως· ἀλλ' εἰπέ μοι καὶ σὺ, τέκνον ἡμῶν δυσωπῶ, ἀποῤῥίψας τὸν θυμὸν καὶ τῆς ψυχῆς τὴν πικρίαν, καὶ ὡς συνετὸς ὀρθῷ λογισμῷ κρῖνον ταῦτα· ὁπότε δὴ τῆς Μακεδονίας καὶ τῆς Θράκης οἱ στρατηγοῦντες, καὶ Βωγᾶς ἑτέρωθεν καὶ οἱ ἐκ Πατζηνακίας ἀποκρισιάριοι πάλιν διεβεβαιοῦντο, καὶ τοιούτοις ῥήμασι τὰς καρδίας αὐτῶν ἐσάλευον, τί φρονεῖν αὐτοὺς ἔδει καὶ ποιεῖν, τοιαύταις πονηραῖς ἀγγελίαις ἐκταρασσομένους; οἶδα δὲ ὅτι κρίνειν πράγματα συνετὸς ὢν, πάντως ὁμολογήσεις, ὡς ἐκεῖ-

να φρονεῖν ἔδει καὶ ποιεῖν, ἃ ὑπὲρ σωτηρίας εἰκὸς ἦν διανοεῖσθαι.

Τούτου ἕνεκεν, ὅσον ἐμὲ πεισθῆναι εἰκὸς ἦν ἐξ ὧν διαβεβαιούμενοι ἐπληροφόρησαν, ἡ τοῦ στρατοῦ γέγονεν σύλλογὴ καὶ συγκίνησις, καὶ ἡ πρὸς Πατζηνακίτας διάπεμψις, οὐχ ἵνα πόλεμον συγκροτήσωσιν, οὐδ' ἵνα τοῦ σοῦ λαοῦ σφαγὰς ἐνεργήσωσιν, ἀλλ' ὥστε τοῦτο μὲν ἑαυτοῖς περιποιήσασθαι τὸ ἀσφαλὲς, τοῦτο δὲ ὥστε ὑμῶν ἀνακόψαι τὴν ὁρμὴν μόνον, ὥς φασι, καὶ συστεῖλαι πρὸς τὸ μὴ ἐπιδραμεῖν τὴν ῥωμαϊκὴν χώραν, καθὼς ἡ τῶν ἀθλίων ἐκείνων ἀνθρώπων τοῦ τε Βωγᾶ καὶ τῶν ἐκ Πατζηνάκων ἀποσταλέντων, προσέτι καὶ τῶν ἄλλων στρατηγῶν οἱ λόγοι αὐτοῖς πίστιν παρείχοντο· τοῦτον εἶπον ἡμῖν γενέσθαι σκοπὸν αὐτοῖς τῆς τοῦ στρατοῦ συναθροίσεως· ταύτην αἰτίαν εἶναι τῆς πρὸς τοὺς Πατζηνακίτας διαπέμψεως· καὶ ἐγὼ τούτοις ἐπειθόμεν, ἐκεῖνο ἐνθυμηθεὶς, ὅτι ἐστι τις καὶ τοιαύτη ἀνθρώποις ἐπίνοια· ἣν οὐδὲ αὐτὸς, τέκνον ἡμῶν, ἀγνοεῖς, ὡς ἐπειδὰν τέκνα πρὸς τοὺς γονεῖς διαστασιάζωσιν, εἶτα οἱ πατέρες πάντα δι' ἑαυτῶν πράττοντες, μὴ δύνανται ταῖς οἰκείαις σπουδαῖς καταλῦσαι τὴν στάσιν τῶν τέκνων, ἀναγκάζονται τῷ πρὸς αὐτοὺς ἐνίοτε πόθῳ, καὶ ἔξωθεν ἄλλους τινὰς προσλαμβάνεσθαι εἰς βοήθειαν, ὥστε δι' ἐκείνων φοβῆσαι, καὶ πρὸς ἑαυτοὺς ἐπισπάσασθαι καὶ ἄκοντα τὰ τέκνα, ὅπερ κἀγὼ ὑπέλαβον καὶ τούτους πρὸς ὑμᾶς ἐπινοῆσαι· ἐπειδὴ ἐκ τοῦ πονηροῦ δαίμονος διαστάσεως γεγενημένης Βουλγάρων καὶ Ῥωμαίων οὐκ ἠδύναντο πάλιν δι' ἑαυτῶν ἑλκύσαι πρὸς ἑαυτοὺς οἱ γεγονότες πατέρες, ἀλλ' οἱ μὲν οὕτως διενοήθησαν σχῆμα πολέμου ὑμῖν μόνον ἐπισεῖσαι, βουλόμενοι ὥς φασὶν ἕνεκεν τοῦ προσλαβέσθαι καὶ ἐναγκαλίσασθαι, ἀλλ' οὐχὶ πόλεμον περιστῆσαι ἀληθῆ, οὐδὲ μέχρι σφαγῶν καὶ αἱμάτων χωρῆσαι, ὡς διατείνονται· ἔλαθον δὲ ἄρα τῷ πονηρῷ δαίμονι πρόφασιν παρασχόντες τοιαῦτα πάθη καὶ τοιαύτας πικρὰς ὀδύνας πᾶσι χριστιανοῖς ἀπεργάσασθαι· ὃς πολλάκις μὲν καὶ μηδεμιᾶς προφάσεως ἐξ ἀνθρώπων οὔσης, αὐτὸς παγχάλεπα κατεργάζεται· πολλάκις δὲ καὶ μικρᾶς τινος δραξάμενος ἀφορμῆς τῇ παρ' ἑαυτοῦ ἐπινοίᾳ

μέγιστα κακὰ ἐκτελεῖ, οὗ καὶ νῦν τὸ μέγα τοῦτο κακὸν καὶ οὐκ ἔχον ὑπερβολὴν μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων, ὢ τῶν ἐμῶν ἁμαρτημάτων, χώραν εὗρεν εἰς ἐξεργασίαν.

Οἶδα ὅτι ἐρεῖς, καὶ δίκαια πάντως ἐρεῖς, εἰ μὴ ἄλλη τις καὶ παρ' ἡμῶν ἀφορμὴ τῷ δικαίῳ τούτῳ ἐνστήσεται· φήσεις γὰρ πάντως, ὅτι περ εἰ τὸν πόλεμον ἐσχημάτιζον, καὶ πρὸς τοῦτο ἔβλεπεν αὐτοῖς ὁ σκοπὸς, τί δήποτε εἰς τὴν Βουλγάρων εἰσήλασαν γῆν, καὶ πρὸ τοῦ πολέμου τὰ τῶν πολεμίων διεπράττοντο; εἶπον αὐτοῖς καὶ ἐγὼ, τέκνον ἡμῶν, ταῦτα, καὶ πρὸ τῆς τῶν σῶν λόγων ἀπαντήσεως, καὶ ἐμεμψάμην καὶ ἐπέπληξα· ἀλλὰ καὶ πρὸς ταῦτα οὐκ ἠπόρησαν ἀπολογίας· εἰ δὲ ἀληθὴς ἡ ἀπολογία σὺ ἂν εἰδείης· ἔφησαν γὰρ ὅτι τῶν Βουλγάρων πολέμου νόμου ἐξελασάντων κατὰ τῶν ἐν Δυῤῥαχίῳ ῥωμαϊκῶν τόπων, καὶ κατὰ τῶν ἐν Θεσσαλονίκῃ, γέγονεν ἀφορμὴ τοῦ πρὸς τὴν γῆν τῶν Βουλγάρων τὰ ῥωμαϊκὰ στρατεύματα εἰσελθεῖν· καὶ οὐδ' οὕτως ἐπιδρομὰς, οἵας οἶδεν ὁ πόλεμος, ἔγνωσαν διαπράξασθαι· ταῦτα εἰ οὕτω γέγονεν, ἐγὼ μὲν οὐκ ἐπίσταμαι· οὗτοι δὲ διϊσχυρίζονται, σὸν δέ ἐστιν εἰδέναι καὶ τῆς σῆς ἔμφρονος συνειδήσεως τὸ μὴ ἀπαρνεῖσθαι τὸ γεγονός· ἀλλὰ, τέκνον ἡμῶν, ὁποῖαί ποτ' ἂν αἱ ἀπολογίαι τῶν ἐνταῦθα γεγόνασιν, οὐκ εὐλόγους αὐτὰς ἡγησάμην, καὶ διὰ τοῦτο καὶ ὀνειδισμοῖς καὶ μέμψεσιν καὶ ἐπιτιμήσεσιν ἠμυνάμην, καὶ ἔτι οὐ διαλείψομαι ἀμυνόμενος· σὲ δὲ οἷα παρὼν καὶ τῷ σῷ τραχήλῳ περιχυθεὶς, ταῦτα παρακαλῶ· παυσάσθω ἕως τούτου τὰ χαλεπά· γνωρίσωμεν ἑαυτοὺς, ἀναλογιζώμεθα ὅτι Χριστοῦ ἐσμὲν κληρονόμοι· καὶ εἰ καὶ τοῖς γένεσι διῃρήμεθα, ἀλλ' ἓν σῶμα τῇ πίστει ἐσμὲν, καὶ μίαν κεφαλὴν κεκτήμεθα τὸν Χριστὸν, καὶ ἀλλήλων ἐσμὲν μέλη, καὶ οὐκ οἶδε τὰ μέλη καθ' ἑαυτῶν στασιάζειν· ἀλλὰ κατὰ τὸν μακάριον ἀπόστολον, εἰ πάσχει ἓν μέλος πάντα τὰ μέλη συμπάσχει· χριστιανοὶ ἐσμὲν, μὴ ψευδώμεθα τὴν κλῆσιν· οἴμοι τῶν ἀφορήτων κακῶν· τοὺς διδασκομένους εἰρήνην μετὰ πάντων διώκειν, ἐξεπολέμωσε καθ' ἑαυτοὺς ὁ διάβολος· τοὺς ὀφείλοντας πραεῖς εἶναι πρὸς πάντας ἀνθρώπους, κατ' ἀλλήλων ἐκμαίνεσθαι πεποίηκεν ὁ τῆς μανίας ἀρχηγός.

Πάλαι μὲν οἱ τὸν Χριστὸν ἐγνωκότες, οἱ τῷ ἐκείνου ἁγίῳ ὀνόματι ἐπικεκλημένοι τὴν γῆν τοῖς οἰκείοις ἡγίασαν αἵμασι, τὸν ἀέρα εὐωδίας ἐπλήρωσαν, τὸν διάβολον σὺν τοῖς αὐτοῦ κατήσχυναν δαίμοσι, τοῖς ἀγγέλοις χορεύειν ἐδίδοσαν καὶ σκιρτᾶν, τὸν δεσπότην ταῖς οἰκείαις ἐδόξαζον σφαγαῖς· νῦν δὲ τί; οἱ τοῦ Χριστοῦ ἐπώνυμοι ἐμίαναν τὴν γῆν τοῖς οἰκείοις αἵμασι, δυσωδίας ἐνέπλησαν τὸν ἀέρα, χορεύειν τοῖς δαίμοσιν ἔδωκαν, ὑπόθεσιν τοῦ σκυθρωπάζειν τοῖς ἀγγέλοις παρέσχον, τῷ δεσπότῃ προεξένησαν ἄλγος, οἷον οὐδ᾽ οἱ ἐπὶ τοῦ ξύλου τοῦτον σταυρώσαντες· καὶ ὅτι ἀληθῆ λέγω, πρόσχες καὶ μάνθανε· ἐκεῖ μὲν γὰρ εἰ καὶ ἤλγει διὰ τὰς πληγάς, ἀλλ᾽ ἔχαιρε διὰ τὴν σωτηρίαν τῶν ὑπὲρ ὧν αἱ πληγαί· ἐνταῦθα δὲ τὸ μὲν ὀδυνᾶσθαι πάρεστι, τὸ δὲ χαίρειν οὐδαμοῦ· ἆρ᾽ οὐκ εἰκότως ἀπ᾽ ἀρχῆς ὁ λόγος ποταμοὺς ἐζήτει δακρύων, τοιούτων συμφορῶν τὴν ἐμὴν ἀθλίαν περιϊσταμένων ζωήν; ὡς εἴθε προαπολώλειν, καὶ μὴ τοιούτοις ἀλγεινοῖς πράγμασιν ἡ ἐμὴ συνετετήρητο ζωή· ἀλλ᾽ εἴ τι σοι μέλει, τέκνον ἡμῶν, τοῦ ἄλυπον εἶναι τὸν Χριστὸν καὶ θεὸν ἡμῶν τὸν δι᾽ ἡμᾶς ἐκ τῶν πατρικῶν κενωθέντα κόλπων, τὸν ὑπομείναντα πάθη ἵνα παθῶν ἡμᾶς ἐλευθερώσῃ· εἴ τις σοι φροντὶς τοῦ μὴ σκυθρωπάζειν τοὺς φιλανθρώπους ἀγγέλους, τοῦ μὴ χαίρειν καὶ σκιρτᾶν τοὺς μισανθρώπους δαίμονας· προσθήσω δὲ καὶ τὸ ἐμόν· εἴ τι τῆς ἐμῆς τεταπεινωμένης εὐχῆς ὡς πατρὸς ἐν χρείᾳ καθίστασαι, μηκέτι διανοηθῇς ἐπηρεάσαι, μὴ δὲ πόλεμον ἀναλαβέσθαι κατὰ τοῦ σοῦ πνευματικοῦ πατρὸς, τοῦ θεοστεφοῦς ἡμῶν βασιλέως· οὗ εἰ καὶ μὴ πεῖραν ἔλαβες τῆς ἀγάπης διά τε τὸ ἄωρον τῆς ἡλικίας, καὶ διὰ τὰ φθάσαντα παρεισελθεῖν ἐκ τοῦ πονηροῦ σκάνδαλα, ἀλλὰ λήψῃ πάντως βραβευούσης σὺν θεῷ τῆς εἰρήνης, καὶ μαθήσῃ πείρᾳ, ὅτι ὥσπερ τῶν σκήπτρων γέγονε κληρονόμος τοῦ μακαρίου πατρὸς αὐτοῦ, οὕτω καὶ τῆς στοργῆς καὶ ἀγάπης καὶ τῆς γλυκείας πρὸς σὲ διαθέσεως.

Ἐπὶ πᾶσι δὲ, τέκνον ἡμῶν, οἷς παρεκαλέσαμεν, καὶ ὅρα μὴ καταφρονήσῃς· τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν φωνή ἐστιν, ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· οὗ, εἰ καὶ ἁμαρτωλὸς, τῷ θυσιαστηρίῳ παρέστη-

κα, καὶ παρὰ τοῦ ἁγίου πνεύματος λύειν καὶ δεσμοῖς ἔλαβον ἐξουσίαν· ὅρα οὖν, πάλιν φημὶ, καὶ μὴ καταφρονήσῃς, δεσμῷ σε καθυποβάλλομεν ἀλύτῳ καὶ ἀῤῥήτῳ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι τοῦ μὴ τῆς σῆς ἔτι χώρας ἐξελάσαι, μήτε σὲ, μήτε τὸν σὸν λαὸν· μὴ δὲ βλάβην τινὰ ἢ ἐπήρειαν καὶ αἰχμαλωσίαν ἐπενεγκεῖν ταῖς χώραις ἢ τοῖς λαοῖς ὧν ἡ ἀποκλήρωσις καὶ ἐξουσία, μέχρι τοῦ νῦν ὑπῆρχε τοῖς χριστιανῶν σκήπτροις, ἀφ᾽ οὗ χρόνου τοῖς Βουλγάροις ἐξεγένετο διὰ τοῦ παναχράντου βαπτίσματος τὸν Χριστὸν καὶ θεὸν τῶν ὅλων ἐπιγνῶναι, καὶ τὰ γεγενημένα τότε σύμφωνα τῶν τε Ῥωμαίων καὶ Βουλγάρων τὴν ἐπικράτειαν διορίζοντα συμπεφώνηται· ἀπεστείλαμεν δὲ οὐχ ὡς δῶρον, ἀλλ᾽ ὡς μεσίτην καὶ οἰκειοῦντα τὴν ἡμῶν, τέκνων ἐμὸν, παραίνεσιν τῇ σῇ φρονίμῃ καὶ πραείᾳ ὡς ἐγὼ πείθομαι καρδίᾳ, εἰ καὶ τὰ τοῦ πονηροῦ σκάνδαλα ταύτην ἐξετράχυνε, τὰ θεῖα τοῦ Χριστοῦ καὶ θεοῦ μου λόγια· δι᾽ ὧν ὥσπερ ἐν ὀφθαλμοῖς ἔχων τὰ ἐκείνου σωτήρια τῶν ἀνθρώπων πάθη, τὸ ἐκείνου κενωθὲν ἅγιον αἷμα ὑπὲρ εἰρήνης τοῦ κόσμου, μὴ τοὺς ἐμοὺς ἀτιμάσῃς λόγους, ἀλλὰ δέξαι ὡς τέκνον τιμᾷν πατέρα, εἰδὼς τὰς ἡμετέρας παραινέσεις, καὶ κατάλιπε τῷ βίῳ παράδειγμα εἰς δόξαν μὲν τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, εἰς καύχημα δὲ σὸν, βούλει λέγω καὶ τὸ ἐμὸν, καὶ εἰς σεμνολόγημα ἐμοί· ὅτι τοιοῦτον ἔσχον υἱὸν εὐπειθῆ καὶ τὴν ἐμὴν πολιὰν τιμῶντα, ὃς ποτὲ τοῦ πονηροῦ δαίμονος σκάνδαλα δεινὰ καὶ μέγιστα ἐμβαλόντος, καὶ τούτοις ὥσπερ πυρκαϊὰν ἀναφλέξαντος ἀκατάσβεστον, οὐκ ἔδωκεν χώραν τῷ πονηρῷ δαίμονι ἐπὶ πολὺ ἐγκαυχᾶσθαι τῇ παρ᾽ αὐτοῦ ἐξαφθείσῃ πυρκαιᾷ· ἀλλὰ γέροντος πατρὸς τοῖς δάκρυσι προσχὼν καὶ τοῖς ὀδυρμοῖς καὶ τοῖς ἀλγήμασι, τῷ πράῳ καὶ ἐπιεικεῖ ἔδωκε νικῆσαι τῆς ψυχῆς τὴν πικρίαν, καὶ τὸ πῦρ ἀποσβέσας τοῦ θυμοῦ, τὰ τῆς μάχης χαλεπὰ καὶ τοῦ πολέμου, μετέβαλεν εἰς εἰρήνην καὶ ἀγάπην καὶ φιλίαν· ἣν παράσχοι θεὸς, εἰ καὶ μέχρι τοῦ νῦν φεῦ τῆς τοῦ πονηροῦ ἐπηρείας οὐκ ἀφῆκεν ἀνεπηρέαστον, ἀλλ᾽ ἀπό γε τοῦ παρόντος διατελέσαι ἀνωτέραν αὐτὴν πάσης βλάβης καὶ διχοστασίας, καὶ τοῦ φθόνου τοῦ δαίμονος κρείττονα διαμένουσαν,

καὶ κατησφαλισμένην τῇ ἀσφαλείᾳ τῆς εἰρήνης ἐκείνης, ἣν κατέλιπεν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, καὶ πατὴρ τοῖς ὁμολογοῦσιν αὐτὸν πατέρα, καὶ τὴν αὐτοῦ ἐπιποθοῦσι δόξαν καὶ κληρονομίαν.

Ὁ δὲ τοῦ γράμματος ἀποκομιστὴς ἀπολαυσάτω τῆς σῆς ἐπιεικείας, τοῦτο μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετήν, καὶ γὰρ ὁ ἄνθρωπος ἔστι μὲν τῶν ἐν Ὀλύμπῳ ἀσκητῶν καθηγούμενος, οὐ μὲν ἀλλὰ καὶ τὸν λόγον τῆς πίστεως ἐν Ἀλανοῖς οὗτος ἐν τῇ δυνάμει τοῦ παναγίου ἔσπειρε πνεύματος, καὶ ἴσα τοῖς θείοις ἀποστόλοις λειτουργῆσαι παρὰ θεοῦ ἀποκεκλήρωται· ἔστι μὲν οὖν ταῦτα μέγιστα πρὸς τὸ συστῆσαι αὐτὸν καὶ οἰκειῶσαι, τέκνον ἡμῶν, τῇ σῇ θεοτιμήτῳ ἐξουσίᾳ· εἰ δέ τις ἔστι καὶ ἡμῶν παρὰ σοὶ λόγος, οὐκ ἀμφιβάλλω δὲ πάντως ὅτι ἐστί, καὶ διὰ τοῦτο ἀξιωθήτω τῆς σῆς ἐπιεικείας ἀπολαῦσαι, καὶ διὰ τάχους τὴν πρὸς ἡμᾶς ἐπανέλευσιν ποιήσασθαι· ἐῤῥωμένον σε φυλάξοι Χριστὸς ὁ θεὸς ἡμῶν καὶ ψυχῇ καὶ σώματι, ἐκεῖνα καὶ φρονοῦντα καὶ μελετῶντα καὶ πράττοντα, ὅσα ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἐκείνου κληρονόμον καταστήσοι δόξης, τῆς ὄντως μακαρίας δόξης καὶ τερπνῆς γλυκείας, ὅτε τῶν εὐαρεστησάντων αὐτῷ ἐν μέσῳ θεὸς ὢν ὡς θεοῖς καθιστάμενος τὰς διανομὰς παρέξει τῶν ἀφθάρτων ἀπολαύσεων.

X. ΤΩ ΑΥΤΩ.

Αὐτὸ τοῦτο τῆς καλῆς καὶ φρονίμης ἐπιστολῆς σου τὸ προηγούμενον ῥῆμα, κἀγὼ προηγούμενον τίθημι, τέκνον ἡμῶν, εἴπερ δεῖ τέκνον καλεῖν τὸ ὑβρίζον πατέρα τέκνον, πατὴρ δὲ σὸς ἄν τε βούλῃ ἄν τε μὴ βούλῃ, ἐπίσκοπος εἰ καὶ ἐλάχιστος ὁ τὴν εἰς θεὸν μὴ ἀπηρνημένος εὐσέβειαν· καὶ γὰρ εἰ καὶ ἁματωλοί, ἀλλ' οὐχ ὑμᾶς ἐπίσκοποι κριτὰς ἔχουσιν· ὑμῶν δὲ κριταὶ τυγχάνουσιν οἱ ἐπίσκοποι, εἴ γε τῆς Χριστοῦ ἀγέλης ἐστὲ, καὶ μὴ τῆς ἐκείνου ποίμνης πλανώμενοι· ἀλλ' ἐμωράνθημεν, ὡς ἔφης ὁ φρόνιμος σύ· εὐχαριστοῦμεν τῷ θεῷ ἡμῶν τῷ χάριν τῶν ἁμαρτιῶν ἡμῶν εἰς τὸ ἔδαφος ἡμᾶς τῆς ὕβρεως ῥίψαντι· ἀλλ' εἰπέ μοι

ὁ σοφὸς σὺ καὶ φρονιμώτατος, εἰ ἐγὼ μωρὸς ὁ γηραιὸς πατὴρ, καὶ δυσωπῶν παῖδα νεανίαν ὑπὲρ εἰρήνης, ὑπὲρ διαλλαγῆς, ὑπὲρ τοῦ λῆξαι κενούμενα χριστιανῶν αἵματα, τίς ἂν εἴη νεανίας υἱὸς ὁ τὸν πατέρα εἰρηνικὰ δυσωποῦντα μωρὸν ἀποκαλῶν; πρόσχες οἷα φρονεῖς, οἷα λέγεις, οἷα γράφεις; εἶδον, ἔλεγεν ὁ προφήτης, ὑπερυψούμενον καὶ ἐπαιρόμενον· τὸ παραλειφθὲν ἡμῖν αἰδοῖ τῇ πρὸς σὲ παραλέλειπται· σὺ δὲ οὐκ ἠγνόηκας, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ· ἀλλὰ τοῦτο τὸ μέρος τοσοῦτον ἐχέτω τὸ γράμμα· τὰ δὲ ἐφεξῆς ἄκουε· μὴ νόμιζε τὴν γεγενημένην ἧτταν τῶν σῶν ματαίων λογισμῶν ἐπὶ τελειώσει γεγενῆσθαι, μὴ τοῦτο ὑπολάμβανε· εἰ δ' ὑπολαμβάνεις, ὡς φλυαρίαν ἀποστράφηθι τὴν ὑπόληψιν· ἀλλὰ νενίκηται ὁ πρὸς σὲ λαὸς ἐκστρατεύσας, πρῶτον μὲν κρίμασιν ἀπορρήτοις τοῦ ἐξ ἀποκρύφων ταμείων τὰς ἑαυτοῦ κρίσεις ὁπότε βούλοιτο προάγοντος, δεύτερον δὲ ὅσον ἔστι καὶ ἀνθρώποις εἰδέναι τῶν οἰκείων ἕνεκεν σφαλμάτων· κακῶς ποιεῖς καὶ οὐ περιεσκεμμένως τὴν νίκην πρὸς τὴν ἰδίαν ἁρπάζων ἐπιθυμίαν, καὶ ὑπολογιζόμενος ὡς ἕνεκεν τοῦ σὲ τῶν Ῥωμαίων κατασχεῖν ἐξουσίαν, τὸ γεγονὸς ἁμάρτημα τῷ ῥωμαϊκῷ συνέβη λαῷ· νέος εἶ· καὶ εἰ μὲν οὐκ ἤκουσας, μάνθανε· εἰ δὲ ἀκούσας ἐπιλέλησαι, ἀναμνήσθητι.

Πάλαι ποτὲ ἡ περσικὴ στρατιὰ μέχρι τῶν ἐνταῦθα ηὐλίσατο, καὶ ἃς ἀπειλεῖς πυρκαϊὰς καὶ οἰκοδομημάτων καταστροφὰς διεπράξατο· ἀλλ' οἱ μὲν ἀπώλοντο, καὶ ὅσον εἰς μνήμην ὀνόματος περιλείπονται· ἡ δὲ ῥωμαϊκὴ βασιλεία ἐπὶ τῆς οἰκείας ἕστηκε κρηπίδος· ἀλλὰ καὶ ἄνω τούτων τὰ τῶν Ἀβάρων γένη, ὧν ὑμεῖς ἀποσπάδες, καὶ μηδέν σοι πρὸς βάρος ὁ λόγος, καὶ δοῦλοι καὶ δραπέται γεγόνατε, ἐπὶ πλεῖστον τὴν μεγάλην ταύτην καὶ ὑπὸ τῇ πάντων δεσποίνῃ καὶ κυρίᾳ στρατηγουμένῃ πόλει, μέχρι καὶ τῶν τειχῶν ἐπέδραμον· ἀλλὰ καὶ οὗτοι ἀπώλοντο, καὶ οὐδὲ λείψανον τοῦ γένους ὑφίσταται, αὕτη δὲ σὺν τῇ λαχούσῃ αὐτῇ ἐξ ἀρχῆς καὶ δόξῃ καὶ βασιλείᾳ φαιδρύνεται· βούλει σοι καὶ ἄλλην γράψωμεν τυραννικὴν ἔφοδον, καὶ οὐδ' ὅσον καὶ ἀξίαν συγκρίνεσθαι τῇ ὑμετέρᾳ ἐφόδῳ· τὸ Σαρακηνῶν γένος ναυσὶ μὲν μυ-

ριάσιν, ἱππότῃ δὲ καὶ πεζῷ λαῷ ὑπερβάλλοντι τὴν μεγάλην ταύτην, καὶ ὡς ἀληθῶς τοῦ θεοῦ πόλιν ἐπὶ χρόνοις ἑπτὰ περιεκύκλωσαν, καὶ πάντας εἶδεν ἀπώλεια, καὶ παντελῶς ὀλίγοι πρὸς τὴν ἰδίαν πατρίδα ὑπέστρεψαν· αὕτη δὲ διαμένει καὶ διασώζεται τῆς ἐξ ἀρχῆς εὐδοκίας φρουρουμένη ταῖς πτέρυξιν· ἠγάπησα καὶ ἀγαπῶ σε, τέκνον ἡμῶν, ὁ μωρανθεὶς ὡς σὺ λέγεις πατὴρ, καὶ συμβουλεύω σοι, σὺ μὲν ὡς νομίζεις μωρὰ, πάντως δὲ οὐ μωρά· κατάλιπε τῶν σὲ πλανησάντων τὴν πλάνην· ῥίψον τὰς ματαίας ἐλπίδας, ἀρκέσθητι τῇ ἐξουσίᾳ ἣν ἐκ τῶν σῶν πατέρων ἐκληρονόμησας, μὴ βούλου δεσπόζειν ὑφ' ὧν ἐδιδάχθης ἐπιγινώσκειν τὸν τῶν ὅλων δεσπότην· οὐδεὶς δοῦλος ὑπάρχων τινὸς, εἶτα ὑφ' ἑτέρου τῆς δουλείας ἀπηλλαγμένος καὶ σωφρονῶν, ἐπιζητεῖ γενέσθαι δεσπότης τοῦ τῆς δουλείας αὐτὸν ἀπαλλάξαντος· ἐνθυμήθητι καὶ σὺ, ὅτι δοῦλοι δαιμονίων ἦτε, καὶ τῆς ἐκείνων ἀπηλλάγητε δουλείας ὑπὸ τῶν θεοῦ χάριτι διεπόντων τὴν ῥωμαικὴν ἐξουσίαν· μὴ διανοεῖσθε τῶν ὑφ' ὧν τῆς ἐλευθερίας ἠξιώθητε, δεσπόται γενέσθαι· μὴ ἐπὶ τοσοῦτον ἀγνωμονήσητε, μὴ δὲ καταλίπῃς μνήμην τοιαύτην, ὡς γέγονέ τις Βουλγάρων ἀρχηγὸς, ὃς ἐβουλήθη τοὺς ἐλευθερώσαντας τὸ Βουλγάρων γένος ἐκ τῆς τοῦ διαβόλου δουλείας, ὑφ' ἑαυτὸν δουλῶσαι, καὶ γενέσθαι τῶν ἐλευθερωσάντων δεσπότης· ταῦτά σοι γέγραφα ὁ μωρὸς κατὰ τὴν σὴν δόξαν ὡς φρονίμῳ· σὺ δὲ οὐκ ἀγνοεῖς ὡς σοφὸς, εἴ γε σοφὸς, τὸ δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται.

XI. ΤΩ ΑΥΤΩ.

Εἰ μὲν δυνατὸν ἦν αὐτὸν ἐμὲ πρὸς σὲ, τέκνον ἡμῶν, παραγενέσθαι, οὐκ ἂν παρῃτησάμην τοῦτο ποιῆσαι· ἀλλὰ καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ τοῦ χειμῶνος τὴν πικρίαν ἐν δευτέρῳ ἂν ἐθέμην, καὶ τὴν πρὸς τὴν μεγαλόδοξόν σου ἀρχὴν οὐκ ὤκνησα πορείαν ποιήσασθαι· νῦν δὲ ὅτι καὶ τὸ γῆρας ἐπίκειται, καὶ ἡ τούτου βαρύτης μικροῦ καὶ τοῦ ἐκ τῆς κλίνης ἡμᾶς ἀνίστασθαι ἀπόρως διατίθησι, καὶ ἄκοντες ἐπεχόμεθα τῆς τοιαύτης ὁρμῆς, ἣν οἶδα

ὡς εἴπερ ἦν ἐνδείξασθαι, οὐκ ἂν ἀπέτυχον τοῦ σκοποῦ· οὐ γὰρ ἂν ἐπαυσάμην, τοῦτο μὲν ῥήμασι δυσωπῶν, τοῦτο δὲ τὴν κεφαλὴν καὶ τὰ ὄμματα, καὶ τὸ φίλον ἐμοὶ πρόσωπον καὶ τὰς χεῖρας καταφιλῶν, τοῦτο δὲ καὶ γονάτων ἁπτόμενος, τυχὸν δὲ καὶ τῶν ποδῶν, ἕως ἂν τὸ σπουδαζόμενον κατεπραξάμην· ἀλλ' ἐπέχει με τῆς τοιαύτης ὁρμῆς τὸ χαλεπὸν γῆρας, καὶ ἡ ἀπαραίτητος τυραννὶς τῆς ἀσθενείας, διὰ ταῦτα προσδέομενα γράμματος· ἀλλὰ πρῶτον κατανόησον, τέκνον ἡμῶν, ὑπὲρ τίνος ἡ πρεσβεία, καὶ εἰ τυχὸν ἐγὼ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀνάξιος εἰσακούεσθαι, ἀλλὰ τὸ μέγεθος τοῦ πράγματος, ὑπὲρ οὗ πρεσβεύομεν, τὴν σὴν φιλόχριστον δυσωπησάτω ψυχὴν, ὅπερ οἶμαι καὶ αὐτὸς ἐπιθυμεῖς καὶ ζητεῖς, καὶ οἷα τὰ ἐξ ἀνθρώπων ἐναντιώματα τὴν καλὴν ταύτην ἀνακρούει ἐπιθυμίαν· ἀλλὰ τί μὴ τάχιον λέγω τὸ βούλημα τῆς ψυχῆς καὶ τὸ πρᾶγμα; προπαρασκευάζομαι δὲ καὶ οἷον προοδοποιῶ τὴν προσαγωγὴν τῇ ἱκετηρίᾳ· ἱκετεύομεν καὶ δεόμεθα, τέκνον ἡμῶν, ἐκείνην σοι τὴν δέησιν φέροντες, ἧς ὁ πατὴρ καὶ θεὸς τῶν ὅλων τὸν μονογενῆ αὐτοῦ υἱὸν ἀπόστολον καὶ πρέσβιν εἰς τὸν κόσμον ἀπέστειλεν· ἀπέστειλε γὰρ ἐκ τῶν ἀχράντων καὶ θείων κόλπων τὸν ὁμότιμον αὐτοῦ καὶ ὁμόδοξον υἱὸν, ἐπὶ τὸ καταλῦσαι μὲν τὸ μεσότοιχον τῆς ἔχθρας, βραβεῦσαι δὲ τὴν εἰρήνην τοῖς κατ' ἀλλήλων ἐκπεπολεμωμένοις· δυσωποῦμεν ἡμεῖς οἱ ταπεινοὶ καὶ παρίστασθαι τῷ ἁγίῳ θυσιαστηρίῳ καταξιωθέντες, οὐδὲ δι' ἓν ἡμέτερον κατόρθωμα, ἀλλὰ διὰ τὴν ἄφατον ἀγαθότητα τοῦ ταύτης ἡμᾶς τῆς χάριτος καταξιώσαντος· ἀλλὰ δυσωποῦμέν σου τὴν φιλόχριστον ψυχὴν, ὅπερ καὶ θεὸν τῷ θυσιαστηρίῳ παριστάμενοι δυσωποῦμεν ὑπὲρ εἰρηνικῆς καταστάσεως·

Ἕως τίνος ὁ ἀπ' ἀρχῆς ἐχθρὸς τοῦ πλάσματος τῆς θεϊκῆς παλάμης ἐπευφρανθήσεται ταῖς ἡμῶν συμφοραῖς; ἕως τίνος ἡ γῆ χριστιανῶν αἵμασι μιαίνεται ὑπὸ χριστιανῶν χειρῶν κενουμένοις; ἔσφαξε Κάϊν Ἄβελ τὸν ἀδελφὸν, καὶ ὅμως σφαγέντος ἑνὸς ἐβόα τὸ αἷμα πρὸς τὸν θεόν· τί λογίζῃ, τέκνον ἡμῶν; τί διανοῇ τοσούτων αἱμάτων μέχρι τοῦ νῦν κενουμένων; πόσην εἰκὸς τὴν

βοὴν ἀναφέρεσθαι πρὸς τὸν Θεόν; καὶ οὔπω λέγω περὶ τῶν ζώντων, τοὺς ὀρφανοὺς παῖδας, τὰς χηρευούσας γυναῖκας, τοὺς ἀδελφῶν ἐστερημένους, τοὺς τέκνων ἐρήμους, τὰ ἅγια θυσιαστήρια, τῶν μοναζόντων τὸν σκεδασμὸν, τῶν παρθένων τὴν διαφθορὰν, ὧν οἱ διηνεκεῖς στεναγμοὶ καὶ τὰ δάκρυα ἐντυγχάνουσι διὰ παντὸς τῷ Θεῷ· οἶδα ὅτι καὶ χωρὶς τῶν ἡμετέρων λόγων φρόνιμος ὢν, καὶ εἴπέρ τις ἀνθρώπων φρονιμώτατος, ἐνθυμῇ ταῦτα· ἀλλ' οἴμοι δαίμονος ἐπηρείᾳ καὶ ἀνθρώπων κακοβουλίᾳ τῇ σῇ πραείᾳ ψυχῇ ἐμπεσοῦσα πικρία, ἄνθρωπον ὄντα διερεθίζει καὶ φιλονεικεῖ, μὴ συγχωρῆσαι γενέσθαι τῆς ἑαυτοῦ ἡμερότητος· ἀλλὰ, τέκνον ἀγαπητὸν, εἴτε δαίμονος τὸ ἔργον, μὴ ἐπὶ πλέον παρασχῶμεν αὐτῷ κατορχεῖσθαι καθ' ἡμῶν· εἴτε ἀνθρώπων κακοβουλίαις ἀπήντησε τὰ ἐλεεινὰ ταῦτα καὶ δυσχερῆ πράγματα, ἀρκεσθῶμεν ταῖς κατ' ἀλλήλων ἐπιθέσεσιν· ἦρξαν τοῦ πονηροῦ ἐπιχειρήματος οἱ προκατάρξαντες, προελύπησαν τὴν σὴν ψυχὴν δι' ὧν κατὰ σοῦ προκεκίνηνται; ἔχεις ἱκανὴν τὴν τιμωρίαν· ἀναλόγισαι τὰ συμβεβηκότα πάθη, καὶ σβέσον τὸν θυμὸν τῆς ψυχῆς οἷς ἔπαθον οἱ σὲ κακῶς ποιήσειν ἐπιχειρήσαντες.

Ἔστιν ὁ νόμος οὗτος κρατῶν οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν θηρίοις· ἔστι γὰρ πολλάκις ἰδεῖν θηρία ὑπὸ θυμοῦ κατ' ἀλλήλων ἐφορμήσαντα· εἶτα τοῦ ἑνὸς ἐλαττωθέντος, τὸ ἕτερον καταπραΰνεται· μὴ βουληθῶμεν ἡμεῖς καὶ θηρίων φύσιν παρεξελθεῖν, μὴ δ' ἄσβεστον ἔχειν θυμὸν, μὴ δὲ τὴν πικρίαν ἀκατάληκτον· ἀλλ' ἐπὶ λογισμοὺς ἐλθὼν ἀνθρωπίνους, καὶ μάλιστα τῇ σῇ πρέποντας φρονήσει, ἐάσας τοὺς πολέμους, τὰς σφαγὰς, καὶ τὰς τῶν αἱμάτων χύσεις, ἀπόβλεψον πρὸς τὸ μέγα πρᾶγμα τῆς εἰρήνης, τὴν ἀτίμητον κληρονομίαν, ἣν καταλέλοιπεν ἡμῖν ὁ ἀδελφὸς ἡμῶν γενέσθαι καταξιώσας, ἵνα εἰρηνοποιήσας υἱοθετήσῃ ἡμᾶς τῷ Θεῷ καὶ πατρί· ἐκεῖνον, τέκνον, νόμισον ὁρᾷν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἑστῶτα, καὶ τὰ οἰκεῖα τραύματα ὑποδεικνύντα, τὴν σφαγὴν τῆς πλευρᾶς, τὰς τρήσεις τῶν χειρῶν καὶ τῶν ποδῶν, τοιαῦτα λέγειν· τί τοῦτο, τέκνα ἐμὰ, λαὸς ἐμὸς, κλῆρος ἠγαπημένος, ὃν μοι ἔδωκεν ὁ πατὴρ ἀντὶ τῆς ἐμῆς ὑπακοῆς, καὶ

τῆς μέχρι σταυροῦ καὶ τοῦ θανάτου συγκαταβάσεως; τί τοῦτο; πῶς ἐπελάθεσθε τῆς ἐμῆς ἐντολῆς; πῶς ἀμνημονεῖτε τῶν ἐμῶν παραινέσεων; ποῦ μοι ἀπώλετο ἡ ἀγάπη, ἣν κατέλιπον ὑμῖν; τί γέγονεν ἡ εἰρήνη, ἣν ἐδίδαξα ὑμᾶς; πῶς ἐμὲ κεφαλὴν ὁμολογοῦντες, καὶ μέλη ἐμὰ φιλοῦντες κατονομάζεσθαι, κατ' ἀλλήλων ὁπλίζεσθε; οὐκ ἔστι τοῦτο μελῶν τὴν αὐτὴν κεφαλὴν ἐχόντων, ἀλλ' ἀνάγκη χωρίζεσθαι καὶ ἑτέραν ζητεῖν κεφαλήν· ταῦτά μοι νόμιζε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν πλέον ὀδυνώμενον ἢ ὅτε τῷ σταυρῷ προσηλοῦτο λέγειν· οὗ ὡς ἀληθῶς ἀκούοντες δυσωπηθῶμεν τοὺς λόγους, αἰδεσθῶμεν τὰ τραύματα, φοβηθῶμεν τὴν λύπην αὐτῷ ἐμπαρέχειν, καὶ ὡς ἔστι καιρὸς θεραπεύσωμεν τὰ εἰς ἀλλήλους σφάλματα, ἀπαλλάξωμεν δὲ κἀκεῖνον τῆς ἐφ' ἡμᾶς ὀδύνης καὶ τοῦ ἀλγήματος, καταστήσωμεν εὐμενῆ τὴν θείαν δίκην, πάλιν πρὸς τὸ εἰρηνικὸν μεταβεβλημένοι, καὶ τὴν ἀρχαίαν ἀγάπην ἀναλαβόμενοι, καὶ μὴ ἀναμείνωμεν ἐκεῖθεν ὑπὲρ ὧν εἰς ἀλλήλους ἐξεπολεμήθημεν, μᾶλλον δὲ εἰπεῖν ἐξεμάνημεν, κριθῆναι, ὅτε καὶ ἡ ἀπολογία ἀπρόσδεκτος, καὶ πᾶσα πρόφασις ἀνενέργητος, καὶ ἡ κατάκρισις ἀσυγχώρητος.

Μὴ καταγνῷς ἡμῶν ὡς ἀδολεσχούντων, εἰ πλέον τὸν λόγον ἐκτείνομεν· τὰ γὰρ κοινὰ πάθη, καὶ οἱ σπαραγμοὶ τῆς καρδίας πρὸς τοῦτο βιάζονται· καὶ εἴπερ ἦν μοι κατὰ τὸν παλαιὸν λόγον πλειόνων εὐπορῆσαι γλωσσῶν, τοῦτο ηὐξάμην ἄν, ἵνα ἴσως οὕτως ἱκανῶς ἀπεκλαυσάμην, καὶ τὰς δεήσεις μὴ πολὺ τῶν κακῶν λειπομένας καὶ πρὸς Θεὸν ἐποιησάμην, καὶ πρὸς τὴν σὴν μεγαλοφυῆ ἐξουσίαν· ἀλλ' ἐπεὶ μὴ πλειόνων ἔστι μοι γλωσσῶν εὐπορία, τῇ δεδομένῃ τέως παρὰ τῆς φύσεως ἀποχρήσομαι, καὶ ὥσπερ εἶπον ὑπὸ τοῦ ἄλγους τῆς ψυχῆς βιαζόμενος, μακρότερον τὸν λόγον ποιήσομαι· ἐνθυμήθητι, τέκνον ἐμόν, πρὸ τοῦ μέλλοντος κριτηρίου, πρὸ τῆς φοβερᾶς ἐκεῖ παραστάσεως, ὅτι διάκρισις οὐκ ἔστιν ἀρχόντων καὶ πενήτων ἐκ τῆς κοσμικῆς ταύτης περιφανείας, ἀλλ' ἀπὸ μόνων τῶν ψυχικῶν κατορθωμάτων· λάβε μοι κατὰ νοῦν καὶ πρὸ τῆς παγκοσμίου ἐκείνης συναγωγῆς ἐπὶ τοῦ ἀδεκάστου κριτοῦ, τὰ ἐν τῷ παρόντι βίῳ μετὰ τὸν ἡμέτερον θάνατον ὑπὸ τῶν

τότε στρεφομένων ἐν τῇ ζωῇ ταύτῃ, περὶ ἡμῶν εἰς μνήμην ἐσόμενα· τίς γὰρ τῶν μετὰ ταῦτα τοσαύτην ἀκούσας χριστιανῶν μιαιφονίαν οὐ λοιδορήσεται, οὐκ ἐπαράσεται, οὐ πᾶν εἴ τι πονηρὸν ὄνομα εἰς τοὺς τὰ τοιαῦτα πεπραχότας ἀναθήσει;

Ἐγένοντο πολλοὶ πλειστάκις ἐχθροὶ πρὸς ἀλλήλους, ἀλλ' ὅσοι ἐπιεικέστεροι, ὅσοι τὸν τρόπον ἀνθρωπικώτεροι, ἔδωκαν ὅρον τῇ ἔχθρᾳ, οὐκ ἐνέμειναν διαπαντὸς τῷ κακῷ, ἀλλὰ συνιδόντες ὡς ἀνθρωπίνης φύσεως ἀλλότριον τὸ ἐχθραίνειν, μετέβαλον εἰς εἰρήνην τὴν ἔχθραν· καὶ οὐ λέγω τέκνα πρὸς πατέρας, ἀδελφοὺς πρὸς ἀδελφοὺς τοῦτο ποιήσαντας, μαθητὰς πρὸς διδασκάλους, ἀλλὰ καὶ τοὺς πόῤῥω τῆς τοιαύτης συναφείας καὶ σχέσεως· τὸ δ' ὑμέτερον ποταπόν; τέκνα πρὸς πατέρας ἔχθραν ἄσπονδον ἔχετε, ἀδελφοὶ πρὸς ἀδελφούς, μαθηταὶ πρὸς διδασκάλους, καὶ τότε πηλίκης διδασκαλίας, ἥ τις ὑμῶν ἀνέωξε τὰ ὄμματα τῆς ψυχῆς, ὡδήγησε πρὸς τὸ φῶς, τῆς τοῦ διαβόλου δουλείας ἐῤῥύσατο· καὶ τὸ ἐπὶ τούτοις ἀσύγκριτον, υἱοὺς θεοῦ ἀπειργάσατο· τίς οὖν τῶν μεταγενεστέρων ταῦτα μέλλων ἀναμανθάνειν, οὐχὶ πάντα ὀνείδη, οὐχὶ πάσας βλασφημίας ἐπαφήσει κατὰ τῶν οὕτως ἀθάνατον ἔχθραν ἀραμένων; εἶτα τί τὸ κέρδος τῆς ἐντεῦθεν περιφανείας, τῆς δόξης, τῆς ἀρχῆς, τῆς ἐξουσίας, ὅταν ἀπερχόμενοι τῆς ζωῆς ταύτης, ὄνομα πονηρὸν καταλείψωμεν; ὅταν ὑβριζώμεθα, ὅταν ἐξονειδιζώμεθα παρὰ τῶν μισούντων τὴν πονηρίαν; ὅταν ἐπαρῶνται ἡμῖν οἱ τὸ τῆς εἰρήνης καλὸν ἀγαπῶντες, καὶ τὰς σφαγὰς καὶ τὰς μιαιφονίας βδελυσσόμενοι; κρεῖσσον ἀγαθὸν ὄνομα, τέκνον ἐμόν, οὐ μόνον ὑπὲρ πλοῦτον πολύν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν δόξαν καὶ βιωτικὴν περιφάνειαν.

Ἐννόει μοι ταῦτα καὶ ὅπερ ἐκ παιδὸς ὄνομα καλὸν ἐπεπόθησας, μνήμην ἔντιμον καὶ λαμπράν· ταύτην μὴ ἀπολέσωμεν διὰ φιλονεικίαν καὶ πικρίαν ψυχῆς· καλὸν ἐφόδιον πρὸς τὸν μέλλοντα βίον τὸ συναπάραι μετὰ τῶν τῆς ἀρετῆς ἐγκωμίων· καλὸν δὲ καὶ τὸ καταλιπεῖν τοῖς τέκνοις τοῖς σοῖς χρηστοῦ πατρὸς τέκνα καλεῖσθαι, ἐπιεικοῦς, πρᾴου, ἡμέρου, φιλανθρώπου, ἀλλὰ μὴ τὰ τούτων ἐναντία· μὴ δὲ γένοιτο, τέκνον ἐμόν, οὕτω τοὺς σοὺς

υἱούς, τὰ ἐμὰ γλυκύτατα δυστυχῆσαι τέκνα, ὥστε ἀνθ᾽ ὧν εἶπον καλῶν ὀνομάτων, κληρονομῆσαι τῶν ἐναντίων· ἐκεῖνος ὁ κλῆρος τιμιώτερος τῆς μελλούσης αὐτοῖς παρὰ σοῦ καταλιμπάνεσθαι ἀρχῆς καὶ ἐξουσίας· ὧν σὺ φροντίδα ποιούμενος, ὡς ὄντως παρὰ θεοῦ τοῦ σοῦ ἔθνους ἄρχειν καταστὰς· καὶ προσέτι τῆς ἐξ ἀρχῆς σου ἐπιεικείας καὶ ἡμέρου ψυχῆς μὴ ἐξιστάμενος, ἄνοιξον ἡμῖν τὰ ὦτα, καὶ πρὸ τῶν ὤτων τὴν καρδίαν, καὶ πρόσχες τοῖς λεγομένοις ὡς παρὰ φίλου λεγομένοις καὶ πρὸς ἀγαπῶντος· εἰ μὴ νομίζῃς ἀνάξιον τὸ καλεῖν πατέρα, εἰ καὶ ἁμαρτωλὸν, ὅμως δὲ πρεσβύτην, καὶ ἐπισκόπου τάξιν λαχόντα, οὓς ὁ Χριστὸς ἡμῶν καὶ θεὸς πνευματικοὺς ὑμῖν παρέσχε πατέρας, πολλῷ τῶν κατὰ σάρκα γνησιωτέρους· ἐπεὶ τὰ μὲν τῆς σαρκὸς λύεται, τὰ δὲ τοῦ πνεύματος ἄλυτα· ἀλλ᾽ εἰς εὐχὴν ὁ λόγος ἡμῶν τελευτάτω· καὶ τί ἕτερον ἢ τοῦτο φαμὲν; ὡς εἴη Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἐκκαθᾶραι τὰ σκάνδαλα, ἐξομαλίζων τὴν σὴν εὐγενῆ ψυχὴν, καὶ εἴ τι σκάνδαλον ἐν αὐτῇ παραπέπτωκεν ἀνακαθαίρων, καὶ τὸ ἐξ ἀρχῆς τῆς θειοτάτης φῶς ἀγάπης, ὅπερ ἐσπούδασεν ὁ τοῦ σκότους πατὴρ ἀποσβέσαι, πάλιν ἐν ὑμῖν ἀνάπτων καὶ ποιῶν ἀναλάμπειν· ὁ τὴν ἔχθραν ἀποκτείνας ἐν τῇ σαρκὶ αὐτοῦ, καὶ συνάψας τὰ διεστῶτα, ὁ εἰρηνοποιήσας τὰ πάντα διὰ τοῦ ἁγίου καὶ παναχράντου αἵματος, αὐτὸς καὶ νῦν πᾶσαν διχόνοιαν, πᾶσαν διάστασιν, πᾶσαν ἔχθραν ἐξορίσαι ἔκ τε Βουλγάρων καὶ Ῥωμαίων, καὶ πάλιν εἰς ἓν συνάψοι, καὶ ἐν ἀπολαύσει δοίη γενέσθαι τῶν τῆς εἰρήνης καλῶν, συντριβέντος ἐν τάχει τοῦ τῶν σκανδάλων σπορέως καὶ τῆς κακίας γεννήτορος.

XII. ΤΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΒΟΥΛΓΑΡΙΑΣ.

Ἐπιστάμεθα τὴν ὑμῶν ἀρχιερατικὴν τελειότητα περὶ τοῦ πράγματος οὗ γράφειν προήχθημεν, τὰ αὐτὰ φρονεῖν ἃ καὶ ἡμεῖς φρονοῦμεν, τὴν ἴσην ὀδύνην φέρειν ἐν τῇ καρδίᾳ, τοῖς ὁμοίως διαξαίνεσθαι σπαραγμοῖς· καὶ διὰ τοῦτο γράφομεν οὐ παραίνεσιν οὐδὲ διδασκαλίαν, ἀλλ᾽ οἷον συνομιλίαν καὶ ὅσα εἰ παρ-

όντες ὁμοῦ καὶ συνδιατρίβοντες, κοινῶς ἂν διεσκεψάμεθα· ταῦτα δὲ ἔστι περὶ τῶν καταλαβόντων κακῶν τὸν ἕνα μὲν Χριστοῦ λαὸν, Ῥωμαίους φημὶ καὶ Βουλγάρους, διαμερισθέντας δὲ ἐξ ἀλλήλων ὑπὸ τοῦ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἀπὸ Θεοῦ διατεμόντος καὶ διαμερίσαντος τὸν λαόν· ὑπὲρ ταύτης γράφομεν τῆς κοινῆς φροντίδος, ἣν ὥσπερ ἡμεῖς ἀδιαλείπτως φέροντες στενάζομεν καὶ θρηνοῦμεν, οἶδα ὅτι καὶ αὐτὸς ὁμοίως φέρεις, καὶ ἄρτος σοι τὰ δάκρυα γίνεται· ἐκ τῶν ἡμετέρων γὰρ τὰ ὑμέτερα διδασκόμεθα· ὧν γὰρ τὸ ἔργον καὶ ἡ διακονία κοινὴ, τούτων εἰκὸς κοινὰ γίνεσθαι τὰ πάθη καὶ τοὺς καμάτους· ἀλλ᾽ ὅτι μὲν ἡ αὐτὴ συνοχὴ καὶ τὰ ὅμοια κεντεῖ ἄλγη τὴν σὴν καρδίαν, οἷα καὶ ἡμᾶς, ἀρκεῖ τοσοῦτον ἐπιμνησθῆναι.

Λοιπὸν δὲ ἤδη της οἷον συνομιλίας καὶ τῆς κοινῆς ἀπαρχόμεθα συνδιασκέψεως· ἄλλοι μὲν ἄλλαις ἀπετάγησαν διακονίαις ἐν τῇ παρούσῃ ταύτῃ ζωῇ, βασιλεῖς λέγω καὶ ἄρχοντας πόλεων, ἐπιστάτας πραγμάτων ἄλλων, οἰκονόμους τῆς διοικήσεως, ὧν ἕκαστος πρὸς ἣν ἔλαβε τάξιν ἀφορῶν, τὸ οἰκεῖον ὅς τις ἔμφρων σπουδάζει ἀπέμπτως ἔργον ἐπιτελεῖν· ἡμεῖς δὲ οἱ παρίστασθαι τῷ ἁγίῳ ἀποτεταγμένοι θυσιαστηρίῳ, εἰ καὶ πολλῶν ἄλλων χρεῶσται καθεστήκαμεν ἐπιτελεῖν τὴν διακονίαν, ἀλλά γε πρὸ παντὸς ἑτέρου τὸ τῆς εἰρήνης ἔργον καὶ τὸ διώκειν ἐκ μέσου τὰ σκάνδαλα καὶ τὴν ἔχθραν, εἰς ὑπουργίαν ἐλάβομεν· ἡ γὰρ τῆς φρικτῆς ἱερουργία θυσίας, ἣν εἰς ἀνάμνησιν ἐπιτελοῦμεν τοῦ ἵνα καταλύσῃ τὴν αἰώνιον ἔχθραν, τὴν βιαίαν ἐκείνην πρὸς Θεὸν τῶν ἀνθρώπων μανίαν καὶ ἀνέλπιστον εἰς σπουδὰς εἰρήνης συμβῆναι ὑπομείναντος ὅσα ὑπέμεινε, τὰ ἐμπτύσματα, τὰ ῥαπίσματα, τὸν θάνατον τῶν κακούργων, τοῦτο ἡμῖν παρακελεύεται διὰ παντὸς τὸ πάσῃ δυνάμει, πάσῃ περινοίᾳ, παντὶ λόγῳ τῆς εἰρήνης εἶναι σπουδαίους συμμάχους, τῆς ἔχθρας πολεμίους, καὶ πάσῃ ψυχῇ ἀποκλείειν τὴν εἴσοδον τῶν σκανδάλων· ἐπείπερ οἷον ἐπ᾽ ὄψιν ἡμῖν τοῦτο δὴ τὸ μέγα τῆς ἱερουργίας μυστήριον ὑποδείκνυσιν, αὐτὸν τὸν υἱὸν τοῦ φιλανθρώπου πατρὸς, ὃς τοσοῦτον ἠγάπησε τὸν κόσμον, ὥστε τοῦτον ἐξαποστεῖλαι πρὸς ἡμᾶς· ἀλλὰ γὰρ τὸν

μονογενῆ τοῦτον, τὸν ἀγαπητὸν, τὸν ἀμνὸν τοῦ Θεοῦ θυόμενον καὶ ἐξίλασμα γινόμενον τῆς ἡμετέρας ἔχθρας πρὸς τὸν Θεὸν καὶ πατέρα, τοῖς ὀφθαλμοῖς ἡμῶν ὥσπερ ὁρώμενον τὸ πανάγιον τοῦτο μυστήριον παρίστησιν, ὃς κληρονόμος ὢν τῆς θεϊκῆς δόξης, κατεφρόνησεν αἰσχύνης τοσαύτης καὶ ἀδοξίας ὑπ᾽ ἀνθρώπων ὑπ᾽ αὐτῷ τολμηθείσης; ἵνα τοὺς διεστῶτας, τοὺς ἐχθροὺς, τοὺς πολεμίους διὰ τῶν οἰκείων παθῶν, διὰ τῶν τραυμάτων, διὰ τῆς αἰσχύνης ἀπαλλάξῃ καὶ συνάψῃ τῇ εἰρήνῃ, καὶ οἰκείους ἀπεργάσηται τῷ Θεῷ· τί οὖν ἀδελφὲ καὶ συνιερεῦ δεῖ πράττειν ἡμᾶς; ποταπὴν ἔχειν καρδίαν, ὁποίαν μέριμναν, ἡλίκην ἀγωνίαν, ὅταν τινὰς ὁρῶμεν κατ᾽ ἀλλήλων ἐκμαινομένους, καὶ τὴν ἔχθραν ἀντὶ τῆς ἀγάπης ἀλλασσομένους; καὶ ταῦτά φημι περὶ τῶν καθ᾽ ἕνα τέως καὶ ἀνὰ μέρος· πόσην οὖν κεχρεωστήκαμεν πρόνοιαν φέρειν, ὥςε τοὺς οὕτω διατεθειμένους τὰς ψυχὰς ὑπὸ τοῦ πονηροῦ συμβιβάσαι, καὶ εἰρηνοποιῆσαι, καὶ πεῖσαι πάλιν διὰ τῆς ἀγάπης εἰς ἑνότητα συνελθεῖν; ὅταν δὲ οὐχ εἷς, οὐδὲ δύο, οὐ δέκα, οὐδὲ πολλῷ τούτων πλείους ὁλόκληρος οἰκία καὶ πόλις, ἀλλ᾽ ἔθνος ὅλον πρὸς ὅλον ἔθνος καὶ τότε ὁμόπιστον, οἴμοι τῶν ἐμῶν παθῶν τὸ βαρύτατον, ὑπὸ τῆς τοῦ δαίμονος ἐνεργείας εἰς τὸ κακὸν τοῦτο περιηνέχθησαν, τί ποιήσωμεν; τί διανοηθῶμεν; τί φρονήσωμεν; ποία ἡμέρα ἢ νὺξ ἀναπαύσει ἡμᾶς ἀπὸ τῆς τοιαύτης μερίμνης, ἢ τῆς συνοχῆς;

Προῆλθε μὲν ἄχρι τούτου ὁ λόγος, ὥσπερ προῆλθεν· ἄρτι δὲ ὥσπερ αὐτὰ τὰ πράγματα ἀναλαβόντα φωνὴν, τρανότερον φθέγγεται· ἐκίνησεν ὁ τῆς κακίας πατὴρ διάβολος, ὁ τῆς εἰρήνης πολέμιος, μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ὅπλα καὶ ξίφη· ἐξέμηνεν αὐτοὺς κατ᾽ ἀλλήλων, ἐνήργησεν ὅσα ἐνήργησεν μέχρι τῆς σήμερον· φεῦ τοῦ πλήθους τῶν ἐμῶν ἁμαρτιῶν· τίς δυσωπήσει; τίς γενήσεται μεσίτης; τίς Θεοῦ συναντιλαμβανομένου ςήσει τὸν τοσοῦτον ὄλεθρον τῶν ἀνθρώπων; τίς μιαινομένην τὴν γῆν ἐξ αἱμάτων χριστιανικῶν ἀποπαύσει; καὶ τίς ἕτερος; τοῦτο ἐμὸν καὶ σὸν τὸ χρεώστημα· ἀλλ᾽ ἡμεῖς μὲν αὐτὸς, ᾧ παρίσταται πᾶσα καρδίας ἐνθύμησις, ἐξεπίσταται ὅτι καὶ τὴν ἀρχὴν ἀπετρέψαμεν τὴν

τοῦ πολέμου ἐγχείρησιν· καὶ τοῦ κακοῦ ἐκνικήσαντος παραινοῦντες οὐ διελείψαμεν, ὥστε ῥίψαι μὲν τὰ ὅπλα, ἀντιλαβέσθαι δὲ τῆς πρὸς Βουλγάρους εἰρήνης καὶ ἀγάπης, καὶ τῆς πατρικῆς πρὸς αὐτοὺς διαθέσεως· καὶ Θεοῦ τῶν καρδιῶν αὐτῶν ἁψαμένου, καὶ οἷς ἠπείθησαν πρότερον μετεφρόνησαν, καὶ οἷς μετὰ ταῦτα παρῃνέσαμεν, πρόθυμοι ποιεῖν τὰ παραινεθέντα γεγόνασι, καὶ ἐξ ἐκείνου καιροῦ καὶ μέχρι τοῦ νῦν τὰ τῆς εἰρήνης ἐπιζητοῦσι, καὶ τὸν σύνδεσμον τῆς ἀγάπης, καὶ τὰ τοῦ πρὸς ὑμᾶς πολέμου μεμισήκασι πράγματα· ἀλλὰ τί εἴπω; ὁ ἐξ ἀρχῆς φθονήσας τῷ ἀνθρωπίνῳ γένει, δριμὺν ἔσχε καὶ νῦν τὸν φθόνον κατὰ τῆς ἑνώσεως Βουλγάρων καὶ Ῥωμαίων, καὶ ὅτι ἔφθασεν ἀνάψαι τὴν πυρκαιὰν τῆς ἔχθρας, χαίρει τῷ ψυχοφθόρῳ τούτῳ πυρὶ, καὶ πολὺν τὸν ἀγῶνα ποιεῖται τῆς τούτου ἀνάψεως, καὶ οὐ συγχωρεῖ τῷ καλῷ καὶ ἀγαπητῷ υἱῷ μου τῷ φρονιμωτάτῳ, τῷ δεσπόζειν Βουλγάρων λαχόντι, τῆς ἑαυτοῦ γενέσθαι καλοκἀγαθίας, καὶ πρὸς τὸ καλὸν τῆς εἰρήνης ἐπιστραφῆναι, καὶ τῆς ἀρχαίας γενέσθαι γλυκύτητος· ἀλλ' ἀεί τι ὁ φθονερὸς, ὁ τῶν καλῶν διώκτης ὑποβάλλων πικρὸν ἐνθύμημα ἐν τῇ γλυκείᾳ τούτου ψυχῇ, σπουδάζει τὴν γλυκυτάτην διώκειν εἰρήνην.

Ἀλλὰ τὰ μὲν τοῦ πονηροῦ δαίμονος τοιαῦτα· ἡμεῖς δὲ Θεῷ πεποιθότες, καὶ τῇ τοῦ ποθεινοῦ υἱοῦ μου ἡμερότητι ὡς οὐκ ἀποτευξόμεθα τοῦ σκοποῦ, γράμμα πρὸς αὐτὸν ἐξεπέμψαμεν, ἐκεῖνα παρακαλοῦντες, ἐκεῖνα δυσωποῦντες, ὅσα τῆς αὐτοῦ φιλαγάθου ἐστὶ ψυχῆς οἰκεῖα, ὅσα τῆς ἐκείνου καρδίας· καὶ γὰρ εἰ καὶ βραχὺν χρόνον, ἀλλ' ὅμως καὶ ἡμεῖς, ὅτε εἰς ὄψιν αὐτῷ κατέστημεν, ἐλάβομεν πεῖραν τῆς αὐτοῦ φύσεως· καὶ ἔγνωμεν τὴν σύνεσιν, τὴν πραότητα, τὴν ἐπιείκειαν, τὴν χρηστότητα, καὶ ὡς πάσης ἀπηνείας καὶ ἰταμότητος ἀλλοτρία ἡ τούτου φύσις καθέστηκεν· ἐγράψαμεν οὖν πρεσβεύοντες ὑπὲρ εἰρήνης, καὶ εὐέλπιδες ἐσμὲν, ὡς δυσωπήσει μὲν πρῶτον τοῦτον ὁ δοὺς αὐτὸν Βουλγάρων δεσπόζειν Θεὸς, δυσωπήσει δὲ καὶ τὸ οἰκεῖον ἥμερον καὶ φιλάγαθον· δυσωπηθήσεται δὲ καὶ ὑπὸ τῆς ἡμετέρας παρακλήσεως· τὸ μὲν ἡμέτερον τοιοῦτον, καὶ ἀποσαλεύομεν ἐν τοιαύταις ἐλπίσιν·

ἔστι δὲ καὶ τῆς ὑμῶν ἀρχιερωσύνης ἐπὶ τοῖς κοινοῖς πάθεσιν ἀλγυνομένης, ταῖς κοιναῖς συμφοραῖς, τῇ τοσαύτῃ τῶν κακῶν περιλύσει, καὶ ὡς οἴκοθεν κεκλημένης τὸ τοῦ πράγματος χρεώστημα, συνεπιλαβέσθαι τῇ ἡμετέρᾳ πρεσβείᾳ, ἐξευμενίσασθαι, καθικετεῦσαι τὸν ἠγαπημένον υἱὸν ἡμῶν.

Ἔχεις πολλὰς ἀφορμὰς συνεργούσας πρὸς τὴν ἐκείνου δυσώπησιν· πρῶτον μὲν, ὅσα ὁ λόγος προλαβὼν εἶπε, τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τὸ ἀπαραμύθητον ἄλγος, ἐφ᾽ οἷς οἱ τὸ ἐκείνου τίμιον φέροντες ὄνομα ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, ἵνα τοῦτο ἡμῖν τὸ ὄνομα χαρίσηται, κατ᾽ ἀλλήλων ἐξεθηριώθησαν, τοὺς ἱεροὺς ναοὺς ἐν οἷς πρὸς ἔντευξιν εἰσέρχεται τοῦ Θεοῦ ὑπὲρ ἑαυτοῦ, ὑπὲρ γυναικὸς, ὑπὲρ παίδων, καὶ ὅλου φημὶ τοῦ ἔθνους, οὗ δεσπόζειν κατέστη τὸ ἅγιον καὶ πανάχραντον σῶμα καὶ αἷμα, ὧν ἐσθίων καὶ πίνων ἀδιστάκτους ἐλπίδας ἔχει ἁγιασμοῦ μέτοχος γίνεσθαι· παράστησον αὐτῷ διὰ τῶν σῶν λόγων ἐν ὀφθαλμοῖς ὅσα ἐκεῖνος οἰκείαις ὄψεσι καὶ πρὸ τῶν σῶν λόγων τεθεαμένος οὐκ ἀγνοεῖ, τῆς γῆς ὅσην διῆλθε τὴν ἐρημίαν τὴν ἀντὶ τῆς ὁρωμένης ἄχρι τοῦ νῦν ὡραιότητος, τῶν χωρῶν ὅση ἐκ τῶν σταχύων, ὅση ἐξ ἀμπέλων, ὅση ἐκ τῶν ἄλλων ἀκροδρύων ἐλεεινὴν ἀμορφίαν· ἀνάμνησον αὐτὸν τῆς καταστροφῆς τῶν ἁγίων τοῦ Θεοῦ οἴκων, οὓς εὐσεβῶν χεῖρες εἰς δόξαν Θεοῦ μετὰ πολλῶν καμάτων ἀνήγειραν· πρόσθες τὴν ἀπώλειαν τῶν σεμνῶν διαιτημάτων, ἐν οἷς μονάζοντες, ἐν οἷς παρθένοι διὰ παντὸς ὕμνους ἀνέπεμπον τῷ Θεῷ, καὶ νῦν ἐν ἐριπίοις λέλειπται κατακείμενα· πρόσθες ἐπὶ τούτοις τὰς πολυτρόπους τῶν ἀνθρώπων σφαγὰς, οἴμοι τῆς τοσαύτης τοῦ πονηροῦ δαίμονος ἰσχύος, τῶν ἱερέων τῶν μοναζόντων ἀνδρῶν, γυναικῶν ἐῤῥιμένα σώματα, καὶ μηδ᾽ αὐτὸ τοῦτο ταφῆς ἠξιωμένα, ἀλλὰ κυσὶ καὶ θηρίοις εἰς βρῶσιν προτεθειμένα.

Καὶ τί λέγω ταῦτα; ἔχεις πολλὴν καὶ ἀμύθητον ἐκ τῆς ἀνιστορήτου ταύτης τραγῳδίας τὴν εὐπορίαν, καὶ ἐπὶ πᾶσι τὴν τοῦ δυσωπημένου ἡμερότητα, καὶ τὴν τελειοτάτην φρόνησιν εἰς τὸ συγκαταπράξασθαι τὴν πρεσβείαν· ἀλλὰ γὰρ κινούμενος ταῖς κοινῶς ἐμέ τε καὶ σὲ ἀπαραιτήτως συνεχούσαις ὀδύναις καὶ ταῖς

ἐχούσαις ἡμᾶς ὀφειλέτας μερίμναις ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ εἰρήνης, ἐπίδειξαι μὲν καὶ τὰ παρ' ἑαυτοῦ· πλήρωσον δὲ καὶ ἀνθ' ἡμῶν τὰ ἡμέτερα ὅσα εἰ παρόντες ἂν αὐτοὶ διεπραξάμεθα· χεῖρας περίπτυξαι, λαβοῦ γονάτων, εἰ δεήσει καὶ τῶν ποδῶν, καὶ ἁπλῶς λόγοις καὶ πράγμασι μὴ ἀπόσχῃ πάντα ποιῶν, ἕως ἂν τῇ ἄνωθεν εὐμενείᾳ πρὸς τὸ τῆς εἰρήνης καλὸν ἡ γλυκεῖα τοῦ ἡμετέρου τέκνου συνέλθῃ ψυχὴ, καὶ ἄνθρωποι παρ' αὐτοῦ ἐξαποσταλῶσι, δι' ὧν ἀνακαινισθήσεται μὲν τὰ τῆς εἰρήνης, καταργηθήσεται δὲ τὰ τῶν πολέμων καὶ τῆς ἔχθρας, ἀπελαθήσεται δὲ καὶ διάβολος ὁ ταῖς κοιναῖς συμφοραῖς Βουλγάρων καὶ Ῥωμαίων ἐπορχούμενος, παῤῥησιάσεται δὲ πάλιν ἡ τιμιωτάτη ἀγάπη, καὶ τὰ ἐκείνης τίμια πράγματα, ἐξ ὧν εὐφροσύνη καὶ τῶν καλῶν ἀπόλαυσις ἀμφοτέροις τοῖς λαῶν προσγενήσεται, τῶν χαλεπωτάτων δὲ πραγμάτων ἡ πεῖρα καὶ ἡ κατήφεια καὶ ἡ σκυθρωπότης τῶν προσώπων ἀφανισθήσεται.

XIII. ΤΩ ΠΡΩΤΩ ΑΝΘΡΩΠΩ ΤΟΥ ΣΥΜΕΩΝ.

Τῶν μεγάλων ἐξουσιῶν οἱ ὑπηρέται μεγίσταις ἀρεταῖς, τέκνον ἡμῶν, κοσμοῦνται καὶ κατορθώμασι, καὶ τοσούτῳ μᾶλλον ὅσον καὶ οἰκειότεροι ὄντες γνωρίζονται· τοιοῦτον σε ὄντα ἐπιστάμενοι, καὶ τοῦτο συνεπιστάμεθα ὅτι καὶ χωρὶς τῶν ἡμετέρων λόγων ἐκεῖνα διανοῇ, ὅσα τῷ μεγέθει πρέπει τῆς σῆς ἀρετῆς· ἐπεὶ οὖν οὕτως ἔχομεν περὶ σοῦ, εἰς τὴν παροῦσαν ὑπόθεσιν τοῦ γράμματος ἐκινήθημεν μεγάλην τε οὖσαν, καὶ διὰ τῆς σῆς φρονήσεως κατορθωθῆναι ὀφείλουσαν· ἔστι δὲ αὕτη περὶ τῆς εἰρήνης, ἣν ἔδωκεν ἡμῖν Χριστὸς ὁ θεὸς ἡμῶν, περὶ τοῦ παῦσαι τὰς σφαγὰς καὶ τὰς χύσεις τῶν αἱμάτων καὶ τῆς ἄλλης κακώσεως, ὅση ἐκ τῶν πολέμων γνωρίζεται· ὧν οὐδὲν μεῖζον, οὐδὲ φρονίμων ἀνθρώπων καὶ μέγιστον κλέος ἐχόντων ἔργον ἐστὶν ἰδεῖν οἰκειότερον· περὶ τούτου ἐγράψαμεν καὶ τῷ μεγαλοδόξῳ καὶ πεποθημένῳ ἡμῶν υἱῷ, καὶ οὐκ ἀγνοοῦμεν, ὡς ἡ ἐκείνου φιλάγαθος ψυχὴ ἡ πραεῖα καὶ ἥμερος, εἰ καὶ τὸ πλῆθος τῶν ἐμῶν ἁμαρτιῶν ταύτῃ πικρίας ἐνέ-

ξηκε σπέρματα, προσέξει τοῖς ἡμετέροις λόγοις εὐμενῶς· ἡμεῖς καὶ σὲ κινοῦμεν διὰ τοῦ γράμματος συνεπιλαβέσθαι καὶ ὡς εὔνουν αὐτοῦ καὶ οἰκεῖον θεράποντα τὴν ὄντως μεγάλης δόξης αὐτῷ πρόξενον ὑπουργίαν ἐξυπηρετήσασθαι· ἐν πολλοῖς μὲν γὰρ ἄλλοις, ὡς καθαρὸν σώζων τὸ φίλτρον πρὸς αὐτὸν, ὡς τῆς αὐτοῦ ἐφιέμενος τιμῆς τε καὶ δόξης ἐξυπηρετεῖσθαι τούτῳ σπουδάζεις, ἀλλ᾽ οὐδενὶ ἐπ᾽ ἄλλῳ πράγματι, ὡς ἐν τούτῳ, γνωρισθήσῃ ἐξυπηρετούμενος τὰ εἰς τιμὴν καὶ δόξαν αὐτῷ, οὐδὲ τὸ πρὸς αὐτὸν φίλτρον ἐπιδεικνύων καὶ τὸ τοῦ ἔρωτος διάπυρον πρὸς τὸν οἰκεῖον δεσπότην.

Ἐνθυμήθητι γὰρ, τέκνον ἡμῶν, τὰ τοῦ πολέμου κακὰ, τὰ ἐκεῖθεν τοὺς ἀνθρώπους καταλαβόντα ἀλγεινὰ, καὶ πάλιν τὰ τῆς εἰρήνης καλὰ, καὶ τὴν ἐξ αὐτῆς ἐγγινομένην τοῖς ἀνθρώποις ἀπόλαυσιν· καὶ ταῦτα συγκρίνων, σκέψαι πόσης αὐτῷ γενήσῃ πρόξενος τιμῆς καὶ δόξης, εἰ θεοῦ συνεπιλαμβάνοντος ἀντὶ τῶν πολέμων, ἀντὶ τῶν σφαγῶν, ἀντὶ τῶν αἰχμαλωσιῶν, ἁπλῶς ἀντὶ τοῦ μεγάλου τῶν ἀνθρώπων ὀλέθρου, ἐξυπηρετήσεις αὐτῷ ταύτην τὴν ἔνθεον ὑπηρεσίαν, τὸ ἐπαινεῖσθαι διὰ τὰ ἀγαθὰ τῆς εἰρήνης, καὶ δοξάζεσθαι, ἀλλὰ μὴ τὰ ἐναντία πορίζεσθαι διὰ τὰ ἐκ τῶν πολέμων κακά· οὐ μὴ δεηθῇς λόγων πολλῶν, οὐδ᾽ ἀποστραφήσεταί σου τὴν δέησιν ἡ καλὴ ἐκείνου καὶ φιλάρετος ψυχὴ, μόνον προθυμήθητι, μόνον δυσωπῆσαι βουλήθητι· καὶ πέπεισμαι ὡς ἕτοιμον ὄντα ὄψει τὴν θείαν εἰρήνην ἐπιζητοῦντα· τοῦτο δὲ οὐχ ἁπλῶς λέγω, ἀλλὰ πεπεισμένος ἐξ ὧν ὁ φιλάνθρωπος θεὸς εἰργάσατο· τοὺς γὰρ αἰτίους τοῦ πολέμου, καὶ τῆς τοσαύτης μιαιφονίας, κρίμασιν οἷς αὐτὸς οἶδε δικαίοις, ἐκ μέσου πεποίηκε, τὴν ἀξίαν δίκην καὶ ἁρμόζουσαν τῇ τοσαύτῃ αὐτῶν πονηρίᾳ ἐπιθείς· δια τοῦτο οὐδ᾽ ἡμεῖς πλέον ἐγνώκαμεν ἐκτείνειν τὸν λόγον, οὐδ᾽ ἐνοχλεῖν σε τῷ μήκει τοῦ γράμματος, ἀλλὰ μόνην εὐχὴν προσεπιτιθέαμεν, ὡς εἴη Χριστὸς ὁ θεὸς ἡμῶν κἀκεῖνον τιμῶν καὶ δοξάζων καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι ἐκ τοῦ τὴν εἰρήνην ἐπιτελέσαι, καὶ σὲ τέκνον ἡμῶν ἐπιπλέον οἰκεῖον δεικνὺς τῷ οἰκείῳ δεσπότῃ καὶ ὑπ᾽ αὐτοῦ ἀγαπώμενον, καὶ ὑπὲρ

τῆς τοιαύτης προαιρέσεως καὶ σπουδῆς τῶν αἰωνίων καταξιῶν ἀγαθῶν.

XIV. ΣΥΜΕΩΝ ΒΟΥΛΓΑΡΩ.

Τέκνον ἡμῶν ποθεινότατον, καὶ φίλων ἀρχαίων καὶ νέων ὁ γλυκύτατος φίλος, ἄκουσον ὡς τέκνον καὶ φίλος ῥήματα πατρὸς ἐξ ἀρχῆς σε φιλήσαντος καὶ φιλοῦντος καὶ σώζοντος στοργὴν γνησίαν πρὸς σὲ ἐν ἁγίῳ πνεύματι, πρόσχες τέκνον ἐμὸν οἷς γράφομεν· πεποίθαμεν γὰρ ἐν θεῷ, ὅτι τὰ συνευφραίνοντα καὶ συνήδοντα γράφομεν, καὶ ἐπὶ τοῖς ἔργοις τὸ ὄνομα τῆς φιλίας βεβαιοῦντες· ἄκουσον καὶ πάλιν φημὶ ὡς τοῦ θεοῦ ἄνθρωπος συντόμως εἰπεῖν, εὐαγγέλια ψυχὴν θεοφιλῆ θεραπεύοντα· εἰ γὰρ καὶ πρὸς τὴν κοσμικὴν ἐξουσίαν τοῦ σατανᾶ τὰ σκάνδαλα κεκινηκότος δι᾽ ὧν κατὰ τῆς σῆς ἠγωνίσαντο τιμίας ἐμοὶ κεφαλῆς ἐξετραχύνθης, καὶ ἄλλως ἢ ὡς ἔστιν εὐχή μοι διατίθεσαι, ἀλλ᾽ ἐπίσταμαι ἀκριβῶς, ὅτι ἐπὶ τῷ πάθει τῆς ἐκκλησίας, λέγω δὴ τῷ σπαραγμῷ καὶ τῇ διαστάσει τῶν τέκνων αὐτῆς, καὶ συνήλγεις, καὶ συνείχου μεθ᾽ ἡμῶν πικραῖς ταῖς ὀδύναις, τιμῶν καὶ ἐν τούτῳ Χριστὸν τὸν θεὸν ἡμῶν, παρ᾽ οὗ σοι καὶ τὸ ἄρχειν καὶ τὸ σώζεσθαι, καὶ ἡ ἐν τῷ μέλλοντι αἰῶνι ἀποκείσεται σωτηρία, καὶ τιμὴ ἀτελεύτητος, ὥς γε εὐχόμεθα καὶ ἐλπίζομεν.

Εὐαγγελιζόμεθά σοι, τέκνον ἡμῶν, εὐαγγέλια, ὧν καὶ σοὶ τὸ ἀκοῦσαι πάντων ἥδυτατον, καὶ ἡμῖν τὸ εὐαγγελίσασθαι πρεπωδέστατον πάντων καὶ οἰκειότατον· ἥνωται ἡ τοῦ θεοῦ ἐκκλησία, ἐπαύθη τοῦ ἐξ ἀρχῆς πονηρευσαμένου ταύτην ἐκταράσσειν ἡ καταιγὶς, ἥνωται δὲ πῶς καὶ ἡ καταιγὶς πέπαυται· οἱ μὲν ἐξ ἡμῶν κεχωρισμένοι καὶ τοῦ ἰδίου ἀντεχόμενοι χωρισμοῦ ἀπετάξαντο τῷ οἰκείῳ φρονήματι, μετέγνωσαν ἐφ᾽ οἷς ἐφιλονείκουν, καὶ συνῆλθον χάριτι θεοῦ τῷ ἡμετέρῳ φρονήματι· καὶ ὃ τῇ ἐκκλησίᾳ ἐζητεῖτο, κοινῇ τούτοις συνωμολογήθη· καὶ συντόμως εἰπεῖν τὸ οἰκεῖον ὁμολογήσαντες πτῖσμα, ταῖς ἀγκάλαις προσῆλθον τῆς ἐκκλησίας φιλανθρώπως ὑπανοιγείσαις αὐτοῖς· ἀπέκλειε μὲν γὰρ

μέχρι τοῦ παρόντος ἡ ἐκκλησία τὰς ἑαυτῆς ἀγκάλας, οἷα τὰ ἀνθρώπινα κἀκείνων ἀνθρωπίνως διακειμένων, καὶ οὐκ οἶδα ποίαις αἰτίαις ἀγαπώντων τοῦ ἀντιλέγειν· ἐπεὶ δὲ πάντα ἐκεῖνα Θεοῦ εὐδοκίᾳ γέγονεν ἐκποδὼν, τῆς θείας μεσιτευσάσης εἰρήνης, συνήλθομεν εἰς ἑνότητα, καὶ προσελάβομεν τοὺς τέως ἐξ ἡμῶν διϊσταμένους ὡς οἰκεῖα τέκνα, καὶ ὡς μέλεσιν ἰδίοις συνήφθημεν, καὶ λοιπὸν ἔστιν ἡ τοῦ Θεοῦ ἐκκλησία μία κεφαλὴ τῷ πρώτῳ ἀρχιερεῖ καὶ Θεῷ ἡμῶν, καὶ ἡμῖν τοῖς ἀναξίοις, ὅμως δ' οὖν ἀρχιερατεύειν ἠξιωμένοις, καὶ συναρμολογουμένη, καὶ ἀταράχως διευθυνομένη· πλὴν ὀλίγων τινῶν, οἳ τὸ γνωρίζεσθαι ἔχοντες ἐξ ἀγαθοῦ τρόπου, ἵνα μὴ τὸν βίον ἀνώνυμον διαπερῶσιν, ἐκ τῆς ἑαυτῶν περινοούμενοι κακίας τὸ δῆλοι τυγχάνειν ὅσον ἐπ' αὐτοῖς τῷ οἰκείῳ μερισμῷ, λυπεῖν τὴν ἑνότητα οὐ διευλαβοῦνται τῆς ἐκκλησίας· πλὴν καὶ οὗτοι πάντως εἰ τῆς κεφαλῆς ἡμῶν εἰσι τοῦ μεγάλου Θεοῦ καὶ ἀρχιερέως ἡμῶν, ἀγαπήσουσι τυχὸν μὲν νῦν, τυχὸν δὲ μετὰ τοῦτο συναρμοσθῆναι τῇ ἑαυτῶν κεφαλῇ· εἰ δὲ μὴ, πρᾶγμα οὐδὲν· οἱ μὲν γὰρ κείσονται εἰς ἣν ἡ τούτων ἀπόνοια ἐξελέξατο χώραν· ἡ δὲ ἁγία τοῦ Θεοῦ ἐκκλησία τῆς ταραττούσης αὐτὴν αἰτίας ἀπηλλαγμένη, ἔχει τὴν ἰδίαν τάξιν εὐπαθῆ, εὐχαριστοῦσα Χριστῷ τῷ νυμφίῳ αὐτῆς, ὑπὲρ ὧν τε τῶν σκανδάλων ἀπήλλακται, καὶ ὑπὲρ ὧν τὰ οἰκεῖα κύκλῳ αὐτῆς παριστάμενα καθορᾷ τέκνα, ὅσους μὴ ὁ ἐξ ἀρχῆς ἀποσυλήσας τὸν ἄνθρωπον τῆς μακαρίας οἰκειότητος καὶ νῦν ἀποσυλῆσαι τοῦ ἱερατικοῦ πληρώματος δεδύνηται.

Ταῦτά σοι, τέκνον ἡμῶν, τὰ εὐαγγέλια, οἷς πέπεισμαι τὴν σὴν εὐφρανθῆναι ψυχὴν ὅσον ἐπ' οὐδενὶ ἄλλῳ τῶν ἐν ἀνθρώποις παρέχειν εὐφροσύνην εἰδότων· τὸ δ' ἀπὸ τούτου τίς μοι τῷ λόγῳ συνεπιλήψεται; τίς συλλαλοῦντί μοι τῇ φιλανθρώπῳ καὶ γλυκυτάτῃ ψυχῇ συμπαρέσται κοινωνῶν τῷ λόγῳ; καὶ ἀναμνήσομέν σε Θεοῦ διδόντος οὐ μὲν οὖν ἐπιλελησμένον τῆς οἰκείας ἡμερότητος, ἀλλ' ὑπὸ ἀνθρώπων οὐκ οἶδα τί περὶ αὐτῶν εἴπω, πλὴν ὅτι κακῶς διαθέσθαι τὰ Βουλγάρων καὶ Ῥωμαίων πράγματα διανοηθέντων, εἴτε οἴκοθεν, εἴτε ὑπὸ δαίμονος πονηροῦ πρὸς τοῦτο

κεκινημένων, τέως παρεξελθεῖν βιασαμένων, καὶ εἰς πράγματα καταστῆσαι ἃ μηδέποτε οὔτε αὐτὸς ἤλπισας υἱέ μου φιλανθρωπότατε, οὔτε ἡμεῖς, οὔτέ τις ἄλλος τῶν τὴν σὴν γινωσκόντων ἢ ἀκουόντων φιλάνθρωπον καὶ ἡμερωτάτην ψυχήν· τίς γὰρ τοῦτο ποτὲ πρὶν γενέσθαι προσεδόκησεν, ὅτι Συμεὼν ὁ διὰ φρόνησιν μεγάλην, ὁ διὰ τὸ θεοφιλὴς εἶναι εἰς μέγα δόξης τὸ Βουλγάρων ἔθνος ἀγαγὼν, ὁ πονηρίαν εἴ τίς ποτε ἀνθρώπων μισῶν, ὁ δικαιοσύνην τιμῶν, ὁ βδελυσσόμενος ἀδικίαν, ὁ κρείττων ἡδονῶν, ὁ τὴν γαστέρα κατάγχων οὐδὲν ἧττον οἷς ἐν ὄρεσιν ἡ ζωὴ, ὁ οἴνου ἄγευστος, ὁ κατ' οὐδὲν παραλλάσσων τῶν ἔξω τοῦ κόσμου ζῆν ἐπαγγελλομένων, ἢ ἐν μόνῃ τῇ κυβερνήσει τῆς παρὰ θεοῦ δεδομένης αὐτῷ ἀρχῆς· τίς ἂν οὖν προσδοκίαν ἔσχεν ὡς ὁ τοιοῦτος καὶ οὕτω θεοφιλὴς ἄνθρωπος εἰς τὰ νῦν καταλαβόντα χαλεπὰ Ῥωμαίους περιστήσει καὶ Βουλγάρους, καὶ τὴν ἄπειρον τῶν αἱμάτων χύσιν καὶ τὴν τοσαύτην ἐρημίαν, οἴμοι ἐρημίαν ἐκκλησιῶν θεοῦ, διαιτημάτων παρθένων, αἳ πολλάκις καὶ τὸ ἀναπνεῖν τὸν ἀέρα ἐφείδοντο μοναστηρίων ἀνδρῶν, οὗ νύκτα καὶ ἡμέραν θεὸς ὑμνολογεῖτο καὶ ἐδοξάζετο.

Τί με δεῖ λέγειν πόλεων, χώρας ἄλλης, οἴκων, ὅσα τοῖς ἀνθρώποις εἰς παραμυθίαν σπουδάζεται τῆς ζωῆς, τὴν ἄλλην συμφορὰν, ὅση τὸ ἀνθρώπινον συνέσχε, χηρείαν φημὶ, ὀρφανίαν, ἀδελφῶν ἀποστέρησιν, αἰχμαλωσίαν, δουλείαν, καὶ ἁπλῶς ἀντὶ τῆς πρώην Βουλγάρων καὶ Ῥωμαίων εὐζωίας, τὴν ἐλεεινὴν ταύτην μεταβολὴν, εἰς ἣν ἐκ τῶν τοῦ πολέμου κακῶν περιέστησεν; οὐκ ἐχθρῶν τοῦτο διαπραξαμένων, οὐ τῶν ἔξω τῆς μάνδρας τοῦ ἀληθινοῦ ποιμένος Χριστοῦ τοῦ θεοῦ ἡμῶν, οὐ τῶν ἀλλοτρίων τῆς κληρονομίας τῆς πίστεως, ἀλλὰ τίνων; αἲ αἲ τῶν ἐμῶν βαρυτάτων παθῶν, φεῦ τοῦ ἐλεεινοῦ διηγήματος, πρὸς τοὺς ἐν Χριστῷ πατέρας ἐξεβαρβαρώθη τὰ τέκνα, καὶ τὰ πρόβατα τοῦ Χριστοῦ κατ' ἀλλήλων ἐξεθηριώθησαν, οἱ κληρονόμοι τῆς πίστεως καὶ συγκληρονόμοι τῆς δόξης τοῦ Χριστοῦ πρὸς ἑαυτοὺς ἐξεπολεμώθησαν· τίς ἂν ποτε ἤλπισε καὶ πάλιν ἐρῶ τοιαῦτα πάθη, καὶ τοιούτων συμφορῶν πράγματα, πρὸ τοῦ ἐν ὄψει ταῦτα ἰδεῖν,

Ῥωμαίους καὶ Βουλγάρους καταλαβεῖν; ἀλλὰ γὰρ, τέκνον ἡμῶν, θεοφρούρητον, εἰ καὶ κατέλαβε τοιαῦτα, ὡς εἴθε μὴ ὤφελε, κατέλαβεν ἐξ ἐπηρείας τοῦ πονηροῦ δαίμονος, κατέλαβεν ἐκ φθόνου τοῦ πᾶσι μὲν ἀνθρώποις φθονοῦντος, μάλιστα δὲ χριστιανοῖς· κατὰ χριστιανῶν γὰρ μᾶλλον πρὸς φθόνον ἐξάπτεται ὁ διάβολος, διότι τούτους οἶδε πολεμιωτάτους αὐτῷ, διότι παρὰ χριστιανῶν ἐκ πάσης ἀπηλάθη τῆς εἰκουμένης, καὶ χριστιανοὶ μέχρι καὶ σήμερον τὴν δυναστείαν αὐτοῦ ταπεινοῦσι, καὶ ἣν κακῶς ᾠκοδόμησε τυραννίδα, ταύτην διὰ παντὸς καταλύουσι· διὰ ταῦτα μαίνεται κατὰ χριστιανῶν, διὰ ταῦτα παντοῖος γίνεται εἰς τὸ καθ᾿ ὅσον δύναται ἀντιλυπεῖν καὶ συμφοραῖς περιβάλλειν αὐτούς· ἧκε μὲν οὖν, ὡς εἶπον, ἐκ τῆς τοῦ διαβόλου κακίας τὰ δεινὰ ταῦτα καὶ πέρα δεινῶν· ἧκε δὲ καὶ ἐξ ἀνθρώπων, τοῦτο μὲν τῇ ἐκείνου κακίᾳ ὑπουργούντων, τοῦτο δὲ καὶ δυστυχούντων εἰς φρένας, καὶ τὴν ἐκλογὴν μᾶλλον τῶν κακῶν ποιουμένων· οἳ καὶ τὸν πρὸς σὲ ἀνήραντο πόλεμον, εἴτε τῷ πονηρῷ δαίμονι συνεργοῦντες, εἴτε διὰ φρενῶν δυστυχίαν τοῦτο βουληθέντες, καὶ τὴν σὴν γλυκεῖαν ψυχὴν οὕτω διατεθεικότες· ἐπεὶ καὶ πέφυκε πολλάκις καὶ μικρὸς σπινθὴρ ἄσβεστον φλόγα ἐξάπτειν, οὕτω καὶ τῶν ἀνθρώπων ἐκείνων ὁ ἐξ ἀφροσύνης ἐμπεσὼν σπινθὴρ εἰς τὴν σὴν καρδίαν ἀνῆψε τὴν μεγάλην ταύτην φλόγα, καὶ τέως ἄχρι τοῦ νῦν ἀκατάσβεστον.

Ἀλλὰ μὴ τέκνον μου ποθεινὸν, μὴ οὕτω νικήσωσι τὰ κακά· μὴ δὲ θεοφιλὴς ἄνθρωπος ὁποῖος εἶ σὺ, καὶ μὴ ἔχων ἐν φρονήσει παρισούμενον τῇ καθ᾿ ἑαυτῶν γενεᾷ, καὶ εἰς ψυχῆς εὐγένειαν ἀσύγκριτος, ἀνθρώπων χυδαίων, καὶ τί ἄλλο ἢ μὴ δὲ ὀβολοῦ ἀξίων, ἡττηθῇς τῆς κακίας, μὴ δ᾿ ὅτι ἐπίκραναν ἄνθρωποι τοιοῦτοι, διὰ τοῦτο βουληθῶμεν ἀθάνατον ἔχειν πικρίαν κατὰ τῆς ῥωμαϊκῆς ἐξουσίας, ἧς ἐπίστασαι πολλῶν καὶ μεγάλων εὐεργεσιῶν ἐν ἀπολαύσει γενόμενος· τί γὰρ πρὸς τὴν ῥωμαϊκὴν ἀρχὴν καὶ τὸν ὑποχείριον αὐτῆς λαὸν, εἰ ὁ δεῖνα καὶ ὁ δεῖνα λόγου μηδενὸς ἀνθρωπάρια εἰς τὸ κατὰ σοῦ ἐξηνέχθησαν θράσος; τί ταῦτα πρὸς τὸν βασιλέα τὸν μηδὲν συνειδότα, εἰ ἄνθρωποι τα

ἐκείνου πράγματα κακῶς διοικοῦντες, τὴν αὐτὴν γνώμην περὶ σοῦ ἀνελάβοντο; πλὴν ἐλυπήθης· ἔχεις ἱκανὴν τὴν δίκην κατὰ τῶν λυπησάντων, μᾶλλον δὲ πολὺ τοῦ ἱκανοῦ ὑπεραίρουσαν· ὅταν γάρ τις τὸν ἀδικῆσαι μελετήσαντα κατὰ τὸ ἴσον ὑποβάλῃ τῆς ζημίας, μὴ λίαν πικρὸς ὤν, ἔχει τὸ ἱκανόν· ὅταν δὲ καὶ εἰς τὸ ἀπειροπλάσιον, πῶς ἔχει χώραν ἔτι χαλεπαίνειν καὶ πλέον λυπεῖν βούλεσθαι τὸν λυπήσαντα; καὶ οὐ λέγω περί τινος τοῦ κατὰ σὲ ἡμέρου καὶ φιλανθρώπου, ἀλλ' οἷος ἂν ᾖ ἀφιλάνθρωπος καὶ ἀνήμερος παύσεται πάντως τῆς πικρίας, καὶ κατασβέσει τὸ πῦρ τοῦ θυμοῦ, καὶ σπείσεται πρὸς τὸν ἄρξαι χειρῶν ἀδίκων ἀπονοηθέντα· ναὶ δή, τέκνον ἡμῶν, λῆξον καὶ αὐτὸς τῆς ὀργῆς, καὶ πρὸς τὸ οἰκεῖον ἥμερον ἐπάνελθε, καὶ δὸς παῦσιν ταῖς ἀνθρωποφονίαις, καὶ ταῖς ἄλλαις συμφοραῖς, ὅσαι παρὰ χριστιανῶν εἰς χριστιανοὺς μέχρι τοῦ παρόντος γεγόνασι.

Λέγω σοι ταῦτα, τέκνον μου γλυκύτατον, νῦν μὲν διὰ μέλανος· εἰ δὲ Χριστὸς ὁ θεὸς ἡμῶν ἡ πάντα νοῦν ὑπερέχουσα εἰρήνη, διὰ τῆς αὐτοῦ παρακλήσεως τὴν σὴν ἐπὶ τούτῳ διαθήσει ψυχήν, ἵνα καὶ ἡμεῖς αὐτοὶ κατὰ πρόσωπόν σοι ἐμφανισθῶμεν, καὶ οἰκείᾳ γλώσσῃ ταῦτά τε καὶ εἴ τι ἕτερον ἐπιζητήσει τὰ πράγματα εἴπωμεν, ἕτοιμοι ἐσμὲν πρὸς σὲ ἥκειν, καὶ οὐ δειλιῶμεν τὸ γῆρας, οὔτε τὴν ἀσθένειαν, οὔτε τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν, ἂν μόνον πρὸς εἰρήνην ἐπινεύειν ἡ σὴ ἀγαπήσει ἀρετή· δήλου τοίνυν ἡμῖν, εἰ τοῦτο θεὸς ἐπὶ νοῦν σοι τέθεικε τὸ μέγα καὶ σωτήριον πρᾶγμα Ῥωμαίοις καὶ Βουλγάροις πρὸς τὸ αὐτὸν ἐμὲ παραγενέσθαι, καθ' ὃν ἂν δυνατόν ἐστι γενέσθαι τόπον, καὶ θεάσασθαί σε τὸ ἐμοὶ ποθεινότατον θέαμα, καὶ συλλαλῆσαι τὰ πρόσφορα καὶ συμφέροντα περὶ τῆς ἐν θεῷ ἀπό γε τοῦ νῦν εἰρήνης, καὶ τῆς κοινῆς καταστάσεως· δήλου δὲ διὰ τοῦ ἀποστεῖλαι τοὺς κατασχεθέντας ῥωμαϊκοὺς ἀποκρισιαρίους, καὶ τοῦ ἥκειν διὰ τῆς αὐτῶν γλώσσης σὺν τῷ γράμματί σου τὴν ἀπαγγελίαν τῆς φιλοθέου σου προαιρέσεως, ἵν' οὕτω μετὰ πληροφορίας ἑαυτοὺς ἐκδεδωκότες προθύμως, εἰ καὶ ὑπὲρ δύναμιν ἡμῶν τὸ πρᾶγμα πρὸς τοὺς πόνους τῆς πορείας, εἴτε πρὸς τὴν μεσημβρίαν,

ἢ ἄλλοθι οὗ ἂν ἀρέσῃ καταλάβωμεν· καὶ ὅσα συμφέρει Ῥωμαίοις καὶ Βουλγάροις εἰπεῖν καὶ ἀκοῦσαι, ῥηθήσεται, δι' ὧν λήξει μὲν τὰ τοῦ πολέμου, βραβευθήσεται δὲ εἰρήνη· ἐφ' ᾗ δοξασθήσεται ὁ Θεὸς, καταισχυνθήσεται δὲ διάβολος καὶ οἱ τούτῳ ἐξυπηρετησάμενοι· μεγαλυνθήσεται δὲ καὶ τὸ σὸν ὄνομα ἔν τε τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μέλλοντι· καὶ βιώσουσιν ἐν ἀναπαύσει καὶ ἀπαλλαγῇ τῶν κακῶν ὅ τε ὑπὸ τὴν σὴν χεῖρα δεδομένος λαὸς, καὶ οἱ τελοῦντες ὑπὸ τὴν βασιλείαν· ἥ τις σὺν Θεῷ καὶ διδάσκαλός σοι καὶ ὁδηγὸς καὶ πρὸς σωτηρίαν ἐγένετο, καὶ τῶν ἀρχαίων ἐθῶν ἀναλαβομένη, πρὸς τὰ πολλῷ κρείττονα καὶ ὑπερέχοντα μετέστησε, καὶ τοῦ δοξάζεσθαι, καὶ σεμνύνεσθαι, καὶ οὕτως τοῦ Χριστοῦ ἀρχικὴ μοῖρα γνωρίζεσθαι τὰς ἀφορμὰς ἐμπαρέσχετο.

XV. ΤΩ ΑΥΤΩ.

Τὰ γράμματά σου, θεοτίμητε ἡμῶν υἱὲ, δεξάμενοι χαρᾶς ἀληθοῦς καὶ πνευματικῆς ἐπλήσθημεν ἡδονῆς, καὶ ἐπηυξάμεθα, εἰ καὶ ἁμαρτωλο[ί], ἀνθ' ὧν οὕτω πρόθυμος ἐγένου εἰς πρόσωπον ἐλθεῖν τῆς ἐμῆς ταπεινότητος, ἀξιωθῆναί σε τοῦ προσώπου θεατὴν γενέσθαι μετ' εὐπαῤῥησιάστου συνειδήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅταν ἐρῇ τοῖς ἀξίοις τῆς μακαρίας ἐκείνης φωνῆς, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· τοῦτο μὲν ηὐξάμεθά σοι καὶ εὐχόμεθα, διότι ἐμφανισθῆναι αὐτίκα τῇ δηλώσει τῷ ἡμερέρῳ προεθυμήθης προσώπῳ· παράσχοι δὲ ὁ αὐτὸς κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ἡ ἀγάπη, ἡ ἀλήθεια, ἡ σωτηρία ἡμῶν, καὶ ἔτι μᾶλλον προσεύξασθαι ὑμῖν διὰ βίου παντὸς ὅσαι τῆς ταπεινῆς ζωῆς ἡμῶν αἱ βραχεῖαι ἡμέραι, ὑπὲρ ὧν καὶ ἔτι πρόθυμος κατανεύειν ὀφθήσῃ τοῖς ἡμετέροις λόγοις, οὓς ἥκοντες πρὸς σὲ φθεγξόμεθα σὺν Θεῷ τῷ διδόντι λόγον συνέσεως ὑπὲρ τῆς κοινῆς εὐζωΐας καὶ ἀναπαύσεως τοῦ Βουλγάρων καὶ Ῥωμαίων γένους· ἀλλ' οὕτω μὲν ἡ ἀρχὴ τοῦ γράμματος.

τέκνον ἡμῶν, ἐξ ἱερᾶς ἀπάρχεται ἡμῖν εὐχῆς· ὑπὲρ δὲ τῶν λοιπῶν, καὶ ἃ μεταξὺ τοῦ γράμματος ἐνεφέρετο, χάριν τοῦ μὴ ὀχληροὶ γενέσθαι τῷ μήκει τῶν λόγων, μάλιστα ὅτι ἐλπίζομεν θεοῦ βουλομένου στόμα πρὸς στόμα λαλῆσαι, περιττὸν ἡγησάμεθα γράφειν.

Ἐκεῖνο δὲ μόνον ὡς ἀναγκαῖον γράφομεν, ἠγαπημένε μου υἱὲ καὶ δεδοξασμένε, ὡς καὶ τὸ γῆρας ὀπίσω ῥίπτομεν, καὶ τὸ ἀσθενὲς παρῶμεν τῆς φύσεως, καὶ τὰ ἐκ τῆς ὁδοῦ ἐπίπονα καὶ λυπηρὰ, καὶ τὴν ὅλην ταλαιπωρίαν οὐχ ὑπολογιζόμεθα, ἐὰν μόνον πληροφορίαν παράσχῃς ἡμῖν, ὅτι παρακέκληται ἡ σὴ τιμία ψυχὴ μὴ ἀτιμάσαι τὸν κόπον ἡμῶν, μὴ δὲ τὴν πρεσβείαν ἣν ποιῆσαι πρὸς σὲ, τέκνον ἡμῶν, γηραιὸς πατὴρ καὶ συντετριμμένος, ἀνήκοον ἀποστρέψῃς καὶ παραλελογισμένην· ποιήσομαι δὲ πάντως πρεσβείαν καὶ σοὶ τέκνον ἡμῶν ἐπωφελῆ, καὶ τοῖς Ῥωμαίοις οὐ παντάπασιν ἐπιβαρῆ καὶ ἀφόρητον· εἰ οὖν, ὡς εἶπον, πάντως οὕτως παρακέκλησαι, πρῶτον μὲν ὑπὸ τοῦ θεοῦ, δεύτερον δὲ ὑπὸ τῆς σῆς ἐμφρονεστάτης διασκέψεως, καὶ τρίτον εἴ τις σοι λόγος καὶ τῆς ἡμῶν ταπεινότητος, ὑπὸ τῆς ἡμετέρας δεήσεως· ἐλεύσομαι πρὸς σὲ καὶ ψυχῇ πτερούμενος καὶ τῷ σώματι, τῶν βαρυνόντων πάντων τὴν ἐμὴν ζωὴν καὶ τὸ γῆρας, ἐπιλελησμένος.

Εἰ δ' ὅπερ ἀπευχόμεθα, ἔτι κἀκεῖνα τὰ προλαβόντα σκάνδαλα, ἀλλὰ μὴ συγχωρήσῃ θεὸς, ἐν τῇ σῇ διαμένουσι ψυχῇ, καὶ αἱ βουλαὶ καὶ σκέψεις αἳ ἀθλίους εἰργάσαντο Ῥωμαίους καὶ Βουλγάρους, καὶ ἔτι περὶ τῆς ῥωμαϊκῆς βασιλείας τοὺς ἀρχαίους ἐν σεαυτῷ λογισμοὺς φέρεις, αὐτόν σοι προβάλλομαι μεσίτην, αὐτὸν ἄγγελον τὸν τῆς βουλῆς τοῦ θεοῦ καὶ πατρὸς, ἣν τοῖς ὑπὸ τοῦ ἀνθρωποκτόνου δαίμονος ἐκπολεμωμένοις ἀπ' ἀρχῆς ἤγγειλε, καὶ τῇ φιλανθρώπῳ ἀγγελίᾳ ἔπαυσε μὲν τὸν αἰώνιον πόλεμον, ἐξεῖλε δὲ τὸ τῆς ἔχθρας μεσότοιχον, καὶ εἰς ἑνότητα καὶ εἰρήνην συνήγαγε τὸ ἀνθρώπινον· ἀλλ' αὐτόν σοι προβάλλομαι εἰς δυσώπησιν τὸν κύριον τῶν κυρίων, τὸν βασιλέα τῶν βασιλευόντων, καὶ ἐξουσιάζοντα πάσης ἐξουσίας, φανερὰν ἡμῖν τὴν σὴν ποιῆσαι προαίρεσιν, δι' ὧν ἀντιπέμψεις γραμμάτων· ὥστε με μήτε κόπον ὑπομεῖναι διακενῆς, μήτε παραγεγονότα ματαίους

φθέγξασθαι λόγους, εἰς αἰσχύνην μὲν τῆς ἐμῆς, εἰς γέλωτα δὲ τῶν πολλάκις φιλούντων κατακερτομεῖν καὶ γελᾷν τὰ ἡμέτερα· οἶδας δὲ φρόνιμος ὢν θεοῦ χάριτι, ὡς πολλοὶ τῶν ἀνθρώπων, οἴμοι τῆς ἀνθρωπίνης ἐλεεινότητος, τοιαύτης ὑπάρχουσι διαθέσεως· τυχὸν δὲ καὶ εἰς κατάκριμα τῆς σῆς τιμιωτάτης ψυχῆς· τὸ γὰρ μάτην κενῶσαι ἄνθρωπον γέροντα, ἐξησθενημένον, ἀρχιερέα εἰ καὶ ἀνάξιον, καὶ μέχρι τοῦ σοῦ προσώπου τοῦτον ἀγαγεῖν, εἶτα διακενῆς ἀποστρέψαι μάταιον ὑπομεμενηκότα πόνον καὶ κάματον, γέλωτα δεδειγμένον τοῖς προαίρεσιν ἔχουσι καταγελᾷν ἡμῶν, σκέψαι, τέκνον μου ἠγαπημένον, μὴ οὐκ ἔστιν ἀκατάκριτον τῇ σῇ φιλοθέῳ ψυχῇ· τὰ δ᾽ ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ νῦν μὲν ἀπὸ πάσης κακώσεως ὁρωμένης τε καὶ ἀοράτου ὑψηλότερον συντηρῶν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἑαυτοῦ ἀναπαύσεως καὶ δόξης τὴν κοινωνίαν παρεχόμενος.

XVI. ΤΩ ΑΥΤΩ.

Πάλιν ἐπὶ τὸ γράφειν, υἱέ μου θεοφρούρητε, ἀναγκαίως κεκίνημαι, τοῦτο μὲν ὑπὸ τῶν ἀλγηδόνων καθεκάστην νυττόμενος τὴν ψυχὴν, αἳ διὰ τὰ κοινὰ πάθη καὶ τὰς συμφορὰς Ῥωμαίων καὶ Βουλγάρων συνέχουσιν ἡμᾶς, τοῦτο δὲ καὶ διὰ τὴν ἐκεῖθεν φοβερὰν τιμωρίαν, ἐὰν ἐπὶ τοσούτοις κακοῖς σιγῶντες διατελέσωμεν· σκοποὶ γὰρ τεθέντες, εἰ καὶ ἀνάξιοι, τῆς τῶν ἀνθρώπων σωτηρίας, οὐ δυνάμεθα σιωπᾷν, ἵνα μὴ τὸ αἷμα τῆς σφαγῆς Ῥωμαίων καὶ Βουλγάρων ἐξ ἡμῶν ἀπαιτήσῃ ὁ κρίμασιν οἷς οἶδε θεὸς σκοπὸν καταστήσας ἡμᾶς· διὰ τοῦτο εἰ καὶ πλειστάκις γράψαντες παρελογίσθημεν, ὅμως καὶ νῦν γράφομεν, δεόμενοι τοῦ θεοῦ τοῦ πάντων αἰτίου τῶν ἀγαθῶν, κἂν ἐν τῷ παρόντι προσχεῖν σοι δοῦναι τῷ λόγῳ ἡμῶν, ἀλλὰ μὴ ῥίψαι τοῦτον εἰς παραλογισμὸν, οἷα ἐπὶ τῶν προλαβόντων συμβέβηκε· γράφω δὲ, τέκνον ἡμῶν, οὐχ᾽ οἷα πρότερον μόνον περὶ εἰρήνης σε δυσωπῶν, ἀλλ᾽ ἑτερόν τινα τρόπον ἀγωνιῶν καὶ πενθῶν ὑπὲρ τῶν μελλόντων κινεῖσθαι κακῶν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων· πάλιν γὰρ,

οἴμοι τῆς ἐπηρείας τοῦ πονηροῦ δαίμονος, στρατευμάτων παρασκευὴ καὶ πανταχόθεν συλλογὴ καὶ κίνησις μυριάνθρωπος, οἵαν οὐ δύναμαι παραστῆσαι τῷ λόγῳ· καὶ διὰ τοῦτο στενάζω καὶ ὀδύρομαι προβλέπων καὶ κατανοῶν, ὅσα ἐκ τῆς τοιαύτης κινήσεως τῶν στρατοπέδων μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων συμβήσεται χαλεπὰ, ὧν πάντως ἡ σύμβασις κοινὴ χριστιανοῖς συμφορὰ, καὶ πικρὸν ἄλγος Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ περιποιησαμένῳ ἑαυτῷ εἰς κληρονομίαν τὸ τῶν χριστιανῶν γένος διὰ τοῦ αἵματος τῆς ἁγίας πλευρᾶς αὐτοῦ· εἴτε γὰρ τὸ Βουλγάρων ἔθνος ἀπολωλέναι γένοιτο, τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν περιγίνεται τὸ ἀλγεῖν· εἴτε ὁ ῥωμαϊκὸς λαὸς οἷα τὰ τοῦ πολέμου πράγματα εἰς ὄλεθρον περιστῇ, καὶ οὕτως ἡ πάντων κεφαλὴ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐπὶ τούτοις ὀδυνώμενος ἔσται· εἶτα οἱ τῶν τοσούτων αἴτιοι συμφορῶν, τίνα ἕξουσι προσδοκίαν; ποίαν καὶ ἐν τῷ παρόντι βίῳ ζωὴν διανύσουσιν, εἴ γε τὸ ζῆν αὐτοῖς περιέσται; καὶ ἐν τῷ μέλλοντι βίῳ πορευόμενοι, μετὰ ποίας ἐλπίδος ἐκεῖ πορεύσονται; πῶς τῷ προσώπῳ τοῦ Θεοῦ παραστήσονται; πῶς τὴν ἐκδεχομένην ὑπομενοῦσιν αὐτοὺς τιμωρίαν; τίνα εὑρήσουσιν ἀπολογίαν; τίνα πρόφασιν προβαλοῦνται τῆς τοσαύτης τῶν χριστιανῶν ἀπωλείας;

Ταῦτά με συνέχει, τέκνον ἐμὸν, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί· διὰ ταῦτα σπαράσσομαι τὴν ψυχὴν, καὶ σιγᾶν μὴ δυνάμενος τὸ γράμμα σοι διαπέμπομαι· ἀναλόγισαι, υἱέ μου ἄξια ποιῶν τῆς σῆς μεγάλης συνέσεως, τὰς χύσεις τῶν αἱμάτων Ῥωμαίων καὶ Βουλγάρων, αἳ τὴν γῆν ἐμόλυναν, ὅτε ὁ παγχάλεπος ἐκεῖνος συνέστη πόλεμος μεταξὺ τῶν γενῶν ἑκατέρων· ἐνθυμήθητι ὅση τότε συμφορὰ Βουλγάροις καὶ Ῥωμαίοις ἀπήντησεν, καὶ μὴ βουληθῇς ἔτι τοιαύτην ἡμέραν ἀποτρόπαιον ἐπιδεῖν· μὴ τοῦτό σε δόξῃ ἐπαίρειν ὅτι Βούλγαροι μὲν εἰ καὶ πλεῖστοι μαχαίρας ἔργον γεγόνασιν, ὅμως ὑπερεγένοντο, Ῥωμαῖοι δὲ τὴν ἧτταν καὶ τὸ ἔλαττον ἀπηνέγκαντο· οὐ γὰρ ἀεὶ τοῦ πολέμου τεταγμένα τὰ ἔργα, ἀλλ' ἔχουσιν ἄδηλον τὴν ῥοπὴν, καὶ πολλὰς τὰς ἐφ' ἑκάτερα μεταβολάς· μὴ πάλιν οἴου τὴν νίκην μετὰ σοῦ γενέσθαι, ἀλλ' ἄν-

θρωπος ὢν σκόπει καὶ τὰ ἀνθρώπινα· διότι πολλοὶ ἑστῶτες ὡς ἐνόμιζον ἐπ᾽ ἀσφαλείας, ἔπεσον πτῶμα ἐξαίσιον, καὶ πολλοὶ κείμενοι ἀνορθώθησαν· πολλοὶ νενικηκότες καὶ δόξαντες εἶναι ἀκαταμάχητοι, αὖθις ἡττηθέντες ἀπώλοντο· οἶδα ὅτι καὶ χωρὶς τῶν ἐμῶν λόγων, τέλειος ἐν φρονήσει τυγχάνων, ταῦτα γινώσκεις· πλὴν καὶ ἡμεῖς γράφομεν οὐκ ἔξω γράφοντες τοῦ εἰκότος· δός μοι τέκνον ἐμὸν τὴν σὴν εὐσύνετον ἀκοὴν, μᾶλλον δὲ πρὸ τῆς ἀκοῆς τὴν σὴν φρονίμην καὶ φιλτάτην ἐμοὶ ψυχήν· δώσεις δὲ προσέχων τοῖς ἐμοῖς ῥήμασιν, ἀκούων λόγους πατρὸς, καὶ πατρικῶς συμβουλεύοντος καὶ συμφερόντως, ὥς γε πεποίθαμεν ἐν Θεῷ, καὶ πρὸς σὴν δόξαν καὶ ἐν τῇ παρούσῃ ζωῇ καὶ ἐν τῇ μελλούσῃ, ἐν ᾗ μάλιστα ἡ δόξα ἐπέραστος τοῖς ὄντως ἐπιποθοῦσι τοῦ δοξάζεσθαι· μὴ βουληθῇς τὴν συγκίνησιν τῶν νῦν στρατευμάτων εἰς παράταξίν σοι καθισταμένην ἰδεῖν, μὴ δὲ πάλιν πολυάνθρωπον σφαγὴν Ῥωμαίων καὶ Βουλγάρων γενέσθαι, μὴ δ᾽ ὥσπερ ἀνακαινισμὸν ἰδεῖν ἐκείνου τοῦ πολέμου τῶν συμφορῶν, μή ποτε πρὸς μεταμέλειαν καταστῶμεν, ὅ τε τυχὸν ἐξ αὐτῆς οὐδὲν ἀπαντήσεται ὄφελος.

Φρονίμων ἀνθρώπων ἐστὶ, καὶ μάλιστα ὁποῖος αὐτὸς εἶ, προορᾷν καὶ προασφαλίζεσθαι τῶν κακῶν τὴν ἐπέλευσιν, ἀλλὰ μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς ὥσπερ μύουσιν ὀφθαλμοῖς εἰς τὴν πεῖραν αὐτῶν· δόξης ἐπιθυμεῖς, τέκνον ἐμὸν, πλούτου καὶ λαμπροῦ ὀνόματος; ἔξεστί σοι πειθομένῳ τοῖς ἡμετέροις λόγοις μὴ τῆς ἐπιθυμίας ἀποτυχεῖν· καὶ πρόσχες οἷς λέγομεν· κρίμασιν οἷς ἐξεπίσταται ὁ Θεὸς, εἰς τὸν θρόνον τῆς βασιλείας ἐνίδρυσεν, ὥς γε καὶ αὐτὸς οἶμαι διέγνως, τὸν κύριν Ῥωμανόν· συνάφθητι κατ᾽ ἐπιγαμίαν αὐτῷ, εἴτε πρὸς ἄρσενα παῖδα ἐκείνου θυγατέρα προσαρμόζων, εἴτε πρὸς τὴν θυγατέρα ἐκείνου υἱὸν εἰς νυμφίον δεχόμενος· καὶ τούτου γινομένου οὐδενὸς ἀποτεύξῃ τῶν καταθυμίων, ὅσα πρὸς δόξαν τὴν πρέπουσαν, καὶ πρὸς τὴν σὴν ἀπόλαυσιν ἀφορᾷ, καὶ παντὶ τῷ Βουλγάρων γένει καὶ ὑπὸ σὲ τελοῦντι λαῷ· ἐπεζήτεις πρὸ τούτου κηδεῦσαι βασιλεῖ, καὶ τὴν σὴν ἐξαίτησιν παρὰ φαῦλον ἐποιήσαντο οἷς ἔδοξε τοῦτο ποιεῖν· νῦν

ἔξεστί σοι τῇ τοιαύτῃ κηδείᾳ σεμνύνεσθαι· ἐπεθύμεις συγκηδεστὴς γενέσθαι Ῥωμαίων βασιλέως, νῦν τοῦτό σοι φέρων χαρίζεται ὁ καιρός· καὶ μηδέν σοι δόξῃ ἐναντίον τὸ νεωστὶ τοῦτον πρὸς τὸ ὕψος τῆς βασιλείας ἀναδραμεῖν, ἀλλὰ μᾶλλον ἐκεῖνο κατανοῶν διὰ τῶν πραγμάτων, ὅτι ὥσπερ χειραγωγούμενος ὑπὸ θεοῦ, εὐκόλως οὕτως καὶ ὡς οὐδεὶς ἄλλος σχεδὸν εἰπεῖν ἐπὶ τὸ βασιλεύειν κατέστη· προθυμότερος γενοῦ πρὸς τὴν τοιαύτην τοῦ γένους συνάφειαν· γεγόνασι πολλοὶ βασιλεῖς, ἀλλ᾽ ἔσχον τινὰ παρακολουθοῦντα τῆς βασιλείας ἀνάξια, οὗτος δὲ καθὼς ἔφην ὥσπερ ὑπὸ τοῦ θεοῦ χειραγωγηθεὶς ἐπὶ τὴν τοιαύτην ἦλθεν ἀρχήν.

Εἰ δέ μοι καὶ τῆς ἐκκλησίας τὴν κατάστασιν εἰς ἐνθύμησιν ἀναλαβεῖν βουληθῇς, πλέον γνώσῃ τὴν ἐπὶ τῷ ἀνδρὶ τοῦ θεοῦ εὐδοκίαν· οἶδε γάρ σου ἡ τελειότης ὅσον πόνον ὁ κύρις Λέων ὑπέστη ὁ βασιλεὺς, εἶτα καὶ οἱ ἐξ ἐκείνου τὰ κοινὰ πράγματα διοικήσαντες, ἀλλ᾽ οὐκ εἶδον τέλος τῆς ἑαυτῶν σπουδῆς, ὅτι μὴ δ᾽ ἦν ὡς ἔοικε βούλημα τοῦ θεοῦ· τούτου δὲ καταστάντος ἐπὶ τῶν κοινῶν πραγμάτων τῆς διοικήσεως, ἐλύθη μὲν ἐκεῖνα τὰ πολυχρόνια σκάνδαλα, καὶ ὁ τῆς ἐκκλησίας πολὺς κλύδων καὶ τάραχος, καὶ ἀντὶ τούτων ἐν γαλήνῃ καὶ εἰρήνῃ τὰ τῆς ἐκκλησίας ὁρᾶται, καὶ οἱ μαχόμενοι διεστῶτες τῇ τοῦ ἁγίου πνεύματος χάριτι συνῆλθον πρὸς ἕνωσιν· πόθεν ἑτέρωθεν, ἢ πάντως τῆς θείας ἡμῖν συναραμένης προνοίας, καὶ τοῦτο ἐν ταῖς ἡμέραις ταύταις εὐδοκησάσης καταπραχθῆναι; ταῦτα προσεθείκαμεν, ἵνα καὶ αὐτὸς εἰδῇς ὅτι μὴ ἀθεεὶ ἐγκεχείρισται τὰ σκῆπτρα τῆς βασιλείας, καὶ ἵνα τοῦτο εἰδὼς, ἣν ἐξ ἀρχῆς εἶχες ἐπὶ τὸ κηδεῦσαι τῷ βασιλεῖ τῶν Ῥωμαίων ἔφεσιν, νῦν εἰ βούλοιο τελειουμένην ἔξῃς, καὶ καταστῇς ἀληθῶς εἰς ἕνωσιν τῇ ῥωμαϊκῇ βασιλείᾳ· καὶ διὰ τῆς τοιαύτης ἑνώσεως, πάντα μὲν τὰ χαλεπὰ, πάντα δὲ τὰ ὀδυνηρὰ Ῥωμαίων καὶ Βουλγάρων ἐκποδὼν γένηται· πᾶσα δὲ ἄνεσις καὶ ἀπόλαυσις, καὶ ὅση τὸν βίον τοῦτον ἡδονὴ φαιδρύνει, ἀμφοτέροις τοῖς γένεσιν ἐπιδαψιλευθήσεται· καὶ γὰρ τῶν τέκνων ὑμῶν εἰς γάμον συναπτομένων, πεποίθησιν ἔχομεν πρὸς τὸν θεὸν, ὡς πᾶν εἴ τι καλὸν καὶ ἡδὺ καταλήψεται ὑμᾶς, εἴ τι δὲ ἐναντίον καὶ

ἀνιαρὸν διαφεύξεται, μηκέτι χώραν ἔχοντος τοῦ πονηροῦ δαίμονος, ἢ τῶν μιμουμένων τὴν ἐκείνου πονηρίαν ἀνθρώπων, τὰ οἰκεῖα πράττειν καὶ ἐνεργεῖν.

XVII. ΤΩ ΑΥΤΩ.

Εἰ καὶ πολλάκις ἐγράψαμεν τὰς κοινὰς ἀποδυρόμενοι συμφοράς, ὅσαι Βουλγάρους καὶ Ῥωμαίους συνέχουσιν, υἱέ μου ἠγαπημένε καὶ μεγαλόδοξε, εἰ καὶ πολλάκις ἐδυσωπήσαμεν, καὶ συχνὰς προσηνέγκαμεν παρακλήσεις, καὶ προσελθεῖν τῷ ὠτίῳ σου οὐκ ἐξεγένετο τοῖς λόγοις ἡμῶν· ἀλλὰ χαμαὶ τούτους ἀπέῤῥιψας, καὶ οὔτε ταπεινοῦ καὶ ἁμαρτωλοῦ πατρὸς ἐδυσώπησέ σε τὸ γῆρας, οὔτε ἀρχαία φιλία, οὔτε τὸ τῆς ἱερωσύνης αἰδέσιμον, ἣν εἰ καὶ ἀνάξιοι κατηξιώθημεν φέρειν, οὔτε τὸ πάντων ἀναγκαιότατον αὐτὸ τὸ πρᾶγμα ὑπὲρ οὗ πρεσβεύομεν, ὑπὲρ ἀγάπης, ὑπὲρ εἰρήνης, ὑπὲρ ἀνακοπῆς αἱμάτων χριστιανικῶν λύσεως καὶ σφαγῆς· καὶ τοι, τέκνον ἡμῶν, μετὰ τῆς ἄλλης σου ἀρετῆς, καὶ τὰ θεῖα λόγια μελετῶν οὐκ ἀγνοεῖς, ἃ πρὸς τοὺς μαθητὰς ὁ κύριος ἔλεγεν· ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ, ὧν ἡ διαδοχὴ ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν εἰς ἡμᾶς κατέβη τοὺς ἀχρείους, οἷς κρίμασιν ἐπίσταται ὁ θεός· ἀλλὰ γὰρ εἰ καὶ πλειστάκις ὑπὲρ οὕτω μεγάλου πράγματος καὶ σωτηριώδους Ῥωμαίοις τε καὶ Βουλγάροις εἰς κενὸν ἐδυσώπησα, τί ποιήσω; πάλιν ἀναγκάζομαι δυσωπεῖν, ἐπεὶ ἐτέθην εἰς τοιαύτην τάξιν τοῦ μεσίτης εἰρήνης εἶναι, τοῦ πάσῃ δυνάμει τοὺς διεστῶτας συνάπτειν, τοῦ σκοπεῖν τὰ σκάνδαλα τοῦ ἐχθροῦ καὶ τὰς ἐπιβουλάς, καὶ ἀπαγγέλλειν τοῖς ἐπιβουλευομένοις τὴν ἐκ τούτων προσγινομένην βλάβην.

Οὐαὶ γάρ μοι ἐστὶν ἐὰν μὴ οὕτω φρονῶ, ἐὰν μὴ τοῦτο πράττω, ἐὰν μὴ φέρω ταύτην τὴν διηνεκῆ σπουδήν· φρίττω τὴν ἀπειλήν, ἣν ἠπείλησεν ὁ θεὸς καὶ πλάστης τοῖς ὑπ᾽ αὐτοῦ τεθειμένοις εἰς τὴν ὑψηλὴν ταύτην σκοπιάν, καὶ τῷ ὕψει ἀνάλογον ἐχούσῃ τὸν κίνδυνον· δοκῶ μοι, τέκνον μου εὐσεβέστατον, κἂν τέως τῷ ἐπικήρῳ τούτῳ βίῳ συναναστρέφομαι, τῷ ἐκεῖθεν παρ-

ἵστασθαι κριτηρίῳ, καὶ τοὺς λόγους ἐξαπαιτεῖσθαι τῆς διακονίας ἣν διακονεῖν προσετάχθημεν· καὶ τὴν φοβερὰν ἐκείνην καταδίκην τρέμω καὶ ἀπαραίτητον, ἥ τις ἐκδέχεται τοὺς ῥαθυμότερον πρὸς τὴν εἰρήνην συνάγοντας τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, τοὺς ὑπὸ τοῦ πονηροῦ δαίμονος εἰς τὸ ἐχθραίνειν ἀπενεχθέντας· διὰ τοῦτο καὶ νῦν ὀδυρόμενος γράφω, διὰ τοῦτο πάλιν τῆς πρὸς σὲ δεήσεως ἐπιλαμβάνομαι· καὶ γὰρ οἴμοι τὰ μέλλοντα πάλιν χριστιανοῖς ἀπαντᾷν μικροῦ τοῖς ὀφθαλμοῖς θεωρῶ, καὶ συγκέχυμαι ὅλος ὑπὸ τοῦ ἀπευκταίου ἐκείνου θεάματος καὶ τῶν σκυθρωπῶν πραγμάτων, ἃ εὔχομαι πρὶν ἰδεῖν, τῆς παρούσης ζωῆς ἐξελθεῖν· καὶ γὰρ καὶ τὸ ἑνὸς ἀνθρώπου μόνου σφαγὴν ἰδεῖν, ὅς τις ἂν ᾖ ὁ ὑποπίπτων τῇ σφαγῇ, ἐλεεινὸν θέαμα· πῶς γὰρ οὐκ ἐλεεινὸν ἄνθρωπος ὑπ' ἀνθρώπου σφαζόμενος τοῦ τῆς αὐτῆς μετέχοντος πλάσεως, τοῦ τελοῦντος ὑπὸ αὐτὴν φύσιν, τοῦ ἐκ τοῦ αὐτοῦ πηλοῦ γεγονότος, τοῦ τὸν αὐτὸν κεκτημένου πλάστην καὶ χορηγὸν τῆς παρούσης ζωῆς, καὶ συνάγοντα πάλιν ὅταν ἐκείνῳ δοκῇ ἐξ ἴσου τὸ πλάσμα πρὸς τὴν ἐκεῖθεν ζωήν; ὅταν δὲ οἱ σφάζοντες καὶ σφαζόμενοι, οὐ μόνον καθ' ὃν εἴπομεν λόγον ἔχουσι κοινωνίαν, ἀλλὰ καὶ πατέρες τυγχάνουσι καὶ τέκνα καὶ ἀδελφοί, ναὶ δὴ καὶ κληρονομία τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, τοῦ τὸ αἷμα τῆς ἁγίας αὐτοῦ πλευρᾶς τὸ ἀσύγκριτον τοῦτο τίμημα δεδωκότος, ἵνα ἡμᾶς ἐξωνήσηται καὶ κλῆρον οἰκεῖον ἀποδείξῃ, ὅταν οὗτοι κατ' ἀλλήλων ὁπλίζωνται, ὅταν τὴν γῆν καὶ τὰς χεῖρας μιαίνωσι ταῖς σφαγαῖς, τί ἄν τις εἴποι; ποῖος Ἱερεμίας θρηνήσει τὰ τοιαῦτα πάθη; ποῖα ἐξισωθήσεται δάκρυα τῇ οὕτω χαλεπῇ συμφορᾷ;

Ταῦτα καὶ πάλιν φημὶ κινεῖ με πρὸς τὸ γράφειν καὶ δυσωπεῖν, ὅτι σπαράσσομαι τὴν ψυχὴν τῶν ἐσομένων πραγμάτων ἐνθυμούμενος τὴν ἀπάντησιν· καὶ οὐ δύναμαι σιωπᾶν, οὐδ' ἐν ἠρεμίᾳ διατελεῖν· πάλιν γὰρ στρατοπέδων συγκίνησις, καὶ πανταχόθεν ἐκστρατεία, καὶ λαοῦ ἀναριθμήτου συνέλευσις· οὓς οὐκ οἶδα ποία ὑποδέξεται χώρα, ἢ τίς χωρήσει τόπος εἰς ἓν συνεληλυθότας· εἶτα ἐπὶ πᾶσι τούτοις, οὐδεὶς ἄλλος ὁ στρατηγῶν οὐκ

ἐξηγούμενος τοῦ τοσούτου πλήθους, ἀλλ' αὐτὸς ὁ βασιλεὺς μετὰ πάσης τῆς ἑαυτοῦ δορυφορίας· αὐτὸς γὰρ στρατηγὸς τοῦ πολέμου, αὐτὸς ἐξηγεῖται τῶν στρατοπέδων, αὐτὸς ἀναλαμβάνει τὰ ὅπλα καὶ συστρατιώτης ἅμα καὶ συναγωνιστὴς καὶ ἀγωνοθέτης καθίσταται· τοιαύτης οὖν γιγνομένης τῆς παρασκευῆς, τοιαύτης τῆς συγκινήσεως, οὕτω μυριολέκτου στρατιᾶς ἀφορμώσης, τί δεῖ λογίζεσθαι ἡμᾶς; ποταπὴν ἔχειν τὴν ψυχήν; οἶδα μὲν οὖν, τέκνον ἡμῶν, ὡς καὶ ἡ σὴ ἐπίσταται σύνεσις, ὅτι οὐκ ἔστιν ὡρισμένος ὁ πόλεμος, οὐδ' ἐπίδηλόν ἐστι μεθ' ὧν ἡ νίκη γενήσεται, ἀλλ' ἐν ἀδήλοις κεῖται τὸ τέλος· ἀλλὰ τοῦτο οὐκ ἄδηλον κἄν τε ὑπὸ ῥωμαϊκῆς μαχαίρας τὸ βουλγαρικὸν ἀναλωθήσεται, κἄν τε ὑπὸ τῆς τῶν Βουλγάρων Ῥωμαῖοι κατατμηθήσονται, χριστιανικὰ αἵματα ὑπὸ χριστιανῶν χέεται, καὶ γῆ τοῖς χριστιανῶν αἵμασι μολύνεται, καὶ ὁ Χριστὸς καὶ θεὸς ἡμῶν, οὗ λαὸς ὑμεῖς τε καὶ οὗτοι περιούσιος καὶ τέκνα καὶ κληρονομία, ἐπὶ τῇ τῶν σφαζομένων ὀδυνήσεται ἀπωλείᾳ· ἢ οὐ τοῦτο νομίζεις ὅτι μεγίστη ὀδύνη τῷ Χριστῷ καὶ θεῷ ἡμῶν, ἄν τε Βούλγαροι ἄν τε Ῥωμαῖοι ἔργον μαχαίρας γενήσωνται; καὶ τίς ὅλως εἰς ἄγνοιαν τούτου καθίσταται; τίς οὐχὶ συνομολογήσει τὴν κατ' ἀλλήλων ἐπανάστασιν τῶν χριστιανῶν διὰ μέσον τῶν φιλανθρώπων σπλάγχνων τοῦ σωτῆρος ἡμῶν τὴν πληγὴν διελαύνειν;

Λάβωμεν εἰκόνα πατρὸς πολυπαιδίᾳ χαίροντος, εἶτα ἐξαίφνης τῆς κατ' ἀλλήλων τῶν παίδων ἐπαναστάσεως· πῶς οὕτω διακεῖται, ὅταν ἀντὶ τοῦ εἰρηνεύειν, ἀντὶ τοῦ ὁμονοεῖν τὰ ἑαυτοῦ τέκνα, βλέπῃ ἔχθραν ἀλλαξαμένους, καὶ κατὰ τῆς ἀλλήλων σφαγῆς τὰ ἑαυτῶν ξίφη βάπτοντας; οὐ μεταβαλεῖ τὴν χαρὰν εἰς θρήνους; οὐχὶ κοπητὸν μὴ δυνάμενον ῥηθῆναι λόγῳ ποιήσεται; οὐ χανεῖν ἑαυτῷ τὴν γῆν εὔξεται μᾶλλον, ἢ βλέπειν τὸν ἥλιον; εἶτα πατέρες μὲν, οἱ μηδένα κόπον εἰς τὴν ἡμῶν κατεβάλοντο γένεσιν, ἃ εἶπον, ἐξ ἀνάγκης ὀφθήσονται πάσχοντες, ὅταν ὁρῶσι τὰ τέκνα πόλεμον πρὸς ἀλλήλους ἀραμένους, ὁ δὲ Χριστὸς καὶ θεὸς ἡμῶν, ὃς ἵνα κτήσηται ἡμᾶς ἵνα υἱοποιήσῃ, τῶν πατρικῶν ἑαυτὸν ἐκένωσε κόλπων, καὶ σαρκὸς μετέσχε καὶ αἵματος παραπλησίως

ἡμῖν, καὶ σταυρὸν ὑπέστη καὶ θάνατον, ἵνα υἱοὺς ἀπεργάσηται, ὁρῶν τὰ οἰκεῖα τέκνα, Βουλγάρους φημὶ καὶ Ῥωμαίους, οὕτω κατ' ἀλλήλων ἐκμεμηνότας, καὶ ἐπιλελησμένους μὲν τοῦ τοιούτου πατρὸς καὶ τῆς υἱότητος, ἀντὶ δὲ τῆς ἀδελφικῆς σχέσεως εἰς θηριώδη καὶ ἀνήμερον διάθεσιν καταστάντας, οὐ μᾶλλον ἀσυγκρίτους ἔσται φέρων τὰς ὀδύνας; οὐ πολλῷ κεντεῖται δριμυτέρῳ ἀλγήματι; ἔχει πολλὴν εὐπορίαν ὁ λόγος, υἱέ μου ποθεινότατε καὶ φίλε, καὶ εἴ τι ἄλλο οἰκειότερον ὄνομα καὶ γλυκύτερον ἐν ἀνθρώποις ἐκ τῶν ἀνθρωπίνων προσφέρειν σοι τὴν παραίνεσιν, εἰς τὸ συνιδεῖν ὡς τοιαῦτα πράττομεν, κατ' ἀλλήλων τὰ ὅπλα κινοῦντες, οἷα πᾶς ἄνθρωπος τίθησιν εἰς ἀρὰν, καὶ τοὺς τῶν κακῶν τούτων ἐργάτας ἀλάστορας ἥγηνται· τίς γὰρ φρονήσει κοσμούμενος, τίς ἐπιστάμενος τὴν φύσιν, τίς γνωρίζων τὸν πλάστην, τίς ἁπλῶς ἀνθρωπίνης φύσεως ὑπάρχων καὶ λογισμοὺς φέρων ἀνθρωπίνους, ὁρῶν τοὺς τῆς αὐτῆς καὶ μιᾶς πίστεως ὄντας, τὸν αὐτὸν θεὸν σεβομένους, ὅπλα κατ' ἀλλήλων ἐπαίροντας, ἐῶ γὰρ νῦν λέγειν τέκνα πρὸς πατέρας, πατέρας πρὸς τέκνα, καὶ ἀδελφοὺς ἀδελφοῖς πολεμοῦντας, οὐ σκυθρωπὴν ἀναλαμβάνει διάθεσιν, καὶ πάσαις ἀρὰς ἀφίησι κατὰ τῶν οὕτως εἰς ἀπάνθρωπον προαίρεσιν ἐλασάντων;

Ἔχει μὲν οὖν, ὡς εἶπον, ἐκ τῶν κάτω ἀνθρωπίνων πολλὴν ὁ λόγος παράκλησιν εἰς τὸ λῆξαι μὲν ὑμᾶς τῶν σφαγῶν καὶ τῶν πολέμων, ἐπιστραφῆναι δὲ πρὸς τὴν σωτήριον καὶ θείαν εἰρήνην· ἀλλά σύ μοι, τέκνον ἐμὸν, κατάλειπε τὰ κάτω καὶ τὰ ἀνθρώπινα, καὶ τὰς ἐκ τούτων παραινέσεις καὶ τοὺς λόγους, καὶ τὸ σὸν ὄμμα τῆς ὀπτικωτάτης ψυχῆς ἔπαρον πρὸς τὸν οὐρανὸν καὶ κατάστηθι πρὸς ἀναθεώρησιν τῶν ἁγίων δυνάμεων, ὅσαι τῷ Χριστῷ παρεστήκασιν, ὅτι καὶ αὗται σκυθρωπάζουσι, καὶ εἰκότως· ὁρῶσαι γὰρ τὸν δεσπότην ὀδυνώμενον ἐπὶ τῇ ἀπωλείᾳ τοῦ λαοῦ αὐτοῦ, λαὸς γὰρ ἐκείνου ὑμεῖς τε καὶ ἡμεῖς, ἐπὶ τῇ ἀπωλείᾳ τῶν τέκνων καὶ ἀδελφῶν, καὶ ὡς πατὴρ τάξιν ἔθετο τέκνων, καὶ ὡς ἀδελφοὺς συγκληρονόμους παρέλαβεν, εἰς πεῖραν τοῦ τοιούτου πάθους καθίστανται· τί λέγεις, οὕτω μέχρις οὐρανοῦ τῶν ἡμετέρων

ἀναβαινόντων κακῶν, οἷς ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος διάβολος Ῥωμαίους ἐφιλονείκησε καὶ Βουλγάρους περιβαλεῖν; οὐ λαμβάνομεν λογισμὸν τὸν πρέποντα χριστιανοῖς; οὐκ ἐπιστρεφόμεθα πρὸς ἑαυτούς; οὐκ ἐννοοῦμεν τὴν τοῦ πονηροῦ κακομηχανίαν, δι᾽ ἧς λυμαίνεται ἡμῖν, καὶ πρὸς ἐπανόρθωσιν τῶν οἰκείων κακῶν ἀνανήψομεν;

Ἠβουλόμεν ἐπὶ πλέον ἐκτείνειν τὸ γράμμα· καὶ γὰρ πέφυκέ πως ὀδυνωμένη καρδία τῇ μακροτέρᾳ διεξόδῳ τῶν λόγων, ὥσπερ ἀναπνεῖν καὶ κουφίζεσθαι τοῦ πιέζοντος βάρους· ἀλλὰ τοῦ λόγου παραστήσαντος ὡς καὶ μέχρι τῶν οὐρανῶν αἱ μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἔφθασαν συμφοραὶ, ἔγνων τοῦ λόγου τὸ μῆκος ἐπισχεῖν· τοῦτο μόνον φημὶ, τοῦτο παρακαλῶ, τοῦτο δυσωπῶ, δός μοι τὴν σὴν ἀκοὴν, ἣν ἔδει καὶ ἀπ᾽ ἀρχῆς ἡμῖν παρασχεῖν· οὐ γὰρ ἂν συνέβη τὰ τοιαῦτα χαλεπά· ἀλλ᾽ εἰ καὶ μὴ πρότερον, ἀλλ᾽ ἔν τε τῷ παρόντι δός μοι, καὶ πάλιν ἐρῶ, τὴν σὴν υἱέ μου ἐρασμιώτατε ἀκοὴν, καὶ δέξαι ταπεινοῦ πατρὸς βουλὴν καὶ εἰσήγησιν· πεποίθαμεν ἐν Θεῷ, ὡς οὐ μεταμεληθήσῃ τοῦτο ποιῶν· δέξαι ταπεινοῦ ἀρχιερέως δυσώπησιν ὑπὲρ τοῦ κοινοῦ δυσωποῦσαν συμφέροντος, καὶ περὶ μνήμης καὶ ὀνόματος τοῦ σὲ δοξάζειν ἐν γῇ καὶ ἐν οὐρανῷ μέλλοντος, τὴν σπουδὴν ποιουμένου· μὴ τὴν ἀναρίθμητον ταύτην στρατιὰν πάλιν προσπελάσαι τοῖς τῶν Βουλγάρων βουληθῇς ὁρίοις, μὴ δὲ γυμνῶσαι τὰ ὅπλα πατέρας πρὸς τέκνα, καὶ τέκνα πρὸς πατέρας, οὓς τὸ πανάγιον πνεῦμα τῇ τοιαύτῃ συνῆψε σχέσει· μὴ δὲ τὴν στυγητὴν ἐκείνην ἡμέραν καὶ ὥραν θελήσωμεν ἰδεῖν, ἐν ᾗ τοῖς χριστιανῶν αἵμασι καὶ πάλιν ἡ γῆ μολυνθήσεται· ὡς γὰρ ἄνωθεν εἴπομεν, εἰ γὰρ καὶ ἀμφιβάλλεται ἡ νίκη μεθ᾽ ὧν στήσεται, ἀλλὰ τοῦτό γε οὐκ ἀμφίβολον, ὅτι αἵματι μυρίῳ ἡ γῆ φυραθήσεται, καὶ δάκρυα ὄμβρους νικῶντα Ῥωμαίων καὶ Βουλγάρων κατακλύσει τὰ πρόσωπα· ναὶ, τέκνον ἡμῶν, πείσθητι συμβουλῇ ταπεινοῦ γέροντος οὐ μᾶλλον Ῥωμαίων ἢ Βουλγάρων τὴν σωτηρίαν ἐπιζητοῦντος, οὐδ᾽ ἧττον φλεγομένου τὰ σπλάγχνα καὶ κηδομένου τῆς τῶν Βουλγάρων εὐζωΐας καὶ εὐπαθείας, ἢ τοῦ λαοῦ ὧν ἀρχιερατεύειν ἐλάχομεν, καὶ ὑπὲρ ὧν ταῖς φροντίσιν ἀδιαλείπτως ἐπαγρυπνοῦμεν.

Ἀλλὰ τὰ μὲν παρ' ἡμῶν ὑπὲρ τοῦ μὴ ὅπλα κινηθῆναι εἰς παράκλησιν καὶ δυσώπησιν τῆς σῆς ἐμφρονεστάτης εἰρημένα ψυχῆς τοσαῦτα· πεποίθαμεν δὲ τῷ πάντων βασιλεῖ καὶ θεῷ, παρ' οὗ πᾶσα ἐξουσία καὶ ἀρχὴ, δι' οὗ ὁ αἰώνιος καταλέλυται πόλεμος, καὶ εἰρήνη τῷ κόσμῳ δεδώρηται, ὡς ἐκεῖνος τὰ λείποντα ἐν τῇ σῇ λαλήσει καρδίᾳ, καὶ αὐτός σε δι' ἑαυτοῦ τὸ καλὸν τῆς εἰρήνης ἀναδιδάξει, καὶ πείσει πρὸς τὴν ἀρχαίαν κατάστασιν ἐπανελθεῖν, καὶ ἀγαπῆσαι μὲν ἐκείνην τὴν ζωὴν ἐφ' ἧς ἡμᾶς κατέστησε διὰ τῆς ἁγίας κολυμβήθρας, καὶ τῆς ἐν αὐτῇ ἀναγεννήσεως, ἑνώσας ὡς υἱοὺς πατράσι τῷ Ῥωμαίων γένει, μισῆσαι δὲ τὰ ἐκ τοῦ πονηροῦ ἐπεισελθόντα σκάνδαλα, καὶ ὅσα ἐκ τῶν τοιούτων σκανδάλων· ἰδοὺ χρόνος ὅσος ὀλεθρίους Ῥωμαίους καὶ Βουλγάρους διέθηκε· τοσοῦτον δὲ καὶ ἔτι προσθεὶς, ἀποπαύσομαι· ὡς εἰρήνης σὺν θεῷ γινομένης, ὃ ἂν βούλῃ Ῥωμαίους ἐπιζητεῖν ἀντὶ τῆς τῶν ὅπλων καταθέσεως, εἴτε φόρους, εἴτέ τι ἕτερον, δῆλον ἡμῖν ποιήσον· μόνον φορητὸν ἔστω τὸ ζητούμενον, καὶ μὴ τῶν λίαν βαρυνόντων καὶ ὑπὲρ δύναμιν· καὶ πᾶσαν ποιήσομαι πρεσβείαν, πᾶσαν ἱκεσίαν, πᾶσαν μηχανὴν συγκινήσω πρὸς τὴν σὺν θεῷ κυβερνῶσαν τὰ Ῥωμαίων βασιλείαν τε καὶ ἐξουσίαν, μέχρις ἂν τὸ ζητούμενον παρ' ὑμῶν εἰς τέλος προέλθοι· ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ τὸ μεσότοιχον τῆς ἔχθρας πόνοις καταλύσας οἰκείοις, ὁ τὰ διεστῶτα ἐξ αἰῶνος συνάψας, αὐτὸς καὶ νῦν τοὺς ἐπηρείᾳ δαίμονος ἐκπολεμωμένους εἰς εἰρήνην καταστήσοι, καὶ τὴν ἐν πνεύματι ἁγίῳ ἑνότητα· καὶ δοίη τῶν ἐκ ταύτης μὲν φυομένων ἀγαθῶν τε καὶ ἡδυνόντων τὴν ἀπόλαυσιν, ἀπαλλαγὴν δὲ τῶν ἐκ τῆς ἔχθρας καὶ τῶν σκανδάλων χαλεπῶν τε καὶ θλίψεων.

XVIII. ΤΩ͂ ΑΥΤΩ͂.

Ἧκε πρὸς ἡμᾶς, τέκνον ἡμῶν ἠγαπημένον, ἧκεν εἰ καὶ βραδύτερον ἡ πληροφορία τῆς σῆς πρὸς ἡμᾶς ἀγάπης· οὕτως γὰρ ἐπληροφόρησας τὴν ἡμετέραν ταπείνωσιν, ὅτι σώζεις ἔτι διάθεσιν υἱοπρεπῆ πρὸς ἀχρεῖον μὲν πατέρα, ποθήσαντα δὲ τὸν υἱὸν πόθῳ

ἀληθινῷ καὶ πνευματικῷ· ἐγὼ μὲν γὰρ ὑπελάμβανον ἐν τῷ βραδύνειν τὸν ἀποκρισιάριον ἡμῶν, ὡς ἔθου παρὰ φαῦλον ἡμᾶς, καὶ οὐκέτι σώζονται παρὰ σοὶ ἡ θερμὴ ἐκείνη ἀγάπη καὶ τοῦ πνεύματος ἡ στοργή· ἀλλ' ὡς ἔοικεν ἡμεῖς μὲν ἐπλανώμεθα, σὺ δὲ τέκνον μου γλυκύτατον ἐφύλαττες παρὰ σεαυτῷ ἄσβεστον της ἀγάπης τὴν λαμπάδα, καὶ νῦν ἔδειξας ὅτι σώζεται διὰ τῆς τοῦ γράμματος καὶ τῆς τοῦ ἀποκρισιαρίου ἀποστολῆς, καὶ ἤλεγξας τὴν ἡμετέραν ὑπόνοιαν· καὶ χάριν ὁμολογῶ τῷ Θεῷ, τέκνον μου ἠγαπημένον, ὅτι ἐγὼ μὲν ἠλέγχθην πεσὼν εἰς τοιαύτην ὑπόνοιαν, σὺ δὲ τὸ λαμπρὸν τῆς σῆς ἀγάπης, ὅτε Θεὸς τὴν σὴν ἐκείνησε καρδίαν, ὥσπερ πάντοτε, καὶ νῦν διέδειξας· ἀλλ' ἡ τοῦ σοῦ γράμματος ὑποδοχὴ οὕτω, τέκνον μου ἀγαπητὸν, διέθηκεν ἡμᾶς, καὶ τοιαύτης γλυκύτητος κατέστησεν εἰς ἀπόλαυσιν.

Ἐκεῖνο δὲ οὐκ ἀποκρύψομεν πρὸς σὲ, υἱέ μου ἀγαπητὲ, ὅτι παρεμίγη καὶ λύπη τίς τῇ τοῦ γράμματος ἡδονῇ, καὶ οὐκ ἀφῆκε τὴν ψυχὴν ἡμῶν χαίρειν ἐπὶ τῷ γράμματι καθαρῶς· διὰ τί; ὅτι ἐγράψαμεν τὴν εἰρηνικήν σου παρακαλοῦντες καρδίαν, παυθῆναι μὲν τὰ σκάνδαλα τοῦ πονηροῦ, ἀνακαινισθῆναι δὲ τὴν ἐξ ἀρχῆς εἰρήνην Ῥωμαίων καὶ Βουλγάρων· καὶ οὐχ ἁπλῶς οὕτως, ἀλλὰ δηλωθῆναι ἡμῖν παρὰ τῆς ὑμῶν θεοδωρήτου δόξης ἁπλῶς καὶ καθαρῶς τὰ πράγματα, δι' ὧν προβήσεται ἡ εἰρήνη, καὶ ὥστε μὴ ἀμήχανον καὶ ἀδύνατον εἶναι τὴν αἴτησιν, ἀλλὰ τοιαύτην ἥ τις καὶ Βουλγάρους ὠφελήσει, καὶ Ῥωμαίους οὐκ ἀπολέσει· σὺ δὲ, τέκνον ἡμῶν, καταλιπὼν τὰ περὶ τούτου γράφειν, ἔγραψας τοῦ ἐμοῦ γήρους καταιρωνευόμενος, ὡς οὐκ ἀδύνατα ἐπιζητεῖς· οὐδὲ γὰρ τῶν τεθνηκότων Βουλγάρων τὴν ἀνάπλασιν ἐπιζητεῖς, ἀλλὰ ζητεῖς πράγματα, ὧν ἐστι δυνατὸν τὴν τελείωσιν προελθεῖν· καὶ ταῦτα λέγων ἐκεῖνο ὑπέφαινες, τὸ τὸν ἤδη παρὰ Θεοῦ εἰς τὸν θρόνον ἀνηγμένον τῆς βασιλείας, ἐκεῖθεν ἀναχωρεῖν· καὶ τί τούτου ἀδυνατώτερον, τέκνον ἡμῶν; πῶς ἔχει λόγον τὸν δικαιώμασιν οἷς οἶδεν ὁ Θεὸς τῆς μεγάλης αὐτοῦ κληρονομίας τὴν κυβέρνησιν λαχόντα, τοῦτον ἐκστῆναι τῆς κυβερνήσεως; μὴ, τέκνον ἐμὸν, μὴ κατειρωνεύου τῆς ἐμῆς πολιᾶς· ἐπίστασαι γὰρ καὶ χωρὶς τῶν ἐμῶν

λόγων, ὅτι ἀδύνατος αὕτη ἡ ἐπιζήτησις· κατάλιπε οὖν ταύτην, καὶ μὴ ὡς δυνατὴν ἐπιτελεσθῆναι λογίζου· οὐδὲ γὰρ δυνατὸν οὐ μὲν οὖν τοῦτο γενέσθαι· πρὸς ἄλλα δὲ μετάβηθι ἐξαιτήματα, ὅσα φύσιν ἔχει τὸ πέρας λαμβάνειν· οἷόν τι λέγω, χρυσοῦ ποσότητα, ἱματίων, τυχὸν δὲ καὶ γῆς τί μέρος· τούτων εἴ τις σοι θεῖος λογισμὸς τῆς τοῦ Χριστοῦ εἰρήνης ἐμπεριστρέφεται, ὃ βούλει δῆλον κατάστησον ἡμῖν· ἐγὼ λέγω, τέκνον ἐμὸν, τοῦτο εἶναι ἀντὶ παντὸς κέρδους, τοῦτο ἀντὶ πάσης προσκτήσεως τὸ βουληθῆναι τὰς τῶν αἱμάτων ἀναστεῖλαι χύσεις· τί γὰρ τοιοῦτον πρὸς ἄνθρωπον χριστιανὸν καὶ θεοφιλῆ, καὶ μάλιστα οἷος σὺ τυγχάνεις τέκνον ἐμὸν, τὸ καταπράξασθαι τοῦτο, καὶ κερδῆσαι ἀνακοπὴν τῶν σφαγῶν, ἀπόπαυσιν τῶν πολέμων, λῆξιν χύσεως αἱμάτων χριστιανικῶν; πλὴν ἔστω μετὰ τοῦ μεγάλου τούτου κέρδους καὶ ἀσυγκρίτου καὶ κέρδη ἕτερα προσγινόμενα, ὃ φθάσας εἶπον, χρυσίου ποσότητα, ἱματίων, ἢ καὶ γῆς τινὸς μέρους ἐπίδοσις, ὅση τυχὸν δυνατὴ καὶ ὑμᾶς ὠφελεῖν, καὶ Ῥωμαίοις μὴ ζημίαν ἐπάγειν ἀφόρητον· ναὶ, τέκνον μου καὶ ἄνθρωπε τοῦ θεοῦ, πρὸς τοιαύτην ἀπόβλεψον εἰρήνην, πρὸς τοιαύτην μετάθου γνώμην, καὶ ἄφες ἐκείνους τοὺς λογισμοὺς, οἳ μηδὲν συμβάλλονται πρὸς τὴν εἰρήνην, ἀλλὰ μᾶλλον ἐρεθίζουσι τοὺς πολέμους καὶ τὰς σφαγάς.

Ἐμνημόνευε τὸ γράμμα καὶ περὶ τῶν εὐνούχων ὡς ἐκεῖθεν ἡ τῶν κακῶν αἰτία· καὶ φανερὸν τοῦτο, καὶ πᾶσιν ἐγνωσμένον καθέστηκε· καὶ τί τέκνον μου πρὸς ἡμᾶς τὰ τῶν εὐνούχων; ἐκεῖνοι μὲν κακῶς πεφρονηκότες συνετάραξαν καὶ συνέχεαν ὥσπερ τὰ κοινὰ Ῥωμαίων πράγματα, οὕτω καὶ τὴν κοινὴν ἀγάπην καὶ ὁμόνοιαν Ῥωμαίων καὶ Βουλγάρων· ἀλλ' οὐ χρὴ κληρονόμους ἡμᾶς εἶναι τῆς ἐκείνων κακίας, μᾶλλον δὲ ἃ κακῶς ἐξ ἀφροσύνης ἐκεῖνοι διέθηκαν, ταῦτα τήν τε σὴν φρόνησιν, καὶ τὴν τῶν Ῥωμαίων διάσκεψιν διορθώσασθαι· ἐξεμάνησαν ἐκεῖνοι; μὴ γένοιτο τὴν ἐκείνων μανίαν μιμεῖσθαι ἡμᾶς· ἄδικα ἐκεῖνοι κατὰ σοῦ ἐμελέτησαν; οὐκ ἀγνοεῖς, τέκνον ἡμῶν, ὡς ἐστράφη εἰς κεφαλὴν αὐτῶν ἡ ἀδικία αὐτῶν· ἀρκέσθητι τῇ τοῦ θεοῦ κρίσει, καὶ ἀπόδεξαι τὴν ἐκδίκησιν, ἣν ὁ θεὸς ἐπ' αὐτοὺς κατεπράξατο, καὶ μὴ ἐπιμένης

διὰ τὴν ἐκείνων ἄνοιαν ἢ μανίαν εἰ βούλει, τὸν ἐκδικήσαντά σε παραλυπῶν· ἢ οὐ νομίζεις, τέκνον ἡμῶν, παραλυπεῖν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τοσούτου φόνου ἐνεργηθέντος τοῦ περιουσίου αὐτοῦ λαοῦ, τῆς κληρονομίας αὐτοῦ, τοῦ χριστιανῶν λέγω γένους τοῦ τε βουλγαρικοῦ καὶ ῥωμαϊκοῦ; ἢ οὐ λογίζῃ ἀλγεῖν τὸν φιλάνθρωπον ἐπὶ τῇ τοσαύτῃ τῶν ἀνθρώπων ἐρημίᾳ, ἐπὶ τοσούτων πόλεων, ἐπὶ τῷ πλήθει τῶν ἐκκλησιῶν, ἐπὶ τῷ πλήθει τῶν μοναστηρίων, ἐπὶ τῷ πάντων τούτων ἀφανισμῷ; ναὶ οἶδα, τέκνον ἐμὸν, ὡς οὐδέν σε διαλανθάνει τούτων· καλῶς οὖν ποιῶν καὶ ὅπερ ἐν τῷ σῷ γράμματι ἀπεμνημόνευσας, τὴν μίμησιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δεῖξον καὶ ἐνταῦθα παρὰ σοῦ τιμωμένην, καὶ ῥίψον εἰς λήθην ὅσα παρὰ τῶν εὐνούχων λελύπησαι, καὶ γενοῦ σεαυτοῦ καὶ τῆς ἰδίας πρᾳότητος καὶ τῆς εἰρηνικῆς καταστάσεως, καὶ στρέψον εἰς πένθος τῷ πονηρῷ δαίμονι, ὅσα ταῖς κοιναῖς δυστυχίαις Ῥωμαίων καὶ Βουλγάρων ἐπευφράνθη καὶ ἐξωρχήσατο· παυσάσθω τῶν ὅπλων ἡ κίνησις κατὰ τῶν ἀδελφῶν καὶ πατέρων.

Εἴ τις οὖν ἔστι σοι λογισμὸς θεόθεν καὶ φρόνημα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τοῦ εἰρηνικοῦ καὶ ἀμάχου, περὶ τοῦ τὴν εἰρήνην, ἣν διεσπάραξεν ὁ τῆς ἔχθρας γεννήτωρ διάβολος, πάλιν ἀνακαινισθῆναι, γράψον ἡμῖν ἁπλᾶ καὶ σαφῆ τὰ πράγματα δι᾽ ὧν ἡ εἰρήνη Θεοῦ βουλομένου εἰς ἑαυτὴν ἐπανήξει· καὶ μὴ γράφῃς οἷα γράφεις ἀμφίβολα καὶ ἀδύνατα, λέγω δὴ τὴν ἐκ τοῦ ὕψους τῆς βασιλείας κατάβασιν τοῦ παρὰ Θεοῦ πρὸς ταύτην ἀναβεβηκότος· καὶ ἔτι, τέκνον ἡμῶν, ἄνθρωπον ἄξιον τῆς σῆς δόξης, ἀγαπῶντα εἰρήνην, ἀλήθειαν τιμῶντα ἐξαπόστειλον· δῆλον ὅτι καὶ ἐντεῦθεν ἀποστελλομένου ὁμοίου καὶ ἰσοτίμου ἀνδρὸς, δι᾽ ὧν οἱ λόγοι τῆς εἰρήνης τρανῶς τῇ τε σῇ μεγαλοπρεπείᾳ, καὶ τοῖς τῶν Ῥωμαίων βασιλεῦσι παραστήσονται· καὶ τότε Θεοῦ εὐμενοῦς γινομένου, ὥς γε εἰ καὶ ἁμαρτωλοὶ ἐλπίζομεν, ἡ εἰρήνη προβήσεται· ἐπεὶ ὥς γε νῦν λόγοι ἀσαφεῖς καὶ ἀμφίβολοι ἀλλήλους δέχονται, οὐδὲν σωτήριον οὐδὲ κοινωφελὲς γενήσεται· ἀλλ᾽ εἰ μὲν ὅλως ἐνθύμιον εἰρήνης ἐν τῇ σῇ καρδίᾳ στρέφεις, ἀγαπητέ μου υἱὲ, ἱκανὰ τὰ εἰρημένα· εἰ δ᾽ ἅπαξ οὗτος ὁ λογισμὸς τὴν

σὴν κατέχει καρδίαν, ὡς ἐν τῷ θρόνῳ τῆς ῥωμαϊκῆς ἱδρυνθήσῃ βασιλείας, καὶ τοιαύτην ἔδοξας οὐκ οἶδα ὅθεν τὴν πληροφορίαν λαβεῖν, ὅτι τοῦτο ἔδοξε τῷ θεῷ, καθὼς ἐκεῖνος οἶδε καὶ βούλεται ἀγαγεῖν εἰς πέρας, καὶ μὴ πολέμοις καὶ σφαγαῖς νόμιζε τυχεῖν τοῦ βουλήματος· ἃ γὰρ ὥρισται παρὰ θεῷ, ἀμήχανον μὴ πρὸς πέρας ἐλθεῖν· ἐκεῖνο οὖν προσδέχου ὅπερ νομίζεις παρ᾿ αὐτοῦ ὡρίσθαι τὸ ὡρισμένον σοι παρασχεῖν· καὶ τί χραίνεις αἵμασι τὴν γῆν καὶ τότε χριςιανικοῖς; τί πορθεῖς ἐκκλησίας θεοῦ; τί τἆλλα ἃ μὴ δὲ θέμις λέγειν ἡμᾶς, τέκνον ἡμῶν, ἐπιτελεῖσθαι ποιεῖς, δι᾿ ὧν καὶ λύπην θεῷ προξενεῖς, καὶ σεαυτὸν οὐκ ἔξω κρίματος καθιστᾷς; τὸ ἐντεῦθεν προσκείσθω εὐχῇ τῶν διηνεκῶς ἡμῖν ἀναφερομένων θεῷ· εἴης ἡμῖν ἐῤῥωμένος καὶ φρονῶν καὶ διανοούμενος, ὅσα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγει σε θείαν εἰρήνην, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος δεδομένην Ῥωμαίοις καὶ Βουλγάροις· καὶ ὅσα πρὸς πολέμους καὶ σφαγὰς ἐρεθίζει, ταῦτα σὺν τῷ πονηρῷ δαίμονι καὶ τούτων ἐργάτῃ τῆς σῆς ἀπελαύνων τιμίας καὶ φρονίμης ψυχῆς.

XIX. ΤΩ ΑΥΤΩ.

Τοῦ ἀποκρισιαρίου ἡμῶν, λέγομεν δὴ τοῦ ἀποσταλέντος μοναχοῦ παρὰ τῆς ἡμῶν ταπεινότητος, ἐπαναςρέψαντος τέκνον ἡμῶν ἠγαπημένον μετὰ τῶν σῶν γραμμάτων, εἰπόντος δὲ καὶ οἰκείᾳ γλώσσῃ, ὅσα ἡμῖν ἀπήγγειλεν, ἀντεγράφη πάλιν ὅσα καὶ οἱ λόγοι ἀπῄτουν, καὶ τὸ σὸν ἐπεζήτει γράμμα, καὶ ἀπεστάλη πρὸς τὴν ὑμῶν θεοτίμητον ἐξουσίαν διὰ τοῦ αὐτοῦ μοναχοῦ· ἀλλ᾿ ἐκεῖνος μὲν ὡς νομίζομεν τὴν Βουλγαρίαν κατέλαβεν, καὶ ἔστι διάγων ἐκεῖ· σοῦ δὲ πρὸς τὰ μέρη ταῦτα ἐξεληλυθότος, οὐκ οἴδαμεν ποτε γενήσεται ἀμφοτέροις ἑνωθῆναι καὶ μαθεῖν τὴν ὑμῶν θεοτίμητον ἐξουσίαν τὰ γραφέντα σοι παρ᾿ ἡμῶν καὶ δι᾿ αὐτοῦ κομιζόμενα· διὰ τοῦτο ἐδεήθημεν τοῦ παρόντος γράμματος, καὶ γράφομεν, τέκνον ἡμῶν, τὴν σὴν ὥσπερ καὶ πρότερον παρακαλοῦντες φρονίμην ψυχὴν, παυθῆναι τὰς τῶν αἱμάτων χύσεις, σβε-

σθῆναι τῆς ἔχθρας τὴν πυρκαιὰν, ἣν ἀπ᾿ ἀρχῆς ἀνῆψεν ὁ τῆς ἔχθρας γεννήτωρ διάβολος, καὶ βραβευθῆναι πάλιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων τὴν μακαρίαν εἰρήνην, τὴν δοθεῖσαν κλῆρον χριστιανοῖς παρὰ Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν· καὶ γραφῆναι καὶ δηλωθῆναι ἡμῖν, εἴ γε παρακέκληταί σου ἡ θεοφιλὴς ψυχὴ πρὸς τὸν ἀνακαινισμὸν τῆς εἰρήνης, μὴ πάλιν ἐκεῖνα οἷα πρότερον ἐδηλοῦτο ἀδύνατα ὄντα καὶ ἀτέλεστα, ἀλλ᾿ ὅσα δυνατὰ καὶ πρὸς τὸ τέλος ἐκβῆναι οὐκ ἀνεμπόδιστα.

Τί οὖν ἐστιν ὅ φημι; μὴ δηλώσῃς, καταλιπέτω τὴν βασιλείαν ὁ πρὸς τὸν θρόνον ἀναβεβηκὼς τῆς βασιλείας, τοῦτο γὰρ ἀμήχανον· μὴ γράφε τοῦ δέξασθαί σε βασιλέα καὶ κύριον τοὺς ἄρχοντας τῆς ῥωμαϊκῆς βασιλείας καὶ τὸν λαὸν, ἀμήχανον γὰρ τοῦτο γενέσθαι, καὶ οὐδεὶς τοῦτον τὸν λόγον ἀνέχεται ἀκοαῖς παραδέξασθαι· ἀλλὰ γράψον χρυσίου λαβεῖν ποσότητα, ἱματίων, ἢ καὶ γῆς ἐπίδοσιν μέρους, ὅση δυνατὴ καὶ Βουλγάροις ὠφελεῖν, καὶ Ῥωμαίοις μὴ ἐπάγειν ζημίαν ἀφόρητον· ναὶ, τέκνον μου καὶ ἄνθρωπε τοῦ θεοῦ, πρὸς τοιαύτην ἀπόβλεψον εἰρήνην, πρὸς τοιαύτην μετάθου γνώμην, καὶ ἄφες τοὺς λογισμοὺς οἳ μηδὲν συμβάλλονται πρὸς τὴν εἰρήνην, ἀλλὰ μᾶλλον ἐρεθίζουσι πρὸς τοὺς πολέμους καὶ τὰς σφαγάς· ζητώσαν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα, ὅσα Ῥωμαίων καὶ Βουλγάρων μέχρι τοῦ παρόντος ἐξεκενώθη, οἴμοι τῶν ἐμῶν παθῶν, καὶ ἔτι διαμένει κενούμενα· ναὶ υἱέ μου ἠγαπημένε, καὶ τῶν φίλων ὁ φίλτατος· αἰδέσθητι τὴν διὰ χρόνου τοσούτου πρὸς σὲ γινομένην δέησιν ἡμῶν, δυσωπήθητι τὸν σπαραγμὸν τῆς καρδίας ἡμῶν, ὃς ἰδοὺ τέταρτον ἔτος νύκτα καὶ ἡμέραν, μᾶλλον δὲ πᾶσαν ὥραν, οὐκ ἀνίησι διαξαίνων ἡμᾶς.

Γράφω ταῦτα, λάβε θεὸν αὐτὸν μάρτυρα τῶν λεγομένων οὐκ ἔλαττον φροντίζων τῆς τῶν Βουλγάρων σωτηρίας καὶ τῆς σῆς τιμῆς, ἢ Ῥωμαίων καὶ τῶν βασιλεύειν λαχόντων αὐτῶν· εἴ τις οὖν ἔστι λογισμὸς τῆς σωτηρίου εἰρήνης, τέκνον ἡμῶν, γράψον ἡμῖν ἁπλᾶ καὶ ἀναμφίβολα· καὶ πάντως, εἰ τούτου δεήσει, αὐτὸς ἐγὼ ἐλεύσομαι πρὸς ὑμᾶς, δηλονότι πρὸς Ἡράκλειαν ἐρχομένου σου, ἢ πρὸς Σιλυμβρίαν, καὶ περὶ τῆς εἰρήνης κοινολογήσομαι, καὶ σὺν

θεῷ εἰπεῖν, ὅσα δυνατά ἐστι ζητούντων ὑμῶν παρασχεθήσονται· καὶ πάλιν ἀνακαινισθήσεται ἡ εἰρήνη, καὶ οἱ πατέρες πρὸς τὰ τέκνα, καὶ τὰ τέκνα πρὸς τοὺς πατέρας ὥσπέρ ἐστιν ὀφειλόμενον διατεθήσονται, ἀπολαύοντες τῶν τῆς ἀγάπης καλῶν, καὶ ζωὴν ἀπηλλαγμένην ἔχοντες τῶν χαλεπωτάτων συμφορῶν, ἃς ἐξεγέννησεν ὁ τῆς ἔχθρας πατὴρ διάβολος, καὶ ἡ τῶν ἐκείνου σκανδάλων ὀλεθριωτάτη ἐπισπορά· τὸ λοιπὸν εὐχὴ προσκείσθω ἡμῖν, ἣν προσφέρομεν διὰ παντὸς τῷ θεῷ καὶ σοῦ ἀγνοοῦντος, εἴης ἡμῖν ἐῤῥωμένος, καὶ ὑπεράνω τῶν παγίδων τοῦ πονηροῦ διιπτάμένος, ὅσα κληρονόμον σε ἀναδείξει τῆς αἰωνίου καὶ βασιλείας καὶ ἀπολαύσεως, καὶ ἀκατάκριτον παραστήσει τῷ φρικτῷ βήματι τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν.

XX. ΤΩ ΑΥΤΩ.

Ἤλπιζον, υἱέ μου δεδοξασμένε, τοῖς σοῖς γράμμασιν ἐντυγχάνων παραψυχὴν εὑρεῖν τοῦ σπαράσσοντος ἄλγους, ἀνέμενον ἥκειν μοι παραμύθιον τῆς διαξαινούσης με νύκτα καὶ ἡμέραν ὀδύνης· ἐνεθυμούμην γὰρ ὅτι καὶ εἰ μὴ πρότερον δι' ὧν ἐγράψαμεν πολλάκις παρεκλήθη σου ἡ ψυχὴ, ἀλλά γε νῦν δι' ὧν προεθυμήθην πρὸς σὲ παραγενέσθαι, καὶ γήρους καταφρονῶν, καὶ ἀσθενείας, καὶ πόνων τῶν ἐκ τῆς ὁδοιπορίας, ὅτι παρακληθήσῃ καὶ προσδέξῃ με δυσωποῦντα, καὶ οὐχ ὑπομενεῖς ἀποστρέψαι διακενῆς τὴν πρὸς σὲ πεποιημένον πορείαν· γενήσεται δὲ μᾶλλον ἡ πρὸς σὲ ἄφιξις ἡμῶν, ἀπόπαυσις τῶν τοῦ πονηροῦ δαίμονος σκανδάλων, ἃ ἐφιλονείκησε Ῥωμαίων καὶ Βουλγάρων μεταξὺ ἐμβαλεῖν· ταῦτα δὲ ἤλπιζον οὐχ ἁπλῶς οὕτως, ἀλλὰ καὶ προηγουμένης αἰτίας εὐλόγου· ἐνεθυμούμην γὰρ κατ' ἐμαυτὸν, ὅτι ἀπελεύσομαι πρέσβυς καὶ τὴν ἱκεσίαν φέρων, οὐ πρὸς ἄνθρωπον οἷοι πολλοὶ τῶν ἀνθρώπων, ἀλλὰ πρὸς ἄνθρωπον ἐκ θεοῦ λαβόντα ἔθνους ἐξουσιάζειν, καὶ διὰ τοῦτο πολὺν ἐν συνέσει, πολὺν ἐν διανοήσει, καὶ εἰδότα κρίνειν, καὶ τὴν ἡμετέραν παρουσίαν ὅση τίς ἐστιν· ὅτι καὶ εἰ ἁμαρτωλοὶ, ἀλλ' οὖν ἀρχιε-

ρεῖς οἵου καὶ ὅσου λαοῦ, ὁποίας πόλεως, τῆς ἀρχιερατεύεσθαι ὑφ' ἡμῖν λαχούσης, ἡλίκης ἐξουσίας πατὴρ εἰ καὶ ἀνάξιος προβέβλημαι, ἣν μόνην ἐπὶ γῆς ὁ Χριστὸς ἀντ' αὐτοῦ τῶν ἐπὶ γῆς ἔθετο ἐξουσιάζειν· ἀλλ' ἐνενόουν, ὅτι πρὸς τοιοῦτον ἄνθρωπον μέλλων πρεσβεύειν, τελέσω τὴν πρεσβείαν, διαπράξομαι τὸ κοινῇ συμφέρον, καὶ ἀνασώσομαι τὴν εἰρήνην ἀπολωλυῖαν πρῶτον μὲν δαίμονος συσκευῇ, ἔπειτα δὲ καὶ ἀνθρώπων κακοβουλίᾳ, καὶ χαίρων ὑποστρέψω, φέρων μὲν τὴν εὐχαριστείαν Θεῷ, ἐκδιηγούμενος δὲ πᾶσι τὴν σὴν ἀρετὴν, καὶ μεγαλύνων τοῖς ἐπαίνοις αὐτὴν, εἴπέρ τις ἐστὶ λόγος ταπεινοῦ γέροντος καὶ ἀρχιερέως τοὺς σοὺς διεξιόντος ἐπαίνους· φέρων δέ τι καὶ αὐτὸς ἐν μοίρᾳ κέρδους, ὃ πάντων κερδῶν ἐμοὶ τιμιώτατον, τὴν Ῥωμαίων καὶ Βουλγάρων ὡς τὸ ἀπ' ἀρχῆς ὁμόνοιαν καὶ εἰρήνην.

Νῦν δὲ οὐχὶ ταῦτά μοι τὸ σὸν ὑπισχνεῖται γράμμα, ἀλλ' ὅσον ἐκ τῶν ῥημάτων ἄλλα διδάσκομαι, ὅτι ματαιοπονήσω, ὅτι οὐδὲν ἐκτελέσω τῶν δι' ἃ κοπιᾷν προαιροῦμαι, οὐδ' ἀπαντήσει μοι παρὰ σοῦ χάρις, οὐδὲ δυσωπηθήσῃ ὁ ἀγαπητός μου ὁ υἱὸς τὸ τοῦ πατρὸς γῆρας, οὐδὲ ταπεινοῦ ἀρχιερέως αἰδεσθήσῃ παρουσίαν, ἀλλ' ἡγήσῃ με τῶν ἄλλων ὅσοι πρὸς σὲ παραγεγόνασι πρέσβεις, μηδὲν διαφέρειν· εἶτα βουλόμενος οὕτω με δέχεσθαι, οὕτω με, τέκνον ἠγαπημένον, τὸν πατέρα τὸν ἀρχιερέα τὸν γέροντα τιμᾷν, προτρέπεις ἥκειν, παραθαρρύνεις καταφρονῆσαι γήρους καὶ πόνων καὶ ταλαιπωρίας, ὅσα ἐκ τῆς ὁδοῦ ἡμῖν ἀπαντήσει; τί πρὸς ταῦτα εἴπω; τί διανοήσομαι; τίς ποτε υἱὸς ὤφθη πρὸς πατέρα μηνύων, ἧκε πρὸς ἡμᾶς, ὦ πάτερ, ἵνα τοὺς σοὺς λόγους φαυλίσω; ἐλθὲ, ἵνα μηδὲν ὧν ἐπιζητεῖς ἀνύσῃς, ἵνα πόνον ἀκερδῆ ὀφθείης ἀναδεξάμενος; οὐκ ἤκουσα μέχρι καὶ σήμερον τοιούτους πέμποντα λόγους υἱόν· καὶ πάλιν φημὶ, τέκνον ἡμῶν, ἄξια ταῦτα τῆς σῆς μεγαλονοίας, τῆς σῆς θαυμαζομένης φρονήσεως, μηνύειν τῷ πατρὶ, ὅτι ταλαιπωρίαν ματαίαν ἀναλαβοῦ πάτερ, καὶ ἧκε πρὸς τὸν υἱὸν, ἵνα κενῶς ὑποστρέφων τῶν σῶν ἐλπίδων, ὄνειδος εἴης ἅπασι τοῖς ταῦτα μανθάνουσι; ἀφίημι γὰρ τέως τὸ σὸν, τέκνον ἡμῶν, οἷα οἱ πανταχοῦ γῆς ἄνθρωποι περὶ

σοῦ ἐροῦσιν, ὅταν εἰς ἀκοὴν ταῦτα λάβωσιν· ἀλλὰ καὶ ὁ λόγος μεθ' οὗ ἡμᾶς προσκαλῇ, καὶ πρὸς τὴν ὁδὸν παρορμᾷς, ὡς θαυμαστὸς καὶ λίαν ἐπαινετός; λέγεις γὰρ ὡς οἱ ἀπόστολοι τρέχοντες ἐπ' ἀδήλοις, καὶ τὸ ἐκβησόμενον οὐκ εἰδότες, ὅμως ἔτρεχον καὶ ἐκοπίων διὰ τὴν ἄνωθεν μισθαποδοσίαν.

Ἀγαπῶ τὴν παραίνεσιν, τέκνον μου ἀγαπητόν· καὶ γὰρ ἐξ ὧν λέγεις συνομολογεῖς, ὅτι καὶ ἡμεῖς κατὰ βούλησιν θεοῦ, ὥσπερ ἐκεῖνοι, προθυμούμεθα κοπιᾷν· πῶς γὰρ ἄλλως ἀποκείσεται ἡμῖν ὁ μισθὸς, εἰ μὴ κατὰ θεοῦ βούλησιν ὁ κόπος ἡμῶν; ὥσπερ γὰρ ἐκείνοις ἦν ὁ κόπος ἀρέσκων θεῷ, διότι κατὰ τὸ θέλημα τούτου ἐκοπίων, καὶ παρ' αὐτοῦ ἐλάμβανον τὸν μισθὸν, οὕτω πάντως καὶ ὁ ἡμέτερος κόπος, εἰ μισθὸν ὑπὲρ αὐτοῦ λαμβάνομεν παρὰ θεοῦ, καθὼς εὖ φρονῶν ὁμολογεῖς, κατὰ βούλησιν γίνεται θεοῦ· εἶτα οὐ φοβῇ τὸν κόπον ἡμῶν, ὃν ὁ θεὸς ἀποδέχεται, ὡς κατὰ τὸ αὐτοῦ γινόμενον θέλημα; πῶς γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, τὸν ὑπὲρ αὐτοῦ ἐδίδου μισθόν; μὴ ἀποδεχόμενος σὺ, μὴ δὲ τιμῶν ὥσπέρ ἐστι πρέπον, καὶ παρέχων συγκατάθεσιν εἰρήνης δι' ὧν κοπιῶμεν, ἀλλ' ἀποστρέφεις κοπιῶντας διακενῆς· καὶ πῶς ἔχει λόγον, θεὸν μὲν ἀποδέχεσθαι τὴν ἐμὴν ταλαιπωρίαν, καὶ ἀντὶ ταύτης διδόναι δόσιν τῆς ἑαυτοῦ ἀγαθότητος, σὲ δὲ φιλόθεον ὑπάρχοντα, τέκνον ἡμῶν, μὴ τῷ θείῳ βουλήματι συντρέχειν, ἀλλὰ φρονεῖν ἐναντία; καὶ ὅν περ ἐκεῖνος πόνον ἡμῶν, ὡς ὑπὲρ αὐτοῦ γινόμενον, ἄμισθον οὐκ ἐᾷ, σὲ τοῦτον ὡς φαῦλον παρορᾷν, καὶ οὐδενὸς ἄξιον λόγου νομίζειν; σκέψαι εἰ ἄξιον τοῦτο φιλοθέου ψυχῆς, καὶ οὐχ ἑτέρωθεν τοῦτο συνάγεται ἀλλ' ἢ ἐκ τῶν σῶν ἀληθῶς φρονίμων λόγων· ἔφης γὰρ καὶ καλῶς ἔφης, ὡς τοῖς ἀποστόλοις ἐκ θεοῦ ὁ μισθὸς ἐδίδοτο κοπιῶσι, κἂν πρὸς οὓς ἀπήεσαν, ἐνίοτε μὴ πείθειν ἠδύναντο.

Ἀλλὰ τίνες οἱ μὴ πειθόμενοι, καὶ τοῦτο εἰπέ· πάντως ἐρεῖς, ὅτι ὅσοι μὴ ᾔδεισαν κατὰ θεοῦ βούλησιν εἶναι τὸν κόπον τῶν ἀποστόλων, οὐδ' ἀξίους αὐτοὺς ἡγοῦντο μισθαποδοσίας, ἀλλὰ μᾶλλον κολάσεως καὶ τιμωρίας· διὰ τοῦτο ἐδίωκον καὶ ἐτιμωροῦντο αὐτούς· ὁ δὲ ὁμολογῶν λήψεσθαι μισθὸν, πάντως πρό-

τερον ὁμολογεῖ ὅτι ἀποδέχεται κοπιῶντας ἡμᾶς ὁ Θεὸς, καὶ τούτου χάριν δίδωσι τὸν μισθόν· καὶ Θεὸς μὲν ἀποδέχεται τὴν ἐμὴν ταλαιπωρίαν, καὶ ἀνταμείβεται τῆς δικαίας κρίσεως αὐτοῦ τῇ μισθαποδοσίᾳ, σὺ δὲ ἄνθρωπος ὢν οὐκ ἀποδέχῃ; ὁ δεσπόζων οὐρανοῦ καὶ γῆς οὐκ ἀτιμάζει τὸν κόπον ἡμῶν, πῶς γὰρ εἰ ἀτιμάζει δίδωσι τὸν μισθόν; σὺ δὲ εἰ καὶ δεσπόζεις λαοῦ ὅσου ποτὲ καὶ δεσπόζεις, ἀλλά γε μετ' ὀλίγον γυμνὸς πάντων ἀνθρώπων παρίστασθαι μέλλων τῷ δεσπότῃ τῶν ὅλων, παρ' οὐδὲν τίθης τὴν ἡμετέραν ταλαιπωρίαν; καὶ ποῦ προσῆκον τοῦτό γε ἢ τῇ συνέσει σου, ἢ τῇ φιλοθεΐᾳ σου, ἢ τῇ ἄλλῃ βοωμένῃ τῶν τρόπων σου καταστάσει; ταῦτα οὐκ ἀνατρέποντες λέγομεν τὸ σὸν πρόβλημα, τέκνον ἡμῶν, ἀλλ' ὑπομιμνήσκοντες καὶ διδόντες ἀφορμὴν φρονίμῳ Θεοῦ χάριτι ὄντι, φρονιμωτέρῳ γενέσθαι· βούλομαί σε, υἱέ μου ἠγαπημένε, καὶ ἔτι τῷ λόγῳ προσαγαγεῖν σεαυτὸν, καὶ ὥσπερ εἰ παρόντων ἡμῶν ἤκουες ἂν νουνεχῶς τῶν λεγομένων, οὕτω φυλάξαι τὸ νουνεχὲς τῷ λόγῳ· πλὴν οὐκ ἀγνοεῖν οἰόμεθά σε, ἃ μέλλομεν γράφειν, μᾶλλον δὲ φέρομεν ὑπόληψιν ὡς ἐπίστασαι ταῦτα καὶ χωρὶς τῶν ἐμῶν λόγων, διότι σπουδαῖον ὄντα ὑπολαμβάνω, καὶ εἰς τὸ τὰς ἱστορίας ἀναλέγειν τῶν παλαιῶν τὴν αὐτὴν διασώζειν σπουδήν.

Ἀλλ' εἰ καὶ μὴ ἀγνοεῖς, ὅμως καὶ ταῦτα ὡς πρὸς εἰδότα ἐν ὑπομνήσεως τάξει προστίθημι· ἐκράτει τῶν ῥωμαϊκῶν σκήπτρων Ἀρκάδιος, καὶ πολὺς ἦν Γαϊνᾶς ἐκεῖνος ἀπείρῳ πλήθει ταύτην δὴ τὴν γῆν πυρπολῶν καὶ αἰχμαλωτίζων, ὥσπερ καὶ ὑμεῖς, πάντα τόπον οὗ ἂν ἐπίοι καλύπτων τῷ πλήθει, καὶ οὐκ ἦν χεῖρας πρὸς αὐτὸν ἀνταίρειν, οὐ μᾶλλον ἢ πρὸς τοὺς ἐξ οὐρανοῦ ἀφιεμένους σκηπτούς· ὡς οὖν ἐν τοιούτοις πράγμασιν ἀπῄεσαν πρὸς αὐτὸν πρεσβεῖαι τοῦ βασιλέως, ἐκεῖνος ἀπέφραττε τὰ ὦτα, καὶ πρὸς πάντα λόγον ἀνένευεν, ἄκαμπτός τις ὢν καὶ ἀμείλικτος· ἀντέπραττε γὰρ ἡ ἐπιθυμία ὑφ' ἧς ἐκινεῖτο, καὶ ἦν ἀκατάσχετος ἐν ταῖς σφαγαῖς καὶ τοῖς φόνοις, ὥσπερ καὶ ὑμεῖς· ἤλγει πρὸς ταῦτα ὁ τοῦ Θεοῦ ἀρχιερεὺς, ἐσπαράσσετο τὴν ψυχὴν, ὥσπερ καὶ ἡμεῖς οἱ ἀχρεῖοι καὶ ταπεινοί· οὗτος δὲ ἦν Ἰωάννης ὁ χρυσό-

στομος τὸ ἐπώνυμον· ἀλγῶν οὖν διενοήθη πρᾶγμα γελώμενον τοῖς πολλοῖς· τὸ δὲ ἦν ἀντὶ πάντων ἑαυτὸν δοῦναι, καὶ πρὸς τὸν Γαϊνᾶν ἐπελθεῖν, καὶ τὴν ἀνήμερον ἐκείνου παρακαλέσαι ψυχὴν, καὶ τοῦ θυμοῦ τὸ ἄσβεστον πῦρ τῶν λόγων αὐτοῦ τῇ δρόσῳ πειρᾶσθαι κατασβεννύειν· ἀλλ' ὁ μὲν ἀρχιερεὺς οὕτω διενοήθη· ἐγέλων δὲ, ὥσπερ ἔφην, πολλοί· τίς γὰρ ἤλπιζεν ἐπισχεθῆναι τοῦ Γαϊνᾶ τὴν ὁρμὴν, τοῦ μυρίου ἐκείνου πλήθους τὴν κίνησιν, ὑπ' ἀνδρὸς γυμνοῦ, καὶ μηδὲν ἄλλο φέροντος πλὴν τὴν τῶν λόγων παραίνεσιν; ὅμως παραγίνεται πρὸς τὸν ἄνθρωπον, καὶ οὐδὲν ἕτερον ἢ μόνον περιπτύσσεται τοῦτον, ταῦτα λέγων· ἀρκέσθητι ἄνθρωπε τοῖς μέχρι τοῦ παρόντος δεινοῖς, παῦσαι ἀνθρωπίνοις αἵμασι ποτίζων τὴν γῆν, ἐνθυμήθητι ὅτι οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τοῖς οἰκείοις ὑποδέξεταί σε κόλποις· ἄρχων λαοῦ κατέστης, οὐχ ἵνα πρὸς φόνους ἄγῃς, ἀλλ' ἵνα τῆς αὐτῶν προνοῇ σωτηρίας· τί πρὸς ἀλλοτρίαν ἐλαύνεις χώραν; ἀρκέσθητι τῇ παρὰ θεοῦ δεδομένῃ σοι· τί πλεονεκτεῖν ἐπιζητεῖς, ἃ μὴ ἀσφαλῶς ἴσως ἕξεις; κατάλιπε τοὺς Ῥωμαίων τόπους, τῆς ἀξίας τυχὼν φιλοφρονήσεως, καὶ πρὸς τὰ οἴκοι ἐπάνελθε. Εἶδε τὸν ἀρχιερέα ὁ Γαϊνᾶς, ἤκουσε τῶν αὐτοῦ λόγων, καὶ αὐτίκα δυσωπεῖται, καὶ καταλείπει μὲν τὸ ἄγριον καὶ ἀπάνθρωπον, γίνεται δὲ τῆς ἀνθρωπίνης ἡμερότητος, παύει τὰς τῶν αἱμάτων χύσεις τοῖς προλαβοῦσι κακοῖς ἀρκεσθεὶς, καὶ συμβαίνει πρὸς εἰρήνην τῷ βασιλεῖ, λαβόμενος μὲν τῶν ποδῶν τοῦ ἀρχιερέως, φιλοφρονηθεὶς δὲ ὅσον ἦν ἄξιον, καὶ πρὸς τὰ οἰκεῖα ἐπαναστραφείς.

Οἶδα ὅτι γινώσκεις ταῦτα, καὶ λυποῦμαι ὅτι πρὸς ἄνθρωπον εἰδότα, καὶ δύναμιν ἔχοντα διδάσκειν τὸ καλὸν ἑτέρους, ταῦτα φθέγγομαι· πλὴν ἀναγκαῖον ἡγησάμην τὸ γράφειν, ἵνα καὶ ἀφ' ἧς γνώσεως σὺ φέρεις, καὶ ἀφ' ὧν ἡμεῖς λέγομεν, αὐτὸς κατὰ σεαυτὸν γενόμενος, καὶ τὸν Γαϊνᾶν ἐκεῖνον κατὰ διάνοιαν παραστησάμενος, ἐννοήσῃς εἰ πρέπον τῇ σῇ μεγαλοδόξῳ ἀρετῇ, ἐκείνου ὀφθῆναι λειπόμενον ἐν ταύτῃ τῇ ὑποθέσει· ὁ μὲν γὰρ οὐκ ἐδεήθη πρεσβείας δευτέρας, ἀλλ' ἅπαξ μόνον προσελθόντι ἐπείσθη τῷ ἀρχιερεῖ, καὶ τὰ ὅπλα ῥίπτει, καὶ τοὺς πολέμους παύει,

οὐχ ἡγησάμενος πρέπον αὐτῷ χαρίζεσθαι τῷ θυμῷ, οὐδ' ὥσπερ θηρίον μόνον ἀντέχεσθαι τῆς ἰδίας ὀργῆς, ἀλλὰ μᾶλλον ἐπίσχεν ἐκεῖνο τὸ ψυχώλεθρον ὅρμημα οἱονεί τινι χαλινῷ τοῖς εἰρηνικοῖς τοῦ ἀρχιερέως λόγοις· ἡμεῖς δὲ παραγενέσθαι πρὸς σὲ μέλλοντες μετὰ τοσαύτας προλαβούσας δεήσεις, ἀπόφασιν ἐδεξάμεθα μηδὲν πλεὸν ἕξειν παραγενόμενοι, ὧν καὶ ἀπόντες ὤφθημεν δεηθέντες· τί λέγεις, υἱέ μου τετιμημένε, συνετώτατε ἀνθρώπων; ὁ δόξης εἴπερ τις ἄλλος ἀρετῶν κεκτημένος, ὑπομένεις ἡττᾶσθαι τῆς τοῦ Γαϊνᾶ ἐπιεικείας καὶ ἡμερότητος; ὅλως ἀνέχῃ δεύτερος ἐκείνου ἀπελέγχεσθαι; ἐγὼ ἀντὶ σοῦ ἐρυθριῶ καὶ αἰσχύνομαι· εἶτα οὐκ ἐνθυμῇ τὰς ἐκ τῶν ἀνθρώπων μέμψεις, ὅταν εἰς σύγκρισιν ἡ σὴ τιμιότης εἴτε τῷ βίῳ παρόντος σου, εἴτε καὶ τεθνηκότος παρὰ τῶν εἰδότων τὰς ἱστορίας προάγησθε; τίς γὰρ δὴ Ῥωμαίων ἢ Βουλγάρων ἐν τῷ μετέπειτα ἐσομένῳ καιρῷ διηγήσεως τοιαύτης ἀκούων, ὅτι σκανδάλων μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων γεγονότων, πρεσβύτης ἀρχιερεὺς ὡρμήθη πρεσβευτὴς γενέσθαι εἰς τὸ παῦσαι τοὺς κατ' ἀλλήλων πολέμους, συναγαγεῖν ἀμφότερα τὰ γένη πρὸς τὴν ἀρχαίαν εἰρήνην, ὁ δὲ τῶν Βουλγάρων δεσπόζων οὐκ ἠξίωσε δέξασθαι τὴν πρεσβείαν, οὐ κατηγορήσει καὶ εἴποι κατὰ σου, ὅσα ἐγὼ μὲν οὐκ ἂν φαίην; μὴ δὲ συγχωρήσοι θεός· ἐκεῖνοι δὲ πάντως ἐροῦσι καὶ πλείονα λυθέντος τοῦ φόβου τοῦ λέγειν ἕκαστον περὶ σοῦ, ὅπως ἔχει φρονήσεως· ὅπου γε καὶ νῦν, ἵνα μὴ λέγω πάντες, ἀλλὰ πολλοὶ ὥς γε ἀκούομεν τοῦ σοῦ λαοῦ, τοῦ σοῦ γένους, μέμφονται τοῦ ἀπαύστου πολέμου, καὶ τοῖς γινομένοις ἐπιστενάζουσιν.

Αἰσθάνομαι πλέον τοῦ δέοντος εἰπών· ἀλλὰ τί πράξω; εἰς τοῦτο εἰ καὶ ἀνάξιος προκεχείρισμαι ὑπὸ θεοῦ μεσίτης εἰρήνης, διδάσκαλος εἰρήνης· καὶ μέχρις ἂν ἡ πνοὴ ἐπαρκῇ, ταῦτά μοι φθέγγεσθαι ἀνάγκη διὰ παντός, καὶ μάλιστα νῦν ὁπότε τέκνα πρὸς πατέρας, ἀδελφοὶ ἀδελφοὺς κατ' ἀλλήλων ἐκμανέντες ἀποσφάττουσιν· ὅτε τὸ ἓν σῶμα τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ὥσπερ τῆς ἰδίας ἐπιλαθόμενον κεφαλῆς ἐφ' ᾗ συνηρμολογήθη, καθ' ἑαυτοῦ στασιάζει, καὶ τὰ τῶν μαινομένων, οἳ τὰ οἰκεῖα κατεσθίουσι

μέλη, ἐπιτελεῖ· καὶ δὴ σοῦ χάριν τοῦ παλαιοῦ καὶ νέου φίλου ἡμῶν καὶ υἱοῦ, κἂν μὴ πείθωμεν, κἂν εἰς τὸ μηδὲν ῥιπτώμεθα, τὸν λόγον ἐκτείνωμεν· ὃν εὔχομαι καὶ κατὰ τὸν παρόντα βίον ἐκεῖνα πράττειν, ὅσα μέλλει πάσης ἐλεύθερόν σε μέμψεως ἀνακηρύττειν, καὶ ἐν τῇ μακαρίᾳ τῶν ἁγίων ζωῇ συναριθμηθῆναι· ἔλεγε δὲ τὸ γράμμα τῆς ὑμῶν τιμιότητος καὶ περὶ ἀλλαγίου, καὶ διερχόμενος τὸν τόπον τοῦ γράμματος ἐπιπλέως ἐδάκρυσα, ὅτι τοσοῦτον ἴσχυσεν ὁ διάβολος ὥστε χριστιανοὺς ποιῆσαι χριστιανῶν ἀνταλλάττεσθαι· ὥσπερ εἰ τὸ ἓν σῶμα τοῦ ἀνθρώπου αὐτὸ καθ᾽ ἑαυτοῦ κεκινημένον, τῶν ἑαυτοῦ μελῶν ἐπιζητεῖ ποιεῖσθαι ἀνταλλαγήν· τί λέγεις; πῶς νομίζεις τὴν κεφαλὴν ἡμῶν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ἐπὶ τούτοις ἔχειν; ἐγὼ νομίζω πλέον ἐπὶ τοῦ παρόντος, ἢ ἐπὶ τοῦ σταυροῦ ὑπομένειν τὰς ὀδύνας.

Πλὴν ἐπεὶ τοιαῦτα ἐλεεινὰ καὶ δυστυχῆ Ῥωμαίους καὶ Βουλγάρους κατέλαβε πράγματα, καὶ τοσοῦτο ὁ πονηρὸς κατέλαβε κράτος, καὶ οὐκ ἔστιν ἄλλως εἰρήνης μεσιτευούσης ἕκαστον βούλγαρον καὶ ῥωμαῖον φιλικῶς ἀδελφοπρεπῶς εἰς τὰ οἰκεῖα ἐπανελθεῖν, εἰ οὖν τοσοῦτο ὥσπερ εἶπον ἐκράτησε τὸ κακὸν καὶ ἀμήχανον διὰ τῆς φίλης καὶ γλυκυτάτης εἰρήνης, πάντας ὅσους ἡ τοῦ πονηροῦ ἐπήρεια τῶν οἰκείων ἐποίησεν ἀναστάτους, ἁπλῶς οὕτω καὶ ἀδελφικὴ ἀπολύσει, πρὸς τὰ οἰκεῖα πάλιν ἐπανατρέχειν· ἀλλὰ τοιαύτης δεῖσθε ἀνταλλαγῆς, ἣν ἡ τῶν πολεμίων ἐπίσταται ψῆφος· φρίττοντες μὲν καὶ θεόν, αἰδούμενοι δὲ καὶ τοὺς μετέπειτα ἐσομένους ἀνθρώπους, ἡ ῥωμαϊκὴ συγκαταβαίνει πολιτεία· προβήσεται δὲ πάντως τὸ τοιοῦτον ἀλλάγιον, ὥσπερ ἐστὶ νόμος τῆς τῶν ἀλλαγίων καταστάσεως· οὐκοῦν δεήσει καὶ ἐξ ὑμῶν τινὰς τὰ ἐνταῦθα καταλαβεῖν, καὶ πάλιν πρὸς ὑμᾶς παραγενέσθαι Ῥωμαίους, ὥστε κοινῆς γενομένης σκέψεως τοῦ πῶς δεῖ καταλλαγῆναι τοὺς μέλλοντας ὑπαλλάττεσθαι, κατὰ τὸ καλῶς ἔχον καὶ συμφέρον καὶ Βουλγάροις καὶ Ῥωμαίοις οὕτω γενέσθαι καὶ τὸ ἀλλάγιον.

XXI. ΤΩ ΑΥΤΩ.

Πολλάκις ἐγράψαμεν, τέκνον ἡμῶν, καὶ πῶς εἴπω διὰ τὰς ἁμαρτίας ἡμῶν, οὐκ ἐγένετο ἡμῖν ἀπολαῦσαι τῆς ὠφελείας τῶν λόγων· πολλάκις ἐσπείραμεν εἰς τὴν γῆν τῆς καρδίας σου υἱέ μου ποθεινότατε, καὶ πάλιν φημὶ διὰ τὰς ἁμαρτίας ἡμῶν οὐκ ἐθερίσαμεν οὓς ἐποθοῦμεν καρπούς· πλὴν ἀλλ' οὐ διὰ τοῦτο σιωπήσω ἀπελπίζων, ἀλλὰ γράφω καὶ τῆς χρηστοτέρας ἐλπίδος γενόμενος, καὶ φέρων ἐπὶ θεῷ τὴν πεποίθησιν ὡς καρπώσομαί τι τῶν σωτηρίων καὶ ὠφελίμων· καὶ εἴη ὁ πάντων αἴτιος τῶν καλῶν· τὴν ἐλπίδα πρὸς τὸ τέλος ἄγων, καὶ διδοὺς καὶ ἡμῖν ἀφ' ὧν γράφομεν ὠφεληθῆναι, καὶ τῷ πνευματικῷ μου υἱῷ ἐξ ὧν τοῖς τοῦ πατρὸς γράμμασι προσομιλεῖ· ἐκινήθημεν δὲ πρὸς τὸ γράφειν τῷ σῷ γράμματι ἐντυχόντες, καὶ εὐθὺς ἐκ προοιμίων εὑρόντες ἐπαγγελίαν, θεοῦ ταπείνωσιν μιμουμένην· ἐξ ὧν ἔλεγες, ὅτι μιμούμενος θεόν, ἄνδρα ταπεινὸν καὶ εὐτελῆ οὐκ ἀπεστράφης, ἀλλὰ κατὰ πρόσωπον ἤγαγες, καὶ τῆς σῆς ἠξίωσας ὁμιλίας· δι' οὗ καὶ τὸ γράμμα πρὸς τὰ ἐνταῦθα ἐπέστειλας· αὕτη γοῦν ἡ ἐπαγγελία τῆς ταπεινώσεως προετρέψατο ἡμᾶς γράφειν, ἐκεῖνο ἐνθυμηθέντας ὅτι ψυχὴ ἅπαξ ταπεινὸν φρόνημα κτησαμένη, καὶ πρὸς θεοῦ μίμησιν ἀποβλέπουσα, πᾶν ὅτι καὶ προπέπονθε παρά τινος λυπηρόν, τοῦτο ἐάσει, καὶ τὸ πικρὸν τῆς καρδίας κενώσει, καὶ τὸ φιλόνεικον ἀποθήσει, καὶ καταστήσεται μὲν καὶ ἀφ' ἑαυτοῦ καὶ πρὸς τοὺς πρέποντας λογισμούς, ἀκούσεται δὲ καὶ ἑτέρων εὐμενῶς τὰ ὠφέλιμα καὶ σωτήρια ὑποτιθεμένων.

Γράφομεν οὖν διὰ ταῦτα οἷα γράφομεν· καὶ εἰ μέν τις γένηται ὠφέλεια, εὐχαριστήσομεν τῷ τὴν ὑμετέραν φρονίμην ψυχὴν οὕτω διαθέντι, καὶ ταπεινοῦ καὶ ἁμαρτωλοῦ ἀρχιερέως καὶ πατρὸς πείσαντι δέξασθαι σωτηριώδη παραίνεσιν· εἰ δὲ μὴ ὠφελήσωμεν, καὶ οὕτως εἴργασται τὸ ἡμέτερον, καὶ ὃ χρεωστοῦμεν πληροῦμεν· τὸ δὲ σόν, τέκνον ἡμῶν, ὡς φρόνιμος κατανόει, εἴ ἐστι καὶ παρὰ θεῷ ἀκατάκριτον καὶ παρὰ ἀνθρώποις ἀνεπίμωμον·

ἀλλὰ καλὴ τοῦ γράμματος ἡ ἀρχὴ, ταπείνωσιν μιμούμενος Θεοῦ· ἤγαγες κατὰ πρόσωπον ἄνθρωπον Ταπεινὸν, καὶ οὐκ ἐπῆρέ σε τὸ μέγεθος τῆς ἀρχῆς, οὐδὲ σεαυτοῦ ἡγήσω ἀνάξιον ὁμιλῆσαι οἰκείῳ στόματι τῷ ἀσυγκρίτως ἀπολειπομένῳ τοῦ σοῦ μεγέθους τῆς δόξης· τοῦτο ἐπαινετὸν, καὶ ἦν ἀκόλουθον καὶ τὰ ἑξῆς τοῦ γράμματος τῇ αὐτῇ συνυφανθῆναι ταπεινότητι, καὶ μὴ παρεξελθεῖν τῆς τοῦ Θεοῦ ὡς ἔφης μιμήσεως· νῦν δὲ ἄλλον ἔχει χαρακτῆρα τὰ μετὰ ταῦτα τοῦ γράμματος· οὐ ταπεινότητος, οὐκ ἐπιεικείας, οὐ φιλανθρωπίας, ἀλλά τινος ἑτέρας διαθέσεως· φεῦ τοῦ πονηροῦ δαίμονος τοῦ τοῖς ἀγαθοῖς ἐξ ἀρχῆς διαφθονουμένου, καὶ ἀεὶ τὴν οἰκείαν κακίαν προσεπιμιγνύειν φιλονεικοῦντος τοῖς ἀγαθοῖς· καὶ πολλὰς μὲν τὸ γράμμα, τέκνον ἡμῶν, περιπλοκὰς ἐδήλου ἡμῖν, καὶ νῦν μὲν ἐντεῦθεν στρέφεται, νῦν δὲ ἐκεῖθεν· εἷς δὲ ὁ σκοπὸς αὐτῷ τὸ βούλεσθαι τὴν ὑμετέραν προαίρεσιν μὴ ἀρκεῖσθαι τοῖς ἰδίοις, μὴ δ' ἐμμένειν τοῖς ἐξ ἀρχῆς δεδομένοις ὑμῖν· ἀλλ' ἐπιπηδᾷν πράγμασιν ἀλλοτρίοις, καὶ τότε τίνων; πατέρων τῶν γεννησάντων ὑμᾶς, καὶ προνομίῳ βασιλείας ἢ πᾶν ἔθνος ὑπὸ πόδας ἔθηκε, καὶ οὐδὲν ἔθνος ἐξ οὗ Ῥωμαίων κράτος ἐγνωρίσθη καυχήσασθαι, μὴ οὐχὶ Τὸν αὐχένα κλίναι αὐΤῷ.

Εἰρήνην ἐπιζητεῖς· καλὸς ὁ λόγος, δεῖξον καὶ τῷ ἔργῳ τὸν λόγον ἀκόλουθον· ἡ εἰρήνη οὐ τῶν ἀλλοτρίων ἐφίεται, οὐ τοῖς μηδὲν προσήκουσιν ἐπιπηδᾷ, οὐ χεῖρας αἴρει πρὸς ὅπλα, οὐ παρέχει προφάσεις πολέμων, οὐ χαίρει χύσεσιν αἱμάτων, οὐκ οἶδεν αἰχμαλώτους ἀνθρώπους ποιεῖν· εἰ τοιαύτην εἰρήνην ποθεῖς, εἴη Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ τὸ οἰκεῖον αἷμα ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου κενώσας τὸ σὸν θελῆμα, μᾶλλον δὲ τὸ κοινὸν καὶ Βουλγάρων καὶ Ῥωμαίων ἐκπληρῶν· εἰ δὲ πρὸς ταύτην οὐ βλέπεις τὴν εἰρήνην, τί τοῦ ῥήματος ὄφελος, ὅταν τὰ πράγματα τυγχάνῃ πολέμια; κατάθες τὰ ὅπλα, παυέσθωσαν τῶν αἱμάτων αἱ χύσεις, τῶν αἰχμαλώτων αἱ συμφοραὶ, τῶν ὀρφανῶν, τῶν χηρῶν τὰ δάκρυα, ἡ ἐπιθυμία τοῦ πλεονεκτεῖν, τοῦ τῶν ἀλλοτρίων βούλεσθαι ἄρχειν· ταῦτα γενέσθω, καὶ ὄντως εἰρήνη Θεῷ ἀρέσκουσα βραβευθήσεται· τὸ δὲ λέγειν τοὺς πατέρας τοὺς ἐκ τῆς δουλείας

τοὺς πρώτους μετά γε Θεὸν ἐλευθερώσαντας ἡμᾶς, τούτους ὑποχειρίους λαβεῖν, πῶς ἐστιν εἰρήνης; ἀλλ' οὐχὶ τῶν πώποτε πολεμιωτάτων, καὶ μηδέ ποτε εἰρήνην εἰδότων;

Ἀλλὰ λέγεις, τέκνον ἡμῶν, οὕτω βούλεσθαι τὸν Θεόν· μέχρι τίνος τῶν ἀπατεώνων προσέξεις τοῖς λήροις φρόνιμος ὤν; ἕως πότε παραχωρήσεις τοῖς ἀγαπῶσιν ἐκ τοῦ πονηροῦ φθέγγεσθαι πνεύματος, ταῖς σαῖς ἀκοαῖς τὴν πονηρίαν αὐτῶν ἐπαντλεῖν; οὐκ ἔστι τοῦτο, τέκνον ἡμῶν, ἀληθές· οὐδὲ βούλεται τοῦτο Θεός, ἀλλ' ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, ὁ ἀεὶ χαίρων ταῖς στάσεσι, ταῖς μάχαις τοῖς πολέμοις, ταῖς ἀνδροφονίαις, καὶ εἴ τι ἄλλο κακὸν ἐν τῷ ματαίῳ βίῳ τῶν ἀνθρώπων γνωρίζεται· οὗτός ἐστιν ὁ ταῦτα καὶ βουλόμενος καὶ διαπραττόμενος, ἐκεῖθεν ταῦτα οἴμοι τῶν ἐμῶν παθῶν ἐπεισῆλθε τὰ κακὰ μέσον Ῥωμαίων καὶ Βουλγάρων, μεταξὺ τῶν πατέρων καὶ τῶν τέκνων, οὓς οὐχ αἷμα καὶ σὰρξ, ἀλλὰ τὸ πανάγιον πνεῦμα υἱοὺς καὶ πατέρας ἀπέδειξε· θάνατον γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν, ἀλλ' ἀπάτη δαίμονος καὶ ἐπιθυμία παραλόγως τῇ ἀπάτῃ ἐξακολουθήσασα, ἐξ ἧς καὶ τὰ νῦν συμβαίνοντα χαλεπὰ προῆλθεν εἰς γένεσιν· εἰ μὴ γὰρ ἄνθρωποι διεφθαρμένοι, καὶ πλάνοι τὴν σὴν φρονίμην ψυχὴν ἐξηπάτησαν, καὶ τῆς ἐκ τῶν πατέρων συνηθείας τοῦ βίου καὶ τῆς διαγωγῆς ἀπέστησαν, οὐκ ἂν οὐδὲ πολεμεῖν πρὸς χριστιανοὺς ἠγάπησας χριστιανὸς ὤν· οὐδὲ εὐσεβεῖν χάριτι Θεοῦ ὁμολογῶν, εὐσεβεῖς εἶλες αἰχμαλώτους· καὶ ἁπλῶς εἰπεῖν οὐκ ἂν εἰς ἐρημίαν κατέστησας οἴκους καὶ τόπους, ἐν οἷς τὸ τοῦ Χριστοῦ θεῖον ὄνομα ἐδοξάζετο, ἀλλ' ὅπερ ἔφην διαβόλου φθόνος καὶ τῶν ἐκείνου μιμουμένων τὴν κακίαν ἀνθρώπων τοῖς χαλεποῖς τούτοις ἔδωκαν προελθεῖν.

Ἀλλὰ γὰρ καὶ τοῦτο ἐνεφέρετο ἐν τῷ γράμματι, ὡς ἀγαπῶν τὸ ὁμόψυχον καὶ τὸ εἰρηνεύειν, πάντα πράττεις ἃ πράττεις· καὶ τὸ μὲν ὁμόψυχον καὶ τὸ εἰρηνεύειν ἔργον τοῦ ἀγαθοῦ, τὸ δὲ πράττειν ἃ πράττεις, ἔργον τοῦ πονηροῦ· οὐδεὶς εἰρήνην ἐπιζητῶν ἐπιβουλεύει ἐκείνου μεθ' οὗ εἰρηνεύειν ἐπιζητεῖ· οὐδεὶς ὁμόψυχον ἔχειν βουλόμενος τινά, τῇ σφαγῇ τούτου μιαίνει τὰς

χεῖρας, ἀλλὰ θεραπεύει, ἀλλ' ἀγαπᾷ, ἀλλὰ παντὶ τρόπῳ τὰ τῆς ἐκείνου ἀνέσεως ἐπιτελεῖν ἀγωνίζεται· τὰ δὲ ὑμέτερα οὐ τοιαῦτα, οὔκουν οὐδὲ ὁμοψυχεῖν, οὐδὲ εἰρηνεύειν ἐπιζητούντων, ἀλλὰ Τοὐναντίον μᾶλλον ἐχθραινόντων καὶ μαχομένων, καὶ μὴ δ' ὅτι τί ποτέ ἐστιν εἰρήνη συνιέντων· καὶ ταῦτα γράφομεν, τέκνον ἡμῶν, οὐχὶ διδάσκοντες ὡς ἀγνοοῦντα, ἀλλ' ὅτι διὰ τῶν τοιούτων ῥημάτων, οὐκ οἶδα Τίνας δοκεῖ τὸ γράμμα παραλογίζεσθαι· ἐρωτῶμέν σε, καὶ ἀποκρίθητι· εἴ τις ἢ ἀδελφὸς ἢ τῶν τέκνων αὐτῶν παρελθὼν, πάντα πράττοι ὥστε λαβεῖν τὴν σὴν κυριότητα καὶ τὴν ἀρχὴν τοῦ ἔθνους, εἶτα λέγοι ὡς πράττω ταῦτα καὶ ἀγωνίζομαι χάριν τοῦ εἶναι ὁμόψυχός σοι καὶ τοῦ εἰρηνεύειν, ἆρα τοῦτον ἀποδέξῃ τῆς τοιαύτης προαιρέσεως, ἢ ὡς ἐπίβουλον καὶ ἐχθρὸν παντὶ τρόπῳ καὶ τῆς ὅλης αὐτὸν ἐκδιώξεις χώρας; καὶ τίς ἐστιν ὃς τοῦτο ἠγόηκε; μὴ τοίνυν μὴ δὲ σὺ ἐκ τοιούτου φρονήματος ὁμόψυχος εἶναι, μὴ δὲ ἐπιζήτει τοιαύτην εἰρήνην· τὸ γὰρ ἰδιοποιεῖσθαι τὰ ἀλλότρια, τὸ βούλεσθαι τῶν μὴ προσηκόντων ἐπιβαίνειν, τυραννίδος ἐστὶ καὶ μαχομένου τρόπου, ἀλλ' οὐχὶ ὁμοψυχίας, οὐδὲ εἰρηνικῆς καταστάσεως· ἡ δὲ περὶ τῶν κοσσύ-
* κυνῶν ? γων καὶ τῶν πιθήκων καὶ τῶν κισσῶν * χρεία οὐκ οἶδα εἰς τί σοι προβέβληται· ἄνθρωπος μὲν γὰρ εἰκών ἐστι θεοῦ, καὶ τὴν θείαν μιμούμενος ἀρετὴν, γίνεται κρείττων πάσης κακίας, καὶ ὅσον ἀνθρώπῳ δυνατὸν θεὸς, καὶ διὰ τοῦτο παρὰ θεοῦ δεδημιούργηται· ἃ δ' ἔφης ζῶα, εἰ καὶ μιμηλόν τι πρὸς ἄνθρωπον ἐπιδείκνυται, ἀλλ' οὐδὲν πρὸς τὰ ἀνθρώπινα πράγματα· οὔτε γὰρ ἀνθρώπου ἀρετὴν ἀναλαβεῖν ἱκανὰ, οὔτε ἄνθρωπος λέγεσθαι καθ' οἱονδήποτε τρόπον, ὥσπερ ἐκ προκοπῆς ὁ ἄνθρωπος παρὰ θεοῦ λαμβάνει τὸ καλεῖσθαι θεος.

Πλὴν καὶ τοῦτο, τέκνον ἡμῶν, τὸ παράδειγμα εἰ βούλοιο συνορᾷν τοῖς ἔμπροσθεν εἰρημένοις, ὅμοια παραινεῖ· εἰ γὰρ ἐν τούτῳ γνωρίζονται χριστιανοὶ, ἐν τῷ φυλάττειν τῶν ἀποστόλων τὰς διατάξεις, ἐν τῷ ἀγαπᾷν εἰρήνην, ῥίψον τὰ ὅπλα, κατάθου τὸν πόλεμον, κάθαρον τὰς χεῖρας ἐκ τῶν χριστιανικῶν αἱμάτων, ἐπάνηκε εἰς τὴν ἀρχαίαν κατάστασιν, ἐπίγνωθι τοὺς πατέρας καὶ

ἀδελφοὺς, ἀναλαβὼν διάθεσιν ἣν ἡ ἐκ τοῦ πνεύματος συγγένεια βούλεται, καὶ κατάλιπε τὴν γνώμην πρὸς ἣν βασκανία δαίμονος καὶ ἀνθρώπων πονηρία κατεσκεύασεν· αὕτη ἐστὶν ὡς ἀληθῶς εἰρήνη, ἣν οὐκ ἰσχύει πλάνη ἐξᾶραι, τὸ παυθῆναι τοὺς πολέμους, τὸ ἀνακοπῆναι τὰς τῶν αἱμάτων χύσεις, τὸ ἀρκεῖσθαί σε τῇ παρὰ Θεοῦ ἐξ ἀρχῆς καὶ ἐκ τῶν πατέρων δεδομένῃ σοι ἐξουσίᾳ καὶ τιμῇ, τὸ μὴ ὑπερβαίνειν ὅρια ἃ ἔθεντο οἱ πατέρες σου, καὶ τὴν μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων, ὅτε τὸν Χριστὸν ἐπέγνωτε καὶ Θεὸν, συμπεφωνημένην εἰρήνην· εἰ οὕτως φρονοῦμεν, ὄντως οὐδὲ αὐτὸς ὁ διάβολος μετὰ πάσης αὐτοῦ τῆς στρατιᾶς κεκινημένος παρατρέψαι τὴν πρὸς σὲ εἰρήνην ἡμῶν δυνήσεται· καὶ, ἀλλὰ βούλημα Θεοῦ τὴν τῶν Ῥωμαίων ἐξουσίαν ὑμᾶς λαβεῖν· ἐπισφαλεῖς οἱ λογισμοὶ, οὐκ εὐπρεπὴς ἡ ἐνθύμησις, ἄδηλον τὸ τέλος εἰς ὃ καταντήσεται· πολλοὶ τοῖς τέως παροῦσι μὴ ἐπαρκούμενοι, ἀλλὰ πρὸς πλείονα ὑπερεκτείνοντες ἑαυτοὺς, καὶ ἃ τέως εἶχον προσαπώλεσαν· οὕτως ἐστὶ τὰ ἀνθρώπινα πράγματα, οὕτως ἐπισφαλῆ καὶ ἀβέβαια· πλὴν εἰ βούλημα Θεοῦ, δεῖ τὸν οὕτω πεποιθότα ὡς λήψεταί τι παρὰ Θεοῦ, ἐκείνου περιμένειν τὴν κρίσιν, ἐκεῖθεν ἐκδέχεσθαι τὴν ἀπόληψιν τῶν ἐλπιζομένων, ἀλλὰ μὴ πρὸς τὰς σφαγὰς, πρὸς τοὺς φόνους, πρὸς ἃ μεμίσηκεν ὁ Θεὸς ἐφορμᾷν· καὶ τότε πρὸς τίνας; οὐ πρὸς ἔθνη τὰ μὴ εἰδότα Θεὸν, οὐ πρὸς λαὸν ἀλλότριον τοῦ Χριστοῦ, οὐ πρὸς ἀνθρώπους διακειμένους πολεμίως πρὸς ὑμᾶς, ἀλλὰ πρὸς πατέρας, πρὸς ἀδελφοὺς, πρὸς τοιούτους ἀνθρώπους, οἳ ὡς τέκνων ὑμῶν ἐτίθεντο πρόνοιαν, πρὸς τοιούτοις ἐξεβαρώθητε, ἐξεπολεμώθητε, καὶ ἡγήσασθε τὸ ἐν τοῖς ὑμετέροις ὅπλοις κεῖσθαι, καὶ τῇ ἐκχύσει τῶν χριστιανικῶν αἱμάτων παρελέσθαι τὴν ἀρχὴν καὶ βασιλείαν, ἀδυνάτοις μὲν ἐπιχειροῦντες.

Ἐβουλόμεθα καθέκαστον ἐπεξιέναι τῷ γράμματι, ἀλλ᾽ ὅτι συνείδομεν τὴν τοῦ γράμματος ὑμῶν πολυλογίαν πρὸς ἕνα καὶ τὸν αὐτὸν σκοπὸν συντείνουσαν, ὅνπερ ἀπ᾽ ἀρχῆς καὶ μέχρι τοῦ νῦν ἀνεδέξασθε, οὐκ ἔδοξεν ἔχειν καλῶς πρὸς ἕκαστον ἀποκρίνεσθαι τῶν γεγραμμένων, ἵνα μὴ ἀντὶ γραμμάτων βίβλον φανῶμεν γρά-

φοντες, καὶ συγκόπτοντες μὲν σὲ τῇ πολυῤῥημοσύνῃ, μηδὲν δὲ ἴσως ὠφελοῦντες· διὰ τοῦτο καταλιπόντες τὸ πλείονα γράφειν, τοῦτό σοι γράφομεν· μνήσθητι, τέκνον ἡμῶν, ἡμερῶν ἀρχαίων ἐκείνων ὅτε τῷ δεσμῷ τοῦ ἁγίου πνεύματος συνδεδεμένος ἐτύγχανες τῇ τοῦ πατρὸς καὶ βασιλέως ὡς υἱὸς ποθεινὸς ἀγάπῃ· μνήσθητι τῆς καλῆς ἐκείνης καὶ ἁγίας μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνης, τῆς γλυκείας συναναστροφῆς, τῆς ἀταράχου ζωῆς· ὅτε Θεὸς ἐδοξάζετο μιᾷ καὶ ψυχῇ καὶ γνώμῃ Βουλγάρων καὶ Ῥωμαίων τὸ πανάγιον ὄνομα δοξαζόντων, ὅτε διάβολος καὶ οἱ σὺν αὐτῷ δαίμονες ὁρῶντες τὴν ὑμῶν σωτηρίαν, τὸ φιλάδελφον, τὸν εὐσεβῆ καὶ ὅσιον τρόπον, ἐθρήνουν τε καὶ ὠδύροντο· ὅτε Βουλγάρων πρὸς τὴν γῆν τῶν Ῥωμαίων εἰσιόντων, ὡς τέκνα, ὡς ἀδελφοὶ ὑποδεχόμενοι τούτους Ῥωμαῖοι ἔχαιρον καὶ εὐφραίνοντο, ὅτε πάλιν Ῥωμαίων πρὸς Βουλγάρους παραγινομένων ὑμεῖς τῆς ἴσης χαρᾶς καὶ ἀγαλλιάσεως ἀπελαύετε.

Ταῦτα ἐνθυμήθητι, τέκνον ἡμῶν, τὴν κοινὴν εὐφροσύνην, τὴν πνευματικὴν ἐκείνην καὶ μακαρίαν ἡδονὴν, ἧς ἀπήλαυσν οἱ τότε Ῥωμαῖοι καὶ Βούλγαροι, δι' ἣν ὁ διάβολος ἐξεμαίνετο, δι' ἣν ἐσκυθρώπαζε καὶ κατηφὴς καὶ ἀλύων ἐπορεύετο, καὶ πάντα τρόπον ἐμηχανᾶτο, πᾶσαν πορείαν ἠλαύνετο τοῦ συγχέαι καὶ συνταράξαι τὴν τριπόθητον ἐκείνην διαγωγήν· ὃ καὶ ἐξενίκησε, φεῦ τῆς ἀμάχου κακίας, ὡς ἐνόμισε καταπράξασθαι· ἀλλὰ μὴ συγκεχωρήσθω τῷ πονηρῷ ἐπὶ πλέον ἐγκαυχᾶσθαι, μὴ δὲ ἐξορχεῖσθαι κατὰ τῆς Βουλγάρων καὶ Ῥωμαίων διαστάσεως· ἀλλ' ὡς νουνεχὴς, ὡς φρόνιμος, ἀφεὶς τοὺς συνέχοντας λογισμοὺς, ἀποφράξας τὰ ὦτα τοῖς ὑποβάλλουσι τὰ πονηρὰ βουλεύματα, γενοῦ σεαυτοῦ καὶ τῆς σοὶ πρεπούσης ἀρετῆς, ἐπάνελθε πρὸς τὴν ἀρχαίαν εἰρήνην, ἐπάνηκε πρὸς τὸ ἥμερον καὶ ἐπιεικὲς τῆς ἔμφρονός σου ψυχῆς· ἀντιστραφήτωσαν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα Ῥωμαίων καὶ Βουλγάρων, ἃ προσεξένησεν ὁ σατανᾶς, ἐπ' ἐκεῖνον αὐτὸν τὸν εὑρετὴν τῆς κακίας, πορευέσθω πάλιν οἰμώζων καὶ κοπτων ἑαυτὸν ἐπὶ τῇ πρὸς τὴν εἰρήνην συμβάσει καὶ θεοφιλεῖ ὁμοψυχίᾳ τῶν οὓς ἐξ ἀλλήλων διαστῆσαι κακομηχάνως δεδύνηται· ἐπὶ πᾶσι

δὲ τούτοις τὸ ἐκεῖθεν κριτήριον, τέκνον ἡμῶν, καὶ τὸν φοβερὸν δικαστὴν ἀναλογιζώμεθα, καὶ τὴν κοινῶς μετὰ πάντων ἐπὶ τοῦ φρικτοῦ βήματος παράστασιν, ὅτε οὔτε βασιλεὺς οὐκ ἄρχων οὐκ ἰδιώτης διακρίνεται, ἀλλὰ πάντες γυμνοὶ καὶ τετραχηλισμένοι παραστησόμεθα, οὐ μόνον τὰς πράξεις ἀλλὰ καὶ τὰς ἐνθυμήσεις καὶ τὸ συνειδὸς εἰς ἔλεγχον παριστάμενα ἔχοντες, ὅταν καὶ αὐτὰς τὰς ἐπουρανίους δυνάμεις τρόμος καὶ φρίκη καταλήψεται.

Ταῦτα ἐνθυμηθῶμεν, καὶ λήξωμεν τῶν ἔργων τῶν μέχρι τοῦ νῦν λυπούντων μὲν τὸν Χριστὸν καὶ θεὸν ἡμῶν, χαίρειν δὲ παρασκευαζόντων τοὺς φθονοῦντας τῇ σωτηρίᾳ ἡμῶν δαίμονας, καὶ εἰς ἐπανόρθωσιν καταστήσωμεν ἃ παρεσφάλημεν, μὴ δὲ βουληθῶμεν ἐπιμεῖναι, διότι συνηρπάσθημεν ἐπὶ τοῖς εἰργασμένοις κακοῖς, μὴ ἀναμείνωμεν τὴν ἐσχάτην ἡμέραν, ὅτε καὶ βουλόμενοι χρηστόν τι φρονεῖν ἴσως, οὐδὲν δυνησόμεθα, περισπωμένης τῆς ψυχῆς καὶ πρὸς μόνην τὴν ἐκδημίαν ἀποβλεπούσης τοῦ σώματος, καὶ ἀγωνιώσης ἐφ᾽ οἷς μέλλει ὑπὸ τῶν τότε παρισταμένων· ὢ τοῦ φρικτοῦ θεάματος θείων ἀγγέλων καὶ πονηρῶν δαιμόνων διερευνᾶσθαι καὶ ἐξετάζεσθαι· μὴ ἀπέλθωμεν οὕτως ἐκ τῆς παρούσης ζωῆς, ὅτι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· μὴ δὲ γένοιτο ἡμᾶς ἀκοῦσαι τῆς ὀδυνηρᾶς ἐπὶ τοῖς ἀδιορθώτως ἐφ᾽ οἷς ἐπλημμελήσαμεν ἐκ τῆς παρούσης ζωῆς ἀπιοῦσιν ἀποφάσεως, ὅτε οὐκέτι περιλείπεται προσδοκία μετανοίας, οὐκ ἐλέους τοῦ ἀπροσωπολήπτου κριτοῦ· οὐδ᾽ ἔχει τέλος ἡ ἀπόφασις, ἀλλὰ ἀπέραντος διαμένει ἐλεεινῶς τὸν πάντα αἰῶνα τοὺς ὑπ᾽ αὐτῇ πεσόντας κολάζουσα καὶ τιμωρουμένη.

Ἐμνημόνευε δὲ τὸ γράμμα καὶ περὶ ἀποκρισιαρίων ἀποστολῆς· καὶ ἦν μέν, τέκνον ἡμῶν, ἠγαπημένον ἁπλοῦν καὶ ἀνυπονόητον τὸ τοὺς παρ᾽ ὑμῶν κατεχομένους ἀποστεῖλαι, καὶ δι᾽ ἐκείνων δηλῶσαι τὰ δοκοῦντα· εἰ δὲ μὴ τοὺς δύο, τέως τὸν ἕτερον μετά τινος ἀνθρώπου ὑμῶν, καὶ τότε ἕτεροι ἂν ἀπεστάλησαν οὓς ἐπιζητεῖν ἐγνώκειτε· νῦν δὲ τὸ κατέχεσθαι παρ᾽ ὑμῶν τοὺς προαποσταλέντας, οὐ δίδωσι χώραν τὸ ἑτέρους ἐξαποστέλλεσθαι· εἰ οὖν ἀληθῶς ὁ τῆς εἰρήνης μεσίτης Χριστὸς ὁ θεὸς ἡμῶν λογι-

σμοὺς ἁγίους περὶ τῆς εἰρήνης ὑπέβαλεν ἐν τῇ σῇ ψυχῇ, ἀποσταλήτωσαν οἱ κατεχόμενοι, ἢ τῶν δύο ὁ ἕτερος μετὰ ἀνθρώπου τῆς σῆς μεγαλοδόξου ἀρχῆς, καὶ καταλαμβανόντων αὐτῶν, καὶ τοὺς λόγους ἀποκομιζόντων, οὓς ἂν ἐπιτρέψητε ἐξαποσταλήσονται οἱ τὰ παρὰ τοῦ θεοστεφοῦς βασιλέως ἡμῶν καὶ τῆς συγκλήτου ἀπαγγέλουντες.

XXII. ΤΩ ΑΥΤΩ.

Ἐλυπήθημεν μὴ δεξάμενοι γράμμα τοῦ ἡμῖν πεποθημένου τέκνου, καὶ ὡς εἰκὸς ἐλογισάμεθα· ὅτι ἐν καταπεφρονημένῃ μοίρᾳ κείμεθα παρὰ σοὶ, καὶ διὰ τοῦτο καὶ γράφειν πρὸς ἡμᾶς οὐκ ἠξίωσας· τί γάρ με ἄλλο ἔδει λογίζεσθαι; οὐδὲ γὰρ ἐνδέχεται υἱὸν ἀγαπῶντα πατέρα καὶ στοργὴν ἀποσώζοντα τὴν ὀφειλομένην, γράμματα παρὰ τοῦ πατρὸς δεχόμενον, μὴ πάλιν ἀντιπέμπειν τὰ παρ᾽ ἑαυτοῦ γράμματα· ὅμως οὖν, τέκνον ἡμῶν, εἰ καὶ σὺ γράψαι πρὸς ἡμᾶς οὐκ ἠξίωσας, ἡμεῖς καὶ πάλιν γράφομεν, οὐδέν τι διὰ τὸ παραλογισθῆναι τὴν πρὸς σὲ πατρικὴν στοργὴν ἀλλοιώσαντες, ἀλλ᾽ ὑγιῆ σώζοντες τὴν σχέσιν ἡμῶν τὴν πρὸς σὲ, καὶ τὴν πατρὶ ἐφ᾽ υἱῷ πρέπουσαν διάθεσιν.

Ἐνετύχομεν τοῖς βασιλικοῖς γράμμασι, καὶ κατενοήσαμεν ἐν αὐτοῖς τὴν σὴν ἀγαθὴν προαίρεσιν, καὶ ὅτι θεοῦ εὐδοκοῦντος φρόνημα κατέστη τοιοῦτο ἡ σὴ φιλάνθρωπος καὶ ἡμερωτάτη ψυχή· ὥστε παυθῆναι τοὺς πολέμους, λῆξαι τὰς σφαγὰς, ἠρεμῆσαι τὰς τῶν αἱμάτων χύσεις, καὶ ἀνακαινισθῆναι πάλιν τὴν σὴν εἰρήνην μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, ἣν ἔδωκεν μὲν ὁ Χριστὸς καὶ θεὸς ἡμῶν ὁ κοινὸς πατὴρ, ὁ πάντων δεσπότης· ἐφιλονείκησε δὲ ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος διάβολος λῦσαι, καὶ ἀντὶ τῆς κληρονομίας ἐκείνης καταστῆσαι εἰς πράγματα Βουλγάρους καὶ Ῥωμαίους, δι᾽ ὧν καὶ ἐν τῇ παρούσῃ ζωῇ πολλὴ ἀπήντησε χαλεπότης καὶ ἀπώλεια, μεταβολὴν εἰς τὸ κρεῖττον οὐκ ἔχουσα· εὐχαριστοῦμεν οὖν τῷ θεῷ τῷ λογισμὸν τοιοῦτον ἐν τῇ ἔμφρονί σου καὶ συνετωτάτῃ καρδίᾳ θεμένῳ, καὶ εὐχόμεθα εἰ καὶ ἁμαρ-

πολλοῖ ἔτι καὶ ἔτι τῷ εἰρηνικῷ πνεύματι τὴν σὴν τιμίαν ψυχὴν ἐμπνέεσθαι, καὶ δοῦναι τῶν σωτηρίων καρπῶν τῆς εἰρήνης κοινῶς ἀπολαῦσαι Ῥωμαίους καὶ Βουλγάρους, εἰς δόξαν μὲν τοῦ οἰκείου ὀνόματος, εἰς δόξαν δὲ σὴν τέκνον μου ἠγαπημένον ἀείμνηστον, καὶ εἰς αἰσχύνην τοῦ δαίμονος ὃς τῇ ἑαυτοῦ κακοτροπίᾳ ἐπὶ τοσούτοις ἔτεσιν ἐξέμηνε κατ᾽ ἀλλήλων, χριστιανοὺς πρὸς χριστιανοὺς, φίλους πρὸς φίλους· καὶ ἵνα συντόμως εἴπω, ἀδελφοὺς πρὸς ἀδελφοὺς, καὶ τέκνα πρὸς πατέρας· ταῦτα εὐχόμεθα καὶ πεποίθαμεν καὶ θεῷ καὶ τῇ σῇ ἀγαθῇ συνειδήσει, ὅτι οἱ τῆς εἰρήνης λογισμοὶ ἐν τῇ σῇ καρδίᾳ ὥσπερ νῦν φαίνονται ἀνατέλλοντες, οὕτω καὶ τὸ οἰκεῖον φῶς τέλειον διαυγάσουσιν· ἐπειδὴ δὲ, τέκνον ἡμῶν, τὸ σὸν ἔλεγε γράμμα καὶ ἄνθρωπον ἀποσταλῆναι, δι᾽ οὗ ὁ τρόπος τῆς εἰρήνης τελείως σοι γνωρισθήσεται. πρὸς τὸ μηδαμῶς ἔτι ἀμφιβολίαν τινὰ ὑπάρχειν ἡμῖν, ἀπεστείλαμεν ἄνθρωπον ὃς τέκνον ἡμῶν οἰκεῖον καθέστηκε· καὶ γὰρ καὶ ὀνύχων ἐξ ἁπαλῶν ἡμῖν συνεγένετο, καὶ παρ᾽ ἡμῶν ἐκπεπαίδευται καὶ τοῦ ἀγγελικοῦ σχήματος ἠξίωται, καὶ τὸ εἶναι ἀρχιερεὺς ἐν ἁγίῳ πνεύματι παρὰ τῆς ἡμετέρας ταπεινῆς χειρὸς ἐδέξατο, καὶ ἁπλῶς τοιοῦτό ἐστι τέκνον ἡμῶν οἷον ἐν νυκτὶ καὶ ἡμέρᾳ πρὸ τῶν οἰκείων ἔχοντες ὀφθαλμῶν, τὴν ἐπ᾽ αὐτῷ πνευματικὴν χαρὰν κεκτήμεθα.

Τοῦτον οὖν, ἐπειδὴ ἐπεζήτησας, ἄνθρωπον πιστὸν καὶ μηδὲν ἔξω τῆς ἀληθείας φθέγγεσθαι εἰδότα, ἀπεστείλαμεν· ἵνα πᾶσαν τὴν ἀλήθειαν ἁπλῶς καὶ ἀπανουργεύτως παρ᾽ αὐτοῦ μάθῃς, ὅπως περὶ τῆς σὺν θεῷ μελλούσης ἔσεσθε εἰρήνης οἵ τε λαχόντες τοῦ βασιλεύειν, καὶ πᾶσα ἡ σύγκλητος αὐτῶν, καὶ βουλὴν ἔθεντο, καὶ τὴν βουλὴν εἰς ἔργον μέλλουσιν ἄγειν, εἰ μή τι αὐτὸς, τέκνον ἡμῶν, ὅπερ μὴ δοίη θεὸς, ἄλλό τι διανοηθείης ἐμπόδιον τῇ εἰρήνῃ ἐσόμενον· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον· αὐτὸν δὲ τὸν πάντων κύριον καὶ θεὸν καὶ βασιλέα ἐνορκιζόμέν σε τοῦ μὴ κατασχεῖν αὐτὸν, μὴ δὲ λυπῆσαι τὸ γῆρας ἡμῶν ἐπὶ τῇ κατασχέσει αὐτοῦ, ἀλλὰ μέχρι πέντε καὶ δέκα ἡμερῶν ἃ βούλει περὶ τῆς εἰρήνης ἀνακοινώσασθαι αὐτῷ καὶ τῆς πεντεκαιδεκάτης ἡμέρας τὸ

τέλος λαμβανούσης, ἀκωλύτως, ἀλύπως, ἀβλαβῶς, ἀποστεῖλαι αὐτὸν πρὸς ἡμᾶς· καὶ, τέκνον μου, αὐτὸν δυσωπήθητι τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, τὴν ἡμῶν τῶν ταπεινῶν πρὸς σὲ στοργήν· προσθήσομεν εἰ βούλει καὶ τὴν λειτουργίαν, ἣν λειτουργοῦμεν παριστάμενοι τῷ θυσιαστηρίῳ τοῦ θεοῦ· καὶ δὴ καὶ τὸ ταπεινὸν ἡμῶν γῆρας, καὶ μὴ λυπήσῃς ἡμᾶς· ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι τῇ τῶν ὅλων δημιουργῷ τριάδι, δεσμὸν ἐπιβάλλομέν σοι· μὴ δὲ ποιήσῃς ἡμᾶς στενάζειν διὰ παντὸς κατὰ σοῦ καὶ προσεντυγχάνειν θεῷ, μέχρις ἂν ἐν τῇ ζωῇ ταύτῃ ἀναστρεφώμεθα, καὶ τὴν ματαιότητα τῶν ἀνθρωπίνων πραγμάτων ἀναθεωροῦντες ὑπάρχωμεν.

XXIII. ΤΩ ΑΥΤΩ.

Ἐγὼ καὶ πρότερον ἔγραφον τῇ τιμιότητί σου, τέκνον ἡμῶν, καὶ γράφων παρειχόμην πληροφορίαν τῇ συνέσει σου, ὅτι οὐχ ἕνεκεν τῆς τῶν Ῥωμαίων κακώσεως, ἀλλὰ χάριν τῆς κοινῆς σωτηρίας Βουλγάρων καὶ Ῥωμαίων τοὺς λόγους ποιοῦμαι· καὶ τότε ἴσως ἐδόκουν ἄπιστα λέγειν ὑμῖν, καὶ νῦν δὲ γράφω τῆς αὐτῆς προαιρέσεως ὑπάρχων, καὶ τὴν αὐτὴν ἔχων κηδεμονίαν ὑπὲρ ἑκατέρου γένους, Βουλγάρων φημὶ καὶ Ῥωμαίων· ἵνα εἰ δυνατὸν ὅπερ ἐξ ἀρχῆς ἔδει γενέσθαι, ἐπηρείᾳ δὲ τοῦ δαίμονος οὐ γέγονε, κἂν νῦν δέξηται γένεσιν· ποῖον δὴ τοῦτο; φημὶ τῆς εἰρήνης τὸ μέγα πρᾶγμα, τὸ ἀγαπώμενον καὶ τῷ Χριστῷ καὶ θεῷ ἡμῶν, καὶ πρὸς συμφέρον ἐσόμενον τοῖς μέχρι τοῦ παρόντος ἐλεεινῶς καὶ ἀθλίως τὸν βίον διεξανύσασι, τὸ λῆξαι τῶν αἱμάτων τὰς χύσεις ὅσαι παρὰ χριστιανῶν εἰς χριστιανοὺς ἐνεργοῦνται· καὶ ταῦτα ἔγραφον μὲν πρότερον, ὡς εἶπον, μετ' ὀδύνης καρδίας, καὶ νυν ἐπιστέλλω μετὰ κέντρου τῆς ὀδύνης πληκτικωτέρου· πόθεν δὲ τὸ αἴτιον τοῦ νῦν σφοδροτέρῳ πλήττεσθαι ἡμᾶς κέντρῳ, ἄκουέ μου ἠγαπημένε· συγκίνησις δυνατωτάτη, ὅσον ἔστιν ἐμὲ ὑπολαβεῖν, ἐκ τῆς βασιλικῆς σπουδῆς κατὰ τῆς ὑμετέρας ἐξουσίας καὶ τοῦ σοῦ γένους, ἢ παρεσκεύασται, ἢ παρασκευασθή-

σεται, τῶν τε Ῥῶς, καὶ σὺν ἐκείνοις τῶν Πατζηνακιτῶν, ἔτι δὲ καὶ Ἀλανῶν, καὶ τῶν ἐκ τῆς δύσεως Τούρκων, πάντων ὁμοφρονησάντων, καὶ τὸν κατὰ σοῦ πόλεμον ἀραμένων.

Ταῦτα ἐπειδὴ ταῖς ἐμαῖς ἀκοαῖς προσῆλθον, ὅλως συνεχύθην, καὶ πλήρης ἐγενόμεν δακρύων, καὶ τὰς ὀλίγας καὶ πονηρὰς τῆς ἐμῆς ζωῆς ἐμεμψάμην ἡμέρας, ὅτι πρὸς σύμβασιν τοιούτων πραγμάτων, καὶ τὴν ἐξ αὐτῶν ἀλγηδόνα τῆς ἐμῆς καρδίας παρέτεινεν ὁ βίος ἡμῶν, καὶ οὐ προαπολώλειν οὐδ᾽ ἀπῆλθον ἐκ τῆς παρούσης ζωῆς πρὶν ἢ ταῦτα γενέσθαι, καὶ ταῖς ἐμαῖς ἀκοαῖς τοὺς περὶ αὐτῶν προσελθεῖν λόγους· οὕτως οὖν διατεθειμένος καὶ τοῖς φιλοχρίστοις ἡμῶν βασιλεῦσιν, ἃ τὸ ἄλγος τῆς ἐμῆς ἐπέτρεπε καρδίας προσειπεῖν οὐκ ἀπώκνησα, καὶ πρὸς ὑμᾶς δὲ ἃ γράφειν προεθυμήθην γράφω· ἃ μὲν οὖν πρὸς τοὺς ἐκ θεοῦ λαχόντας τοῦ Ῥωμαίων βασιλεύειν γένους ἐφθεγξάμην, ἃ ἐδυσώπησα, ὅσην παραίνεσιν ἐποιησάμην, ταῦτά ἐστιν· ἐπισχεῖν τῶν ἐθνῶν ἐκείνων τὴν καθ᾽ ὑμῶν συγκίνησιν μακροθυμῆσαι, καὶ ἔτι ἐπὶ πᾶσιν οἷς ὑπέστησαν παρ᾽ ὑμῶν ἀνιαροῖς· μὴ δὲ τοσοῦτον κινηθῆναι πικρίᾳ ψυχῆς καὶ ἀγανακτήσει τυχὸν εὐλόγῳ τοῦ τοσαύτην ἄμυναν πρὸς τὸ Βουλγάρων ἐπιδείξασθαι γένος, ὥστε παντὶ τρόπῳ φέρειν σπουδὴν τοῦ ἔθνη ἀθείᾳ συζῶντα, συγκόπτειν ἐπιτρέψαι τοὺς ὀνόματι μὲν τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐπικεκλημένους, ἀδελφοὺς δὲ καὶ τέκνα ὑπάρχοντας, εἰ καὶ διαβόλου ἐπινοήμασιν ὀλεθρίοις εἰς ἐχθροὺς καὶ πολεμίους κατέστησαν.

Τοιαῦτα καὶ ὅσα ἄλλα περιττόν ἐστι τῷ γράμματι συντάττειν, πρὸς τοὺς φιλοθέους ἡμῶν ἐφθεγξάμεν βασιλεῖς, καὶ τό γε φιλάνθρωπον αὐτῶν καὶ ἐπιεικὲς αὐτίκα τῶν ἡμετέρων προσέσχε λόγων, καὶ οὐκ ἀντεῖπον οὐδ᾽ ἐφιλονείκησαν πρὸς ἡμᾶς τοῦ ἄμυναν γενέσθαι πρὸς Βουλγάρους τοὺς οὕτω κακώσαντας τὴν ῥωμαϊκὴν ἐξουσίαν, ἀλλὰ πρὸς τὴν ἐξ ἀρχῆς παρ᾽ αὐτῶν ἐπιζητουμένην εἰρήνην ὅλην τὴν προαίρεσιν ὤφθησαν ἐπικλίναντες, καὶ εἶπον τοιαῦτα πρὸς ἡμᾶς· ὦ πατὲρ καὶ ποιμὴν τῆς τοῦ Χριστοῦ ποίμνης, οὐκ ἐξέστημεν τῆς οἰκείας γνώμης, ὁπόσα δ᾽ ἂν τὸ Βουλγάρων γένος εἰργάσατο εἰς ἡμᾶς χαλεπὰ, οὐδὲ λογιζόμεθα τὰ

κεχυμένα παρ' αὐτῶν αἵματα τοῦ ἡμετέρου λαοῦ καὶ τὴν ἄλλην πανωλεθρίαν, ὅσην τῷ πονηρῷ δαίμονι ἐνεργούμενοι κατὰ τῶν ἡμετέρων εἰργάσαντο ὑπηκόων, οὐ μὲν ἀλλ' οὐδὲ τὴν καινοτομίαν ὅσην ὑπέστημεν ὑπὸ χρόνοις τοσούτοις εἰς τὴν τῶν νῦν ἀποκεκινημένων ἐθνῶν ἀποκίνησιν, οὐδ' ὅσα ἔτη μέλλομεν καινοτομεῖσθαι, εἰς ἀριθμοῦ λόγον ποιούμεθα· ἀλλ' ἐπεὶ ταῦτα τὴν ἡμῶν διενοήθης παρακαλεῖν βασιλείαν, ἐκείνῳ εἰ βούλει ἐπίστειλον, ἀντὶ τοῦ πολέμου καὶ τῶν σφαγῶν τὴν εἰρήνην ἐπιζητῆσαι, καὶ εἴ γε λάβοις αὐτὸν τοῖς σοῖς πειθόμενον λόγοις, ἡμᾶς ἔχεις τῇ σῇ παρακλήσει μὴ ἀντιλέγοντας· ταῦτα μὲν ἃ ἡ ἐκείνων χρηστότης, καὶ ἡ τοῦ καλοῦ πράγματος τῆς εἰρήνης ἔφεσις πρὸς τὴν ἡμετέραν ὑπεφθέγξατο δέησιν· τὸ λοιπὸν ἐπὶ σὲ τέκνον ἡμῶν προβάλλομαι τὴν παράκλησιν, καὶ ὅπερ ἐξ ἀρχῆς, τοῦτο καὶ νῦν γράφω μετὰ θρήνων καὶ ὀδυρμῶν· ἀπόβλεψον πρὸς τὸ τῆς εἰρήνης ἀγαθὸν, ἀπόβλεψον πρὸς τὴν τοῦ σοῦ γένους σωτηρίαν, μὴ δ' ἐπιμείνῃς ἔτι τῇ κακίστῃ φιλονεικίᾳ, μὴ δὲ προτιμήσῃς τὰς σφαγὰς καὶ τὰ αἵματα, τὰς χηρείας, τὰς ἀπαιδείας, ἁπλῶς τῆς γῆς τὴν ἐρημίαν, τῶν καλῶν πραγμάτων καὶ ἡδίστων ὅσα ἐκ τῆς εἰρήνης Ῥωμαίοις περιγίνεται καὶ Βουλγάροις.

Γίνωσκε γάρ φημι καὶ πάλιν εἴ τι ἔγὼ τὰ τῆς βασιλικῆς κινήσεως καθ' ὑμῶν κατενόησα πράγματα, πᾶν γένος οὐ μὴ λήξωσιν εἰς τὸν καθ' ὑμῶν ὄλεθρον συγκινοῦντες, οὔτε Τούρκους, οὔτε Ἀλανοὺς, οὔτε Πατζηνακίτας, οὔτε Ῥῶς, οὔτε τὰ ἄλλα σκυθικὰ γένη, μέχρις ἂν τὸ τῶν Βουλγάρων εἰς τέλος ἐξαπολέσωσι γένος· καὶ οὐκ ἔχω πῶς ἐπὶ τοῦτο ἀμφίβολον ἀναλήψομαι γνώμην, ὅτι μὴ πρὸς ἔργον ἡ καθ' ἑκάστην αὐτοῖς σπουδαζομένη μελέτη οὐκ ἀποβήσεται· εἰ μὲν γὰρ ἑώρων τὰ σὰ πράγματα μετὰ τοῦ δικαίου τυγχάνοντα, καὶ πρὸς θεοῦ ἀρέσκειαν προβαίνοντα, τάχα ἂν περὶ τῆς τῶν βασιλέων καθ' ὑμῶν σπουδῆς καὶ τῆς ἐπικρατείας ἔσχον λογισμοὺς ἀμφιβόλους παρέχοντας, ὡς τυχὸν οὔτε τῶν ἐθνῶν ἡ συγκίνησις, οὔτε τὸ τῆς ῥωμαϊκῆς βασιλείας ἐπιμελὲς καὶ πεφροντισμένον ἰσχύσει κατὰ Βουλγάρων, τῆς δικαιοσύνης συστρατευομένης ὑμῖν, καὶ τῆς ἄλλης παρὰ θεοῦ παρ' ὑμῶν

θεραπευομένης ῥοπῆς· ὅταν δὲ εἰς ἐνθύμησιν ἔλθω τῶν τοσούτων ἐκκλησιῶν τοῦ θεοῦ τῆς καταστροφῆς, τῶν ἐπισκοπείων, τῶν μοναστηρίων, τοῦ φόνου τῶν ἱερέων, τῆς φθορᾶς τῶν παρθένων, τῶν μοναζόντων τῆς ὕβρεως, τίς ἐστι λογισμὸς, ὅτι ταῦτα παρόψεται ὁ θεὸς; καὶ οὐχὶ τὴν μακροθυμίαν ἣν ἐπεδείξατο μέχρι τοῦ παρόντος, ὡς φιλάνθρωπος, ὡς ἀνεξίκακος ζητῶν ἡμῶν τὴν ἐπιστροφὴν, οὐχὶ πρὸς ὀργὴν καὶ θυμὸν τὸν κατὰ Βουλγάρων ἐπιστρέψει, καὶ τὴν ἐκδίκησιν τῆς τοσαύτης ἐπάξει μιαιφονίας; ταῦτα υἱέ μου ἀγαπητὲ, ὁ θεὸς γὰρ οἶδεν ὅτι ἀγαπῶ ὑμᾶς, τὴν ταπεινήν μου σπαράσσει ψυχὴν, καὶ ὅτι μανθάνω καὶ νῦν τὴν τοσαύτην συγκίνησιν τῶν καθ᾽ ὑμῶν ἀποκεκινημένων ἐθνῶν· καὶ ἀλγῶ καθὼς ὑπὲρ τῶν Ῥωμαίων, οὕτω καὶ ὑπὲρ τῶν Βουλγάρων, μή ποτε φιλονεικούντων ὑμῶν καὶ ἔτι καὶ πολέμους ἐπιζητούντων ἀναλωθῆτε, οἷα πολλάκις συνέβη ἐν πολλοῖς ἔθνεσιν, αὔξησιν μὲν κατὰ χρόνους λαβόντων, τῇ δὲ φιλοπολέμῳ προαιρέσει τελείαν δεξαμένων ἀπώλειαν.

Τοιαῦτα μὲν πολλὰ καὶ πολλάκις κατὰ τοὺς ἰδίους συνέβη καιρούς· νῦν δὲ ἀπευχόμενος μὴ τοῦτο καὶ ἐφ᾽ ὑμῖν συμβῆναι, μὴ δὲ χριστιανοὺς ὑμᾶς ὄντας πρὸς τοιοῦτον καταντῆσαι τέλος, ἐπὶ πᾶσιν οἷς προλαβὼν τὴν σὴν φρονίμην καὶ ἥμερον ψυχὴν ἐδυσώπησα, καὶ νῦν δυσωπῶ, καὶ ὡς παρὼν περιπτύσσομαι, καὶ ὡς υἱῷ ἠγαπημένῳ τὰ συμφέροντα παραινῶ· τέκνον ἡμῶν, ἀρκετὸς ὁ χρόνος, ὃν ἐξωρχήσατο κατὰ τῶν Ῥωμαίων καὶ τῶν Βουλγάρων ὁ κοινὸς ἐπίβουλος καὶ ἐχθρὸς, ἱκανὴ παρ᾽ αὐτοῦ ἡ γενομένη ἐπήρεια, ἀρκεῖ τὰ μέχρι τοῦ παρόντος εἰς κοινὴν ἀπώλειαν γεγενημένα Βουλγάρων καὶ Ῥωμαίων, καὶ εἰς ἀλγηδόνα τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν οὗ τινος καὶ Ῥωμαῖοι καὶ Βούλγαροι σῶμα τυγχάνουσιν ὡς μιᾶς κεφαλῆς· οἶδα ὅτι καθ᾽ ἑκάστην τοῖς ζωοποιοῖς νάμασι τῆς διδασκαλίας τῶν τοῦ μακαρίου ἀποστόλου τὴν σὴν καλὴν καταρδεύῃ ψυχὴν· μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακὸν, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· τί τοῦτο; πῶς ταῦτα μελετῶν; πῶς ἐκ παιδόθεν τούτοις ἐντραφείς. οἶδα γὰρ ὅτι ὥσπερ φυτὸν ἐν διεξόδοις ὑδάτων

εὐθαλὲς, οὕτω καὶ ἡ σὴ ἐν τούτοις ἀνετράφη ψυχή· διὰ τί τοσοῦτον ἐκράτησεν ἡ τῆς ψυχῆς πικρία; διὰ τί ἐπὶ τοσοῦτον ἐξέτεινεν ἡ ὀργὴ, καὶ βλέπειν ἐδώκαμεν τῷ ἡλίῳ ἐπὶ τοσοῦτον μακρὸν χρόνον τὰ ἐλεεινὰ ταῦτα θεάματα, ὅσα τὰ κινούμενα ὅπλα μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων θεάσασθαι παρέσχεν αὐτῷ;

Ἀρκεῖ οὖν ὅσα μέχρι τοῦ νῦν ἐθεάσατο πονηρὰ καὶ χαλεπὰ πράγματα· δεῖξον μεταβολὴν τὴν πρέπουσαν χριστιανισμῷ καὶ τῇ σῇ φρονήσει· ἐπιστράφηθι πρὸς τὴν ὁμαλὴν τῆς εἰρήνης τρίβον· κατάλιπε τὴν τραχεῖαν τοῦ πολέμου ὁδὸν καὶ ἀκανθοφόρον, μᾶλλον δὲ ἀνθρωποφθόρον, ἣν ὁ τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου καὶ πονηροῦ δαίμονος ὑπέδειξε φθόνος· ἔτι καὶ νῦν ὁ φιλόχριστος βασιλεὺς ἕτοιμος τῷ συνδέσμῳ τῆς εἰρήνης ὡς υἱῷ σοι καὶ ἀδελφῷ συνδεδέσθαι, καὶ πάντα χαρίζεσθαι καὶ πράττειν ὅσα μετὰ τοῦ πρέποντος λόγου τὴν ὑμετέραν οἶδε θεραπεύειν ἐξουσίαν· μὴ βουληθῶμεν ἐπιμένειν ταῖς ἐπιβλαβέσιν ἐπινοίαις· μὴ δὲ πρὸς τοσούτων πλῆθος ἐθνῶν ἑτοίμων ὄντων, ἢ τὰς ἑαυτῶν ἀφεῖναι ψυχὰς, ἢ παγγενῆ ἐξολέσαι Βουλγάρους, προαιρεθῶμεν παρατάξεις συνιστᾷν καὶ πολέμους· ἄδηλος ἡ τοῦ πολέμου ἔκβασις· μᾶλλον δὲ οὐκ ἄδηλος ὅσον ἐστὶ καὶ ἀνθρωπίνως λογίζεσθαι· καὶ πρὸς τὴν τοῦ θεοῦ δικαίαν νέμεσιν ἀφορῶντας ἐλπίζειν, σκεψώμεθα τὸ ἀσφαλὲς, καὶ μὴ προπετῶς ἐμβῶμεν εἰς τὰς πρὸς ἐκείνους συμπλοκὰς καὶ τὰς μάχας καὶ τὰς σφαγὰς, μή ποτε μετ' ἐκείνων τῆς νίκης γενομένης περιπέσῃς κινδύνοις καὶ πράγμασιν, ἐξ ὧν ὕστερον ἀπαντήσεται μὲν βλάβη καὶ αἰσχύνη καὶ μεταμέλεια· οὐκ οἶδα δὲ εἰ καὶ μεταμελόμενος ἐπιτεύξῃ τινὸς τῶν δυναμένων παραμυθίαν τινὰ τῶν περιστοιχιζόντων χαλεπῶν περιποιήσασθαι ὑμῖν.

Ταῦτα, τέκνον ἡμῶν, ἔγραψα δακρύων καὶ ὀδυρόμενος καὶ ἀγωνιῶν καὶ φόβῳ πολλῷ συνεχόμενος, μή πως καταλάβοι τὸ Βουλγάρων γένος τοιαῦτα πάθη οἷα πολλοὺς κατέλαβε, δόξαντας μὲν πρὸς καιρὸν εὐτυχίαν τινὰ περιβαλλέσθαι, μετέπειτα δὲ τῇ ἐσχάτῃ δυστυχίᾳ περιπεσόντας· ἀφίημι τὰ παλαιὰ, καὶ ὧν ἐξ ἱστορίας καὶ ἀναγνώσεως τὴν γνῶσιν κεκτήμεθα· ἀλλ' ὅπερ νῦν

γέγονε, πάντως δὲ νομίζω καὶ μέχρι τῶν σῶν ἀκοῶν φθάσαι τὸν λόγων. Λέων ἐκεῖνος ὁ τριπολίτης ὁ ἐπὶ τῇ ἁλώσει τῆς Θεσσαλονίκης (1) διὰ τὰς ἁμαρτίας ἡμῶν ὄνομα κτησάμενος μέγα, καὶ ἀναβεβηκὼς πρὸς ὀφρῦν εἰς οἵαν οὐκ οἶδα εἴ τις ἄλλος ἐν ταῖς ἡμέραις ταύταις, ἐξεστράτευσε τοιαῦτα καυχησάμενος, ὡς μέχρι τῆς βασιλίδος ἀφίξομαι πόλεως, καὶ τυχὸν μὲν ἑλῶ ταύτην· εἰ δὲ μὴ τοῦτο, ἱκανόν μοι καυχήσασθαι ὅτι πρὸς τὴν βασιλίδα τῆς ῥωμαϊκῆς ἐξουσίας παρεγενόμην πόλιν, καὶ βέλη κατ' αὐτῆς ἐξεκένωσα· ἀλλὰ γὰρ οὗτος ὁ τοιαύτην λαβὼν φαντασίαν, ὁ οὕτως ἐπηρμένος, ἤλασε μὲν μέχρις οὗ τοῦτον ἡ τοῦ θεοῦ συνήλασε ψῆφος· ἔστι δ' ὁ τόπος νῆσος ἡ λεγομένη Λῆμνος· ἐκεῖ τοίνυν καταλαβὼν, καὶ φανταζόμενος οἷα ἐφαντάζετο, ἔτυχε τῆς παρὰ τοῦ θεοῦ δικαίας ἀνταποδόσεως· καὶ ὅρα μοι ὅσος ὁ χρόνος τῆς τοῦ θεοῦ ἀνοχῆς καὶ μακροθυμίας, τέκνον μου ἠγαπημένον· καὶ γὰρ ὑπερήλασεν ἔτος που δέκατον καὶ ἐπὶ τοῦτο ἕβδομον ἢ ὄγδοον· ἀλλὰ γὰρ μετὰ τὴν τοσαύτην παρολκὴν τοῦ χρόνου, οὐκ ἐξέφυγε τοῦ θεοῦ τὴν κρίσιν, οὐδ' εἰς τέλος συνεχωρήθη τοῖς ματαίοις λογισμοῖς ἐγκαυχᾶσθαι· πλοΐμου γὰρ στόλου νῦν ἐπ' αὐτὸν ἐξαποσταλέντος, ἀπήντησεν αὐτῷ τοιαύτη ἀπροσδόκητος καταστροφὴ καὶ ἀπώλεια· καὶ γὰρ ὁ μὲν ἐν τῇ ῥηθείσῃ νήσῳ διέτριβε πορθῶν καὶ ληϊζόμενος ἀδεῶς τὰ κατὰ τὴν χώραν ἅπαντα ὡς ἐνόμιζε· τούτου δὲ οὕτως διὰ τὰς ἡμετέρας ἐντρυφῶντος ἁμαρτίας καὶ φαντασιοσκοποῦντος τὰ τῶν οἰκείων λογισμῶν, καταλαμβάνει ὁ πλόϊμος τῶν Ῥωμαίων στόλος, καὶ πάντας ἐκεῖσε καὶ πλοῖα καὶ μαχητὰς, καὶ ἁπλῶς τὴν ἀγαρηνὴν ἐκείνην δύναμιν μετὰ τῆς ἄνωθεν εὐμενείας καὶ δικαίας τοῦ θεοῦ ἐπιβλέψεως τῷ ὀλέθρῳ παρέδωκαν.

Ὁρᾷς, υἱέ μου, ἀγαπητὲ μετὰ πόσου χρόνου διάβασις τὸν ἀλαζόνα καὶ ὑπέροφρυν ἐταπείνωσεν ὁ θεός; τοιαύτη γὰρ ἡ θεία χρηστότης, ἡ φιλανθρωπία· οὐκ αὐτίκα τὴν αὐτοῦ ῥομφαίαν ἐπάγει κατὰ τῶν ἐπαιρομένων καὶ ἀλαζόνων, ἀλλὰ στίλβει μὲν αὐ-

(1) De hoc Thessalonicae excidio extant Ioh. Cameniatae et Demetrii Cydonii historiae lugubres.

τὴν, ἐπέχει δὲ τὴν ἐπιστροφὴν ἀναμένων καὶ τὴν ἐπὶ τὰ χρηστότερα μεταβολὴν τῶν τέως ἀγαπώντων τὰ πλημμελῆ πράττειν, καὶ τὰ ἐκείνων λυποῦντα· μὴ γένοιτο δὲ, καὶ πρότερον ηὐχόμην καὶ νῦν εὔχομαι, καὶ διὰ παντὸς τὴν εὐχὴν ταύτην ποιήσομαι, τοιαῦτα ὑμᾶς καταλαβεῖν, ἀλλὰ παρασχεθῆναι μὲν ὑμῖν ὑπὸ Θεοῦ ἐπὶ λογισμὸν ἐλθεῖν τῆς ἀγάπης καὶ τοῦ πόθου τῆς εἰρήνης, ναὶ Χριστὲ σῶτερ ἡμῶν καὶ Θεὲ, καὶ σβεσθῆναι μὲν τὴν ἔχθραν, ἀπελαθῆναι δὲ τὸν φιλοπόλεμον δαίμονα, καὶ διὰ τῆς ὑμετέρας ἐπιστροφῆς πρὸς τὰ καλὰ καὶ σωτήρια γενέσθαι ἀποστρόφους ἐκ τοῦ καθ' ὑμῶν πολέμου, τοὺς οὕτω συγκινηθέντας καὶ ἔτι συγκινεῖσθαι καθ' ὑμῶν μέλλοντας, καὶ ἀπειράτους συντηρηθῆναι ὑμᾶς πάσης βλάβης καὶ χαλεπότητος, ὅσην τοῦ πολέμου οἶδεν ἡ φύσις ἐπιφέρειν τοῖς ἐπὶ μοίραν δυστυχεστέραν διὰ τῶν ὅπλων κατακλινομένοις.

XXIV. ΤΩ ΑΥΤΩ.

Πολλάκις ἔγραψα πρὸς υἱὸν ἀγαπώμενον, ὡς πατὴρ ἐβουλόμην εἰπεῖν ἀγαπώμενος, ἀλλ' οὐ δίδως μοι τοιαύτην ἀναλαβεῖν παῤῥησίαν, καὶ τοῦτο φθέγξασθαι, δι' ἄλλην οὐδεμίαν αἰτίαν ὡς ἔοικεν, ἢ διὰ τὰς ἐμὰς ἁμαρτίας· γράφω καὶ νῦν τὴν αὐτὴν σώζων τῆς ἀγάπης πρὸς σὲ τέκνον ἡμῶν διάθεσιν, καὶ τὴν αὐτὴν φροντίδα ἔχων ἐν τῇ ἐμῇ ταπεινῇ ψυχῇ περὶ τῆς σῆς δόξης καὶ τῆς σωτηρίας τῆς κοινῆς τοῦ γένους τῶν Βουλγάρων καὶ Ῥωμαίων ἀνέσεως, καὶ τῶν κακῶν ἀποπαύσεως· οὐ δύναμαι δὲ σιωπᾷν ἐπὶ κοινοῖς πάθεσι, δι' ὧν οὐ μόνον ἡ παροῦσα ζωὴ τοῦ κοινοῦ γένους ἀφανίζεται Ῥωμαίων καὶ Βουλγάρων, ἀλλὰ καὶ ἡ μέλλουσα ζωὴ ἀλλοτρίους ἀποδείκνυσιν αὐτοὺς τῆς ἰδίας μετοχῆς, καὶ θάνατος καλύπτει οὐδέποτε λύσιν δεχόμενος· ἡ γὰρ τῆς τοῦ Θεοῦ βασιλείας ἔκπτωσις καὶ τῆς γλυκείας αὐτοῦ ἀπολαύσεως ἀποστέρησις, καὶ ἡ πρὸς κόλασιν αἰώνιον κατάκρισις· οἶδας, τέκνον μου ἀγαπητὸν, ὅτι θάνατός ἐστιν ἁμαρτωλῶν πονηρός· διὰ τοῦτο καὶ νῦν ἐπὶ τὸ γράφειν κεκίνημαι, δεόμενος καὶ προσπίπτων, καὶ τῶν σῶν γονάτων ἁπτόμενος ἀκοῦσαι κἂν ὀψὲ

ποτε καὶ μὴ ἀτιμάσαι τὴν δέησιν ἡμῶν, ἀλλὰ παρασχεῖν πατρὶ ταπεινῷ ἔτι παρόντι μοι ἐν τῷ βίῳ ἰδεῖν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνην, ἰδεῖν τὴν ἀνακοπὴν τῶν χριστιανικῶν αἱμάτων τῆς ἐκχύσεως ὑπὸ χριστιανικῆς δεξιᾶς ἐνεργουμένην· καὶ μὴ βουληθῇς υἱέ μου ἀγαπητὲ ἀπελθεῖν ἡμᾶς ἐκ τῆς παρούσης ζωῆς, ἤδη γὰρ εἰς τὸν τάφον προκύπτομεν, μετὰ τοῦ ἄλγους, μετὰ τοῦ σπαραγμοῦ τῆς ταπεινῆς ἡμῶν καρδίας, ὃν ἐπιφερόμεθα ἐπὶ τῇ τοσαύτῃ κακώσει τοῦ κοινοῦ λαοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἐπὶ τῇ τοσαύτῃ οὐκ οἶδα πόθεν ποινηλασίᾳ, ἣν ὁ πονηρὸς δαίμων ἐμβαλὼν εἰς τὸ μέσον οὐ δύναται κόρον λαβεῖν τῆς ἀφορήτου κακώσεως.

Μὴ βουληθῇς, καὶ πάλιν φημὶ, τοῦ ἀπελθεῖν ἡμᾶς τοὺς ταπεινοὺς ἐκ τοῦ παρόντος βίου κεκακωμένους, καὶ τὴν ψυχὴν ὅλην διεσπαραγμένους ἐπὶ ταῖς κοιναῖς συμφοραῖς, αἷ χρόνος ὁρᾷς ὅσος Ῥωμαίους καὶ Βουλγάρους διαμερίζονται· ἀλλὰ τὸ μὲν ἐμὸν τοιοῦτον· δὸς δέ μοι καὶ περὶ σοῦ εἰπεῖν ἀλύπως καὶ ἀνεπαχθῶς, καὶ μηδὲν ἐφ᾽ οἷς λέγομεν ἀγανακτήσῃς· ἀστάθμητός ἐστιν ἡ ἀνθρωπίνη ζωὴ, τέκνον ἡμῶν· οὐ μόνον οἱ γεγηρακότες οἷος ἐγὼ ὑπὸ τοῦ θανάτου ταχέως καταλαμβάνονται, ἀλλὰ καὶ πολλοὶ τῶν ἀκμαζόντων ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ θανάτου τῷ δρεπάνῳ ὑπέπεσον, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας διεδέξατο τὸ ἀνθηρὸν ἡ τομή· τίς οἶδεν εἴ γε οὐκ πολλὰ τὰ ἀνθρώπινα καὶ ἐπὶ τῆς ὑμῶν θεοτιμήτου ἀρχῆς καὶ ἐξουσίας συμπεσεῖται; εἶτα προσθήσω γὰρ καὶ τοῦτο τῆς σῆς ψυχικῆς φροντίζων καὶ σωτηρίας καὶ τῆς ἐν τῇ μελλούσῃ βιοτῇ ἀναπαύσεως· τί ὠφελήσει ἄνθρωπον, ἐὰν τὸν κόσμον ὅλως κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ; τίς δὲ ἀμφιβάλλει, θεοτίμητέ μου υἱὲ, ὅτι ἀδελφὸς ἀδελφὸν ἀποκτείνας, οὐ ζημιοῦται τὴν οἰκείαν ψυχήν; ἐνθυμήθητι οὖν τὴν ἐν Χριστῷ ἀδελφότητα Βουλγάρων καὶ Ῥωμαίων, καὶ ὅσοι ἀδελφοὶ ἐξ ἑκατέρου γένους ὑπὸ ἀδελφικῆς ἐσφάγησαν δεξιᾶς.

Καὶ τούτων οἴδαμεν ὡς ἑαυτὸν ἔξω ποιεῖς αἰτίας, καὶ λέγεις ἄλλους ἄρξαι τῶν τοσούτων κακῶν· καὶ ἀληθῆ λέγεις καὶ ἡμεῖς ὁμολογοῦμεν, ὡς ἀνθρώπων ἀφροσύνῃ τῶν κατὰ καιροὺς εἰς τοῦτο

συνελαθέντων ὑπὸ τοῦ δαίμονος παρέσχον τοῦ πολέμου τὴν αἰτίαν· ἀλλ' ἐκείνους μὲν ἡ θεία δίκη δικάσασα ὡς ἐβούλετο, τῶν πεπραγμένων ἀπήτησε τὴν ποινήν, σοὶ δὲ παρέσχετο πολλαπλασίονα ὧν ἔπαθες ἀντιδράσαι αὐτούς· ἀρκεσθῶμεν, τέκνον ἡμῶν, μέχρι τοῦ νῦν εἰς κοινὴν βλάβην διαπεπραγμένοις· οὐ κατὰ ἀσεβῶν ὁπλίζῃ, οὐ κατ' ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ, οὐ κατ' ἐθνῶν μὴ εἰδότων τὸ ὄνομα τοῦ θεοῦ, ἀλλὰ κατὰ πατέρων, κατὰ ἀδελφῶν ἁπλῶς, κατὰ συγγενείας, ἣν οὐ σὰρξ καὶ αἷμα, ἀλλὰ τὸ πανάγιον πνεῦμα ἥνωσε τοῦ θεοῦ· ἕως πότε χορεύειν τῷ διαβόλῳ καὶ τοῖς αὐτοῦ παρέξομεν δαίμοσιν; οὐκ ἀγνοεῖς δὲ ὅτι χορείαν ἐκεῖνος συνίστησιν ἐπὶ τῇ τῶν χριστιανῶν πρὸς ἀλλήλους ἐκπολεμώσει καὶ τῇ τῶν αἱμάτων αὐτῶν ὑπ' ἀλλήλων γινομένῃ χύσει· καὶ σιγῶ τὰ λοιπά, τῶν ἐκκλησιῶν τὴν ἀπώλειαν, τῶν μοναζόντων τὸν σκεδασμόν, τῶν παρθένων τὴν διαφθοράν, τῶν γινομένων ὕμνων καὶ δοξολογιῶν ἐν τοῖς ἱεροῖς ναοῖς τὴν ἀπόσβεσιν· ἕως πότε τῷ Χριστῷ καὶ θεῷ ἡμῶν τῷ διὰ τὴν ἡμῶν σωτηρίαν πτωχεύσαντι, τῷ ὑβρισθέντι, τῷ σταυρωθέντι, καὶ τοῖς φιλανθρώποις ἀγγέλοις αὐτοῦ ὑποθέσειν λύπης καὶ κατηφείας διδόαμεν; ἢ ἀμφιβάλλεις, υἱέ μου, ἀλλ' οἶδα ὅτι οὐκ ἀμφιβάλλεις, ὡς ἐπὶ τούτοις μεγάλην ὀδύνην, καὶ ἵνα εἴπω μείζονα τῶν ἐπὶ σταυροῦ ἥλων ὁ Χριστὸς καὶ θεὸς ἡμῶν ὑπομένει, καὶ σκυθρωπότης ἀσύγκριτος τὰς ἀγγελικὰς περιτρέχει δυνάμεις; εἰ καὶ κρίμασιν οἷς εἶδε χρηστεύεται καὶ μακροθυμεῖ, καὶ τέως ἀνέχει τὴν τιμωρίαν, καὶ τὴν ἐστιλβωμένην αὐτοῦ ῥομφαίαν κατὰ τῶν λυπούντων οὐκ ἐπαφίησι.

Τί με δεῖ πλέον πρὸς ἄνθρωπον χάριτι θεοῦ πεπληρωμένον φρονήσεως γράφειν; οὐκοῦν ἐνταῦθα πεπαύσομαι· καὶ γὰρ εἰ μόνον βουληθείης πρὸς τὸ σὸν ἥμερον καὶ φιλάνθρωπον ἐπανελθεῖν, οὐ μόνον ταῦτα, ἀλλὰ πολὺ ἀνθρωπινώτερα καὶ κρείττονα κατὰ σεαυτὸν καὶ ἀνασκέψῃ, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν ἀναθεωρήσεις· διὰ τοῦτο προσκείσθω ἣν διὰ παντὸς ἀναφέρομεν εὐχὴν τῷ θεῷ, καὶ πλέον οὐδέν· ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εἰς τὸν κόσμον ἐξαποστείλας αὐτὸν ἵνα λύσῃ

τὸ μεσότοιχον τῆς ἔχθρας διὰ τοῦ αἵματος τοῦ υἱοῦ αὐτοῦ, καὶ εἰρηνοποιήσῃ τὰ πάντα, αὐτὸς καὶ νῦν βραβεύων εἰρήνην ἐν τῇ σῇ καρδίᾳ συντρίψοι τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, καὶ στρέψοι τὴν ἀπὸ τῶν σκανδάλων γενομένην κάκωσιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰς τὴν ἐκείνου κεφαλήν· καὶ δοίη πάλιν τῷ συνδέσμῳ τῆς γλυκείας εἰρήνης ὡς τὸ ἀπ' ἀρχῆς ἑνωθῆναι ὑμᾶς· καὶ ἀποκαθιστῶν εἰς τὴν πρέπουσαν πατράσι καὶ τέκνοις καὶ ἀδελφοῖς ἀγάπην τε καὶ στοργήν, οὕτως ἡμᾶς μὲν τῆς ταλαιπώρου ταύτης ἐξάγων ζωῆς, ὑμῖν δὲ μετὰ τῆς εἰρήνης μακρότητα ἡμερῶν παρέχων, καὶ τῆς ἐκεῖθεν αἰωνίου ζωῆς τὴν ἀπόλαυσιν.

XXV. ΤΩ ΑΥΤΩ.

Ὅπερ ἐν ταῖς κοιναῖς συντυχίαις ὁρῶ συμβαῖνον, τέκνον μου θεοτίμητον, ὅταν πολλάκις θόρυβος προσπίπτων ταῖς ἀκοαῖς τὸν λόγον τοῦ προσομιλοῦντος οὐ συγχωρεῖ ἐξακούεσθαι, τοῦτο καὶ ἐφ' ἡμῶν γινόμενον κατανοῶ· καὶ γὰρ καὶ νῦν ὡς ἔοικεν ὁ θόρυβος τῶν ἐμῶν ἁμαρτιῶν ἀποκωλύει τοὺς λόγους ἡμῶν ταῖς σαῖς προσελθεῖν ἀκοαῖς, καὶ δι' αὐτῶν εἰς τὴν ἥμερόν σου καὶ φιλάνθρωπον ψυχὴν διελθεῖν· εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἔχει λόγον τὰς τοσαύτας ἡμῶν δεήσεις ὑπὲρ τοῦ καλοῦ καὶ συμφέροντος Βουλγάροις καὶ Ῥωμαίοις ἀνηνύτους μέχρι καὶ σήμερον διαμεῖναι; πλὴν καὶ οὕτως ἔχοντος τοῦ πράγματος, ἐπειδὴ ἀνάγκη μοι ἐπίκειται μὴ σιωπᾷν, οὐαὶ γάρ μοι ἐστὶν ἐὰν τὸ μεσιτεύειν ὑπὲρ τῆς εἰρήνης καταλείψω, καὶ πάλιν γράφω καὶ οὐ παύσομαι γράφειν, ὥσπερ οὐδὲ τοῦ δέεσθαι τοῦ θεοῦ, μέχρις ἂν αἱ ὀλίγαι τῆς ζωῆς ἡμῶν ἡμέραι διατρίβειν ἡμῖν ἐν τῷ παρόντι βίῳ διδόασι.

Τέκνον ἐμὸν, σπλάγχνον ἐμὸν, υἱὲ ποθεινότατε, μετὰ τῆς ἄλλης ἣν ἔχεις τῶν σῶν πράξεων ἀναθεωρήσεως, καὶ τοῦτο ἐπίσκεψαι, ὅτι ἀφ' οὗ τὸ Βουλγάρων γένος τὸν αὐχένα ὑπέκλινε τῷ Χριστῷ καὶ θεῷ ἡμῶν, δεύτερος σὺ τυγχάνεις ὁ τούτων δεσποτείαν ἐγκεχειρισμένος· καὶ δίκαιον ἐστιν ὥσπερ κληρονόμος γέγονας τῆς ἀρχῆς τοῦ σοῦ μακαρίου πατρὸς, οὕτω καὶ τῆς ἐκεί-

νου κληρονόμον εἶναί σε εἰρηνικῆς ψυχῆς, καὶ τῆς ἄλλης χριστιανικῆς καταστάσεως· ἐκεῖνος ἔπηξε σὺν Θεῷ τὸν θεμέλιον, σὲ πρέπον ἐστὶν οἰκοδομεῖν, ἀλλ' οὐχὶ καταλύειν, οὐδὲ τὸν θεμέλιον ἐξορύσσειν· ἐκεῖνος συνέδησε τὸν δεσμὸν τῆς πρὸς Ῥωμαίους ἀγάπης, σὺ ὀφείλεις συσφίγγειν ὅση δύναμις, ἀλλ' οὐχὶ διατέμνειν· ἐκεῖνος διὰ τῆς ἄνωθεν ἐπιπνοίας ἀπέστρεψε τὰ ὅπλα τῆς κατὰ χριστιανῶν σφαγῆς, σὺ ὡς τιμῶν τὸν πατέρα, ὡς ἐκείνου ὑπάρχων γνήσιος υἱὸς καὶ κληρονόμος τοῦ φιλοθέου τρόπου, ὀφείλεις παντελῶς αὐτὰ ῥίπτειν ὡς ἀχρησίαν τῆς τοιαύτης ἐνεργείας· τοῦτο προσῆκόν ἐστι φρονεῖν τῇ σῇ μεγαλοδόξῳ ἀρετῇ, τοῦτο ποιεῖν καὶ χωρὶς τῆς ἑτέρωθεν παρακλήσεως, ἀλλ' οὐχὶ τοιαῦτα οἷά περ νῦν ἐλεεινὰ πράγματα γίνεται· ἐρωτῶ σε τέκνον ἐμὸν καὶ ἀποκρίθητι ἀξίως τῆς σῆς ἐπιεικείας καὶ ἀγαθότητος· εἰ τῷ βίῳ ἔτι παρῆν ὁ νῦν μετὰ τῶν ἁγίων ἐν οὐρανοῖς (1) συνδιαιτώμενος, καὶ ταῦτα ἑώρα σε διαπραττόμενον, καὶ τὰς σφαγὰς καὶ τοὺς πολέμους ἐνεργοῦντα, τίνας ἂν ἔφη πρὸς σὲ λόγους; πῶς οἴει τοῦτον διατεθεῖσθαι τὴν ψυχήν; ἆρ' οὐκ ἂν ἐπληροῦτο δακρύων; οὐχὶ σκυθρωπότητος ἐγεγόνει πλήρης καὶ κατηφείας, καὶ ἀβίωτον εἶχε τὸν βίον; οὐχὶ τὰς τιμίας τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος τίλλων ἀμφοτέραις χερσὶ μετὰ θρήνου τοιαῦτα ἐκέκραγε, τί ποιεῖς τέκνον ἐμόν; τί τὴν δόξαν ἡμῶν καθαιρεῖς; τί τὸ ἔργον ὃ σὺν Θεῷ εἰργασάμην, καὶ ἐφ' ᾧ τὸ καύχημα ἦν ἐμοὶ καὶ σοὶ καὶ παντὶ τῷ ἡμετέρῳ γένει καταλύεις; τί τοὺς ἡμετέρους ἀγῶνας δι' ὧν ὁ σύμπας τῶν ἀνθρώπων βίος ἔμελλε μακαρίζειν ἐμέ τε καὶ τὴν ἐμὴν γενεὰν κενοὺς ἀπεργάζῃ, καὶ ζημίαν οὕτως ἀσύγκριτον σεαυτῷ καὶ ἡμῖν ἐπάγεις;

Τί οὖν; εἰ μὲν ἐνταῦθα παρῆν καὶ σὺν ἀνθρώποις εἶχε τὴν διαγωγήν, οὕτως ἂν διετέθη, καὶ τοιαῦτα θρηνῶν ἐκεκράγει· νῦν δὲ τοῖς ἁγίοις συνὼν καὶ Θεῷ παριστάμενος, καὶ πολλῆς ἀποδοχῆς ἠξιωμένος ἕνεκεν τοῦ ἔργου, ὃ μετὰ Θεὸν Βουλγάροις εἰργάσατο, καὶ τοῦ θεμελίου τῆς πίστεως, καὶ εἰκότως ἐπ' αὐτῷ

(1) Heic quoque, nec non infra, confirmatur quod dictum fuit part. I. p. 166. n. 1.

σεμνυνόμενος, καὶ τῶν νῦν ἐναντίων πραγμάτων ἐμφάσεως εἰς αἴσθησιν, πάντως δὲ οὐκ ἀμφιβάλλεις τέκνον ἐμόν, ὡς ἔστι τοῖς ἐκεῖθεν βιοῦσιν ἁγίοις ἡ τῶν ἐν κόσμῳ γινομένων αἴσθησις, καὶ πολλῷ πλέον καὶ τοι λύπης ἁπάσης ἀνωτέρας τῆς ἐκεῖθεν ζωῆς τυγχανούσης ὀδυνᾶται, καὶ μεταξὺ τῆς ἀνεκδιηγήτου ἐκείνης φαιδρότητος σκυθρωπάζων ὀφθήσεται; τοῦτο μὲν, καὶ τὸ οἰκεῖον ἔργον ὑπὲρ οὗ τὴν ψυχὴν αὐτὸς ἔθηκεν, εἰ καὶ διὰ τῆς θείας δυνάμεως ὑπέρτερος γέγονε τῶν φονευτῶν· τοῦτο δὲ καὶ ὑπὲρ τοῦ οἰκείου τέκνου, ὑπὲρ οὗ δυσωπεῖ τὸν θεόν· πᾶν εἴ τι καλὸν καὶ ἀρετῆς ἔνδειξιν ἔχον παρασχεθῆναί σοι, καὶ μετὰ τοῦτο καὶ τῆς ἄνω δόξης προσεπικτήσασθαι τὴν κληρονομίαν· αὐτὸν παρεῖναί σοι νόμιζε τέκνον ἐμόν, οὕτως ἐλεεινῶς διατεθειμένον, καὶ ἃ γράφομεν μὴ λόγους ἡμετέρους εἶναι, ἀλλ᾽ ἐκεῖνον ὡς ἀληθῶς ταῦτά σοι διαλέγεσθαι· τίς γὰρ ὅλως ἀμφιβάλλει, ὡς ὁ τοῦ θεοῦ ἄνθρωπος ἐκεῖνος ἐπὶ τοῖς σήμερον γινομένοις παρὰ σοῦ οὐ σφοδρῶς ἀνιᾶται; καὶ εἴ γε δυνατὸν ἦν, ἐκ τῆς ἐκεῖθεν μακαρίας ζωῆς πρὸς τὴν ἀθλίαν ταύτην καὶ ἡμετέραν παραγενέσθαι, ἧκεν ἂν οὐ μόνον τοιαῦτα πρὸς σὲ, οἷα ἔφημεν λέγων, ἀλλὰ καὶ πολὺ πλείω τούτων, ἅτε καὶ πολλὴν ἔχων εὐπορίαν, ὡς ἀπηλλαγμένος τῆς ματαίας ταύτης περιστροφῆς, καὶ τῷ πρώτῳ νοῒ πλησιάζων, καὶ ὅλως τῆς ἐκεῖθεν πεπληρωμένος ἐλλάμψεως.

Προέφερεν, υἱέ μου θεοτίμητε, τὸ σὸν γράμμα τὸν μέγαν Μωσῆν, καὶ τῇ ἐκείνου μνήμῃ ἔγραψας οἷα δὴ καὶ ἔγραψας· καὶ τίνα πρὸς τὸν Μωσῆν ἔχει τὰ ἡμέτερα κοινωνίαν; ποίους ἐδέξω παρὰ θεοῦ χρησμούς; ποῦ δὲ τὴν θείαν ἐθέασω δόξαν τοιαῦτα ποιεῖν προτρεπομένην οἷα πράττεις; ποίας δουλείας, ποίας κακώσεως λυτρωτὴς ἀνεφάνης τῷ λαῷ τοῦ θεοῦ; ἐῶ γὰρ λέγειν, ἐπεὶ πολλάκις αὐτὰς ἐξετραγῳδήσαμεν, ὅσαι κακώσεις παρ᾽ ὑμῶν καὶ κατέλαβον καὶ καταλαμβάνουσι καθ᾽ ἑκάστην τὸν λαὸν τοῦ θεοῦ· μὴ, τέκνον ἡμῶν, οὐκ ἔστι ταῦτα θεοῦ προτροπῆς, οὐδ᾽ ἀποστολῆς, ἀλλ᾽ ἀνθρωπίνης οἴμοι πῶς εἴπω ἐπηρείας καὶ πράττειν ἀπεναντία τοῦ θεϊκοῦ θελήματος προαιρουμένης· ἔλεγε δὲ καὶ τὸ γράμμα καὶ ὅτι τῶν προπατόρων καὶ πατέρων πεπονηκότων, ἡμεῖς ἀπο-

λαύομεν τῶν ἐκείνων πόνων· καλῶς· καὶ ἦν ἁρμόδιον, τέκνον ἡμῶν, τοῦ σοῦ ἁγίου πατρὸς ἐν τοῖς ὑπὲρ τῆς εἰρήνης πράγμασι τῆς μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων πολλὰ καμόντος ἀπολαύειν ὑμᾶς ἀκολούθως τῶν ἐκείνου καμάτων, ἀλλ᾽ οὐχὶ πρὸς ἐναντίαν τρέπεσθαι γνώμην, οὐδ᾽ ἐν ἐκείνοις στρέφεσθαι καὶ νομίζειν ἀπόλαυσιν ὑπὲρ ὧν ἐκεῖνος, ἵνα σὺν θεῷ καταργηθῇ, μακροὺς ἐνεδείξατο πόνους.

Εἶπον ταῦτα ἐκ τοῦ τὸ σὸν ἀναλέγεσθαι γράμμα, διδοὺς τὴν ἀπόκρισιν· λέγομεν δὲ πάλιν, ἃ καὶ πρότερον πολλάκις εἰρήκαμεν, ῥίψον τὰ ὅπλα τέκνον ἐμόν· παῦσον τοὺς πολέμους καὶ τὰς τῶν αἱμάτων χύσεις, ζήτησον εἰρήνην καὶ δίωξον αὐτὴν μετὰ τοῦ μακαρίου προφήτου, εἰ καὶ ἀνάξιος παραινῶ, καὶ ἀντὶ ταύτης τῆς προαιρέσεως ἐπιζήτησον ἃ ἴσως καὶ σὲ δίκαιον λαβεῖν, καὶ Ῥωμαῖοι δώσουσι προθύμως· χρυσὸν εἰ βούλει καὶ ἄργυρον, γῆς τὴν ἐνδεχομένην ἀπόμοιραν, ἄλλων τινῶν πραγμάτων δόσεις, ὅσα καὶ Βουλγάρους εὐφρανοῦσι, καὶ Ῥωμαίοις οὐκ ἔσται ἡ δόσις ἀφόρητος· γεγόνασι πλειστάκις καὶ Πέρσαις πόλεμοι πρὸς Ῥωμαίους, καὶ Βουλγάροις τοῖς ὑμῶν προγόνοις· ὡσαύτως καὶ ἐπὶ χρόνοις νῦν μὲν πλείοσι νῦν δὲ ἐλάττοσιν· ἀλλὰ τέλος ἔλαβον, καὶ πρὸς σπονδὰς κατήντησαν εἰρηνικὰς, ὡρισμένων τελῶν χορηγουμένων, ποτὲ μὲν ἐξ ἐκείνων πρὸς Ῥωμαίους, ποτὲ δὲ Ῥωμαίων ὑποτελούντων ἐκείνοις· καὶ ὡς ἐπὶ τὸ πλεῖστον τοιαύτη ἐστὶ τῶν πολέμων ἡ φύσις· τὸ δὲ φιλονεικεῖν παντελῶς ἀρχὴν λαβεῖν ἀλλοτρίαν, καὶ κύριον αὐτὸν καταστῆναι τοῦ ὅλου γένους καὶ τῆς ἐξουσίας, τοῦτο τῶν πάνυ δυσχερεστάτων, πρὸς δὲ τὴν ῥωμαϊκὴν βασιλείαν καὶ παντελῶς ἀδύνατον· ταῦτα ἐπειδὴ πλειστάκις ἐγράφη, ἴσως καὶ νῦν οὐκ ἔδει γραφῆναι, ἀλλ᾽ ὅμως τὸ γράμμα διὰ βραχέων ἀπεμνημόνευσεν· ἓν δὲ προσθεὶς ἔτι τοῦ γράφειν πεπαύσομαι.

Οὐδὲν οὕτως ἀρχῆς καὶ ἐξουσίας ἴδιον, ὡς τὸ ἀτάραχον καὶ καὶ γαληναῖον τῆς ψυχῆς καὶ τὸ καθάριον ἔν τε λόγοις καὶ πράξεσι· διὰ τί οὖν τέκνον ἡμῶν ἀνάξια ποιῶν τῆς σῆς ἀρχῆς ὑβριστικῶς γράφεις πρὸς τοὺς ἐγκεχειρισμένους ὑπὸ τῆς ἄνωθεν ψή

φου τὴν βασιλείαν, ἣν μόνην ὁ Θεὸς ἀκατάλυτον ἐπὶ γῆς ἔπηξεν; εἰ καὶ κρίμασιν οἷς οἶδε παραχωρεῖ τοῖς νομίζουσιν ἐπιτίθεσθαι, μέχρις ἂν ὁ παρ' αὐτοῦ διωρισμένος καιρὸς ἐπιστῇ· καθ' ὃν πάντες καὶ ἑκόντες καὶ ἄκοντες ὑποκλινοῦσι τὸν αὐχένα, καὶ τὴν αὐτῆς κυριότητα, καὶ ὁμολογήσουσι καὶ προσκυνήσουσι· γράφεις ὡς εἰκὸς ἃς οἱ πολέμιοι ἀντιλογίας προβάλλονται· γράφε ἀντιλέγων καὶ μὴ ὑβρίζων, ἀλλὰ φυλάττων τὴν ἐξ ἀρχῆς πρέπουσαν τοῖς ἄρχουσι μεγαλοπρέπειαν, καὶ μὴ καταβαίνῃς πρὸς τὸ εὐτελὲς καὶ ταπεινὸν τῆς σῆς ἐξουσίας ἀνάρμοστον· εὐτελῶν γὰρ ἀνθρώπων τὸ ὑβρίζειν, καὶ ἵν' εἴπω μὴ γνωριζόντων εὐσχημοσύνην, ἀλλ' οὐχὶ τῶν ἀναβεβηκότων καὶ εἰδότων ἑτέρους εὐσχήμονας ἀποτελεῖν· ἢ ἀγνοεῖς, τέκνον ἡμῶν, ὅτι ὡς ἐπίπαν οὐ μόνων τῶν ἄρχειν λαχόντων, ἀλλὰ καὶ ὅσοι τῶν ἄλλων ἀνθρώπων σεμνότητος ἀντιποιοῦνται, τὰς ὕβρεις ὥσπέρ τι ῥύπασμα διωθοῦνται καὶ ἀποστρέφονται, καὶ φείδονται τὸ καθάριον τῆς γλώττης καὶ τῶν λόγων, καὶ πρό γε τούτων τῆς γνώμης ἐν τῷ ῥυπάσματι περισύρειν τῶν ὕβρεων;

Τί με δεῖ λεγειν ἀρχαίους τε καὶ νέους, Πέρσας, Ἀγαρηνούς, ἄλλους πρὸ τούτων, ὅσοι ἀρχὰς ἐπιστεύθησαν; ὡς πολλάκις πολέμων ἀναμεταξὺ κινουμένων, τὰ μὲν τοῦ πολέμου ἐνήργουν, ὕβρεων δὲ καλῶς καὶ ἀρχικῶς φρονοῦντες ἀπείχοντο· καὶ μέχρι τοῦ νῦν οὔτε ὁρᾶται γινόμενον· γράφουσιν Ἀγαρηνοὶ τὰ μὲν ἄλλα ὅσα ὑποβάλλουσι τῶν πραγμάτων αἱ ὑποθέσεις, τὴν ὀφειλομένην δὲ καὶ προσηγορίαν καὶ τιμὴν ἀποσώζοντες τῇ βασιλείᾳ· οὕτω καὶ σύ, τέκνον ἡμῶν, τὸ πρέπον τῇ σῇ μεγαλοπρεπείᾳ σώζων ἀπέχου τῶν ὕβρεων, ὅταν γράφῃς· μάλιστά γε καὶ τοῦ πρὸς σὲ στελλομένου βασιλικοῦ γράμματος μηδὲν ὑβριστικὸν ἔχοντος, ἀλλ' ἐπιεικῶς προσδιαλεγομένου, καὶ τὴν ὀφειλομένην σοι τιμὴν διαφυλάττοντος· καὶ γὰρ οἶδας ὡς εἴ τι καὶ πολλάκις πρὸς σὲ τραχύτερον οἱ τὴν ῥωμαϊκὴν βασιλείαν διέποντες σὺν Θεῷ ἔγραψαν, οὐ παρ' ἑαυτῶν εἰς τοῦτο κεκίνηνται, ἀλλὰ σοῦ γράψαντος ἃ μὴ προσῆκον ὑπῆρχε, καὶ αὐτοὶ πρὸς τὸ τραχύτερον διατυπῶσαι τὸ γράμμα ἐξεβιάσθησαν· ὥστε ἡ μὲν τραχύτης ἐκ τῶν σῶν ὕβρεων

λαμβάνει τὴν ἀφορμήν· ἡ δὲ βασιλικὴ διάθεσις διασώζουσα τὸ οἰκεῖον, ἀδελφόν σε ὀνομάζει καὶ φίλον ἠγαπημένον, καὶ ὅσα στοργῆς καὶ ἀγάπης ἐστὶν ἀληθινῆς· καὶ ἵνα τὸ πᾶν εἴπω, ἀγκαλιζομένη φιλοφρόνως οἷα πατὴρ οἰκεῖον υἱόν.

Χρὴ οὖν καὶ σὲ τὴν ὁμοίαν διάθεσιν ἐπιδείκνυσθαι, καὶ ὡς εἶπον τὰ μὲν ἄλλα τοῦ πολέμου γράφειν οἷα βούλει, τὰς δὲ ὕβρεις ἀφιέναι, καὶ προσάγειν τοιαύτην τιμὴν ἐν τῷ σῷ γράμματι, ὁποίας καὶ αὐτὸς παρὰ τοῦ βασιλέως ἀξιούμενος διαδείκνυσαι· ταῦτά σοι γράφω, τέκνον ἐμὸν, ἵνα καὶ διὰ τοῦτο γνῷς, ὅτι ὡς πατὴρ ἀληθῶς φιλῶν, καὶ τῆς σῆς δόξης καὶ τιμῆς κηδόμενος, ἐν οἷς τι κατανοῶ τῇ σῇ δόξῃ ἀπρεπὲς καὶ ἀνάρμοστον οὐ βούλομαι σιωπᾷν, ἀλλὰ παντὶ τρόπῳ ὅσον εἰς ἐμὴν ἧκεν δύναμιν πειρῶμαι τὴν ὑμετέραν συνιστᾷν εὐδοξίαν· ὁ δὲ Θεὸς τῆς δόξης ὁ τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς χορηγὸς, αὐτὸς πᾶσαν πρᾶξιν ὅση πρὸς ἀδοξίαν ἀπάγει ποιήσειεν ἐκποδὼν, καὶ καταισχύνοι τὸν πονηρὸν δαίμονα, ὃς ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν καταισχύνειν οὐκ ἐλλείπει διαγωνιζόμενος τὸ τετιμημένον τοῦ Θεοῦ πλάσμα· καὶ δοίη εὐδόξως ὑμᾶς καὶ τῆς παρούσης μεταστῆναι ζωῆς καὶ δόξης ὁπότε τῷ ἁγίῳ αὐτοῦ βουλήματι παραστῇ, καὶ εἰς τὴν ἀμάραντον δόξαν κατασκηνῶσαι σὺν πᾶσι τοῖς ἀπ' αἰῶνος ὑπ' αὐτοῦ δοξαζομένοις.

XXVI. ΤΩ ΑΥΤΩ.

Εἰ καὶ πλειστάκις ἔγραψα, τέκνον ἡμῶν, ὑπὲρ τῆς κοινῆς εἰρήνης καὶ σωτηρίας τῶν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τέκνων, τέκνα γὰρ ἐκείνου Ῥωμαῖοι καὶ Βούλγαροι, καὶ τῷ τιμίῳ τῆς πλευρᾶς αὐτοῦ αἵματι ἐξηγορασμένοι, καὶ λαὸς αὐτῷ περιούσιος ἀνατεθειμένοι· ἀλλὰ γὰρ εἰ καὶ πλειστάκις ἔγραψα περὶ τοῦ κοινῇ συμφέροντος ἑκατέρῳ γένει, καὶ εἰς οὐδὲν ἐλογίσθη τὰ παρ' ἡμῶν γεγραμμένα, οὐκ ἀφίσταμαι τοῦ γράφειν, οὐδ' ἀποστήσομαι τὸ ἐμοὶ κεχρεωστημένον πληρῶν, καὶ ὅσον ἐμοὶ δυνατὸν τῆς ἀπειλῆς ἐκείνης ἔξω καθιστῶν ἐμαυτὸν τῆς ἀπειλούσης τῷ σκοπεῖν

τεταγμένῳ, ὅταν μὴ τὴν ἐπερχομένην ῥομφαίαν ἀναγγείλῃ κατὰ τοῦ ταύτην δεχομένου, ἐξ αὐτοῦ τὸ αἷμα ζητεῖσθαι τοῦ διὰ τῆς ῥομφαίας ἀπολωλότος· οὗτος ὁ φόβος καὶ πρότερον καὶ νῦν ποιεῖ, τέκνον μου ἠγαπημένον, μὴ σιωπᾷν· ἅμα δὲ καὶ λογισμός τις ἐπὶ τοῦ παρόντος εἰσῆλθέ με, ὅτι εἰ καὶ μὴ πρότερον, ἀλλά γε νῦν ἡ σὴ καλὴ καὶ ἥμερος ψυχὴ, ὅσα ἐγὼ τὴν σὴν φύσιν ἐνόησα τὴν ὀλίγην ἐκείνην ὥραν ἐν ᾗ ἑνωθῆναι ὑπῆρξε, δέξεται πατρὸς τὸν υἱὸν ἀγαπῶντος παραίνεσιν, καὶ σβέσει τὸ πῦρ καὶ τὴν φλόγα τὴν τέως ἀνάπτειν φιλονεικοῦσαν καὶ διαλυμαινομένην Ῥωμαίους καὶ Βουλγάρους· πάλιν οὖν δυσωπῶ, πάλιν οὖν παραινῶ, πάλιν αἵματι δακρύω τὰ παρόντα γράμματα ἐπιστέλλων· καὶ γὰρ εἰ δάκρυσιν ἀντὶ μέλανος δυνατὸν ὑπῆρχε γράψαι τὰ γράμματα, ἐθεάσω ἂν τὴν τῶν ἐμῶν δακρύων φύσιν ὡς οὐ παρὰ πολὺ αἵματος ἀποδέουσι· καὶ πῶς γὰρ οὐ μέλλω τοιαῦτα δάκρυα φέρειν, ὅταν ἐπὶ νοῦν ἀνανήψωμαι τὰ πάθη καὶ τὰς συμφορὰς, τὴν οὐκ ἔχουσαν παράδειγμα τῶν κακῶν τραγῳδίαν, ἣν ἐφιλονείκησεν ὁ σατανᾶς ἐξ αἱμάτων χριστιανικῶν, καὶ σφαγῶν, κα ὀλέθρου τοσούτου ἐπισκοπείων, μοναστηρίων, ἰδιωτικῶν οἴκων. εἰς τὸν βίον εἰσαγαγεῖν, καὶ τῷ μετέπειτα γένει τὴν τοιαύτην παραπέμπει διήγησιν:

Διὰ τοῦτο, υἱέ μου ἠγαπημένε, ἃ καὶ πρὸς τοὺς θεοστεφεῖς ἡμῶν βασιλεῖς γλώσσῃ προσφθέγγομαι, ταῦτα καὶ σοὶ τῷ γράμματι διαλέγομαι· ἀποβλέψατε πρὸς τὸ τῆς εἰρήνης ἀγαθὸν, ἀποβλέψατε πρὸς τὴν τῶν ὑπηκόων σωτηρίαν, μὴ ἐπιμείνητε τῇ κακίστῃ φιλονεικείᾳ, μὴ δὲ προτιμήσητε τὰς σφαγὰς καὶ τὰ αἵματα, τὰς χηρείας, τὰς ἀπαιδείας· ἀναμνήσθητε τῶν καλῶν πραγμάτων καὶ ἡδίστων, ὅσα ἐκ τῆς εἰρήνης Ῥωμαίοις καὶ Βουλγάροις περιεγίνετο· ἀλλ' οἱ μὲν τῶν Ῥωμαίων βασιλεῖς φασὶν, ἕτοιμοι πειθαρχεῖν τῇ παραινέσει, καὶ δέχονται τὴν παράκλησιν, καὶ οὐ μνησικακοῦσιν, οὐδ' ἐπιζητοῦσι τὸν πόλεμον ἔτι, κἂν δεινὰ παρὰ Βουλγάρων πεπόνθασι, κἂν ἐλπίδα φέρουσιν ἐξ ὧν ἀδίκως ὑπέστησαν παρ' ὑμῶν, καὶ ἐξ ὧν ἱκανοὶ μάλιστα μετὰ τῆς ἄνωθεν δικαιοσύνης ἀνακαλεῖσθαι τὴν ἑαυτῶν ὡς ὑμεῖς νο-

μίζετε κάκωσιν· σὲ δὲ πρὸς τὴν ὁμοίαν καταστῆναι γνώμην δυσωπῶ, καὶ ἀναλαβεῖν ὅμοιον φρόνημα, καὶ ἀρκεσθῆναι τοῖς φθάσασι χαλεποῖς· ἱκανὸς γὰρ ὁ παρεληλυθὼς χρόνος, μᾶλλον δὲ καὶ πέρα τοῦ ἱκανοῦ τοσαύτας δημιουργήσας συμφορὰς ἀνεπιλήπτους μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων· ἐνθυμήθητι, τέκνον μου, τῶν ἐκκλησιῶν τοῦ θεοῦ τὴν ἀπώλειαν, ὅσαι εἰς τάξιν ἐπισκοπείων, ὅσαι μοναστηρίων, τὸν φόνον τῶν ἱερέων, τὴν φθορὰν τῶν παρθένων, τῶν μοναζόντων τὴν ὕβριν· μὴ ταῦτα παρόψεται ὁ θεός; οὐχὶ τὴν μακροθυμίαν ἣν ἐπεδείξατο μέχρι τοῦ παρόντος ὡς φιλάνθρωπος ὡς ἀνεξίκακος τὴν ἐπιστροφὴν ἀναμένων, πρὸς ὀργὴν ἐκκαύσῃ; καὶ τὴν ἐκδίκησιν τῆς τοσαύτης ἐπάξει μιαιφονίας; καὶ τίς ἂν λογικὴν σύνεσιν ἀποσώζων οὐ συνθήσεται; ἐπάκουσον ἡμῶν ἄνθρωπε τοῦ θεοῦ, ἄκουσον πατρὸς ἀγαπῶντός σε καὶ τὸ σὸν ἔθνος· ὁ θεὸς γὰρ οἶδεν ὅτι ἀγαπῶ ὑμᾶς, καὶ ἀλγῶ καθὼς ὑπὲρ τῶν Ῥωμαίων, οὕτως καὶ ὑπὲρ Βουλγάρων.

Ἀλλὰ περὶ μὲν τῶν Ῥωμαίων ἔχω τινὰς ἐλπίδας χρηστοτέρας, ἀποβλέπων ὡς ἄδικα πάσχουσι, καὶ εἰδὼς ὅτι ἀεὶ τοῖς ἀδικουμένοις θεὸς ὑπερέχει βοηθείας χεῖρα, ὁπότε παραστῇ τῇ τούτου ὑπερσόφῳ κρίσει· καὶ ἐνίοτε ἀναβάλλεται τὴν ὑπομονὴν, ἐκκαλύπτειν βουλόμενος τῶν πασχόντων τὰ ἄδικα· περὶ Βουλγάρων οὐκ ἔχω τινὰ χρηστοτέραν ἐλπίδα θεωρουμένην· ἐδόξατε γὰρ εὐτυχίαν τινὰ περιβαλλέσθαι· ἀλλὰ τί τὸ εὐτύχημα, ὅταν οὐκ ἔχει στρατηγοῦσαν τὴν δικαιοσύνην; συνέβη καὶ ἄλλα ἔθνη κατὰ καιρούς τινας εὐτυχῆσαι, καὶ ὡς ἐνόμισαν αὔξησιν τινὰ προσλαβεῖν, ἀλλὰ τῇ φιλοπολέμῳ προαιρέσει κατέστησαν εἰς τελείαν ἀπώλειαν, καὶ οὐδ' ὄνομα περιλείπεται αὐτῶν τὰ νῦν ἐν ἀνθρώποις γινωσκόμενον, πλὴν ὅσα οἱ τὰς ἱστορίας ἀναλεγόμενοι τὴν μνήμην αὐτῶν περιφέρουσιν· οἶδα ὅτι καὶ αὐτὸς, υἱέ μου ἠγαπημένε, φιλομαθὴς ὢν καὶ τῶν παλαιῶν διερχόμενος τὰς βίβλους ἐπιγινώσκεις ἃ γράφομεν· ἀπεύχομαι τοίνυν, φοβοῦμαι δὲ, μὴ ἐπιμενόντων ὑμῶν ταῖς σφαγαῖς καὶ τοῖς πολέμοις, ἄπρακτος ἡ εὐχὴ καταστῇ, τοῦτο καὶ ἐφ' ὑμῖν συμβήσεται· ἀλλὰ μὴ εἴη τοῦτο, μὴ δὲ γένηται, μὴ δ' ἀπαντήσῃ χριστιανοῖς οὖσιν ὑμῖν πρὸς

τοιοῦτον καταντῆσαι τέλος, ἀλλὰ μᾶλλον ἐκ μέσου γενέσθαι τὰ σκάνδαλα ἃ ὑπέβαλεν ὁ πονηρὸς, καὶ τῆς σπορᾶς ἐκείνου τὰ ζιζάνια· καὶ τὸ Βουλγάρων ἔθνος πάλιν τὴν τοῦ Χριστοῦ εἰρήνην ἐπανελομένους ἐν εὐπαθείᾳ ἐν εὐζωίᾳ διατελεῖν τῇ μιᾷ κεφαλῇ τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, οὗ τινος καὶ Ῥωμαῖοι καὶ Βούλγαροι σῶμα τυγχάνουσι, καὶ φυλαττομένους καὶ αὐξανομένους.

XXVII. ΤΩ ΑΥΤΩ.

Ὁσάκις ἂν ὁρμήσω πρὸς σὲ υἱέ μου θεοτίμητε γράφειν, ἐλπίδες χρηστότεραι τὴν ἐμὴν περιλαμβάνουσι ψυχὴν, ὅτι πάντως τὴν σὴν ἡμερότητα καὶ φιλανθρωπίαν τὸ γράμμα παρακαλέσει, καὶ πρὸς εἰρήνην ἐκκαλέσεται, καὶ τὸ πέρας τῆς αἰτήσεως ἕξομεν, ὥσπέρ τινος γλυκείας αἰσθάνομαι διαθέσεως, καὶ τὴν ψυχὴν ἐλαφρύνομαι τῆς ὀδύνης, ἣν ἐπὶ ταῖς κοιναῖς συμφοραῖς Ῥωμαίων καὶ Βουλγάρων φέρω, ἃς ὁ μισάνθρωπος δαίμων εἰς μέσον αὐτῶν ἀπέῤῥιψε, καὶ τὸ σκυθρωπὸν καὶ ἡ κατήφεια ἡ ἐπὶ τούτοις ὥσπερ δοκεῖ ἀναστέλλεσθαι· ὅταν δὲ τὸ γράμμα τῆς σῆς μεγαλοδόξου ἀρχῆς ἀναγινώσκων διέρχωμαι, πολλαπλασιάζεταί μοι τὸ ἄλγος, καὶ βαθύτερος ὁ γνόφος τῆς ἀθυμίας τὴν ἐμὴν ἐπικάμπτει ψυχὴν· καὶ γὰρ οὕτως ἔχει· ἐπεὶ καὶ ἰατρὸς φαρμάκῳ ἐπιτιθεὶς κατὰ τραύματος, καὶ βλέπων τὴν φλεγμονὴν ἐπὶ πλέον ἀγριαινομένην, πληροῦται ἀθυμίας καὶ συγχύσεως· καὶ ἡμεῖς οὖν οἱ ταπεινοὶ, κρίμασιν οἷς ἐπίσταται ὁ Θεὸς, εἰς τὸ τὰ τῶν ψυχῶν πάθη θεραπεύειν κατασταθέντες, ἐπείπερ ὁρῶμεν τὴν κατὰ δύναμιν προσαγομένην θεραπείαν ὠφελοῦσαν οὐδὲν, ἀλλὰ τὸ τραῦμα, οἴμοι τῷ ἀθλίῳ καὶ ἡλίκον τραῦμα, ἐπὶ τὸ χεῖρον προκόπτον, ὅλως κατηφείας καὶ σκυθρωπότητος καὶ συγχύσεως, οὔμενουν οὐκ ἔστιν εἰπεῖν, ὅσου πληρούμεθα· μάλιστα μὲν τὴν σὴν υἱέ μου θεοτίμητε μεγάλην φρόνησιν, οὐ φήμαις ἀλλ᾽ αὐτῇ πείρᾳ γινώσκοντες· καὶ γὰρ ἐκεῖνος ὁ καιρὸς, καθ᾽ ὃν ἀλλήλως πρὸς ὁμιλίαν συνήλθομεν, εἰ καὶ ὀλίγος ἦν, ἀλλ᾽ οὖν ἱκανὴν παρέσχεν ἡμῖν γνῶσιν τῆς σῆς τελειοτάτης φρονήσεως.

Καὶ λαμβάνει μὲν ἡμᾶς ἔκπληξις, δριμυτάτη δὲ συνέχει ὀδύνη πῶς ἄνθρωπος τοσοῦτος καὶ τηλικοῦτος, οἷον ἐγὼ καταμαθεῖν ἔσχον, οὐ μόνον ὑπὸ τῆς οἰκείας φρονήσεως τοῦ πονηροῦ δαίμονος κατανοεῖς τὴν ἐπήρειαν, καὶ μετὰ τῆς ἄνωθεν δυνάμεως τὰ ἐκείνου καταπατεῖς μηχανήματα, καὶ τὰ σκάνδαλα εἰς τὸ πρόσωπον αὐτοῦ ἀποῤῥίπτεις, καὶ γίνῃ τῆς σοὶ πρεπούσης ἀρετῆς καὶ τῆς ἐξ ἀρχῆς ἁγίας εἰρήνης, ἣν διὰ τοῦ σοῦ ἁγίου πατρὸς ὁ πάντων πατὴρ καὶ θεὸς μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἐφύτευσεν· ἀλλὰ καὶ ἡμῶν τῶν ταπεινῶν πολλάκις δυσωπησάντων, ἱκετευσάντων, ἢ καὶ ἵν' οὕτως εἴπω δακρύοις τὰ γράμματα γεγραφότων, εἰς τὸ μηδὲν ἐλογίσθη ὅσα μέχρι τοῦ παρόντος δυσωποῦντες ἐγράψαμεν· καίτοι, τέκνον ἡμῶν, εἰ καί τινος τῶν ἄλλων μὲν θεῷ ὑπουργούντων, ἐν γωνίᾳ δὲ καθημένων, τοσαύτη δυσώπησις ἐγεγόνει, οὐκ ἔστιν ἄξιον οὐδὲ πρέπον τῇ σῇ ἀρετῇ χριστιανικωτάτῃ οὔσῃ τὴν δέησιν παρὰ φαῦλον ποιεῖσθαι· εἰ δὲ τοῦτο, σκέψαι τὸ ἡμέτερον, οὓς εἰ καὶ ἀχρείους ἔθηκεν ὁ θεὸς λειτουργεῖν μὲν τῷ ἁγίῳ θυσιαστηρίῳ, χρίειν δὲ καὶ λειτουργοὺς τῆς αὐτοῦ ὑπηρεσίας καὶ καταστάσεως· ὡς εἶπον, ἔκπληξις ἡμᾶς ἐπὶ τούτοις κατέχει καὶ δριμυτάτη ὀδύνη.

Ἀλλ' υἱέ μου ἠγαπημένε, φίλε πεποθημένε, στῆσον τὴν ἔκπληξιν, παῦσον, τὴν ὀδύνην· δος μοι τὴν σὴν εὐσύνετον ἀκοὴν, δέξαι ῥήματα ταπεινοῦ ἀρχιερέως καὶ γέροντος πατρὸς, καὶ ὑποτιθεμένου τὰ συμφέροντα, εἰσηγουμένου τὰ σωτήρια, καὶ ἃ δοξάσει καὶ μεγαλυνεῖ τὸ σὸν ὄνομα, καὶ ἐν τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μέλλοντι μετὰ τῶν παρὰ θεοῦ δοξαζομένων συναριθμήσει. δός μοι τὴν σὴν ἡμερωτάτην ψυχήν· ἡμερωτάτη γάρ ἐστιν, ὅσον ἐγὼ ταύτην κατενόησα, καὶ εἰ πονηρὸς δαίμων ἐφιλονείκησεν ἀλλοιῶσαι ταύτης τὸ ἥμερον· δός μοι οὖν τὴν σὴν φιλάνθρωπον ψυχὴν, καὶ δέξαι τοὺς τῆς παρακλήσεως λόγους, οὓς ὑπὲρ Χριστοῦ παρακαλοῦντες προσάγομεν· ὑπὲρ ἐκείνου δυσωποῦμεν, ὅτι ἐκείνου λαὸς καὶ κληρονομία Ῥωμαῖοι καὶ Βούλγαροι, καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι ἐσφραγισμένοι τυγχάνουσιν, ὢ τῶν ἐμῶν παθημάτων, οἱ νῦν τῷ αἵματι τῆς κατ' ἀλλήλων σφαγῆς μολύνον-

τες ἑαυτούς· στῆσον τὸν ὄλεθρον ἑκατέρου γένους ἐν τῷ τὴν εἰρήνην ἀνακαινίσαι, ἣν ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος κατέλυσεν· ἀνακαινισθήσεται δὲ πάντως, υἱέ μου ποθεινότατε, τῶν προτάσεων τῶν βαρυτάτων ἃς προβάλλεις πρὸς τὸ ἐπιεικέστερον μεταβαλλομένων.

Οἶδας γὰρ φρόνιμος ὤν, ὅτι ἐπὶ πάντων τῶν πρὸς μάχην καὶ φιλονεικείαν ὑπὸ τοῦ πονηροῦ διαστασιασάντων οὐκ ἔστιν ἄλλως τὴν ἔχθραν καὶ τὴν ἔριν καταπαυθῆναι, εἰ μὴ συγκαταβατικώτερον πρὸς ἑαυτοὺς συνέλθωσιν οἱ ὑπὸ τῆς ἔχθρας διαστασιάσαντες, ἐπεὶ τό γε ἀπὸ ἐξουσίας τὸ ἕτερον μέρος τοὺς οἰκείους λόγους προτείνειν καὶ τὰ αὐτῷ δοκοῦντα ζητεῖν, οὐκ οἶδεν εἰρήνην οὐδὲ ἀγάπην βραβεύειν· φανερὸν γὰρ ὅτι ὁ ζητῶν ἀδύνατα οὐκ εἰρήνην ἐπιζητεῖ, ἀλλὰ μᾶλλον τὸ ἀκατάλυτον τῇ ἔχθρᾳ προνοεῖται· καὶ σὺ οὖν, υἱέ μου ἀγαπητέ, ὡς τῆς εἰρήνης υἱός, υἱὸς γὰρ εἶ τῆς εἰρήνης, ὅτι ἐν καιρῷ τῆς εἰρήνης ἀπεγεννήθης τῷ ἁγίῳ σου πατρί, ὡς παρὰ Χριστοῦ τοῦ τὴν εἰρήνην δωρησαμένου τῷ κόσμῳ τὴν ἀρχὴν τοῦ οἰκείου ἔθνους λαβών, τὰ τῆς εἰρήνης ἐπιζητῶν, εἰρηνικὰς προτείνου, καὶ τὰς ὑπὲρ ὧν ἔπταισαν εἰς σὲ Ῥωμαῖοι ἀποτίσεις· λέγομεν δὲ οἷα καὶ πάλαι προεγράφη, χρυσίου συνεισφοράν, ἀργύρου, χρημάτων ἄλλων, τυχὸν καὶ μέρους τινὸς γῆς ἀποκλήρωσιν, καὶ μὴ τοιαῦτα οἷα προβάλλεις ἀδύνατα· καὶ γὰρ οὔτε ἡ εἰς τὴν πόλιν εἴσοδος ἀνεκτή, οὔτε τὸ ἕτερον ὅπερ λέγεις τῆς πάσης δύσεως ἡ κυριότης τῇ ῥωμαϊκῇ βασιλείᾳ τυγχάνει· ὥστε ταῦτα καταλιπών, τὰ δυνατὰ προβαλοῦ, καὶ ἃ σὺν θεῷ καὶ σὲ θεραπεύσει, πάντως γὰρ θεραπεύσει, ἐκεῖνά σοι προσγενόμενα· ἃ μήτε οἱ πρὸ σοῦ τὴν ῥωμαϊκὴν βασιλείαν ἔσχον ὑποτελοῦσαν, μήτε ὑμεῖς μέχρι τοῦ παρόντος καιροῦ τοιαῦτα κέρδη ἐγνωρίσατε· παρέξουσι δὲ καὶ οἱ τὸ βασιλεύειν λαχόντες καὶ ἡ τούτων σύγκλητος χωρὶς βαρύτητος καὶ ὅλῃ προαιρέσει· καὶ σὺν θεῷ τῆς ἁγίας εἰρήνης τὰ δεσμὰ πάλιν συνάψουσι Βούλγαροι καὶ Ῥωμαῖοι· καὶ γενησεται ὁ σατανᾶς μὲν ἐκποδών, εὐφρανθήσεται δὲ ὁ Χριστὸς καὶ θεὸς ἡμῶν, καὶ ὅσοι τῆς ἐκείνου μερίδος· καὶ ἡ ἐξ ἀρχῆς εὐδαιμονία

καὶ γλυκεῖα κατάστασις πάλιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων πλατυνθήσεται.

Περιεῖχε δὲ καὶ τὸ νῦν ἀποσταλὲν γράμμα σου, τέκνον ἡμῶν, καὶ πρὸ τούτου ἕτερα γράμματα, ὡς ἀποσταλῆναί τινας οἳ περὶ τῆς εἰρήνης συνομιλήσουσιν ὑμῖν· καὶ ἀπεστάλη ἐπὶ τούτῳ ἄνθρωπος θείᾳ χάριτι καὶ συζῶν εὐλαβείᾳ καὶ ἀρετῇ, καὶ τῆς θεομήτορος καὶ δεσποίνης ἡμῶν τοῦ ἐν Βλαχέρναις ναοῦ σκευοφύλαξ, ὃν ὑποδεχόμενος τὰ δοκοῦντά σοι γνώρισον· καὶ μετὰ τὴν ἐκείνου ἐπαναστροφὴν, εἴ γε ἡ σὴ ἀγαθὴ καὶ ἥμερος ψυχὴ πρὸς τὸ καλὸν τῆς εἰρήνης ὅλῃ ψυχῇ ἀποβλέψει, ἀποσταλήσονται καὶ τῆς ἐκκλησίας ἄνθρωποι καὶ τῆς πολιτείας τῶν προκρίτων, δι' ὧν οἱ λόγοι τὸ βέβαιον καὶ πάγιον λήψονται· εἴη δὲ Χριστὸς ὁ θεὸς ἡμῶν, ὃν οἶδα ὅτι θεραπεύειν γνώμην ἀδιάλειπτον ἔχεις, ὡς τῆς ἐκείνου δόξης ἐφιέμενος ἐκεῖθεν κληρονόμος γενέσθαι, ἡ γὰρ παροῦσα δόξα ἄνθος χόρτου, ἐκεῖνα ἐμπνέων, ἐκεῖνα εἰς λογισμοὺς σου φέρων, ὅσα τὴν εἰρήνην βραβεύσει· ὑπὲρ ἧς τὸ ἄχραντον αὐτοῦ αἷμα κἀκεῖνος ἐξέχεε, καὶ τὰ λοιπὰ ὑπέστη πάθη, δι' ὧν τὸν πατέρα τῆς ἔχθρας κατήργησε τὸν διάβολον.

XXVIII. ΤΩ ΑΥΤΩ.

Πάλιν γράφομεν πρὸς υἱὸν ἀγαπώμενον παρ' ἡμῶν, εἰ καὶ παραλογιζόμεθα ὑπὸ τοῦ υἱοῦ, ἀλλὰ γράφομεν πρὸς τὴν ἀγάπην μᾶλλον τὴν κεχρεωστημένην τοῖς πατράσι πρὸς τὰ τέκνα ἀποβλέποντες, ἀλλ' οὐ πρὸς τὸν σὸν παραλογισμὸν, ὃν ποιῇ πρὸς ἡμᾶς· γράφομεν δὲ τὸ μέν τι κινούμενοι ἐξ ἑαυτῶν, τὸ δέ τι καὶ παρὰ τοῦ ἁγιωτάτου Πάπα (1) τοῦ ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ· οὗτος γὰρ ἐπειδὴ πρὸς πᾶσαν ἐξηπλώθη τὴν γῆν καὶ πανταχ-

(1) Erat hic Iohannes X. papa. Extat autem, non sine varietatibus, epistolae huius pars apud Baronium ad an. CMXVII, cui tradita fuit ex codice Lolini bellunensis episcopi, ubi hoc loco sequitur ᾧ ἀπειθεῖν ἀθέμιτον κρίνομεν, *cui minime obtemperare nefas est:* quae verba quum recens codicis nostri scriptor schismaticus ferre non posset, substituit titulos *fratris et comministri nostri;* qua fide, nemo non videt.

χοῦ λαλεῖται τὰ μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων ἐλεεινὰ πράγματα, καὶ τοι μὴ θεασάμενος τοῖς ὀφθαλμοῖς τὴν τοσαύτην συμφορὰν, τὴν αἰχμαλωσίαν, τὴν πυρκαιὰν, τὴν ἀπώλειαν τῶν ἐκκλησιῶν, τὴν διαφθορὰν τῶν παρθένων, τὴν χηρείαν, τὴν ὀρφανίαν, μὴ θεασάμενος ταῦτα, ἀλλ' ἀπὸ μόνης τῆς ἀκοῆς ὀξεῖαν φέρων ἐν τῇ καρδίᾳ τὴν πληγὴν, καὶ μὴ δυνάμενος τὰς δριμείας ὑποφέρειν ὀδύνας, ἀπέστειλεν ἱεροὺς αὐτοῦ ἀνθρώπους ἀρχαίους κατὰ πάντα Θεῷ εὐαρέστους, τὸν μὲν πρῶτον ὑπάρχοντα τῶν ἑαυτοῦ ἐπισκόπων, Θεοφύλακτος δὲ οὗτος καλεῖται· ἕτερον δὲ καὶ αὐτὸν ἐπίσκοπον οὐ πολὺ τῆς ἐκείνου λειπόμενον τάξεως, Κάρος καὶ οὗτος καλεῖται· ἀλλὰ γὰρ τούτους ἐπέστειλε πρὸς σὲ γράμμα κομίζοντας, οὗ ὁ σκοπὸς καὶ ἡ σπουδὴ τὰ χαλεπὰ ταῦτα τὰ μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων ἐκ μέσου γενέσθαι, καὶ τὸν πατέρα τῶν κακῶν διάβολον καταισχυνθῆναι, εἰρήνην δὲ βραβευθῆναι, ἣν ἐχαρίσατο τοῖς ἐπικεκλημένοις τῷ τοῦ Χριστοῦ ὀνόματι αὐτὸς ὁ Χριστὸς ἡμῶν, ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ὁ τῆς ἔχθρας καθαιρέτης καὶ τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεδεμένους εἶναι βουλόμενος, τοὺς ἐκεῖνον ὁμολογοῦντας δεσπότην καὶ κύριον.

Ἀλλ' ὅπερ εἶπον οὕτως ἐκ μόνης τῆς ἀκοῆς πεπληγμένος τὴν καρδίαν, ὁ τῶν Ῥωμαίων ἁγιώτατος ἀρχιερεὺς, καὶ πάντες οἱ τελοῦντες ὑπ' αὐτὸν ὑποχείριοι, ἀπέστειλαν πρὸς ἡμᾶς γράψαντες καὶ ἡμῖν τούτους παντὶ τρόπῳ δι' ἡμῶν ἐκπεμφθῆναι πρὸς Βουλγαρίαν, ἐλπίζοντες ὡς πάντως πεισθήσῃ ἢ τῇ ἐκείνων παραινέσει, ἢ τῷ δεσμῷ· παρεκελεύσατο γὰρ καὶ τοῦτο τοῖς ἑαυτοῦ ἀποστόλοις ὁ ἁγιώτατος Πάπας, ἵνα ἐάν περ πρὸς τὴν παραίνεσιν κλείσῃς τὰ ὦτα, δεσμῷ ἀλύτῳ σε τοῦ ἁγίου πνεύματος συνδεσμήσωσι· τούτους οὖν ἐπὶ τούτῳ πρὸς σὲ ἀπεσταλμένους, ἐβουλήθημεν καὶ ἡμεῖς πρὸς σὲ ἀποστεῖλαι· ἀλλ' ἐκεῖνο ἐνθυμηθέντες, ὡς οὐκ οἶδα πόθεν, τέκνον ἠγαπημένον, μετὰ τῶν ἄλλων καὶ τοῦτο ποιεῖν διέγνως οὐ καλῶς, τὸ τοὺς ἀποκρισιαρίους κατέχειν, ὅπερ ἐν οὐδενὶ τῶν ἄλλων ἐθνῶν οὐδ' ἐν τοῖς ἀπίστοις ὁρᾶται γινόμενον, ὑπεστάλημεν ὥστε μὴ τοὺς ἄνδρας

μετὰ τῆς ἄλλης ταλαιπωρίας, ἣν ὑπέστησαν τοσοῦτον μῆκος ὁδοῦ ἐκπονήσαντες, καὶ εἰς τὴν παρὰ σοῦ στενοχωρίαν καὶ κάκωσιν ἐμπεσεῖν· διὰ τοῦτο τὸ μὲν γραφὲν πρὸς σὲ γράμμα παρὰ τοῦ ἁγιωτάτου Πάπα ἐξεπέμφθη· τῶν δὲ ἀνθρώπων φεισάμενοι τῆς κακώσεως, ἵνα μὴ λέγω τοῦ θανάτου, τῆς πρὸς σὲ ἀφίξεως ἐπέσχομεν αὐτούς· τί οὖν φημὶ, τέκνον ἡμῶν; σκόπει καὶ μὴ βουληθῇς ὥσπερ ἡμῶν καταφρονῆσαι, οὕτω καὶ τοῦ νῦν πρὸς σὲ γράψαντος τοῦ Ῥωμαίων ἀρχιερέως· ἀλλ' εἰ καὶ ἡμᾶς ἐν οὐδενὶ ἔθου καὶ τὰς ἡμετέρας παραινέσεις, τίμησον ἐκείνου τὴν νουθεσίαν, μή ποτε ἀτιμαζομένου αὐτοῦ, οἰκείαν οἱ κορυφαῖοι ἀπόστολοι τὴν ἀτιμίαν ποιησάμενοι, ὡς ἐν νυκτὶ καὶ ἡμέρᾳ τούτοις ἐξυπηρετουμένου, δριμὺ ἐπιβλέψωσιν ἐπὶ σέ· καὶ οὐκ οἶδα εἰ δυνηθήσῃ τὴν δριμύτητα ὑποστῆναι· ἀναλόγισαι Πέτρον, ὅπως Ἀνανίαν καὶ τὴν ἐκείνου σύζυγον τῷ θανάτῳ παρέδωκεν ἐκ μόνης ἀγανακτήσεως· ἐνθυμήθητι Παῦλον, ὅπως Ἐλύμα τοῦ μάγου τοὺς ὀφθαλμοὺς ἠμαύρωσεν, ἐπειδὴ μόνον ἔδοξεν ὁ ταλαίπωρος ἐκεῖνος πρὸς ἐναντιότητα φέρεσθαι τοῦ ἀποστόλου.

Ταῦτα οὖν ἐνθυμήθητι, τέκνον ἡμῶν, καὶ πάλιν φημὶ καὶ φρίκην καὶ φόβον ἀναλαβοῦ εἰς τὸ καθὼς ἡμᾶς, οὕτω καὶ τοῦ Πάπα τὴν διδασκαλίαν παραλογίσασθαι· μάλιστα ὅτι καὶ αὐτὸς σὺ ὥς γε μανθάνομεν περὶ πολλοῦ ποιῇ τοῦ τιμᾶν τοὺς ἁγίους καὶ κορυφαίους τῶν μαθητῶν, οὓς εἰ ἀληθῶς τιμᾷς, πάντως οὐκ ἀτιμάσεις τὸν ἐν τῷ θρόνῳ τούτων καθήμενον· ἀλλὰ ταῦτα μὲν γράφομεν περὶ τῶν Ῥωμαίων, ἕνεκα τῆς πρὸς σὲ ἀποστολῆς· γνωρίζομεν δέ σοι καὶ τοῦτο, ὅτι χάριτι θεοῦ τὰ ἐνταῦθα καταλαβόντες, εἴ τι σκάνδαλον ἐκ τοῦ τετάρτου γάμου ἐν τῇ ἐκκλησίᾳ συμβέβηκε, τοῦτο μετὰ τῆς ἡμῶν ταπεινότητος τῷ ἀναθέματι παραδεδώκασι (1), καὶ πάντα ὅσα ἐδεῖτο θεραπείας, ἔτυχε τῆς ὀφειλομένης ἰάσεως, καὶ λοιπὸν κοινῇ τοῖς ἀχράντοις ὑπηρετήσαμεν μυστηρίοις, καὶ τῆς κοινωνίας αὐτῶν μετέσχομεν καὶ τοῦ

(1) Deerant verba a τοῦτο ad παραδεδώκασι in exemplari, quo usus fuit Baronius. Num haec item sunt addita a librario graeco ut damnatas a romana quoque ecclesia quartas nuptias falso adfirmaret?

ἁγιασμοῦ, καὶ γέγονε λοιπὸν ἡ Ῥωμαίων καὶ ἡ Κωνσταντινουπολιτῶν ἐκκλησία μιᾶς συμπνοίας καὶ ὁμονοίας· ἐγράψαμεν οὖν καὶ περὶ τούτου, τοῦ μὲν ἵνα καὶ αὐτὸς χαίρειν ἔχῃς, ὥσπερ καὶ ἡμεῖς, ἐπὶ τῇ καταστάσει τῶν ἐκκλησιῶν· οἶδα γὰρ ὅτι περ εἰ καὶ ὁ σατανᾶς τὰ ἄλλα κακῶς διέθηκε μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, ἀλλ᾽ ὅμως ὡς τοῦ Χριστοῦ λατρευτής, χαίρεις ἐπὶ τῇ καταστάσει τῆς αὐτοῦ ἐκκλησίας. (1)

Ἐκεῖνο δὲ θαυμάζω, τέκνον ἡμῶν, πῶς τοσαύτῃ συνέσει διαπρέπων, πρᾶγμα ποιεῖς ἀνάξιον τῆς σῆς συνέσεως· δεχόμενος γὰρ γράμμα παρὰ τῶν λαχόντων ἐκ θεοῦ βασιλεύειν τοῦ ῥωμαϊκοῦ λαοῦ, ἀντιγράφεις οὐ πρὸς ἐκείνους, ἀλλὰ πρὸς τὴν σύγκλητον, ὃ καὶ παράδοξον ἀκοῦσαι καὶ ἀπρεπές, καὶ σὲ εἰς μέμψιν ἐμβάλλον· τίς γάρ ποτε τῶν πάντων ἀνθρώπων ἐκ τοῦ λαχόντος ἄρχειν γράμμα δεχόμενος, ἐκεῖνον μὲν καταλείπει, γράφει δὲ πρὸς τοὺς ὑπὸ χεῖρα τελοῦντας; τίς ποτε τὸν δεσπότην ἀφείς, ὃς κύριος ὑπάρχει περὶ τῶν λεγομένων καὶ κατανεύειν καὶ μή, τοῖς δούλοις διαλέγεται, καὶ παρ᾽ ἐκείνων ἀξιοῖ γνώμην λαμβάνειν; ποῦ τοῦτο γινόμενον ἤκουσας ἐν πᾶσιν ἀνθρώποις; οὐ γέγονε μέχρι καὶ νῦν οὐδαμοῦ τὸ παράλογον τοῦτο, οὐδ᾽ ἔστιν ὃς τοῦτο ἀκούσας οὐχὶ πολλὴν κατάγνωσιν κατὰ τοῦ τοιαῦτα φρονοῦντος ποιήσεται· κατάλιπε οὖν, τέκνον ἡμῶν, τὴν τοιαύτην ἐπίνοιαν· οὐ γάρ ἐστι σπουδαζόντων, ἀλλὰ παιζόντων· καὶ σὺ οὖν, εἴ γε λαβὼν θεόθεν διάνοιαν εἰς κατάγνωσιν ἦλθες καὶ μεταμέλειαν τῶν παρὰ σοῦ γενομένων, τῶν φόνων, τῶν πυρπολήσεων, τῆς ἄλλης ἐρημώσεως, καὶ τὰ τῆς εἰρήνης φρονεῖς ἀληθῶς, γράφε πρὸς τοὺς λαβόντας παρὰ θεοῦ καὶ τὴν βασιλείαν καὶ τὴν πρόνοιαν τοῦ λαοῦ αὐτοῦ· καὶ εἴ γε τοῦτο δοκεῖ, καὶ τὸν τόπον ἐν ᾧ συναφθήσονται οἱ τὰ τῆς εἰρήνης συνθησόμενοι.

Καὶ εἰ μὲν αὐτὸς βούλει διὰ σεαυτοῦ παραγενέσθαι, καὶ τοῦτο ποίησον δῆλον· ὥστε καὶ ἐμὴν ταπεινότητα, εἰ καὶ γέρων καὶ ἀσθενής, ἀλλ᾽ ὅμως ὑπεριδεῖν τούτων καὶ πρὸς σὲ παραγενέσθαι, μεθ᾽ ὧν ἂν δοκιμάσωσι προκρίτων τῆς πολιτείας οἱ φιλόχριστοι

(1) Hactenus apud Baronium.

βασιλεῖς ἡμῶν· τοῦτο ποίησον, εἰ ἀληθῶς μεμίσηκας πολέμους καὶ τὰς σφαγὰς, καὶ τῆς εἰρήνης ἐν ἐπιθυμίᾳ κατέστης· εἰ δ' ἃ γράφεις οὐκ ἔστι σπουδάζοντος, οὐδὲ τὴν εἰρήνην ἐπιζητοῦντος, ἀλλὰ προφάσεις καὶ λόγοι παιδιᾷ μεμιγμένοι, κρεῖττόν ἐστι σιωπὴν κτήσασθαι, καὶ μήτε γράφειν τοιαῦτα, μήτε ἀντὶ ματαιολογίας παρ' ὑμῶν γραφομένης, ἀντιγράφεσθαί σοι ματαιολογίας ἐπιζητεῖν· τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι Χριστὸς ὁ θεὸς ἡμῶν, πλέον ἐπεκτείνων τὴν χεῖρα εἰς βοήθειαν τοῦ καλῶς τὸν βίον περάσαι καὶ ἀκατακρίτως, ὅσῳ πλέον ὑμῖν τὸ φορτίον τῶν κοσμικῶν πραγμάτων ἐπέθηκε, καὶ μὴ συγχωρήσοι τῷ τούτων βάρει τοῦ νοῦ χαλασθῆναι τὸ ἔντονον, καὶ διὰ τοῦτο πρὸς ἀπρεπῆ πράγματα ἐξενεχθῆναι, ὅπερ ὡς τὰ πολλὰ συμβαίνει τοῖς τὰς ἀρχὰς διέπουσι, καὶ δυναστείαν κοσμικὴν καὶ ἐξουσίαν ἐγκεχειρισμένοις.

XXIX. ΤΩ ΑΥΤΩ.

Ἐσιωπήσαμεν, τέκνον ἡμῶν, πεποθημένον χρόνον ἱκανὸν, καὶ συνεστάλημεν τοῦ πρὸς ὑμᾶς γράφειν, τοῦτο μὲν βαρείᾳ πιεζόμενοι θλίψει ὅτι ἐκ τῶν συχνῶν γραμμάτων, ὧν προεγράψαμεν οὐδεμίαν εἴδομεν ὠφέλειαν ἀπαντήσασαν, τοῦτο δὲ καὶ πρὸς τὸν υἱὸν τοῦ θεοῦ τὸν τῆς εἰρήνης αἴτιον καὶ χορηγὸν τὰς ταπεινὰς ἡμῶν δεήσεις ἀνατεθεικότες καὶ πρὸς μόνην τὴν παρ' ἐκείνου ἀφορῶντες εὐμένειαν, καὶ τὴν σωτηριώδη πρόνοιαν, ᾗ τις ἐπ' οὐδενὶ ἄλλῳ, ὅσον ἐπὶ τῇ τοῦ κόσμου θεραπεύεται εἰρήνῃ· νῦν δὲ, τέκνον ἡμῶν, ἐπειδὴ ὥσπερ τὸ πολὺ βάρος ἐκεῖνο τῆς θλίψεως ἐκ τῆς καρδίας ἡμῶν ἀπογεγενημένον ᾐσθόμεθα, καὶ πρὸς ἐλπίδας ἀγαθὰς κατέστημεν, καὶ εἴη μὴ διαψευσθῆναι ἡμᾶς τῆς ἄνωθεν εὐδοκίας τοῦτο προμηθουμένης, πάλιν ἐπὶ τὸ γράφειν πρὸς τὴν ὑμῶν μεγαλόδοξον ὡρμήσαμεν τιμιότητα, τέκνον ἡμῶν, υἱέ μου ἀγαπητέ· ἀγαπῶμεν γάρ σε, καὶ σὺ τὸν πατέρα οὐκ ἀγαπᾷς· εἰ γὰρ ἠγάπας, ἤκουσας ἂν παραινέσεως πατρικῆς· ἀλλὰ τέκνον μου ἠγαπημένον, μέχρι τίνος οὕτω διακεισόμεθα, λυποῦν-

τες μὲν Θεὸν, ἐφ᾽ οἷς ὄλεθρον προξενοῦμεν τῇ ἁγίᾳ τούτου κληρονομίᾳ, εἰς ὄνειδος δὲ ἑαυτῶν, ὅτι χρόνον ἐπὶ τοσοῦτον ταῖς κατ᾽ ἀλλήλων σφαγαῖς χριστιανοὶ μολύνονται οὐκ ἐννοήσωμεν τὸ φοβερὸν κριτήριον τοῦ Θεοῦ;

Οἶδα ὅτι ἐὰν βούλῃ, οὐδενὸς τῶν ἐπὶ φρονήσει διαβοωμένων τὸ τοῦ κριτοῦ γινώσκεις κατάκριμα· ἕως πότε προστίθεμεν κακὰ τοῖς κακοῖς; ἕως τίνος παραχωρήσωμεν κατορχεῖσθαι τῷ διαβόλῳ ταῖς τῶν χριστιανῶν κατ᾽ ἀλλήλων σφαγαῖς; ἐνθυμήθητι, τέκνον ἡμῶν, ὅτι τάχα καὶ τῆς ζωῆς ἡμῶν ὁ χρόνος παρήλασε, καὶ ἴσως οὐ μακρὰ προθεσμία τοῦ διαλυθῆναι τὴν ψυχὴν ἐκ τοῦ σώματος· εἶτα μετὰ ποίας ἀπαίρομεν συνειδήσεως ἐκ τῆς παρούσης ζωῆς, ἐὰν τοῦτο συμβῇ οἷα τὰ ἀνθρώπινα; κἂν ἐλπίδες ἀπατῶσι πολλάκις μάταιοι, ὅτι προσμενοῦμεν ἐπὶ πλεῖον τῇ παρούσῃ ζωῇ· τί ἐροῦμεν τότε; τί διανοηθῶμεν, ὅτε στενὸς ὁ καιρὸς, καὶ οἱ τὴν ψυχὴν ἀπαιτοῦντες ἄγγελοι ἐφεστήκασιν, ὅτι οὐ μόνον ζῶντες ἐπράξαμεν οἷα ἐπράξαμεν; οἶδας δὲ πάντως οἷα ἐπράχθη, ὅση Βουλγάρων καὶ Ῥωμαίων ἀπώλεια, τῶν υἱοθετηθέντων Θεῷ διὰ τοῦ βαπτίσματος· ὅση τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἐρημία, καὶ τῆς ἐκείνου δοξολογίας καὶ τῶν τελουμένων μυστηρίων εἰς ἀποκάθαρσιν τῶν ἁμαρτιῶν ἡμῶν, οἴμοι τῶν ἐμῶν παθῶν τὸ βαρύτατον, ἀφανισμὸς καὶ ἀποπνυστις· ἀναλογίζου μοι τῶν μοναστηρίων τὴν ἀπώλειαν, τῶν ἐπισκοπείων τὴν ἐξολόθρευσιν, τῶν ἄλλων ὅσαι κατὰ χώρας ὑπῆρχον ἐκκλησίαι, καὶ τῆς ἐν αὐταῖς γινομένης εἰς δόξαν Θεοῦ λατρείας τὴν ἐξερήμωσιν· ἐῶ τὰ ἄλλα, τὴν φθορὰν τῶν παρθένων, τῆς ὀφειλομένης μονάζουσιν εὐλαβείας τὴν ἔκπτωσιν, τῶν ἱερέων τοῦ Θεοῦ τὴν ὡς εἰκὸς διὰ τὴν αἰχμαλωσίαν οἷα τὰ ἀνθρωπίνα τῆς ἱερατικῆς τάξεως καταφρόνησιν· καὶ τούτων πάντων, ὥσπερ οὐχ ἱκανῶν ὑπαρχόντων εἰς θλίψιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, πάλιν μετὰ τὴν σὴν ἀποβίωσιν ὑπὸ σοῦ καταλιμπανομένων σκανδάλων ἀνιάτων καὶ ἀθεραπεύτων· ἤδη τὴν νεότητα ὑπερήλασας, ἄπιστος μὲν γὰρ καὶ νεότητι τὸ παραμένειν τῷ βίῳ ἡ ἐλπίς· ὁπότε δὲ τὴν νεότητα ὑπερβῶμεν, καὶ μάλιστα πρὸς ἑξηκοστὸν καταντήσομεν ἔτος, ᾧ τινι καὶ σὺ τυ-

χὸν ἢ πλησιάζεις ἢ οὐ πολὺ πόῤῥω ἀφέστηκας, τί δεῖ λογίζεσθαι; πρὸς γὰρ τὸ ἑβδομηκοστὸν σπάνιοι τῶν ἀνθρώπων ἀναβαίνουσιν, ὡς ἐπὶ πλεῖστον δὲ ὁρῶμεν τὸ ἀνθρώπινον γένος κάτωθεν τούτου τὴν ζωὴν καταστρέφον.

Τίς οὖν ὠφέλεια ἐν τῷ σε καταβῆναι εἰς διαφθορὰν τοῦ κατ' ἀλλήλων πολέμου Ῥωμαίων τε καὶ Βουλγάρων τῆς παραμονῆς; τί ἄλλο, ἢ τὸ μὴ μόνον ἐν τῇ ζωῇ ἡμῶν τῶν κακῶς γεγενημένων ἐν τῷ ἐκεῖθεν τοῦ Θεοῦ κριτηρίῳ τὰς δίκας ὑποσχεῖν, ἀλλὰ καὶ τῶν μετὰ θάνατον ἄλλοις πραττομένων, ἡμᾶς ὑποστῆναι τὴν κόλασιν· διὰ τοῦτο, τέκνον ἡμῶν, οἷα παρὼν προσπτύσσομαι, καταφιλῶ τὸ στόμα, τοὺς ὀφθαλμοὺς, καὶ πᾶν ἄλλο μέλος· ἐφάπτομαι τῶν γονάτων καὶ δυσωπῶ ἐπικαμφθῆναι τὴν σὴν ἡμερωτάτην ψυχὴν, εἰ καὶ πραγμάτων κακία ταύτην ἐξέστησε τοῦ οἰκείου αὐτῆς ἰδιώματος, πρὸς τὴν εἰρήνην· ἀρκεσθῆναι τοῖς ἤδη γεγενημένοις ὀλεθρίοις πράγμασιν, ἀπολῆξαι τοὺς κατ' ἀλλήλων τῶν χριστιανῶν πολέμους καὶ τὰς σφαγὰς, μὴ δὲ καταλιπεῖν μνημόσυνον ἐλεεινὸν καὶ κατάρας ἄξιον, ὅτι Συμεὼν ἐκεῖνος ὁ κατὰ τὴν ἑαυτοῦ γενεὰν ὅσα γε τὰ ἐκ φρονήσεως, τὰ ἐξ ὀρθῆς κρίσεως, τὰ ἐκ παντὸς εἴδους ἀρετῆς γενόμενος ὑπερθαύμαστος, καὶ οἷον φωστὴρ τοῦ Βουλγάρων γένους, οὗτος κατεπάτησε τὴν εἰρήνην τὴν ὑπὸ τοῦ οἰκείου πατρὸς γενομένην, ἠθέτησεν οἰκεῖα σύμφωνα καὶ ὅρκους καὶ συμβάσεις πρὸς τοὺς Ῥωμαίους, καὶ γέγονε πολέμιος ἀπηνέστερος τῶν προπατόρων αὐτοῦ, οἳ τῶν Χριστὸν καὶ Θεὸν ἡμῶν οὐκ ἐγνώρισαν· καὶ οὐ μόνον ἐν τοῖς ζῶσιν ὑπάρχων τοιοῦτος ὤφθη, ἀλλὰ καὶ μετὰ τὸν ἑαυτοῦ θάνατον ἄσπονδον κατέλιπε πόλεμον, καὶ τὴν κατ' ἀλλήλων μάχαιραν Ῥωμαίων καὶ Βουλγάρων τοῦ τῆς σφαγῆς αἵματος ἀποστάζειν ἠγάπησε.

Ταῦτά σοι ἔγραψα, τέκνον ἡμῶν, θρηνῶν καὶ ὀδυρόμενος, πρῶτον μὲν ἐμαυτὸν, ὅτι μέχρι τοσούτου παρέτεινε τὸ ἐμὸν ἄθλιον γῆρας, καὶ τοιούτων ἐλεεινῶν πραγμάτων ἐγενόμην ἐν ἱστορίᾳ· θρηνῶν δὲ καὶ ὑμᾶς, ναὶ δὴ καὶ τὸ Ῥωμαίων γένος, ὧν ἕνεκα καὶ νῦν κατ' ἀλλήλων κινούμενοι πάσχετε, καὶ εἰς τὸν μέλλοντα

αἰῶνα, ὅτε τὰ πάθη οὐκ ἔχει ἀπόπαυσιν πικραῖς ὑποβληθήσεσθε τιμωρίαις, ὡς τὸ αἷμα τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν, δι' οὗ ἠγοράσθημεν, καὶ λαὸς αὐτοῦ γεγενήμεθα, εἰς οὐδὲν λογιζόμενοι· πλὴν οἱ θεοστεφεῖς ἡμῶν βασιλεῖς καθὼς πολλάκις οὕτω καὶ νῦν τὴν εἰρήνην ἐπιζητοῦσι, καὶ παντὶ τρόπῳ τὰ ἐκ τῶν προλαβόντων ἀνθρώπων παρακολουθήσαντα σφάλματα θεραπευθῆναι σπουδάζουσι· διὰ τοῦτο καὶ νῦν ἀπέστειλαν ἀνθρώπους, οἳ περὶ τῆς εἰρήνης ὑμῖν συλλαλήσουσι, καὶ ἔστι σὸν καὶ τῆς σῆς τελειοτάτης συνέσεως εἰς τὰς πρεπούσας συμβάσεις καὶ θεῷ εὐαρέστους, καὶ κοινῶς συμφερούσας Ῥωμαίοις καὶ Βουλγάροις συνελθεῖν· ἵνα καὶ ὁ σατανᾶς ὁ τῶν σκανδάλων καὶ τῶν πολέμων αἴτιος καταισχυνθῇ, καὶ ὡς τὸ ἐξ ἀρχῆς ἐβράβευσε θεὸς τὴν εἰρήνην μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, πάλιν ἔχητε τὴν εἰρήνην· καὶ ὑμεῖς μὲν ὡς τέκνα τοὺς πατέρας ἐπιγινώσκετε, παρ' ὧν ἐδέξασθε καὶ τοῦ ἁγίου βαπτίσματος τὴν χάριν, καὶ οἱ Ῥωμαῖοι ὡς πατέρες τὰ οἰκεῖα ἐν Χριστῷ τέκνα τοὺς Βουλγάρους ἐπιγινώσκωσι, καὶ θεὸς ἐπὶ τούτοις δοξάζηται, καὶ τὰ τοῦ κοινοῦ βίου καὶ τῆς ζωῆς πράγματα Ῥωμαίοις καὶ Βουλγάροις πρὸς τὴν ἐξ ἀρχῆς ἀποκαταστῇ εὐκληρίαν τε καὶ ἀπόλαυσιν.

Ἐπὶ τούτοις ἐκεῖνο προστίθεμεν, ὡς ἀνάξια ποιεῖς τῆς σῆς μεγαλοδόξου ἀρχῆς, ὕβρεις γράφων καὶ παραλογισμῶν ῥήματα ἀντὶ τῶν εἰς σὲ γραφομένων φιλικῶν γραμμάτων καὶ τιμώντων τὴν ὑμετέραν ἐξουσίαν παρὰ τοῦ φιλοχρίστου καὶ εἰς εἰρήνην προκαλουμένου σε βασιλέως· οἶμαι γάρ, τέκνον ἡμῶν, ὡς οὐκ ἀγνοεῖς ὅτι καὶ ἄλλο φρόνημα τῶν ταπεινῶν καὶ χυδαίων ἀνθρώπων, αἱ ὕβρεις ἀνθρώπων εἰσὶν εὐτελῶν καὶ φρονήματος ἀπερριμμένων· ἀρχῆς δὲ οἱ λαβόντες παρὰ τοῦ θεοῦ ἀνάβασιν, ἐὰν συναισθάνωνται τῆς ἑαυτῶν δόξης, οὐδέ ποτε καταβαίνουσιν· ὁρᾷς, τέκνον ἡμῶν, τὴν ἡμετέραν πρὸς σὲ ἀγάπην, ὅτι καὶ ἐν τούτοις τῆς σῆς φροντίζοντες δόξης, ὡς πατέρες ἐπανορθούμεθα τὸ οὐκ οἶδα πῶς ἐπακολουθοῦν σοι πταῖσμα καὶ τὴν σὴν κατευτελίζον μεγαλόδοξον ὑπεροχήν· γράφε καὶ περὶ τῶν προκειμένων πραγμάτων οἷα δεῖ γράφειν ἄνθρωπον δεδοξασμένον, ἐπιζητῶν

τὴν κατάστασιν, ἐπιζητῶν τὸ συμφέρον, ἐπιζητῶν τὴν εἰρήνην, ὡς παρὰ Θεοῦ λαβὼν τὸ ἄρχειν, ὡς χριστιανὸς, ὡς μέλλων τῷ φοβερῷ τοῦ Θεοῦ κριτηρίῳ παραστῆναι, καὶ λόγον ἀποδώσειν ὑπὲρ τῆς σῆς ἀρχῆς, καὶ τῆς τῶν ὑποχειρίων διοικήσεως καὶ σωτηρίας· καὶ μὴ γράφῃς εἰρωνείας, μὴ δὲ ὕβρεις καὶ ἀτιμίας, ἅ τινα οὐκ ἀτιμάζουσιν ἐκείνους πρὸς οὓς γράφεις, ἀλλὰ μᾶλλον εἰς τὴν ὑμετέραν, οὐκ ἤθελον εἰπεῖν αἰδοῖ τῆς πρὸς σὲ ἀγάπης, ἀλλ' ὅμως ὑπὸ τῆς ἀληθείας κινούμενος λέγω, κατάγνωσιν ἐπαναστρέφουσιν.

XXX. ΤΩ ΑΥΤΩ.

Μὴ δεξάμενοι γράμμα παρὰ σοῦ, τέκνον ἡμῶν, αὐτοὶ γράφομεν· ὑπὸ τῆς πολλάκις κινησάσης αἰτίας ἡμᾶς πρότερον, καὶ νῦν γράφειν κεκινημένοι· αὕτη δέ ἐστι τῆς μακαρίας καὶ ποθεινῆς εἰρήνης ἡ ἐπιζήτησις, ἣν ἀποσυλήσας ὁ ἀρχαῖος τῶν ἀνθρώπων ἐχθρὸς ὁ διάβολος, μεγίστων μὲν ἀγαθῶν ἐζημίωσε τὸ Βουλγάρων γένος καὶ Ῥωμαίων, πολὺ δὲ ἄλγημα τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἐνεποίησε, τὰ δὲ ἐκείνου ποίμνια εἰς τὸν κατ' ἀλλήλων ὄλεθρον ὁρμῆσαι παρασκευασάμενος· ὑπὲρ τούτου πολλάκις ἐγράψαμεν, καὶ νῦν γράφομεν δυσωποῦντες· καὶ μάλιστα τοὺς σοὺς γλυκεῖς λόγους ἐν τοῖς ὠσὶν ἡμῶν ἔχοντες, καὶ τούτους καθ' ἑκάστην μελετῶντες, ὅσους τε πρὸς ἡμᾶς ἡ σὴ φρονίμη ἐδέξατο γλῶσσα, καὶ ὅσους πρὸς τὸν φιλόχριστον ἡμῶν βασιλέα, ὃν οἶδα βεβαίως ὅτι ἀφ' οὗ ἐθεάσω, καὶ πεῖραν τῆς ἐκείνου ἀγαθότητος ἔλαβες, ἐπόθησας καὶ ποθεῖς· καὶ γὰρ καὶ πρὸς ἐκεῖνον, τέκνον ἡμῶν, ἐπαγγελίας παρέσχες εἰρήνης, καὶ ὅτι λήξουσιν αἱ σφαγαὶ, καὶ οἱ πόλεμοι, καὶ τὰ ἐκ τούτων δυστυχῆ πράγματα, καὶ πάλιν εἰς τὴν προτέραν εὐδαιμονίαν Ῥωμαῖοι καὶ Βούλγαροι καταστήσονται· ἀλλὰ καὶ πρὸ τῆς συντυχίας τῆς πρὸς τὸν φιλόχριστον ἡμῶν βασιλέα, πρὸς τὴν ἡμῶν ἔφης ταπείνωσιν ἐκ Βουλγαρίας τὰ ἐνταῦθα καταλαβεῖν, εἰρήνην γενέσθαι βουλόμενος, καὶ ἀποπαῦσαι σὺν Θεῷ τὴν κατ' ἀλλήλων τῶν χριστιανῶν μάχην καὶ τῶν ὅπλων τὴν κίνησιν.

Τούτων ἔχοντες τὴν μνήμην ἀνεπίληστον ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ γινώσκοντες τὴν παρά σου τιμωμένην ἀλήθειαν, τὸ παρὸν ἐγράψαμεν γράμμα, οἷα πολλάκις ἐκελεύσαμεν, καὶ νῦν ἱκετεύοντες· δεῖξον, τέκνον ἡμῶν, τῶν σῶν ῥημάτων τὸ τέλος ἐπάξιον τῆς προσηκούσης σοι δόξης· πλήρωσον τὰς ὑποσχέσεις· ἵνα καὶ Θεὸς δοξασθῇ, καὶ τὸ σὸν ὄνομα γένηται ἀείμνηστον καὶ ἐν ταῖς ἔπειτα γενεαῖς, καὶ ἀμφότερα τὰ ποίμνια τοῦ Χριστοῦ, λέγω δὴ τό τε Βουλγάρων ἔθνος καὶ τὸ Ῥωμαίων γένος, ἀπαλλαγῶσι ψυχικοῦ καὶ σωματικοῦ ὀλέθρου, καὶ ἀπολαύσωσι καὶ σωματικῆς ἀνέσεως, καὶ ψυχικῆς σωτηρίας· οἶδε γὰρ ἡ σὴ μεγάλη σύνεσις, ὅτι οὐ μόνον τὴν σωματικὴν ζωὴν ἐλεεινῶς ζημιοῦνται Ῥωμαῖοι καὶ Βούλγαροι ἀλλήλους ἀποσφάζοντες, ἀλλὰ καὶ τῆς ψυχικῆς, οἴμοι τῷ ἀθλίῳ, ἀποστερίσκονται· ναί, τέκνον μου, σβέσωμεν τοῦ θυμοῦ τὴν φλόγα, ἣν εἴτε πονηρὸς δαίμων, εἴτε ἄνθρωποι ἀνέφλεξαν ἄφρονες· ἐγὼ καὶ ἀλόγων γένη ἐθεασάμην ποτὲ ὑπὸ θυμοῦ κινηθέντα, καὶ κατ᾽ ἀλλήλων ὁρμήσαντα καὶ μαχόμενα, ἀλλ᾽ ἐπαύσαντο πάλιν τοῦ θυμοῦ καὶ τοῦ μάχεσθαι, καὶ κατέστησαν πρὸς τὸ ἥμερον· εἶτα, τέκνον μου, τὰ μὲν ἄλογα μὴ κεκτημένα λόγον ἐπέχοντα τὸν θυμόν, ἀλλ᾽ ὑπὸ ἀλογίας ἀγόμενα ἐπίστανται τοῦ θυμοῦ ἀπόπαυσιν, καὶ τῆς κατ᾽ ἀλλήλων ἀφίστανται μάχης, καὶ μεταβάλλονται πρὸς εἰρήνην· ἄνθρωποι δὲ λόγῳ κυβερνώμενοι, ἕνα Θεὸν ὁμολογοῦντες, ἐπὶ ὀνόματι τῷ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἐπικεκλημένοι, ὅμως ἐξῆψαν κατ᾽ ἀλλήλων ὅπλα κινοῦντες, τούτοις χρῶνται διὰ παντός, καὶ ταῖς κατ᾽ ἀλλήλων σφαγαῖς ὥσπερ ἐντρυφῶντες διατελέσουσιν, ἀλλ᾽ οὐχὶ λογισμῷ κρινοῦσι τὰ πρέποντα, καὶ ὀψέ ποτε τῆς κατ᾽ ἀλλήλων σφαγῆς ἀφέξονται; καὶ ποῦ τοῦτο ἄξιον τῆς ἀνθρωπίνης φύσεως τῆς κατ᾽ εἰκόνα Θεοῦ διαπλασθείσης, καὶ λόγῳ τετιμημένης; ἀλλὰ τί μακρύνω τὸ γράμμα; ἀρκεσθῶμεν τοῖς εἰρημένοις· πέποιθα γὰρ ἐν Θεῷ, ὅτι ὥσπερ πατρικὰς ἐλπίδας πρὸς τὴν ἡμῶν ταπείνωσιν, καὶ πρὸς τὸν φιλόχριστον βασιλέα ἡμῶν τὸν σοὶ ποθούμενον ἀδελφόν, οὕτω καὶ γενήσεται ἀνθ᾽ ὧν ἐπευχόμεθά σοι μακρότητα ἡμερῶν, καὶ κατὰ τὴν παροῦσαν ζωὴν εὐετηρίαν, καὶ ἐν

τῇ μελλούσῃ κληρονομίαν δόξης τῆς ἀποκειμένης πᾶσι τοῖς τῷ Θεῷ εὐαρεστήσασιν.

XXXI. ΤΩ ΑΥΤΩ.

Ἔγραφα πολλάκις, ὡς μὲν ἐγὼ ἐνόμιζον ἀλλὰ καὶ ἔτι νομίζω, καὶ ὠφέλιμα καὶ συμφέροντα· γράφω νῦν ἐπὶ πᾶσιν οἷς προέγραψα· τοῦτο δὴ τὸ ἔσχατον γράμμα, ἅμα μὲν κινούμενος ὑπὸ τῆς ἐν τῇ ἐμῇ καρδίᾳ ἐγκειμένης διὰ παντὸς ὀδύνης χάριν τῶν κοινῶν παθῶν τῶν καταδαπανώντων τὸν λαὸν τοῦ Θεοῦ τὸν ἐν Βουλγάροις καὶ Ῥωμαίοις συναριθμούμενον· ἐκείνου γάρ ἐστι λαὸς ἀληθῶς καὶ τὸ Βουλγάρων γένος τοῦ ἐξαγοράσαντος αὐτοὺς οἰκείῳ αἵματι, τοῦ ἀδελφοὺς ποιησαμένου διὰ τῆς υἱοθεσίας τοῦ πνεύματος· εἰ καὶ τοῦτον σὸν εἶναι σὺ νομίζεις λαὸν, ὁ σήμερον ἄρχων, καὶ αὔριον ὑπὸ σκωλήκων δαπανηθησόμενος· ὑπὲρ τούτων οὖν ὀδυνώμενος γράφω καὶ ἔτι, ἐκ τῶν σῶν κινούμενος λόγων, οὓς ἐνταῦθα παραγεγονότος σου ἀπὸ τῆς σῆς γλώττης αἱ ἡμέτεραι ἀκοαὶ ἐνηνέχθησαν· ἦσαν γὰρ τὰ λεγόμενα παρ᾽ ὑμῶν τοιαῦτα, ὅτι κεκινήμεθα ἐκ τῆς ἰδίας χώρας ἕνεκεν τοῦ καλοῦ καὶ μεγάλου πράγματος τῆς εἰρήνης.

Ἀλλὰ ταῦτα μὲν ἰδιαζόντως ἔλεγες πρὸς ἡμᾶς, ὅτε τὸ πρῶτον ἰδίως σοι πρὸς ὁμιλίαν κατέστημεν· ἔπειτα δὲ ὅτε μετὰ τοῦ θεοστεφοῦς ἡμῶν βασιλέως συνομιλῆσαι γέγονε, καὶ τῶν ἐξ ἐκείνου φιλοτιμιῶν ἐδέχου τὴν χορηγίαν, μέμνημαι τοιαῦτά τινα ῥήματα εἰπόντος σου, ὡς οὐκέτι τὰ τοῦ πολέμου ἡμῖν ἐνεργηθήσεται, οὐδὲ τοῦ πρὸς χρείαν ἐπιδιδομένου ἐν τοῖς πολέμοις χιτῶνος ἡμῖν ἔτι δεήσει, καὶ ἄλλα ὅσα πρὸς παντελῆ τοῦ πολέμου κατάλυσιν καὶ τῆς εἰρήνης ἀποκατάστασιν· ὧν ἐπὶ τοῦ συνειδότος ἔχεις τὴν μνήμην, τότε προσεῖπες· ταῦτά με κινεῖ πρὸς τὸ ἔσχατον τοῦτο γράμμα· ποῦ τοίνυν, ὡς παρών σοι προσφθέγγομαι, τῶν σῶν λόγων αἱ ὑποσχέσεις; τί γέγονεν ἡ μακαρία ἐκείνη ἐν τοῖς ῥήμασιν εἰρήνη, ἧς καὶ μόνον ἡ φήμη καὶ ἐν τῇ τῶν Βουλγάρων χώρᾳ καὶ ἐν τῇ τῶν Ῥωμαίων διαχυθεῖσα, πᾶσαν

γλῶσσαν εἰς Θεοῦ εὐχαριστίαν ἐκίνησε; παντὶ μὲν ἀνθρώπῳ τρόπος ἀγαθὸς ἐν τούτῳ γνωρίζεται, ἐν τῷ τιμᾷν τὴν ἀλήθειαν· ἀρχῇ δὲ μάλιστα τῇ πρὸς μεγαλοπρέπειαν ἐξηρημένῃ, οὐδὲν οὕτως ἄλλο εἰς δόξαν συντελεῖ καὶ σεμνότητα τῆς ἀρχῆς, ὡς ἡ τῶν λογων ἀλήθεια, καὶ τῶν ἐπαγγελλομένων τὸ ἀδιάψευστον· ὅρα οὖν εἰ δόξης ἀντιποιουμένῳ σοι καὶ μεγαλοπρεπείας ἁρμόζει τὸ παλίντροπον καὶ μεταπηδᾷν ἐκ λόγων εἰς λόγους μηδαμοῦ τὸ βάσιμον καὶ ἑδραῖον κεκτημένους;

Ἐβουλόμην σοι πολλὰ τοιαῦτα γράφειν, ἀλλὰ πρὸς μῆκος ἴσως ἐπεκτεινόμενος ὁ λόγος ὀχληρὸς δόξει, καὶ διὰ τοῦτο ἐκεῖνα καταλιμπάνομεν· ἀπὸ δὲ τῶν πρὸς ἡμᾶς ἐλέγχων καὶ ὀνειδισμῶν, οὓς κατενώπιον τοῦ θεστεφοῦς ἡμῶν βασιλέως ἐλέγχων καὶ ὀνειδίζων καὶ τρόπον τινὰ φαυλίζων τὴν ἡμῶν ὑπεφθέγγου ἀθλιότηΊα, ἐκεῖθέν σοι Tὸ ἀπὸ τοῦδε προσφθέγγομαι· ἔλεγες γὰρ κατειρωνευόμενος ἡμῶν, ἐνεγκεῖν τὸν ἵππον, ὃς παρὰ τὸν πόλεμον ἀντὶ σοῦ τὴν πληγὴν ἐδέξατο· καὶ τοῦτο προσδιασύρων ἡμᾶς ἔλεγες τῆς ἡμετέρας εὐχῆς ἔργον γεγενῆσθαι· καὶ ἡμῶν ἀπολογουμένων, ὡς οὐδὲν τοιοῦτον ἑαυτοῖς σύνισμεν, οὔτε προτροπὴν πολέμου ποιησάμενοι, οὔτε τοιαύτην εὐξάμενοι· αὐτὸς ἀντέλεγες, ὡς ἡμῶν ἐπὶ τὸν θρόνον τὸν ἀρχιερατικὸν ἱδρυμένων, ἣν ἰσχὺς κωλύσαι τὸν πόλεμον· εἰ δὲ μή, τέως τῆς ἐκκλησίας ἀπελαύνειν τοὺς μὴ πειθομένους ταῖς παραινέσεσι· ταῦτα οἶδα ὅτι γνωρίσεις κἂν βούλῃ, ὅτι τῆς σῆς ἐστιν εἰρωνείας καὶ κατηγορίας τῆς καθ' ἡμῶν τὰ ῥήματα· ἄκουε οὖν καὶ περὶ τούτων οἷά σοι φθέγγομαι, καί μοι τέως τὸν ὄγκον τῆς ἀρχῆς σου ταπείνωσον, καὶ μετρίαις ἀκοαῖς ἄκουσον· φίλου παλαιοῦ καὶ ταπεινοῦ ἀρχιερέως λόγους κατανόησον.

Τί τοῦτο τὸ τὴν πληγὴν τοῦ ξίφους ἐνεχθῆναι κατὰ τοῦ ἵππου, σὲ δὲ περισωθῆναι; ἐγὼ ἄνθρωπός εἰμι, καὶ ἤδη τῷ γήρᾳ τὰς φρένας ἐλαττωθείς, ἀλλὰ καὶ ἄλλως ἄνθρωπος ὢν φρονήσεως κατὰ πολὺ ἐνδεής, ὁμολογῶ γὰρ τὴν οἰκείαν ἀσθένειαν, πλὴν τοῦτο νοῶ ἐκ τοῦ μὴ τὴν πληγὴν εἰς σὲ ἐπενεχθῆναι, ἀλλὰ κατὰ τοῦ κτήνους· πρόσχες οἷς λέγομεν, ἴσως γὰρ ἐν τούτῳ φρονίμως

καὶ στοχαζόμεθα καὶ φθεγγόμεθα· ἐπειδὴ γὰρ οἱ κατὰ τὸν καιρὸν ἐκεῖνον τῶν πραγμάτων τὴν κυριότητα ἐγκεχειρισμένοι, παραλόγως τὴν κατὰ σοῦ ἐποιήσαντο κίνησιν, ἔτυχες τῆς ἄνωθεν εὐμενείας, καὶ τὴν πληγὴν τοῦ ξίφους ἀπέστρεψεν ἀπὸ σοῦ ἡ τῶν κεκινημένων τότε παράλογος ὁρμὴ καὶ παρὰ τὸ δίκαιον, ἠνέχθη δὲ κατὰ τοῦ κτήνους ἡ πληγή· ἵνα πάλιν παιδευθῇς μὴ ἀλογίστῳ ἐπάρσει ἐντρυφᾷν τῇ νίκῃ, ἀλλὰ μεμνῆσθαι τῶν ἀνθρωπίνων πραγμάτων καὶ μετριοφρονεῖν· καὶ μὴ ὅλως γίνεσθαι τοῦ δοκοῦντος εὐτυχήματος, ἀλλὰ καὶ πρὸς τὰ συμβαίνοντα τοῖς ἀνθρώποις δυστυχήματα τὸν νοῦν ἐπιστρέφειν· σκέψαι δὴ μή ποτε τοῦ πολέμου νῦν μέλλοντος διὰ σὲ τὴν αἰτίαν λαμβάνειν, οὐκ ἐπὶ τὸν ἵππον, οὐκ ἐπὶ τὸ κτῆνος, ἀλλ' ἐπὶ σὲ, ὅπερ ἀπεύχομαι, ἡ πληγὴ φθάσει· ἀνάγνωσον ἐπιμελῶς ἃ γέγραφα, καὶ ἐκ τούτων πρὸς τὰς παλαιοτέρας ἱστορίας, οἶδα γὰρ ὅτι καὶ ταύτας ἐν μελέτῃ ποιῇ, ἀνάβηθι· καὶ μὴ νόμιζε πάντοτε μετὰ σοῦ τὴν νίκην εἶναι, ἀλλὰ καὶ ἧτταν λογίζου κατὰ πόδας ἀκολουθεῖν· ἀλλὰ τοσοῦτον μὲν περὶ τῆς καθ' ἡμᾶς εἰρωνείας.

Τὰ δὲ ἐντεῦθεν τοιαῦτα πρὸς σὲ γράφομεν, οἷα καὶ πρὸς τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα, καὶ πρὸς τὴν σύγκλητον αὐτοῦ καθ' ἑκάστην καὶ παραινοῦμεν καὶ ἱκετεύομεν τὸν φιλόχριστον ἡμῶν βασιλέα καὶ τῆς σφαγῆς τοῦ λαοῦ αὐτοῦ, καὶ τῆς σφαγῆς τοῦ Βουλγάρων γένους, καὶ δοῦναι καὶ ἔτι ἀνοχῇ καὶ μακροθυμίᾳ σὺν τῇ ἄνωθεν προνοίᾳ τὸ φιλάνθρωπον αὐτοῦ φρόνημα, καὶ μὴ πάνδημον ἐκστρατείαν ποιῆσαι κατὰ τοῦ Βουλγάρων ἔθνους· τάχα διὰ τῆς ὑμῶν μακροθυμίας ἅψεται θεὸς τῆς καρδίας τοῦ τῶν Βουλγάρων ἐξουσιάζοντος, καὶ ἀποβλέψει πρὸς τὸ καλὸν τῆς εἰρήνης, καὶ ἀγαπήσει τὴν ἀρχαίαν ταύτης κατάστασιν· καὶ ὅ γε φιλάνθρωπος καὶ ἐπιεικὴς καὶ ἀγαθὸς ἡμῶν βασιλεὺς, πάντως δὲ οὐχ ὑποπτεύεις ἃ λέγομεν, ἔγνως γὰρ καὶ αὐτὸς πείρᾳ ἰδίᾳ τὴν αὐτοῦ ἐπιείκειαν καὶ τὸ πρᾶον καὶ ἥμερον τῆς ψυχῆς, καὶ πείθεται καὶ ὑπείκει τοῖς λόγοις ἡμῶν· ἀλλ' ἡ σύγκλητος ἅπασα, καὶ ὁμοῦ πᾶσα ἡ πόλις, καὶ τί λέγω τὴν πόλιν; ἅπαν τὸ ὑποχείριον τῆς αὐτοῦ βασιλείας κινούμενοι οὐκέτι

λέγουσιν ὑπομένειν τὴν τοσαύτην τῶν Βουλγάρων ἀπόνοιαν, οὐδὲ καταφρονεῖν τῶν οἰκείων καὶ συγγενῶν τὴν ἀπώλειαν, οὐδὲ τῶν οἰκείων τόπων τὴν αἰχμαλωσίαν· ἀλλ' εἰ καὶ δεήσει πάντως ἀποθανεῖν, μᾶλλον τοῦτο ἀγαπητὸν, ἢ τὸ ὑπομένειν οὕτως τὴν τοῦ Βουλγάρου ἔπαρσιν· καὶ λοιπὸν πεπεισμένος γενοῦ, ὡς ἅπαντα τὰ στρατεύματα, καὶ πάντες ὅσοι χεῖρα κινουμένην ἔχουσι μετὰ τῆς δικαίας τοῦ Θεοῦ συμμαχίας ἐπιστήσονται πρὸς ὑμᾶς, ἔτι ἐπιμένοντος σοῦ καὶ ἀγαπῶντος τὰ ἐκ τοῦ πολέμου κακά.

Ἀλλὰ μετὰ πάσης ἀληθείας ἀνήγγειλά σοι τὰ ἐνταῦθα παρασκευαζόμενα· σὺ δὲ ὅτι πείθῃ πρῶτον μὲν ἀνθρώπῳ πρεσβύτῃ, καὶ οὐδὲν ἕτερον ἢ τὸν τάφον ὁρῶντι· ἔπειτα δὲ εἰ καὶ ἀναξίῳ μὲν ὅμως δὲ λειτουργῷ τοῦ ἁγίου θυσιαστηρίου, καὶ εἴ τι ἐν λόγῳ σοι γεγένηται τὸ ἡμέτερον φίλτρον· καὶ ὅρα πόσος ὁ χρόνος ἐξ οὗ φίλοι γεγόναμεν· δέξαι παραίνεσιν ἣν καὶ ὁ φιλόχριστος ἡμῶν βασιλεὺς δέχεσθαι ὑπέσχετο, καὶ οὐ ψεύσεται τὴν ὑπόσχεσιν, ἐὰν καὶ σὺ βουληθῇς τὰ ἴσα ἐκείνῳ φρονεῖν· ἀγάπησον τὴν εἰρήνην, μίσησον τοὺς πολέμους· κακοὶ γὰρ καὶ οἱ πρὸς τοὺς ἔξωθεν ἐχθροὺς πόλεμοι· ὅσοι δὲ πρὸς πατέρας, πρὸς ἀδελφοὺς, πρὸς φίλους, πρὸς ὁμοπίστους, πρὸς τοὺς ἕνα Θεὸν ἐπιγραφομένους, ἕνα κύριον καὶ δεσπότην καὶ σωτῆρα, τί ἄν τις εἴποις; οὐχ ὁρᾷς θηρία πολλάκις πρὸς ἑαυτὰ μαχόμενα καὶ πάλιν εἰρηνεύοντα; ἀπόβλεψον εἰς ταῦτα, καὶ ζήτησον εἰρήνην· οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ παναγίου πνεύματος· καὶ δίωξον αὐτὴν, τουτέστι δράμε ὀπίσω ταύτης, κατάλαβε αὐτὴν, καὶ στῆσον τὰ κοινὰ πάθη, καὶ τὰ δάκρυα, καὶ τοὺς στεναγμοὺς, καὶ τὰς κατάρας ὅσας ἐπὶ σὲ πάντες ἄνθρωποι, καὶ Βούλγαροι, καὶ Ῥωμαῖοι, πλούσιοι, καὶ πένητες, μονάζοντες, καὶ ἱερεῖς, καὶ λαϊκοὶ καταπέμπουσιν· ἐπὶ γὰρ τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα οὐδεὶς ἔχει ἀναφέρειν αἰτίαν, ἐξ οὗ ἐπὶ τὸν θρόνον τῆς βασιλείας ἐκάθισε, τὴν εἰρήνην ἐπιζητοῦντος, καὶ παρακαλοῦντος, καὶ ὑποκλινομένου δι' οὐδὲν ἕτερον, ἢ διὰ τὰ ἐκ τοῦ πολέμου κακά· καὶ γὰρ καὶ νίκης γενομένης τῷ ἑνὶ μέρει, οὐκ ἀκινδύνως τῷ νικήσαντι τὸ νικᾷν περιγίνεται· ἀνάγκη γὰρ καὶ

συγγενεῖς καὶ φίλους καὶ οἰκείους τῷ νικήσαντι ἀπολέσαι· τοιαῦτα γὰρ τὰ τοῦ πολέμου ἀδιάκριτα καὶ συγκεχυμένα· οἶδας ἃ λέγομεν, ἐξ ὧν καὶ αὐτὸς πέπονθας· καὶ γὰρ εἰ καὶ μετὰ σοῦ γέγονεν ἡ νίκη, ἀλλὰ πολλοὺς ἀπώλεσας τῶν φιλτάτων, ὧν ἔτι καὶ νῦν ἡ μνήμη διαξαίνει τὴν σὴν καρδίαν, καὶ οὐκ ἐῶσι καθαρῶς ἀπολαύειν τῆς νίκης αἱ δι' ἐκείνους ἀλγηδόνες.

Ἀλλ' ἐπὶ τοῦ γράμματος τὸ τέλος μεταστῶμεν· ὁ φιλόχριστος ἡμῶν βασιλεὺς, εἰ καὶ ὑπὸ τῆς συγκλήτου καὶ ὑπὸ πάσης τῆς πολιτείας καὶ τῶν στρατηγῶν αὐτοῦ καὶ τῶν ἀρχόντων πρὸς τὴν καθ' ὑμῶν ἐκστρατείαν ἐκβιάζεται, ἀλλ' οὖν ὡς ἐπιεικὴς τῇ παραινέσει τῆς ἡμῶν ταπεινότητος μᾶλλον ἑαυτὸν ἐνδιδοὺς, εἰς τοιούτους πρὸς ἡμᾶς κατέστη λόγους· ὦ πάτερ, ἔοικα ἐν μέσῳ τινὶ ἑστὼς καὶ διασπώμενος, τῆς μὲν πολιτείας ἑλκούσης ἑτέρωθεν, τῆς δὲ σῆς ἀρχιερωσύνης ἑλκούσης πρὸς ἑαυτήν· τούτων οὕτως ἐχόντων, τοῦτό σοι ἀποκρίνομαι· γράψον πρὸς τὸν ἀδελφὸν ἡμῶν ὡς καὶ χρυσίου ποσότητα ἐπιδιδόαμεν, ὅση δυνατὴ καὶ πρέπουσα, καὶ ἱματίων ἀριθμὸν, ἀλλὰ καὶ εἴ τι ἕτερον εἰς ἐκείνου διαβαῖνον θεραπείαν, πρέπον ἐστὶν ἐμὲ παρασχεῖν· καὶ εἴ γε καὶ παρ' αὐτῷ ἀγαπητόν ἐστι τὸ εἰρηνεύειν, ἔχεις ἑτοίμους ἡμᾶς, καὶ οὐδὲν πρὸς τὴν σὴν παραίνεσιν ἀνανεύοντας.

Διὰ ταῦτα γράφομέν σοι, δεσμὸν ἐπιβάλλοντες ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, δηλῶσαι ἡμῖν καὶ χρυσίου ποσότητα ὅσην ἐπιζητεῖς, καὶ ἱματίων ἀριθμὸν ὅσος σοι παρίσταται· πάντως δὲ τὰ πρέποντα τῇ μεγαλοπρεπείᾳ τῆς ἀρχῆς σου καὶ τῇ συνέσει καὶ συνδιασκέψῃ καὶ ζητήσεις· οὐ μὲν ἀλλὰ καὶ εἴ τι ἕτερον, ὃ καὶ σὲ πρέπον ἐπιζητεῖν, καὶ τὸν βασιλέα παρέχειν ἄξιον, κᾀκεῖνο πρόσθες ἐπί τε τῇ τοῦ χρυσίου, καὶ τῇ τῶν ἱματίων δόσει, καὶ τεύξῃ κᾀκείνου τῆς ἀπολαύσεως· καὶ τούτων σοι παρεχομένων, γενοῦ τῆς εἰρήνης, γενοῦ τῆς ἀρχαίας ἀγάπης· γενέσθωσαν πάλιν Βούλγαροι καὶ Ῥωμαῖοι πρὸς μίαν ἀδελφικὴν σύμπνοιαν καὶ ὁμόνοιαν, καὶ καταργηθήτω μὲν ὁ ἐξ ἀρχῆς τῆς ἔχθρας δημιουργός· δοξασθήτω δὲ ὁ Χριστὸς καὶ ὁ θεὸς ἡμῶν, ὁ διὰ σταυροῦ αὐτοῦ καταλύσας τῆς ἔχθρας τὸ μεσότοιχον, καὶ

εἰρηνευούσας τὸν κόσμον αὐτοῦ, ἀπολαμβανούσης μὲν τῆς ῥωμαϊκῆς βασιλείας καὶ τὴν ἰδίαν κατάσχεσιν, ἐχούσης δὲ βουλγαρικῆς ἐξουσίας ἀδεῶς τὰ οἰκεῖα καὶ ἀσφαλῆ, καὶ μηκέτι ἀφορμῆς ὑπολιμπανομένης σκανδάλων, ἀλλὰ βεβαίας εἰρήνης, καὶ εὐζωΐας ἐν ἀμφοτέροις τοῖς ἔθνεσι διαμενούσης· ὃ παράσχοι Χριστὸς ὁ θεὸς ἡμῶν, καταργῶν μὲν τὴν τοῦ διαβόλου ἐπήρειαν, ἐφαπλῶν δὲ τὰς πτέρυγας αὐτοῦ, καὶ σκέπων ἐν ἀπαθείᾳ τὴν κληρονομίαν αὐτοῦ, ἧς ἔδωκε τίμημα τὸ ἅγιον καὶ ζωοποιὸν αἷμα τῆς ἀχράντου πλευρᾶς αὐτοῦ.

Τέλος τῶν πρὸς Βούλγαρον ἐπιστολῶν.

XXXII. ΤΩ ΤΑ ΠΑΝΤΑ ΑΓΙΩΤΑΤΩ ΠΑΠΑ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ ΝΙΚΟΛΑΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΛΟΓΩΣ ΔΕΧΘΕΙΣΗΣ ΤΕΤΡΑΓΑΜΙΑΣ ΠΑΡΑ ΡΩΜΑΙΟΙΣ.

Τί γράψομεν, ἀδελφοὶ τιμιώτατοι; θρήνους ἐφ' οἷς πέπονθεν ἡ καθ' ἡμᾶς ἐκκλησία, ἢ πρὸς θεὸν εὐχαριστίαν οἷς ὑπ' αὐτοῦ ἠλεήθημεν; δοξολογίαν καὶ αἴνεσιν, ἢ τὴν καθ' ἡμῶν συσκευὴν καὶ ἐπήρειαν; μέμψιν ἀδελφικὴν πρὸς ὑμᾶς, ἢ δικαίαν ἔγκλησιν τῶν καθ' ἡμῶν πονηρευσαμένων, καὶ ὑμᾶς εἰς τὰς μέμψεις περιστησάντων; τοιαῦτα γὰρ ἐξ ἐναντίων μικτὰ πράγματα, χωρεῖ δὲ πρὸς τὸ ἄδηλον ἡ αἰτία, συνήντησεν ἡμῖν· ἀλλὰ τὴν μὲν εὐχαριστίαν καὶ τὴν αἴνεσιν καὶ τὴν δοξολογίαν, τῆς καταλαβούσης διὰ τὰς ἁμαρτίας ἡμῶν τὴν ἐκκλησίαν σκυθρωπότητος διαλελυμένης προσφέρομεν· τὰ δὲ λοιπὰ αἰτίαν ἔχει τὴν σύστασιν τῶν κακῶν, ἃ παραχωρηθέντα γένεσιν λαβεῖν, τοῖς θρήνοις καὶ τοῖς

πάθεσι καὶ ταῖς μέμψεσι καὶ ταῖς ἐγκλήσεσι, ὥσπέρ τισι παραβλαστήμασι πονηροῖς, ἔδωκε τὸ παραναβλαστεῖν· ὧν ἡ κατὰ μέρος ἐξήγησις εἰς μῆκος προελθεῖν ἀναγκάσει τὸ γράμμα· ὅπερ ὀχληρὸν εἰδότες ποιεῖν μὲν οὐκ ἐβουλόμεθα, τῆς δὲ φύσεως τῶν πραγμάτων ἀναγκαζούσης γράφομεν ἃ μὴ παριδεῖν ἄξιον· (1) ἄρξεται δὲ ἡμῖν, ὅθεν καὶ ἡ ἀρχὴ τῆς τῶν κακῶν συστάσεως.

Ἄρτι δὴ τῷ καλῷ καὶ φιλτάτῳ μοι βασιλεῖ τρίτης χηρεύσαντι γυναικὸς ἐπῆλθεν, ὡς μή ποτε ὤφειλε, καὶ τετάρτης πρὸς πεῖραν ἐλθεῖν· καί τοι ἔδει αὐτὸν τριῶν γυναικῶν θανάτῳ τὴν ψυχὴν διεσπαραγμένον μηδόλως ἐπὶ τοιούτους ἐλθεῖν λογισμούς· ἀλλ' ὡς ἔοικεν, ἦν μετὰ τῶν χειρόνων ἡ νίκη, καὶ τὰ χείρω νενίκηκε· καὶ γεγονὼς ὅλος τῆς ἀτόπου ταύτης ἐπιθυμίας, ἐζήτει καὶ τετάρτην ἀγαγέσθαι γυναῖκα, ὃ μηδεὶς τῶν πρὸ αὐτοῦ μὴ ὅτι γε βασιλέων, ἀλλ' οὐδὲ τῶν εἰς ἐσχάτην τελούντων ἀρχῆς τάξιν, ἢ ἁπλῶς τῶν εἰς παλάτιον κατειλεγμένων· ἐῶ νῦν τὴν ἀπαγόρευσιν τῶν θείων κανόνων, καὶ τὴν ἄλλην κατάκρισιν ὅσην ἀπαραιτήτως κατὰ τῆς βδελυρᾶς ταύτης ὁρίζουσι συναφείας· ἀλλὰ γὰρ ἐκράτει τῆς ἐπιθυμίας ἡ τυραννὶς, καὶ ἡ τετάρτη γυνὴ πρὸς ἑαυτὴν ἐφείλκετο τὸν πάντα μὲν καλὸν, εἰς τοῦτο δὲ κακῶς ὑπαχθέντα βασιλέα· καὶ πρόφασις ἐδόκει τὸ τεχθὲν παιδίον· καίτοι ῥᾴδιον ἦν τὸ μὲν παιδίον ἀναλαβεῖν, ἐπείπερ ἀνθρώπινόν τι ϖαθὼν, ἔρωτα ϖαιδὸς εἶχε· τὴν δὲ μητέρα μηδὲ τὴν ἀρχὴν εὐαγῶς ἐγνωσμένην αὐτῷ, ἀποπέμψασθαι τῆς ἄλλης μὴ στερουμένην θεραπείας, ὅσην ἂν παρέχειν ἐβούλετο· ἐπείπερ οὐκ οἶδεν ἡ τεκνογονία (2) τὴν ἄθεσμον μίξιν ποιεῖν θεμιτήν· οὐδὲ γὰρ εἴ τινες τῶν ἔγγιστα συγγενῶν, οἷα πολλὰ τὰ ἀνθρώπινα προσφθαρέντες ἀλλήλοις ἐτεκνοποίησαν, διὰ τοῦτο καὶ συνεζεῦχθαι συγχωρηθήσονται· ἀλλ' ἐκεῖνος ἀφορμῆς δραξάμενος τῆς τεκνογονίας, ἀπέῤῥιπτεν εἰ καὶ μὴ τρανοὺς λόγους καὶ περὶ τῆς γυναικός· ὡς

(1) Ab hoc loco extat latine haec epistola apud Baronium ad an. CMXII, nonnullis tamen omissis particulis.

(2) Hinc vides scribendum esse *partus* apud Baronium ubi mendose est *quartus*.

δὲ πρὸς τοῦτο ἑώρα πᾶσαν τὴν καθ' ἡμᾶς ἐνισταμένην ἐκκλησίαν· ἐφαίνετο γὰρ τὸ πρᾶγμα παντελῶς ἀλλότριον τῆς χριστιανῶν πίστεως, καὶ μάλιστα ὅτε πρὸς τὸ τοῦ προσώπου μέγεθος ἴδοιεν, μικρὸν ὑπεδίδου, καὶ ὥσπερ ἐλπίδας ἐλαμβάνομεν τοῦ τὸ κακὸν μὴ νικήσειν.

Ἀλλὰ τοῦτο μὲν πρὸ τοῦ βαπτίσματος τοῦ παιδός· ἤρεσκε γὰρ πᾶσιν ἀρχιερεῦσι καὶ ἱερεῦσι μὴ δὲ βαπτίζειν ἡμᾶς τὸ παιδίον, καὶ μάλιστα ὡς ὁ πατὴρ ἐπεζήτει σὺν τιμῇ βασιλικῇ, μὴ πρότερον λάβοντας ὑπόσχεσιν, ὡς ἀποστήσεται τῆς γυναικός· καὶ τούτου πολλάκις ῥηθέντος, κρύπτει τὸ βούλημα τῆς ψυχῆς, καὶ χείλεσι πληροφορίαν δοὺς ἔνορκον, ὡς ἀποβέβληκε τὴν γυναῖκα, τυγχάνει τῆς περὶ τὸν παῖδα ἐφέσεως, καὶ ὥσπερ ἦν ἀγαπητὸν αὐτῷ ἐβαπτίζετο· ἀλλὰ τὸ ἀπὸ τούτου ἀκούοιτε· οὔπω τρίτη ἐκ τοῦ βαπτίσματος ἡμέρα διεληλύθει, καὶ ἡ μήτηρ ἐν τοῖς βασιλείοις εἰσήγετο βασιλικῶς δορυφορουμένη, καὶ ὡς εἰκὸς τὴν βασιλέως γαμετήν. τῶν ὑποσχέσεων ἐκείνων καὶ τῶν ὅρκων οὓς ἐπεποίητο διαβεβαιούμενος ἀπηλλάχθαι αὐτῆς, εἰς ἀέρα διαλυθέντων, μᾶλλον δὲ εἰς μέγα κακὸν κορυφωθέντων· ἤδη γὰρ οὐκέτι λόγοις ἀλλ' ἔργοις τὰ περὶ τὴν γυναῖκα ἐκράτει, τελουμένου τοῦ βασιλικοῦ ὡς ἐνομίζετο γάμου· ἀλλὰ καὶ αὐτοῦ τοῦ στέφους τῇ γυναικὶ παρατιθεμένου, μήθ' ἡμῶν τὴν νενομισμένην ἱερολογίαν ἐπιτελεσάντων, μήτ' ἄλλου τινος ἀρχιερέως, ἀλλ' αὐτοῦ βασιλέως χρηματίζοντος αὐτῇ, ὅσα ἐβούλετο καὶ νυμφίου καὶ ἀρχιερέως, καὶ τὴν ἐπὶ τῷ στέφει ποιοῦντος ἱερολογίαν καὶ στέφοντος· καὶ ταῦτα ἐγίνετο· καὶ πᾶσα ἡ πόλις, οὐ μόνον τὸ ἀρχιερατικὸν καὶ ἱερατικὸν πλῆθος, ὥσπερ ὅλης ἀνατετραμμένης τῆς πίστεως, συντετάρακτο.

Τί οὖν ἔδει με ποιεῖν; ἠρεμεῖν καὶ καθεύδειν; ἢ ὅσα ἦν εἰκὸς τὸν φίλον, τὸν ὑπὲρ τῆς ἐκείνου τιμῆς, καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως μεριμνῶντα, φρονεῖν τε καὶ πράττειν; τοῦτο ἦν ἡμῖν ὁ ἀγὼν σὺν θεῷ· καὶ τοὺς μὲν παρῃνοῦμεν κυβερνήτας ὄντας μὴ τὰ τῶν ἀκυβερνήτων πάσχειν, ἀλλὰ μακροθύμως τὸ συνενεχθὲν φέρειν μετὰ τῆς ἀγαθῆς ἐν Χριστῷ τῷ θεῷ ἡμῶν ἐλπίδος· τοῦ

δὲ τῶν γονάτων ἡπτόμην, ἀλλὰ καὶ τῶν ποδῶν, ἐδεόμην, παρῄνουν ὡς φίλον, ἐδυσώπουν ὡς βασιλέα, καὶ μὴ πάντα τῇ ἐξουσίᾳ ἔλεγον χαρίζεσθαι, ἀλλ᾽ ἐννοεῖν ὅτι ἐστὶν ὁ ὑπεράνω τῆς δυναστείας αὐτοῦ καθήμενος. ὁ κενώσας ὑπὲρ τῆς ἐκκλησίας τὸ ἄχραντον αἷμα· προσετίθουν καὶ ταῦτα· ἔδει, τέκνον ἡμῶν, καὶ βασιλεῦ, φιλόθεόν σε ὄντα καὶ δεδοξασμένον ὑπὸ θεοῦ μᾶλλον σοφίᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ, τοῖς τρισὶν ἀρκεσθῆναι γάμοις· τάχα γὰρ καὶ ὁ τρίτος ἀνάξιος ἦν τῆς σῆς βασιλείας· ἀλλ᾽ ἐκεῖνος ἔχει συγγνώμην, ἴσως τὰ πρὸς τὸν Φράγκον σύμφωνα, διότι συμπεφωνημένον ἦν ὑπὸ σοῦ τὴν σὴν θυγατέρα, ἣν μόνην ἐκέκτησο, νύμφην ἀποστέλλειν αὐτῷ· ἦν δὲ ὁ τῆς Βέρτας ἀνεψιός, ᾧ συνέπεσε δυστυχῆσαι οἷα δὴ ἐδυστύχηκε· καὶ ἐπειδὴ συμπεφώνηται τὴν σὴν θυγατέρα πρὸς τὴν Φραγκίαν ἀπιέναι, δεῖ δὲ γυναῖκα τῷ παλατίῳ προσεῖναι τὴν διοικοῦσαν τὰ ἐπιβάλλοντα τῶν σῶν ἀρχόντων ταῖς γυναιξὶν, ἔστι συγχώρησις τῷ τρίτῳ, τῆς θυγατρὸς ἐκδίδοσθαι μελλούσης· πλὴν ὅτι καὶ ἱεροὶ κανόνες τὸν τρίτον οὐκ ἀποβάλλουσι παντελῶς, ἀλλὰ συγχωροῦσιν, εἰ καὶ ὡς ῥύπον παρορῶντες τῆς ἐκκλησίας, ὑπὲρ δὲ τοῦ τετάρτου καὶ ὃ τοῖς Ἀγαρηνοῖς γνώριμον, εἰ καὶ μὴ κατὰ διαίρεσιν γυναικῶν, τίς ἀπολογία; ἐπὶ ποίαν δὲ καταφευξόμεθα πρόφασιν, μάλιστα πρὸς τὸ μέγεθος τῆς σῆς δόξης τοῦ μιάσματος ἐξεταζομένου; βασιλεύς, φασιν, ἄγραφος νόμος, οὐχ ἵνα παρανομῇ καὶ πράττῃ ἁπλῶς τὰ δοκοῦντα, ἀλλ᾽ ὥστε τοιοῦτον εἶναι διὰ τῶν ἔργων αὐτοῦ τῶν ἀγράφων, οἷος ὁ νόμος ὁ ἔγγραφος· εἰ γὰρ βασιλεὺς τῶν νόμων ἐχθρὸς καὶ πολέμιος, τίς τοὺς νόμους φοβήσεται; ἢ οὐχὶ τοῦτο ἀκόλουθον τὸ πρὸς οὓς ἂν ὁ ἄρχων ἐχθρῶς ἔχῃ καὶ πολεμίως, πρὸς τούτους καὶ τὸ ὑποχείριον τὴν ὁμοίαν φυλάττειν διάθεσιν, κἂν μηδεὶς ὁ βιαζόμενος ᾖ; ὅτε δὲ καὶ βία, καὶ μάλιστα φύσεως, πῶς οὐχὶ πρὸς ἐκεῖνο τὸ φρόνημα ὑπενεχθήσονται, πρὸς ὃ καὶ ὁ ἄρχων τὴν ῥοπὴν ἔχει;

Ἔλεγον καὶ ταῦτα· ἐννόει μοι τὸν ἥλιον καὶ τοὺς ἀστέρας, καὶ ὅτι ἀστέρι μὲν ὑποδραμόντος τινὸς σκιάσματος, οὐδὲν τὸ γινόμενον· ἡλίου δὲ τοῦτο παθόντος, σκυθρωπάζειν ἀνάγκη τὸν

κόσμον προσετίθουν καὶ ὅτι τῶν λοιπῶν τοῦ σώματος μελῶν ῥυπανθέντων, ἢ λανθάνει ὁ ῥύπος, ἢ κἂν μὴ λανθάνῃ, οὐδὲν μέγα εἰς αἰσχύνην· τοῦ δὲ προσώπου ἐῤῥυπωμένου τυγχάνοντος, οὐδὲν εὑρίσκεται τῆς αἰσχύνης παραμύθιον· πρόσωπον εἶ τῆς μεγάλης τοῦ Θεοῦ κληρονομίας, μᾶλλον δὲ κορυφή· μὴ τὸ σῶμα τοῦ Χριστοῦ καταισχύνῃς, καὶ ποιήσῃς καὶ παρὰ τοῖς ἀπίστοις αἰσχύνεσθαι, διὰ τοῦ κατὰ τῆς τῆς δόξης καὶ σεμνότητος ἀφορμὴν αὐτοῖς παρασχεῖν πονηρᾶς ἐπιλήψεως· ἔλεγον ταῦτα καὶ πλεῖστα ἕτερα, ὧν ἡ μνήμη καὶ πρόσθεσις περιττή· πλὴν ἔλεγον, ἐδυσώπουν, ἱκέτευον· καὶ ἐπείπερ ἑώρων τοὺς λόγους τούτους ἡττωμένους τῆς ἐκείνου βουλήσεως, ἐστρεφόμην ἐφ' ἕτερα τοιαῦτα λέγων· ἐπείπερ, ὦ βασιλεῦ καὶ τέκνον, ἅπαξ τῷ κράτει σου ἔδοξε καὶ τετάρτῃ γυναικὶ συνῆφθαι, καὶ οὐκ ἀναλογίζῃ τὸ ἄτοπον, δέξαι φίλου καὶ πατρὸς ὑπερφιλοῦντός σε τέως γοῦν ταύτην τὴν συμβουλήν· ἔστω ἡ γυνὴ ἰδίως διάγουσα καὶ μὴ συνοικοῦσα τῷ κράτει σου, καὶ προσκληθήτωσαν τῆς τε πρεσβυτέρας Ῥώμης, καὶ τῶν ἄλλων ἀρχιερατικῶν θρόνων ἄνδρες, καὶ ἀρχιερωσύνῃ τετιμημένοι καὶ τοῖς ἄλλοις οἷς σεμνύνεται ἀρχιερωσύνη, καὶ σὺν αὐτοῖς ἑνουμένων κοινῇ ἐπικρίσει καὶ γνώμῃ, ἐπείπερ οὕτω σοι παρίσταται, ἴσως γίνεται τὸ ζητούμενον· εἰ τῷ κακῷ τούτῳ μὴ συνδράμῃ καὶ χεῖρον ἄλλο τῆς ἐκκλησίας ὁ τάραχος· ταῦτα δὲ τὸ σφοδρὸν τῆς κατὰ τῆς ἐκκλησίας ὁρμῆς ἀνακρούων ὁ λόγος, τέως διῳκονόμει, ἐλπίδος οὔσης ὡς πάντως τελουμένης συνόδου αἰδεσθήσεται ταύτης τὴν ἀπαγόρευσιν τῆς ἀτόπου καὶ ἀθέσμου συζεύξεως· ἀλλ' ἦν πάντα κωφὰ τὰ λαλούμενα, τὴν γὰρ ἀκοὴν ἀπέκλειστο πως, μᾶλλον δὲ πρὸ τῆς ἀκοῆς τὴν καρδίαν ἡ πρὸς τὴν γυναῖκα ῥοπή, καὶ ταύτης ἔλεγε μὴ ὅτι γε μέχρι συνελεύσεως συνοδικῆς, ἀλλ' οὐδὲ μιᾷ διαχωρίζεσθαι ἡμέρᾳ, ἀλλ' εἶναι σὺν αὐτῷ ταύτην οἷα δὴ γαμετὴν γνησίαν καὶ τιμωμένην ὡς βασιλίδα, καὶ ἐπειδὰν ἡ σύνοδος τελεσθῇ κυρώσειν αὐτῷ τὰ δοκοῦντα.

Παρῆσαν οἱ τῆς πρεσβυτέρας Ῥώμης μετὰ μῆνα ὄγδοον ἢ ἔννατον τῆς συναφείας τῆς γυναικός, καὶ τὸ πρᾶγμα ὑπέρδεινον πάσῃ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ· προπεφήμιστο γὰρ ὑπ' αὐτοῦ βα-

σιλέως ὡς ἄγοι Ῥωμαίους ἐπιτρέψοντας αὐτῷ τὸν γάμον· καὶ πῶς γὰρ οὐκ ἔμελλε βαρέως φέρειν ἡ καθ' ἡμᾶς ἐκκλησία τούτων ὑπ' αὐτοῦ ἀπερικαλύπτως λεγομένων, ὡς τὰ μὲν ἡμέτερα παρ' οὐδὲν τίθεται, τὴν δ' ἡμῖν ὀφειλομένην τῆς καθ' ἡμᾶς ἐπαρχίας διοίκησιν κατὰ τὰς τεθειμένας ἄνωθεν καὶ ἐξ ἀρχῆς ἱερὰς διατάξεις ἑτέροις ἐπιτρέπει, καὶ τοτε περὶ πράγματος ἀπηγορευμένου τοῖς κανόσιν ὑπάρχοντος καὶ κατακρίτου; ποῦ γὰρ θεμιτὸν, ποῦ δὲ τῇ καταστάσει τῆς ἐκκλησίας πρέπον, ἡμᾶς μὲν ἐξωθεῖσθαι τῆς παρὰ θεοῦ δεδομένης ἐξουσίας, ἑτέρους δὲ διοικεῖν ἃ οὐδ' ἡμῖν δυνατὸν διὰ τὴν τῶν κανόνων ἀπαγόρευσιν ἐπιτελεῖν; ἀλλ' ὁ μὲν ἔλεγεν ἥκειν ὑφ' ὧν δεήσει αὐτὸν λαβεῖν τὴν ἐπιθυμίαν, κἂν μηδαμόθεν ᾖ πρὸς τοῦτο κανονικὴ ἐπιτροπή· οὐκ ἀγνοοῦμεν δὲ, ὡς ἐλογοποιήθη καθ' ἡμῶν, ὅτι μὴ βεβουλήμεθα ἐξ ὑπηρηφάνου γνώμης πρὸς ὄψιν καταστῆναι, μὴ δ' εἰς λόγους συνελθεῖν τοῖς τότε παραγενομένοις Ῥωμαίοις· ἐγὼ δὲ ὑπὸ μάρτυρι φημὶ θεῷ, παρ' ᾧ καὶ νῦν ὁ λογοποιήσας παρέστηκε, καὶ ἡμεῖς τυχὸν μὲν σήμερον, τυχὸν δὲ αὔριον παρεστήσομεν, ὡς ἔλεγον αὐτῷ δυσχεραίνειν τοὺς καθ' ἡμᾶς ἀρχιερεῖς τὴν ἐν τῷ κοινῷ τῶν Ῥωμαίων προσομιλίαν, καὶ παντελῶς ἀποτρέπειν προτεθορυβημένους ὄντας τοῖς ὑπὸ σοῦ πολλάκις εἰρημένοις, ὡς Ῥωμαῖοι δώσουσι τὸ ζητούμενόν σοι, κἂν μηδεὶς ἄλλος ἐθέλοι διδόναι· διὰ ταῦτα εἰσηγοῦμαί σοι τὴν ἐν τῷ παλατίῳ πρόσκλησιν ποιήσασθαι αὐτῶν τε καὶ ἡμῶν, ὥστε κατενώπιόν σου ἑνωθέντας ἡμᾶς καὶ ἰδεῖν καὶ περιπτύξασθαι καὶ ἀκοῦσαι τὰ παρ' αὐτῶν.

Ἀλλ' ἦν ὁ ἄνθρωπος πρὸς ἓν μόνον ὁρῶν τὴν ἡμῶν ἐκδίωξιν, καὶ διὰ πάντων συνέλεγεν ἀφορμὰς ἑαυτῷ πρὸς τὸ τὴν καθ' ἡμῶν κενῶσαι πικρίαν· οὐδαμῶς οὖν οὐδ' ἐπὶ τούτῳ κατένευσεν, οὐδ' ἐβούλετο εἰσελθόντας ἡμᾶς τε κἀκείνους ἐν τῷ παλατίῳ ἀλλήλοις συνομιλῆσαι· καὶ ἦν οὕτως ἐν μετεώρῳ ἡ καθ' ἡμῶν αὐτῷ μελετωμένη ἐπιβουλὴ, ἐπεὶ τέως ἓν ἦν τῆς ἐκκλησίας τὸ φρόνημα, καὶ μηδεὶς μήτε ἀρχιερεὺς μήτε ἱερεὺς πρὸς αὐτὸν ὑπῆκτο, μὴ δὲ τῆς ἐκείνου γεγόνει μοίρας· ὡς δὲ κατ' ὀλίγον δώροις, ἐπαγγελίαις ἀξιωμάτων, ἐκείνων αὐτῶν τῶν ὑπαγομένων καὶ τῶν συγ-

γενῶν καὶ τῶν φίλων, ἡμῶν μὲν ἀπέσπασεν, ἑαυτῷ δὲ προσήνωσε τοὺς πεισθέντας, καὶ ὥσπερ δύναμίν τινα ἰδίαν προσεκτήσατο, τότε καὶ τὸ κρυφῇ μελετώμενον εἰς φῶς προάγει· προσκαλεῖται τοίνυν ἡμᾶς ἐν τοῖς βασιλείοις, ὡς δῆθεν συνεορτάσοντας καὶ συνεστιασαμένους, ἦν γὰρ τοῦ ἁγίου μεγαλομάρτυρος ἑορτὴ Τρύφωνος, ἥ τις αὐτῷ ἐπανηγυρίζετο· καὶ κοινῆς μετασχόντας τραπέζης ὡς εἶχεν εἰς πλοῖον ἐμβαλὼν ἐρήμους θεραπείας πάσης ὑπερορίους καθίστησι, μήτε χιτωνίσκον, μήτε στρωμνῆς τι μέρος, μὴ βιβλίον, μηδένα τῶν εἰς παραμύθιον ἐσομένων συγχωρήσας ἀκολουθῆσαι ἄνθρωπον, πλὴν σὺν δυσὶν ἀγραμμάτοις ἀγλώττοις, μικροῦ μὴ δὲ ἑαυτῶν ἐπαισθανομένων, εἰς τὴν ὑπερορίαν ἐκπέμψας· πῶς ἂν τὰ λοιπὰ διηγήσωμαι; τὴν πῆξιν τοῦ κρυμοῦ, τὴν στενοχωρίαν, τὴν τῶν φυλάκων βίαν; ξίφη γὰρ καὶ τόξα καὶ θυρεοὶ ὡς πολεμίους, οὐχ ὡς ἄθλιον περιεστοίχιζον ἀρχιερέα, μὴ δ᾽ ἀέρα συγχωρούμενον ὁρᾷν, μὴ ὅτι γε ἄνθρωπον ἐν μέσοις ἀχύροις κατακεκλιμένον τῇ ἀπορίᾳ τῆς στρωμνῆς· οὐ μόνον δὲ ἡμεῖς, ἀλλὰ καὶ ὅσον ἀρχιερατικὸν σύστημα τὰ βελτίω περὶ τῆς ἐκκλησίας ἐφρόνουν, καὶ οὗτοι ἐν εἱρκταῖς, ἐν ὑπερορίαις, ἐν λιμῷ καὶ δίψῃ, πάσης ἔρημοι παραμυθίας συγγενῶν, φίλων, συνείχοντο ταλαιπωρούμενοι, μὴ δὲ προκύψαι τῆς φρουρᾶς παραχωρούμενοι, ἐν ᾗ ταλαιπωρεῖσθαι ὡς ὑπεύθυνοι κατακέκριντο.

Καὶ οἱ πρὸς κατάστασιν τῶν πραγμάτων ἀπεσταλμένοι Ῥωμαῖοι παρόντες ἐνταῦθα, ὥσπερ ἐπὶ τὸ αὐτὸ τοῦτο ἥκοντες ἐκ Ῥώμης τοῦ πόλεμον ἄρασθαι, καθ᾽ ἡμῶν ἐκύρουν ἐξορίαν, μηδὲν μήτε πολυπραγμονήσαντες, μήτε μαθεῖν βουληθέντες παρ᾽ ἡμῶν· καί τοι γε κἂν μηδεὶς ἄλλος, αὐτοὺς ἔδει τοῦτο ποιεῖν, ἀντεχομένους προνομίου ἐκκλησιαστικῆς ὑπεροχῆς, καὶ μάλιστα μέλλοντας ἐντεῦθεν πρὸς ὑμᾶς ἀπαίρειν, καὶ τῶν πραγμάτων ἔσεσθαι ἀγγέλους, καὶ ὀφείλοντας διὰ τοῦτο καὶ ἰδεῖν εἰ καὶ μὴ ἡμᾶς ἐβούλοντο, ἀλλὰ τινὰ τῶν μεθ᾽ ἡμῶν συγκινδυνευόντων καὶ πυθέσθαι καὶ μαθεῖν ἀκριβῶς, ἵν᾽ ἔχοιεν ἀκριβῆ καὶ τὴν πρὸς ὑμᾶς ἀγγελίαν ποιεῖσθαι· ἀλλ᾽ ὅμως τοιαῦτα πάσχοντος ἀρχιερέως δι᾽ οὐδὲν ἕτερον, ἢ ὅτι βδέλυγμα πορνείας μὴ συνεχώρει

τὴν ἐκκλησίαν, μᾶλλον δὲ τὸ κοινὸν πλήρωμα τῶν χριστιανῶν καθυβρίζειν ἐκδιωχθέντος, καὶ τοσοῦτον ζωῆς ἀπολαύοντος, ὡς εἶναι τὸν θάνατον αὐτῷ ἢ τὸ ζῆν αἱρετώτερον, ἀντὶ τοῦ ἐκδικεῖν, ἀντὶ τοῦ προσθῆναι, ἀντὶ τοῦ τῆς δικαιοσύνης ἀντέχεσθαι, εἵλοντο συντυραννεῖν τοῖς τετυραννηκόσιν ἡμᾶς, καὶ μετὰ τῶν βιασαμένων συντετάχθαι καὶ συνεπιψηφίζονται τῇ καθ' ἡμῶν τυραννίδι, οὐκ οἶδα τί παθόντες· οὐ γὰρ βούλομαι εἰπεῖν, ὅτι αὐτοὶ προτυραννηθέντες ὑπὸ τῆς κραταιᾶς τοῦ χρυσοῦ τυραννίδος, καὶ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν ἐχθρῶν συμφορήσαντες ψεύδους καὶ ἀπάτης ὄχλον πρὸς ὑμᾶς ἥκουσι κατήγοροι πραγμάτων ὄντες, ἃ ᾔδεσαν ἀσφαλῶς μήτε γεγονότα, μὴ δ' ὅλως ὄντα, μόνα δὲ ἀναπλάσματα πονηρᾶς καρδίας, καὶ τῷ χρυσῷ ἐξηνδραποδισμένης· ἀλλὰ τοῦτο μὲν ἴσως φορητὸν ἄνδρας δύο ἢ καὶ τρεῖς ἀπατηθῆναι, τυχὸν μὲν ὑπὸ λογοποιΐας πονηρᾶς, ὑπὸ γλώσσης αὐτονόμου καὶ μὴ δειλιώσης πράττειν, ἀπ' ἐξουσίας, ἢ ὑπὸ ἄλλης τινὸς αἰτίας· τὸ δὲ ὅλην ἐκκλησίαν ὑπαχθῆναι ψευδέσι λόγοις, μηδὲν ἕτερον εἰς σύστασιν κεκτημένοις, ἢ τὴν κοσμικὴν ματαιότητα, πῶς ἄν τις οὐχ ὑπερεκπλαγείη; τίς οὖν ἀκοὴ τοιαύτην παρέλαβε κρίσιν, ὁποία ἡ τῶν Ῥωμαίων ἐκκλησία ὥς φασιν, οἱ ἐν Κωνσταντινουπόλει πλήρωμα δοκοῦντες ἐκκλησίας, ἐν ταῖς ἡμέραις ταύταις ἐξήνεγκε καθ' ἡμῶν, μᾶλλον δὲ εἰς ἀφορμὴν μέμψεως καθ' ἑαυτῶν; καὶ μὴ δόξῃ ἐπαχθὲς ὑμῖν τὸ εἰρημένον· μεμπτὰ γὰρ τὰ μὴ καλὰ, καὶ κἂν ὁ λόγος σιγήσῃ, τὰ πράγματα φέρει τὸν ἔλεγχον ἐξ αὐτῶν.

Ἀλλὰ πρῶτον τὰς καθ' ἡμῶν ψευδολογίας, καὶ οἷα ἐπ' αὐταῖς ἐπράξατε, καλῶς ἔχει παραστῆσαι ὑμῖν, εἶτα ὅσα κατὰ τῆς ἐκκλησίας τῇ αὐθεντικῇ ὑπουργήσατε οἰκονομίᾳ· λίβελλοι καθ' ἡμῶν ἐκομίσθησαν, καὶ εἴτε ἀληθεῖς ἦσαν εἴτε ψευδεῖς λόγος οὐδείς· πῶς γὰρ λόγος, ὅτε ζήτησις ἀπολογίας τῶν κατηγορουμένων οὐκ ἦν; καί τοι νενόμισται καὶ παρὰ βαρβάροις καὶ ἀνόμοις μηδένα κατακρίνειν τῶν κατηγορουμένων, εἰ μὴ πρότερον παραστὰς ὁ διωκόμενος τὴν ἀπολογίαν ὑφέξοι τῶν κατηγορημάτων· ἀλλὰ καὶ Χριστὸς ὁ θεὸς ἡμῶν φωνούντων κατ' αὐτοῦ τῶν παρανόμων ἰου-

δαίων τὴν ἄνομον ὑπέστη κατάκρισιν παραστὰς τῷ συνεδρίῳ, καὶ ἀπαιτηθεὶς ἀποκρίνασθαι· ἡ δὲ παρ' ὑμῶν, ἀδελφοί, κρίσις καὶ ἐνταῦθα καὶ κατὰ τὴν ὑμετέραν ἀποφαίνεται Ῥώμην, καὶ ἄλλα διαπράττεται ὅσα ἐγὼ μὲν εἰπεῖν οὐ προαιροῦμαι, ὁ μέλλων δὲ οὐ σιγήσει ἀπαγγέλλων χρόνος, ἐπείπερ δυνατώτερος πάσης ἀνθρωπίνης καὶ περινοίας καὶ δυνάμεως.

Ὅμως τὸ ἡμέτερον παρὰ φαῦλον κείσθω· τί γάρ; εἰ ἄνθρωπος ἐλεεινός, καὶ τυχὸν οὐδὲ ἀναπνεῖν ἄξιος τὸν ἀέρα, ἐκδιώκομαι θρόνου, καὶ ὑπερορίᾳ καταδικάζομαι, ἵνα τοὺς καθ' ἡμέραν ἀποδείκνω θανάτους, ἀλλὰ τέως τὴν τιμὴν τῆς ἐκκλησίας, τὴν σεμνότητα τῆς πίστεως, τῶν ἱερῶν κανόνων τὸ σεβάσμιον, τὴν ἄνωθεν ἱερὰν παράδοσιν, πῶς οὐκ ἐδυσωπήθητε; πῶς οὐκ ἐλογίσασθε; ἀλλ' οὐκ οἶδα ποίᾳ χρώμενοι ἐξουσίᾳ, ἢ πόθεν αὐτὴν λαβόντες, πορνείαν εἰς τὰ τῶν χριστιανῶν εἰσηγάγετε ἅγια, καὶ οὐκ ἠβουλήθητε λαβεῖν ἐπὶ νοῦν, ὡς εὐθέως καὶ κατ' ἀρχὰς τοῦ κηρύγματος τοῦτο τοῖς θείοις παρηγγύηται ἀποστόλοις, τὸ πορνείας ἀπέχεσθαι, ὅτε περὶ τοῦ πνικτοῦ καὶ εἰδωλοθύτου ἀπέστελλον· καὶ τοῦ σκεύους δὲ τῆς ἐκλογῆς ὅσας ἐστὶ παρακελεύσεις λαβεῖν περὶ τοῦ μὴ πορνείᾳ συμφύρεσθαι; τίς ἠγνόηκε, μὴ ὅτι τῶν εἰς κλῆρον ἀριθμουμένων, ἀλλὰ καὶ τῆς λαϊκῆς πληθύος, εἰ μὴ ἄρα τὶς παντάπασιν ἀλλότριος ἐκκλησίας, καὶ τῶν ἐκείνου λογίων ἀνήκοος; διὰ τοῦτο οὐδὲ παρατίθημι τὰ περὶ πορνείας αὐτῷ εἰρημένα, ἵνα μὴ περιττὸς εἶναι δόξω, δηλῶν ἃ μηδ' ὅν τινα λέληθε· πῶς οὖν τοῦ τῆς πορνείας ἄγους κατακεκριμένου παρὰ πάντων, Ῥωμαίοις ἔδοξε, διότι καὶ ἡμεῖς ἀκολουθοῦντες τῇ κρίσει τῶν ἀποστόλων, τῇ ψήφῳ τῶν ἁγίων πατέρων, ὑπὸ τὴν αὐτὴν κατάκρισιν τὸ πρᾶγμα πεποιήμεθα, νομίζειν ἡμᾶς ὑπευθύνους καὶ τοῦ ποιμνίου διώκεσθαι, καὶ πάσχειν τὰ τῶν κακούργων;

Ναί, φησίν· ἀλλὰ γάμος τὸ πρᾶγμα, καὶ οὐ πορνεία· γάμος, ὦ σεμνὲ νυμφαγωγέ, καὶ τιμῶν τὸν γάμον οὐχὶ κατὰ τὸν δοθέντα θεόθεν νόμον, ἀλλὰ κατὰ τὸν σὸν οὐκ οἶδα πού γεγραμμένον νόμον; γάμος ἡ πρὸς τετάρτην γυναῖκα δι' ὑπερβάλλοντα οἶστρον συνάφεια; ποῦ τὸν γάμον τοῦτον εὑρὼν εἰσάγεις εἰς τὸ

τῶν χριστιανῶν .ἅγιον ἔθνος, τὸ βασίλειον ἱεράτευμα; ποίων εὐαγγελίων, ποίας ἀποστολικῆς διατάξεως, ποίας ἐξ ἀρχῆς ἀφ᾽ οὗ τὸ τῶν χριστιανῶν γένος ἐγνώρισται παραδόσεως ἐν τῇ ἐκκλησίᾳ τοιαύτης φανείσης; Παῦλος ὁ μέγας φησὶ, τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· εἰ γάμος οὗτος ὁ σὸς γάμος, τί τῆς ἐκκλησίας ἀπελαύνουσιν ἱεροὶ θεσμοὶ τὸν εἰς τοιοῦτον παραπεπτωκότα παρανόμημα; εἰ γάμος τὸ πρᾶγμα, καὶ οὐ πόῤῥω τῆς τοιαύτης κλήσεως, τί κτηνῶδες καὶ ἀλλότριον φύσεως ἀνθρωπίνης τὴν τοιαύτην ὀνομάζουσι μίξιν; καί τοι γε τῆς ἄλλης ἐνεργουμένης πορνείας, τοῦτο αὐτὸ πορνείας ὀνομαζομένης, ἀλλ᾽ οὐ κτηνώδους οὐδ᾽ ἀνθρωπίνης φύσεως ἀλλοτρίου τοῦ πάθους δοκοῦντος.

Ἀλλὰ Ῥωμαίοις οὐχ οὕτω δοκεῖ· συγκεχώρηται γὰρ, ὥς φησὶ, παρ᾽ αὐτοῖς· καὶ γὰρ τοῦτό εἰσιν οἱ λέγοντες οὐκ οἶδα βουλόμενοι τιμᾶν ὑμᾶς ἢ ὑβρίζειν, ὡς οὐ μόνον τετάρτη ἀλλὰ καὶ πέμπτη καὶ ἐπὶ ταύτῃ ἑτέρα· ναὶ δὴ καὶ τῆς ἕκτης τὸν βίον ἀπολιπούσης, πρὸς ἄλλον συμπλέκεσθαι γάμον τοιοῦτον, καὶ αὖθις ἐπ᾽ ἄλλον, καὶ μέχρι τάφου πυλῶν ἡ ἄφθονος οἰκονομία, κρεῖττον δ᾽ εἰπεῖν τῆς ἀσελγείας ἡ φιλοτιμία, προέρχεται παρ᾽ ὑμῖν· καὶ τῆς βδελυρᾶς ταύτης φιλοτιμίας τὸ αἴτιον εἰς τὸν μέγαν ἀπόστολον ἀναφέρουσιν εἰπόντα κρεῖσσον γαμῆσαι, ἢ πυροῦσθαι· καλή γε ἡ σοφία τῶν οὕτως ἐκλαμβανομένων τὸ λόγιον, πάνυ εὐστόχως τῆς Παύλου ἐφικνοῦνται διανοίας· τοῦτο νομοθετεῖ ὁ τῆς οἰκουμένης διδάσκαλος τὸ διὰ παντὸς χαρίζεσθαι τῇ ἐπιθυμίᾳ τῆς σαρκὸς, ὁ λέγων, παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὦσιν ὡς μὴ ἔχοντες, καὶ θέλω πάντας εἶναι ὡς καὶ ἐμαυτόν· καὶ μὴ δ᾽ ἐπὶ δεύτερον γάμον συνελθεῖν ἀνδράσι συγχωρεῖ τῷ φάναι, λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν ἐὰν μείνωσιν οὕτως· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· γυναιξὶ μὲν χηρευούσαις ἐπιτρέπων δευτέραν συνάφειαν διὰ τὸ ἀσθενὲς, ἀνδράσι δὲ οὐδαμοῦ χηρεύουσιν, ἀλλὰ τοῖς οὔπω συναφείας ἀφιγμένοις πρὸς πεῖραν, κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι.

Εἰ μὲν οὖν γάμος ἡ τετάρτη γυνὴ, ἀλλ' οὐχὶ πορνεία, μᾶλλον δὲ πορνείας πλέον καὶ ἀσέλγεια, καθὼς δοκεῖ τῷ θειοτάτῳ Κλήμεντι, ἐπίτρεπε καὶ τὴν σύζευξιν· εἰ δὲ τοῦτο, ποῦ χώραν ἔχει ἐνταῦθα τὸ κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι; καὶ ἄκουσον οἶά φησι Κλήμης ὁ τοῦ κορυφαίου Πέτρου μαθητὴς καὶ αὐτήκοος, ἀλλ' οὐχὶ τῶν κατωτέρω τὶς, καὶ μακρὰν τῆς ἐκείνου μετ' ἀνθρώπων βιοτῆς διεστώτων· μονογαμία μὲν κατὰ νόμον γινομένη δικαία, ὡς ἂν κατὰ γνώμην ὑπάρχουσα θεοῦ· διγαμία δὲ μετὰ ἐπαγγελίαν παράνομος, οὐ διὰ τὴν συνάφειαν, ἀλλὰ διὰ τὸ ψεῦδος· τριγαμία δὲ ἀκρασίας σημεῖον· τὸ δὲ ὑπὲρ τὴν τριγαμίαν, προφανὴς πορνεία καὶ ἀσέλγεια ἀναμφίβολος· καὶ σὺ τῷ τοῦ γάμου τιμᾷς προσρήματι; ἀλλ' οἱ τῆς ἐκκλησίας φωστῆρες, ὧν τὸ φῶς τῆς διδασκαλίας καὶ τῶν πράξεων εἰς πᾶσαν ἐξέλαμψε τὴν οἰκουμένην, κτηνῶδες αὐτὸ καὶ τῆς φύσεως ἀλλότριον· ναὶ δὲ καὶ βίον καλοῦσι χοιρώδη, καὶ σὺ ἀποχρῆσθαι ὡς γάμῳ τοῖς ἀνθρώποις κελεύεις τῷ τοσούτῳ βδελύγματι; ὡς θαυμαστὸς εἶ τῆς προνοίας τοῦ διδάσκειν ἐν σεμνότητι καὶ ἀξίως τῆς Χριστοῦ κλήσεως τοὺς ὑπὸ σοῦ διδασκομένους πολιτεύεσθαι; ἄνθρωπε, οὐδεὶς ἁγιασμοῦ χωρὶς τὸν κύριον ὄψεται· ἁγιασμὸς δὲ πῶς ἂν τις προσγένοιτο τῷ ἀκαθάρτῳ πορνείᾳ συμπεφυρμένῳ· καὶ ἄλλος ἔφη, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα· τοῦτο δὲ τί ἄλλο βούλεται, ἢ τὸ φεύγειν τὰς τῆς πορνείας κηλῖδας.

Ἀλλὰ βασιλεὺς ὁ τὴν τετάρτην γυναῖκα ζητῶν, καὶ δεῖ παραχωρεῖν βασιλικῇ ἐπιθυμίᾳ· καλῶς γε σὺ τιμᾷς τὸ στέφος τῆς βασιλείας, καλὴν αὐτῷ δόξαν χαρίζῃ· ἢ διότι τῶν ἄλλων ὑπερκάθηται, διὰ τοῦτο δεήσειεν αὐτὸν ῥυπωδέστερον εἶναι καὶ ἀτιμότερον; σύ μοι δοκεῖς καὶ τῶν ποδῶν μᾶλλον ὥστε καθαροὺς εἶναι φροντίζειν, ἢ τοῦ προσώπου καὶ τοὺς μὲν μὴ προσεμβιβάζειν πηλῷ, τῆς δὲ κεφαλῆς μὴ φροντίζειν εἰ καταχέοιτο· ἀλλ' ὑπολαμβάνω μὴ δόξειν ταῦτα τοῖς ὁρίζειν εἰδόσιν ὑψηλοτέρων πραγμάτων καὶ ταπεινοτέρων διαφοράν· μέγα μὲν γὰρ τὸ τῆς βασιλείας πρᾶγμα, καὶ δέον πείθεσθαι βασιλεῦσι, μὴ δὲ τοῖς προστάγμασιν αὐτῶν ἀντιτείνειν· ἀλλ' ἐν ἐκείνοις τοῖς προστάγ-

μασιν ἐν οἷς διαφαίνεται τὸ τῆς βασιλείας ἀξίωμα. προστάσσει δικαιοπραγεῖν· τοῦτο βασιλικὸν ἀληθῶς πρόσταγμα, καὶ δεῖ μὴ ἀντιλέγειν· κελεύει κατ' ἐχθρῶν ὁπλίζεσθαι; ἔδοξεν αὐτῷ συνεισφέρειν τι πρὸς τὴν τῶν κοινῶν λυσιτέλειαν; τιμᾷν πάσῃ σπουδῇ τὸ δόγμα· εἶπεν ἄλλό τι πράττειν τῶν σύστασιν φερόντων καὶ τιμὴν τῇ ἀρχῇ, καὶ τοῖς ὑπὸ χεῖρα τελοῦσι, ποιεῖν ταχέως τὸ προσταττόμενον· ταῦτα βασιλικὰ, καὶ ἀναγκαῖον, μᾶλλον δὲ ἀπαραίτητον, ἕτοιμον παρέχειν εἰς τὸ ἀκούειν τὸ οὖς· κελεύει πάλιν, οἷα τὰ τοῦ διαβόλου πονηρὰ ὑποβλήματα, εἰς Θεὸν ἀσεβεῖν; τοῦτο οὐ βασιλικόν· οὐκοῦν οὐδὲ πιστέον αὐτῷ, ἀλλ' ὡς ἀσεβοῦς ἀνδρὸς ἀσεβὲς πρόσταγμα παρὰ φαῦλον ποιητέον· κελεύει συκοφαντεῖν, ἢ δόλῳ ἀναιρεῖν τινὰς, ἢ γάμους ὀρύσσειν ἀλλοτρίους, ἢ ἀδίκως ἀφελέσθαι τὰ ἀλλότρια πράγματα; οὐδὲ τοῦτο βασιλικῆς ἀρχῆς, ἀλλὰ λωποδύτου καὶ συκοφάντου καὶ μοιχοῦ καὶ ἅρπαγος· καὶ εἴ τις θεοφιλὴς, καὶ τὸ θεῖον τιμῶν, καὶ τὴν ἐξ αὐτοῦ παρασχεθεῖσαν ἐπὶ γῆς βασιλείαν, οὐκ ἂν πεισθείη τοιούτοις μιαροῖς ἐπιτάγμασιν, ἀλλὰ πρότερον ἕλοιτο ἂν τὴν ψυχὴν ἀφεῖναι, ἢ τοῦ κελεύοντος τὰ τοιαῦτα γενέσθαι ὑπηρέτης.

Εἰ καὶ οἶμοι τῆς ἀνθρωπίνης ῥοπῆς ἐπὶ τὰ χείρω πλείστους ἡ κακία ἔχει τῆς θεραπείας αὐτῆς ἐραστάς· ἀγνοεῖς ὅτι πέφυκε τὸ ἀρχόμενον οἷον πρὸς παράδειγμα τὸν ἄρχοντα βλέπειν; καὶ τί τοῦτο λέγω; ὅπου γε καὶ τοῦ ἄρχοντος πάσῃ κοσμιότητι βιοῦντος, ὅμως τὸ ἀρχόμενον ἐπὶ τὰ ἐναντία κέκτηται τὴν ἐπιφορὰν, διὰ τὴν ἀεὶ τρέχουσαν πρὸς τὰ κάτω καὶ τὴν ὕλην προαίρεσιν τῶν ἀνθρώπων· διὰ τοῦτο γὰρ καὶ νόμοι τέθεινται, ὅτι μὴ δ' ἔστι τὸ παράδειγμα τοῦ ἀγαθοῦ ἄρχοντος ἱκανὸν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, ὡς ἂν τῷ φόβῳ τῶν νόμων ἀναστελλόμενοι τῆς πονηρᾶς προαιρέσεως, καὶ ἄκοντες μετὰ τοῦ βελτίονος γένοιντο· ἀνάγει θεὸς εἰς ἀρχὴν, εἴτουν εἰς βασιλείαν ἢ ἑτέραν, οὐχ' ἵνα διότι πλέον τῶν ἄλλων δεδόξασται παρὰ θεοῦ, αὐτὸς ἀτιμάζοι ἑαυτόν τε καὶ τὸν δοξάσαντα, οὐδ' ἵνα τὴν θείαν κρίσιν ὥσπερ ἐσφαλμένην ἐφ' ἑαυτῷ δείξῃ, ἀλλ' ἵνα δι' οἰκείας ἀρετῆς ἄξιος ὀφθῇ καὶ τῆς θεϊκῆς κρίσεως, καὶ δοξάζεσθαι μὲν

θεὸν παρασκευάσῃ, προσθήκην δὲ δόξης καὶ ἑαυτῷ περιποιήσηται· εἰ δέ τις διότι πλέον εἴληχε παρὰ θεοῦ τιμῆς, διὰ τοῦτο μᾶλλον εἶναι τὸ ἐξεῖναι αὐτῷ τῆς τιμῆς τῶν θείων νόμων καταφρονεῖν, λέληθεν ἑαυτὸν παραπλήσιος ὢν τοῖς διὰ κόρον ὑβρίζουσι κτήνεσι· κακὸν οὖν δόγμα καὶ πάγκακον τὸ λέγειν, διότι βασιλεὺς, συγκεχώρηται ἁμαρτάνειν, ὁ μὴ τοῖς ὑπὸ χεῖρα τὶς συγχωρεῖσθαι· δυνατοὶ δυνατῶς ἐτασθήσονται, λέγει που τῶν σωφρόνων ὁ λόγος· εἰ δὲ τοῦτο, ποῦ χώραν ἕξει τὸ ὑμέτερον συγχώρημα; ἐγὼ καὶ στρατιώτῃ καὶ στρατηγῷ τὸ αὐτὸ πταίσασιν, οὐκ οἶδα τὴν ἴσην ἐπαγομένην ποινὴν, ἀλλ᾽ ὁ μὲν στρατηγὸς ἀναλογοῦσαν ἕξει τῷ μεγέθει τῆς τιμῆς τὴν τιμωρίαν, ὁ δὲ στατιώτης κατὰ τὸ μέτρον τῆς τάξεως· ἀλλὰ καὶ ναύτῃ καὶ κυβερνήτῃ, εἰ βούλει δὲ καὶ δεσπότῃ καὶ οἰκέτῃ τῷ αὐτῷ σφάλμασι περιπεπτωκόσιν οὐχ ἡ αὐτὴ ἀπαντήσει κατηγορία οὐδὲ κατάκρισις, ἀλλὰ τῇ διαφορᾷ τῶν προσώπων συνδιατιθεμένη.

Ἀλλ᾽ οἰκονομίαν ἐπ᾽ αὐτῷ ἡ ῥωμαϊκὴ ἐξουσία πεποίηται, καὶ δεῖ πρὸς τὸ οἰκονομηθὲν μὴ ἀντιλέγειν, ἀλλὰ τὰ ἡμῖν δεδογμένα τιμᾷν· τί λέγεις; καὶ ἔξεστι τοῦτο Ῥωμαίοις οἰκονομεῖν, ὥστε παρανομοῦντα τινὰ μὴ δίκην ὑπέχειν; καὶ ὥστε χερσὶν ἀκαθάρτοις τῶν ἁγίων ἐφάπτεσθαι, καὶ τοὺς ἐλαυνομένους τῶν θείων περιβόλων ἐπὶ μιάσματι, τούτους μὴ ἀποθεμένους τὸ μίασμα εἰσάγειν ὅθεν καλῶς καὶ ἐνδίκως ἀπελήλανται; μεγάλης ἂν ἐξουσίας εἴης ἐπειλημμένος, καὶ ἧς οὐδ᾽ αὐτὸς ὁ τὰς ἁμαρτίας αἴρων τοῦ κόσμου ἐπείληπται, μὴ ὅτι γε ἄλλος ἢ τῶν ἐκείνου ἱερῶν μαθητῶν, ἢ τῶν ἄλλων τῆς αὐτοῦ ἐκκλησίας διδασκάλων· ἧκε μὲν γὰρ τὰς ἡμῶν ἁμαρτίας βαστάσαι, ἀλλὰ δῆλον ὅτι τοῦ ἁμαρτάνειν ἡμῶν παυσαμένων, οὐκ ἐπιμενόντων δὲ, οὐδὲ πραττόντων ἀδεῶς ὧν ἐκεῖνος τὴν ἄρσιν ποιεῖται· ἀκούω γὰρ τῷ τεθεραπευμένῳ τοῦ ὑπ᾽ αὐτοῦ δοθέντος παραγγέλματος, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· πρόσχες, ὡς κωλύει, οὐκ ἐπιτρέπει τὸ ἁμαρτάνειν τοῖς τοῦ ἐλέους αὐτοῦ κατηξιωμένοις· οὔμενουν οὐδὲ Πέτρος, ἀλλ᾽ οὐ δὲ Παῦλος, οὐδέ τις ἄλλος ποτὲ ὤφθη παρορῶν μὲν τὸ ἁμάρτημα, τῷ δὲ ἁμαρτάνοντι τὸ ἀνεύθυνον ἐπαγγελ-

λόμενος· ποῦ ταύτην τὴν ἄτοπον οἰκονομίαν ἐξεῦρες τὴν οὐκ ἐλαφρύνουσαν τὸ βάρος τοῦ ἁμαρτήματος ἀλλὰ βαρύτερον αὐτὸ ποιοῦσαν; τὴν μὴ σώζουσαν, ἀλλὰ τῇ ἀπωλείᾳ παραδιδοῦσαν; τὴν μὴ καθαίρουσαν, ἀλλ᾿ ἐπὶ πλέον τὸν ῥύπον προστιθεῖσαν; τίς ποτε τοιαύτην οἰκονομίαν ἄχρι τοῦ νῦν ἔγνω; οἰκονομία μὲν γὰρ σωτηριώδης ἐστὶ συγκατάβασις, σώζουσα τὸν ἡμαρτηκότα, χεῖρα βοηθείας ὀρέγουσα καὶ ἀνιςῶσα τοῦ πτώματος τὸν πεσόντα, οὐχὶ τῷ πτώματι ἐπιτρέπουσα κεῖσθαι, μᾶλλον δὲ πρὸς ἐλεεινὸν βάραθρον συνωθοῦσα· οἰκονομία ἐστὶ μίμησις τῆς θείας φιλανθρωπίας, ἁρπάζουσα ἐκ στόματος τοῦ καθ᾿ ἡμῶν ὠρυομένου θηρὸς τὸν μέλλοντα τῷ ἐκείνου ὀλεθρίῳ καταπίνεσθαι στόματι· ἁρπάζεται δὲ πάντως οὐχ ὁ πράττων τὴν ἁμαρτίαν, ἀλλ᾿ ὁ ταύτης θείᾳ μεθόδῳ τῆς οἰκονομίας πόῤῥω καταστὰς, καὶ τὴν δίωξιν αὐτῆς ἀποκλίνας.

Εἰ μὲν οὖν τὸ πρᾶγμα μὴ ἐστὶν ἁμάρτημα, μὴ δὲ πορνεία ἡ τετραγαμία, μᾶλλον δὲ πλέον πορνείας, ἀλλὰ τὴν φύσιν ταύτης ἐνήλλαξας; σὸν δ᾿ ἂν εἴη καὶ τοῦτο τὸ τόλμημα, τὸ τὴν ἁμαρτίαν μὴ δοκεῖν ἁμαρτίαν νομίζειν· ἄλλος ἂν εἴη λόγος, ὃν ἡμεῖς οὔτε γινώσκομεν, οὔτε γνωσόμεθα· μὴ δὲ γὰρ γένοιτο τοιοῦτον ἡμᾶς πονηρὸν μάθημα γνῶναι, ὅτι τὸ ἁμαρτάνειν, οὐκ ἔστιν ἁμαρτάνειν· εἰ δ᾿ ὡς ἔστι φύσεως, οὕτως καὶ διαμένει, καὶ οὐδεὶς αὐτὸ δύναται διαμείβειν τρόπος, οὐδὲ τὴν πορνείαν ποιεῖν μὴ εἶναι πορνείαν, καὶ τὴν ἀσέλγειαν, καὶ τὸν κτηνώδη καὶ τὸν χοιρώδη βίον, ἢ τοῦτο εἶναι ὅπέρ ἐστι καὶ λέγεται, τίς ἡ παράδοξος, μᾶλλον δὲ ὀλέθριος οἰκονομία, ἥτις ᾠκονόμηταί σοι ἐπὶ τῇ σῇ μὲν καταγνώσει, ἐπὶ βαρυτέρῳ δὲ κατακρίματι τοῦ δοκοῦντος ἐπ᾿ αὐτῷ διοικονομεῖσθαί σοι τὸ ἀσελγαίνειν; κακὸν μὲν καὶ ἄλλως ἀπώλεια, κἂν ὑπ᾿ ἀγνοίας εἰς ταύτην περιπίπτοιμεν· τὸ δὲ καὶ μετὰ τέχνης καὶ μετὰ σοφισμάτων πρὸς ταύτην ἑαυτὸν ὑπάγειν, πόσου ἄν τις κακοῦ ἀριθμήσεται; ἐγὼ μὲν καὶ εἴ τις ἐμοὶ πείθοιτο, μᾶλλον δὲ τοῖς ἱεροῖς νόμοις, καὶ μετάνοιαν ἀποδέχομαι τῶν ἁμαρτανόντων, καὶ οἰκονομίαν ἐπὶ τούτοις κυρῶ, ἀλλὰ τὴν ἀπρακτεῖν ποιοῦσαν, οὐ τὴν ἐνεργεῖσθαι παρασκευά-

ζουσαν τὴν ἁμαρτίαν· ἀδύνατον γὰρ τῆς ἁμαρτίας ἐπιτελουμένης καὶ διηνεκῶς, οἰκονομεῖν τι πρὸς σωτηρίαν ὑπολαμβάνειν τὸν ἄδειαν αὐτῷ παρεχόμενον τῇ ἁμαρτίᾳ συζῆν· εἰρωνευομένου γὰρ τοῦτο μᾶλλον, οὐκ οἰκονομοῦντος, καὶ παίζοντος τὴν τῆς οἰκονομίας βοήθειαν.

Τί ἔτι ἐπὶ προλαβόντα λοιπὸν καὶ ἀρχαῖα τινὲς καταφεύγουσι πράγματα, ὧν ἀτόπων ὑπαρχόντων οἱ τότε παρόντες ἐν βίῳ ἠνέσχοντο; ἐγὼ δὲ πρῶτον φημί, ὡς οὐκ ἀσφαλὲς αὐτοῖς ἐκεῖ καταφεύγειν, οὗ μήτε θείαν ψῆφον πολιτευομένην ὁρῶσι, μήτε κρίσιν ἐξ ἀνθρώπων ἐπαινουμένην· πῶς δ' ἂν εἴη θεοῦ ψῆφος, ἡ γνώμη ἀνθρώπων ἐπὶ πράγμασι προξενοῦσιν αἰσχύνην, μέμψεως δὲ τοὺς ἐργάτας ἐξαιρεῖσθαι μὴ δυναμένοις; δεύτερον δὲ ὅτι μὴ δ' ἄξιον εἴ τι πόῤῥω τοῦ πρέποντος τοῖς ἀρχαιοτέροις ἐπράχθη, τοῦτο παράδειγμα ποιεῖσθαι τοὺς νεωτέρους· λήσομεν γὰρ ἑαυτοὺς, πολλὰ τῶν κολάσεως ἀξίων εἰς τὴν καθ' ἡμᾶς γενεὰν εἰσάγοντες· ἀλλ' οὐκ ἔστι τοῦτο φιλοθέων ἀνδρῶν, οὐδὲ ζωὴν ἀγαπώντων θεοφιλῆ· κακῶς οὖν καὶ τοῦτο λέγεται, τὸ πρὸς τὰ πρεσβύτερα τῶν ἁμαρτημάτων ὁρῶντας βούλεσθαι καὶ ἡμᾶς ἁμαρτάνειν· καὶ διότι μὴ εὐαγῶς ὁ δεῖνα καὶ ὁ δεῖνα, ἢ ὅτι ἄνθρωπος ὢν παρηνέχθη πρὸς φαύλην πρᾶξιν, διὰ τοῦτο καὶ ἡμᾶς, εἴ τι φαῦλον ἀνακύπτει, τοῦτο καταδέχεσθαι· ἦν δὲ ἄμεινον καὶ πολλῷ ἄμεινον τοῦτο καὶ φρονεῖν καὶ λέγειν ὡς ἐπειδὴ ἐκεῖνο κακῶς ἐπράχθη, δεῖ ταῦτα κατὰ τὸν προσήκοντα λόγον διαπεπράχθαι· τοῦτο γὰρ κοινῶς παρὰ πᾶσι κρατεῖ, τὸ μὴ πρὸς τὰ χείρω τὴν μίμησιν ποιεῖσθαι, ἀλλ' ὅση δύναμις ἐκ τῆς τῶν χειρόνων κατηγορίας ἀσφαλίζεσθαι ἡμᾶς αὐτοὺς, μὴ τοῖς ἴσοις περιπεσεῖν, ἀλλὰ μᾶλλον πρὸς τὰ βελτίονα φέρεσθαι.

Τί οὖν μοι τὸν Οὐαλεντιανὸν παράγεις, ἢ τὸν δεῖνα καὶ τὸν δεῖνα; εἰ μὲν ἡ τούτου πρᾶξις ἐπαινετὴ, μιμησώμεθα καὶ ἡμεῖς, ἵνα τῶν ἴσων ἐπαίνων κληρονομήσωμεν· εἰ δὲ μῶμον ἔχει καὶ διαβέβληται, τί με ποιεῖν προτρέπεις, ἃ καὶ σοὶ τὴν διαβολὴν καὶ ἡμῖν φέρει; ἀλλ' ἐδέξατο Δάμασος ὁ ἁγιώτατος· εἰ τὴν παραδοχὴν ὅλῃ ψυχῇ ἀποδέχῃ καὶ νομίζεις αὐτὴν καλῶς ἔχειν, τί καὶ

σὺ μὴ θαῤῥῇς δυσὶ γυναιξὶ κατὰ τὸ αὐτὸ συνεῖναι δογματίζειν; ἀλλὰ φεύγεις τὸ δόγμα, καὶ οὐκ ἄν σοι τοῦτο δόξῃ· οὐμενοῦν οὐκ ἂν ἀρνηθείης προτρέπειν, δῆλος εἶ καταγινώσκων τοῦ πράγματος, καὶ τὴν ἀποδοχὴν μὴ καλὴν οὖσαν ὑπολαμβάνειν· ἐμοσχοποίησε ποτὲ Ἀαρὼν, καὶ συνεχώρησε τοῦτο Θεός· οὐ γὰρ ὑπαχθῇ τῇ δίκῃ, ἀλλ' οὐκ ἤρκεσε τοῖς μετὰ ταῦτα μοσχοποιοῦσι τὸ τοῦ Ἀαρὼν ἀκατάγνωστον εἰς τὸ μὴ δοῦναι δίκην τῆς μοσχοποιΐας· ὁρᾷς πῶς οὐχ ἱκανὸν τοῖς μὴ καλῶς τὰ οἰκεῖα διατιθεμένοις πράγματα ἐπανατρέχειν εἰς προγενέστερα σφάλματα; τίνος δὲ χάριν καὶ πολιτικοὶ νόμοι καὶ θεῖοι κανόνες ἐκτέθεινται, εἰ τὰ προλαβόντα εἶχε τὴν μίμησιν ἀκατάκριτον; ἀλλὰ σκοπὸς, ἵνα μὴ τοῖς προλαβοῦσιν ἁμαρτήμασι περιπίπτοντες ἄνθρωποι, καταφεύγοιεν εἰς ἀπολογίαν, ὡς τὸ ἡμαρτημένον ἐμοὶ, καὶ ἄλλῳ τινὶ προγενεστέρῳ ἐξείργασται.

Οὐκ ἀπολύει οὖν, ἀδελφοὶ, οὐδ' ἡ πρόφασις αὕτη τοὺς καταφεύγοντας ἐπ' αὐτὴν, καὶ διὰ τοῦτο σύστασιν τῇ τετραγαμίᾳ παρεχομένους· ἀλλὰ κατακρίνει μᾶλλον, ὅτι μὴ ἐκ τοῦ εὐθέος, ἀλλ' ἐκ τοῦ διεστραμμένου τὰ πολλῆς εὐθύτητος χρῄζοντα πράγματα τῆς ἐκκλησίας ἐγνώκασι διοικεῖν· εἶτα εἴ τις τῶν σῶν οἰκετῶν τὸν οἶκον ἢ τὸν χιτῶνα μολύνας, ἐπί τι πρόσωπον ἕτερον αὐτὸ τοῦτο προδιαπεπραγμένον ἀναφέρων ἐρεῖ, ὡς ἐπειδὴ προλαβὼν ἕτερός τις τῶν συνθεραπόντων τοῦτο ἐξήμαρτε, διὰ τοῦτο κἀμοὶ πράττειν οὕτως ἐπῆλθεν, οὐκ ἂν δέξῃ τὴν ἀπολογίαν, ἀλλὰ στρεβλώσεις καὶ μαστιγώσεις ὡς εἰς τοιαύτην ἥκοντα καταφρόνησιν, ὀφειλομένου ὄντος ἐκ τοῦ προημαρτημένου τῷ συνθεράποντι, τοῦτον τὴν πρᾶξιν φυλάξασθαι· καὶ τὰ κακῶς τῇ ἐκκλησίᾳ συμπίπτοντα, ἐκ τῶν προλαβόντων ἀξιοῖς παραδέχεσθαι, καὶ τὴν ἴσην οὐ τηρεῖς ἐπὶ τῆς ἐκκλησίας γνώμην τοῖς περὶ σὲ καὶ τὴν σὴν οἰκίαν πραττομένοις, ἀλλὰ δίκαια οἷς αὐτὰ παρορᾷν διὰ τὴν τῶν προλαβόντων σφαλμάτων παρόρασιν; καὶ τίς ἂν εἴποι σε εἰκότα ποιεῖν, ὀρθὰ φρονεῖν ἐπιστάμενος; τὸ δὲ καὶ πρὸς τὴν παλαιότητα συγκρίνειν τὴν χάριν καὶ τὸν μακάριον Δαβὶδ εἰς μέσον παράγειν, οὐκ οἶδα τί συναντιλαμβάνεται τοῖς τοῦτο

προφέρουσιν· εἰ μὴ ἄρα καὶ τὸν Ἰακὼβ σὺν ταῖς δυσὶ γαμεταῖς αὐτοῦ ἀδελφαῖς οὔσαις ἡμῖν προσοίσουσιν· εἰ βούλει δὲ καὶ τὸν Σαμουὴλ κατὰ τῆς σφαγῆς τοῦ Ἄγαγ τὸ ξίφος βάπτοντα, καὶ τὴν περιτομὴν, καὶ τὰ σφάγια, καὶ ὅσα τῇ παλαιότητι κρατούμενα τέως ἐγνωρίζετο.

Ἀλλὰ γὰρ πολλῶν καὶ ἄλλων προσόντων, ἃ ῥηθῆναι ἡ ὑπόθεσις ἐπιζητεῖ, πλεῖστα οἶμαι καὶ ταῦτα διὰ τὸ μῆκος τοῦ γράμματος· ἀφέντες οὖν τὸ πλέον τι λέγειν περὶ τούτων, ἐκεῖνο φαμέν· ἐπιστράφητε πρὸς ἑαυτοὺς, ἀδελφοὶ τιμιώτατοι, καὶ τῶν πραχθέντων τὸ παράλογον κατανοήσαντες, καὶ τῆς πρὸς χάριν ἀνθρωπίνης οἰκονομίας ὑμῶν ὡς ἀσχήμονος καταγνόντες, τὸ πρέπον καὶ ὑμῖν αὐτοῖς φρονήσατε, καὶ τὸ πρὸς τιμὴν διαβαῖνον τῆς ἐκκλησίας καὶ τῆς τῶν χριστιανῶν σεμνότητος· μὴ δὲ βουληθῆτε γενέσθαι διήγημα, ὡς Ῥωμαῖοι τετραγαμίαν προφάσει βασιλικῆς χάριτος εἰς τὸ τῶν χριστιανῶν ἅγιον ἔθνος εἰσαγαγον· οἴδατε γὰρ ὡς ὀξεῖα τοῦ κακοῦ ἡ φορὰ, καὶ ἀρχὴν λαβοῦσα μάλιστα ἐκ δυνάμεως, καὶ τότε τοσαύτης οὐ ῥᾳδίως ἀνακόπτεσθαι· οὕτω καὶ τριγαμία ἐν ἀνθρώποις ἀρχὴν ἔλαβε πολιτεύεσθαι, συνεχωρήθη πρὸς χάριν ἑνὸς, καὶ δεύτερος ἦλθεν εἰς μίμησιν, καὶ πάλιν ἄλλος, καὶ οὕτως ἐπὶ πλείστους διελθὼν εἰς πονηρὰν κατέστη τῷ βίῳ συνήθειαν· μὴ οὖν ἀνάσχησθε, καίτοι γεγηρακυίας τῆς ἀνθρωπίνης φύσεως, τὸν ξένον τοῦτον γάμον καὶ ἀλλότριον τοῦ γένους, διδάξαι αὐτήν· μὴ δὲ τοιούτου μικροῦ πράγματος, ὡς γεγόνατε διδάσκαλοι, τῷ βίῳ καταλίποιτε ὄνομα· ἀλλ᾽ αὐτοὶ ἑαυτοὺς ἐπανορθώσατε· οὐ γὰρ φέρει αἰσχύνην ἡ τῶν παρὰ τὸ δέον γεγενημένη ἐπανόρθωσις, μᾶλλον μὲν οὖν καὶ σύνεσιν προσμαρτυρεῖ, κα ἀρετῆς ἔρωτα, καὶ τιμᾷ οὐχ ὑβρίζει τοὺς οὕτω πεφρονηκότας· ὅπερ καὶ ὑμᾶς ἄξιον φρονῆσαι μάλιστα τῶν πραγμάτων ἐξ ἀπάτης καὶ κακουργίας τὴν ὕπαρξιν λαβόντων, ἣν ὑμᾶς ἀποκρυψάμενοι παρήνεγκαν ἐφ᾽ ἃ μὴ ἔδει οἱ ταῦτα σκεψάμενοι· καὶ θαυμαστὸν οὐδὲν, εἰ ἄνθρωποι ὄντες, δι᾽ ἀπάτης ἐσφάλητε· ἀλλὰ τοῦτο θαυμαστὸν μᾶλλον, εἰ ἄλλους ἐπαγγελλόμενοι διορθοῦσθαι, μὴ τὰ εὐαγῶς ὑμῖν πεπραγμένα τῆς τοιαύτης προνοίας

καταξιώσητε· τοῦτο δὲ πάντως προνοηθήσεται ὑμῖν ἀθετουμένων καὶ ἀκυρουμένων, καὶ ἀναθέματι παραπεμπομένων τῶν προγεγονότων καὶ τῶν εἰσαγαγόντων τὴν τῶν σκανδάλων αἰτίαν εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν, καὶ ὑμᾶς πρὸς μέμψεις τηλικαύτας ἐλασάντων.

Τοῦτο δὲ φαμὲν οὐ περὶ τοῦ καλοῦ βασιλέως, μὴ γένοιτο· οὐδὲ περὶ τοῦ ὑμετέρου προέδρου Σεργίου, οὐδ᾽ ἵνα ἐκεῖνοι τῷ ἀναθέματι παραπέμποιντο· ἤδη γὰρ χεῖρα ἐπορέξαντος Θεοῦ τῷ καλῷ βασιλεῖ, αὐτὸς πρὸς τὸ τέλος τῆς ζωῆς γεγονὼς, καὶ τοῦ κατακρίματος καὶ τοῦ ἀναθέματος, πεποίθαμεν τῇ θεϊκῇ εὐμενείᾳ, τὴν φυγὴν ἑαυτῷ περιπεποίηται, τὸ μὲν οἰκεῖον ἁμάρτημα ἐπιγνοὺς, συγγνώμην δὲ καὶ λύσιν τῆς καταδίκης ἐξαιτησάμενος, ἣ παρ᾽ ἡμῶν ὑποβέβλητο, καὶ ἀποδοὺς καὶ ἡμῖν τὸ ποίμνιον ἐξ οὕπερ ἠλάθημεν, καὶ πάντα διοικῆσαι ἡμῖν ἐπιτρέψας, καθὼς συνορῶμεν καὶ Θεῷ ἀρέσκον, καὶ τοῖς θείοις ἱεροῖς κανόσιν ἁρμόδιον· καὶ τοῦ ὑμετέρου δὲ προέδρου τὸν βίον λιπόντος, καὶ τῷ πρώτῳ καὶ μεγάλῳ τὸν λόγον τῆς αὐτοῦ οἰκονομίας ὑπέχοντος ἀρχιερεῖ, ἀπόχρη τούτῳ καὶ χωρὶς τῆς ἐνταῦθα καὶ ἀνθρωπίνης ὑποτιμήσεως· ὥστε τούτους μὲν ἐξαιρετέον, τοὺς δ᾽ ἄλλους καὶ τῷ βίῳ περιόντας, τῇ ὀφειλομένῃ παράδοτε καταδίκῃ· καὶ διὰ τῶν ἡμετέρων γραμμάτων μαθόντες ὅσα ἐπονηρεύσαντο, καὶ οἷς ὁ φιλόχριστος καὶ μέγας ἡμῶν βασιλεὺς πρόνοιαν ἔθετο γνῶναι ὑμᾶς τὰ ἐκείνοις δραματοποιηθέντα, καὶ μηδὲν λαθεῖν τῆς ψευδοῦς αὐτῶν συσκευῆς ἐν τῷ καταπράξασθαι, διὰ τοῦ περιβλέπτου αὐτοῦ μαγίστρου πρὸς ὑμᾶς κομισθέντα τὰ κακῶν μελετηθέντα, πολὺ δὲ χείρω καὶ γραφῆς ἀξιωθέντα· δι᾽ ὧν πάντων τῆς ἀληθείας ἐμφανιζομένης, ὑμέτερόν ἐστι καταγνῶναι τοῦ ψεύδους, καὶ ἃ μὴ ἔδει τὴν ἀρχὴν πραχθῆναι, ταῦτα εἰ καὶ διεπράχθη κατακρίναι, καὶ τὴν ἐξ ἀρχῆς ὑμῶν δόξαν ἀνασώσασθαι· πάντα ἐκεῖνα ῥίψαντας εἰς κεφαλὴν τῶν κακουργησάντων, καὶ ὅσον ἐπ᾽ αὐτοὺς ἧκε, πλέον τῇ Ῥωμαίων ἐκκλησίᾳ ἢ τῇ ἐνταῦθα λυμηναμένων. (1)

(1) Hactenus Nicolai magnifica epistola, seu tractatus, quamquam de re minime aequa, ut alibi diximus. Illa autem quae latine extat apud Baronium epistola, nescio quo casu mutila atque informis est, neque graeci exemplaris dignitatem satis retinet.

XXXIII. ΤΡΥΦΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Οὐδὲν ἔλαττον καὶ ἡμῖν εἰς ἐπιθυμίαν καθέστηκε τῇ σῇ ὁσιότητι συγγενέσθαι, καὶ παρουσίας καὶ ὁμιλίας κοινωνῆσαι, ἢ ὅσον αὐτὸς, ὦ τοῦ θεοῦ ἄνθρωπε, τῆς τοιαύτης ὑπάρχεις ἐφέσεως· ἀλλ' ἐπεὶ τῶν πραγμάτων αἱ περιστώσεις σωματικῶς γενέσθαι τοῦτο μὴ βούλονται, κρείττονι τινὶ κοινωνίᾳ θεραπεύομεν τὴν ἐπιθυμίαν νοερῶς συγγινόμενοι, καὶ βλέμμασι τῆς ψυχῆς τὴν ἀπόλαυσιν ἔχοντες· τοῦτο οἶδα καὶ τῇ σῇ ὁσιότητι τοῦ ἴσου πόθου παρεχόμενον ἀπολαύειν· περὶ δὲ τῆς λυπούσης ἀσθενείας, ἐπὶ τοῖς ἄλλοις ὅσα διὰ τὰς ἁμαρτίας ἡμῶν ἀδιαλείπτοις ἀλγηδόσι βάλλει τὴν ἡμετέραν ψυχὴν, ἐδεξάμεθα καὶ νῦν προσθήκην ἀλγηδόνος· ὅμως οὖν ἀναφέροντες, ἐπὶ τῷ σωτῆρι θεῷ ἡμῶν τὴν ἐλπίδα προσδοκῶμεν τῆς ἐπὶ σοὶ ἀλγηδόνος, οὐκ εἰς μακρὰν εὑρεῖν τὴν θεραπείαν, ἐὰν μόνον σὺ βουληθῇς, ὥσπερ ᾐτήσω τὴν τῶν βοηθημάτων ἀποστολὴν, ἃ καὶ ἀπεστείλαμεν, οὕτω καὶ τῆς χρήσεως αὐτῶν πεῖραν λαβεῖν μὴ βραδέως· διότι οὐκ ἄδηλον, ὅτι παντὸς ἐναντιώματος ἐν ἀρχῇ ῥᾳδία ἡ ἀποφυγὴ, ἡ δὲ τούτου παρενόχλησις ἐν καταφρονήσει τιθεμένη, δύναμιν ἀπὸ τοῦ χρόνου λαμβάνουσα, οὐκέτι ὁμοίως ἐθέλει ἀνιέναι τοὺς πρότερον καταφρονητὰς, ὕστερον δὲ πρὸς ἐπιμέλειαν καθισταμένους τῆς τοῦ παρενοχλοῦντος διώξεως· δεῖ οὖν καὶ τὴν ὑμῶν τελειότητα τῶν βοηθημάτων καταλαμβανόντων σὺν θεῷ, μὴ ῥᾳθύμως αὐτῶν τὴν χρῆσιν ποιήσασθαι· πάντως γὰρ εὐέλπιδές ἐσμεν, ὡς εἰ σπουδαιότερον χρήσῃ αὐτοῖς, ἐπανελεύσεται ἡ φυσικὴ τοῦ σαρκίου κατάστασις· ταῦτα μὲν ἐπὶ τοσοῦτον· σὺ δὲ εἰδὼς οἷα εἰκὸς πάσχειν ἡμᾶς ἐν τοιαύταις καταιγίσι πραγμάτων στρεφομένους, οἵας οὐκ οἶδα εἴ τις ποτὲ πραγμάτων ἐπήγειρε βιαιότης, ταῖς ὁσίαις ἐπαμύνειν εὐχαῖς γενοῦ μοι καὶ προθυμότερος καὶ συντονώτερος.

XXXIV. ΣΤΡΑΤΗΓΩ ΕΛΛΑΔΟΣ.

Τέκνον ἡμῶν ἠγαπημένον, οἴδαμεν ὅτι χάριτι Θεοῦ φρονήσει κοσμούμενος καὶ συνέσει, καὶ θεοφιλὴς ὑπάρχων, ὅσα εἰς τιμὴν καὶ κατάστασιν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ταῦτα καὶ χωρὶς τῆς ἡμετέρας παραινέσεως, καὶ διανοῇ καὶ πράττεις· πλὴν ἀλλ' ἐπεὶ ἡ ὅλη μέριμνα καὶ ἡ φροντὶς ἡμῖν ἐπίκειται τῶν ἐκκλησιῶν, γράφομέν σοι καὶ ἡμεῖς, ἃ καὶ σοὶ μισθὸν οὐράνιον προξενεῖ, καὶ ταῖς ἐκκλησίαις εἰς συμφέρον ἐστίν· ἀλλὰ τέως μὲν περὶ τῶν ἄλλων σιγῶμεν· ἐπεὶ δὲ περὶ τῆς τῶν Θηβῶν ἁγίας ἀνεμάθομεν ἐκκλησίας, ὡς οἱ κληρικοὶ κατ' ἀλλήλων στασιάζοντες, ἀντὶ τοῦ τύπος εἶναι καταστάσεως τοῖς κοσμικοῖς αὐτοὶ ἀταραξίας, καὶ μάχας συνιστῶσι, καὶ τὸ ἐλεεινότατον καὶ πληγὰς ἐπιφέρουσιν ἀλλήλοις, ὁρίζομεν ἵνα τούτους εἰς ἓν ἡ σὴ προσκαλέσηται σύνεσις, καὶ λόγοις καὶ παραινέσεσι πείσῃ τῆς τοιαύτης ἀταξίας ἀποσχέσθαι· καὶ παραγγείλῃ τοὺς μετὰ τοῦ ἀρχιεπισκόπου συλλειτουργοῦντας, ἐκείνους τὴν καθολικὴν ἐκκλησίαν κατέχειν, καὶ τὴν ἐν αὐτῇ δοξολογίαν τοῦ Θεοῦ ἐπιτελεῖν· τοὺς δὲ ἄλλους, οἳ τέως τῷ ἀρχιεπισκόπῳ οὔτε συνελειτούργησαν, οὔτε ἐκοινώνησαν, ἐν ταῖς λοιπαῖς ἐκκλησίαις συνάγεσθαι καθ' ἑαυτοὺς, ἵνα οὕτως ἀσύγχυτος ἡ ἱερατεία διαμείνῃ, μέχρις ἂν ὁ ἅγιος Θεὸς εὐδοκήσῃ τὶ οἰκοδομηθῆναι εἰς τὰ κατασχόντα πράγματα διὰ τὰς ἁμαρτίας ἡμῶν τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν· τούτου γὰρ γινομένου καὶ οἱ παρὰ τοῦ Θεοῦ διατηρηθέντες ἄμεμπτοι ἐν τῇ ἱερουργίᾳ αὐτῶν, οὐ μὴ προσκόψωσιν· καὶ οἱ ἀνθρωπινόν τι παθόντες καὶ σφαλέντες, μετὰ τῆς ἀγαθῆς ἐλπίδος ἔσονται ἀναμένοντες τὴν περὶ αὐτοὺς γενησομένην οἰκονομίαν, ὅταν ὁ μέγας ἡμῶν ἀρχιερεὺς καὶ Θεὸς τοῦτο εὐδοκήσῃ ἐπιτελεσθῆναι· ἐρρωμένον σε διαφυλάξαι ὁ κύριος, τέκνον ἡμῶν ποθεινὸν, ἐν πᾶσι καλοῖς προκόπτοντα καὶ εὐδοκιμοῦντα, καὶ ὄντα παντοίας ἐπηρείας ἀνώτερον.

XXXV. ΣΤΡΑΤΗΓΩ ΣΤΡΥΜΟΝΟΣ.

Οἶδα, τέκνον ἡμῶν ἠγαπημένον, ὅτι καὶ φρονήσει καὶ συνέσει κοσμούμενος, ἐκεῖνα φρονεῖς περὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας ὅσα πρέπον ἐστὶν ἄνθρωπον θεοφιλῆ καὶ παρὰ Θεοῦ καὶ νῦν τιμηθέντα καὶ δοξασθέντα, καὶ εἰς τὸν μέλλοντα αἰῶνα δόξαν καὶ τιμὴν λαβεῖν παρ' αὐτοῦ ἐλπίζοντα· καὶ ἴσως περισσόν τι ποιοῦμεν τὴν σὴν διανοηθέντες παραινεῖν θεοφιλῆ ψυχὴν περὶ τοῦ προΐστασθαι τῶν πραγμάτων τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας, ἐν ᾗ καὶ ἐδοξάσθης παρὰ τοῦ ἁγίου πνεύματος, διὰ τῆς ἐπιθέσεως τῶν ταπεινῶν ἡμῶν χειρῶν τὴν ἐπὶ τῇ πατρικιότητι εὐλογίαν δεξάμενος· ἐν ᾗ πάντως καὶ τὰς ἐλπίδας ἔχεις, τουτέστιν εἰς τὴν ἐν αὐτῇ διὰ παντὸς κατοικοῦσαν χάριν τοῦ παναγίου πνεύματος· ἀλλ' ὅμως ἐπειδὴ γράμμα ἐδεξάμεθα παρὰ τοῦ τῶν κτημάτων αὐτῆς προεστῶτος, λέγομεν δὴ τοῦ Στρογγυλίζοντος, ὑπόμνησιν ποιούμενα τοῦ γράψαι πρὸς τὴν ὑμῶν μεγαλοπρέπειαν, ὥστε τῆς σῆς ἀντιληπτικῆς χειρὸς ἐν ἀπολαύσει αὐτόν τε τυγχάνειν, καὶ τοὺς καταπεπιστευμένους αὐτῷ τῆς ἐκκλησίας τόπους, οὗ ἂν ἡ χρεία καλῇ, τὴν ἐκείνου πληροῦντες ὑπόμνησιν, ταῦτά σοι τὰ γράμματα διαπέμπομεν, καὶ ὥσπερ παρόντες δι' αὐτῶν προσομιλοῦμεν, καὶ παραινοῦμεν τοῦ μὴ περιορᾷν τοὺς βουλομένους ἐπιπηδᾷν ἀτάκτῳ γνώμῃ καὶ ὁρμῇ ἐν τοῖς τόποις τοῦ ἁγίου ναοῦ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, καὶ παρασπᾷν μὲν αὐτοὺς τῆς ἐκείνου δεσποτείας, ὑπὸ δὲ τὴν ἰδίαν δεσποτείαν ἄγειν· εἰσὶ δὲ ὡς μανθάνομεν τοιαύτης προαιρέσεως μοχθηρᾶς οὐκ ὀλίγοι τινὲς, οἳ ὥς φασι μόνῃ πλεονεξίᾳ κινούμενοι, οὐ τρέμουσι τὰ τοῦ θείου ναοῦ ἀποσπαράσσειν καὶ οἰκεῖα ποιεῖσθαι· ἱερόσυλοι τινὲς ὄντες, καὶ διὰ τοῦτο τῆς ἱερωτάτης ἐκκλησίας καταφρονοῦντες.

Ἀλλ' οἱ μὲν τοιοῦτοι· σὺ δὲ, τέκνον ἐμὸν, ὡς φρόνιμος ἐννοῶν ὅσος ὁ κίνδυνος, καὶ τοῖς τολμῶσι ταῦτα, καὶ τοῖς παρορῶσι τὴν τόλμαν δυναμένοις διεκδικεῖν, τοῦτο μὴ πράττουσι,

μήτε ἐκείνοις συγχωρεῖς διὰ τῆς τοιαύτης ζημίας τῆς ἐκκλησίας ἑαυτοὺς ζημιοῦν ψυχικῆς σωτηρίας, μήτε σὺ διὰ τοῦ παρορᾷν τὴν πλεονεξίαν αὐτῶν, μᾶλλον δὲ τὴν ἱεροσυλίαν, ὥσπερ ὑπόδικον σεαυτὸν καταστήσεις τῷ τοῦ Θεοῦ κατακρίματι· ὁ γὰρ δυνάμενος κωλύειν τὴν πονηρίαν, εἶτα τοῦτο μὴ πράττων, οὐ πολὺ ἀπέχει τῆς κοινωνίας τῆς κατακρίσεως· καὶ εἰ τὸ μὴ προσφέρειν Θεῷ ἐκ τῶν οἰκείων, μέμψιν ἔχει καὶ κατάγνωσιν, πόσῳ μᾶλλον τὸ ἁρπάζειν τὰ τοῦ Θεοῦ; ἅπερ ὡς φρόνιμος, τέκνον μου, συνορᾷν, δεῖξον τὸν πρέποντα τῇ σῇ ἀρετῇ ὑπὲρ τῆς τοῦ Θεοῦ ἐκκλησίας ζῆλον, καὶ ἣν ἐν αὐτῇ πεποίθησιν ἔχεις, ἵνα καὶ σεαυτῷ χάριν οὐ τὴν τυχοῦσαν παρὰ Θεοῦ περιποιήσῃ, καὶ οἱ κακῶς ἐπιπηδῶντες εἰς τὰ τῆς ἐκκλησίας, τοῦ θράσους ἐπισχεθέντες, μὴ ἐν οἷς οὐ δεῖ, μὴ δ᾽ εὔλογόν τι φαίνωνται κεκτημένοι, τὴν πονηρὰν αὐτῶν προαίρεσιν ἐπεκτείνωσιν.

XXXVI. ΤΩ ΚΟΥΡΑΤΟΡΙ ΤΟΥ ΣΤΡΟΓΓΥΛΙΖΟΝΤΟΣ.

Δι᾽ ὑποδείξεως γράμματος παρὰ σοῦ σταλέντος πρὸς τὸν τοῦ Θεοῦ ἱερώτατον ἄνθρωπον, καὶ οἰκονόμον τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας, ἐμάθομεν ἀλύειν σε, καὶ δυσφορεῖν, τοῦτο μὲν ἐπὶ ταῖς ὀχλήσεσι τῶν πραγμάτων, τοῦτο δὲ καὶ ὅτι γράμματα παρ᾽ αὐτοῦ πρὸ χρόνου τινὸς ἐδέξω μέμψεις σοι φέροντα· καὶ ὑπὲρ μὲν τῶν ἐκείνου μέμψεων οὐκ ἀποδεχόμεθά σε λυπούμενον· αἱ γὰρ πατρικαὶ πρὸς τὰ τέκνα ἐπιτιμήσεις καὶ μέμψεις, ὁποῖαι ἂν ὦσιν, εὐφροσύνης μᾶλλόν εἰσι παρασκευαστικαὶ τοῖς νοῦν ἔχουσιν, ἀλλ᾽ οὐχὶ λύπης καὶ θλίψεως· διὰ τί; ὅτι πρὸς τὸν σκοπὸν τῆς μέμψεως καὶ τὸ τέλος ἀφορᾷν ὀφείλει ὁ ταύτῃ καθυποβεβλημένος, ἀλλ᾽ οὐχὶ τοῖς ῥήμασι μόνοις προσέχειν· εἴτε οὖν μὴ σφαλόμενος ἐδέξω τὴν μέμψιν, χαίρειν ὀφείλεις, ὅτι ὑπὲρ τοῦ μὴ σφαλῆναι ὥσπέρ τις προασφάλεια γέγονεν ἡ μέμψις· εἴτε σφαλομένῳ σοι ἐπετίμησε, καὶ οὕτω πλέον ἔδει χαίρειν, ὅτι διόρθωσις καὶ θεραπεία τοῦ πταίσματος ἐκ τῆς ἐπιτιμήσεως ἀπαντᾷ· καλὰ δὲ ἀμφότερα· καὶ ἐπὶ τοῖς καλοῖς οὐκ ἔδει σε φρόνιμον

ὄντα ἐκεῖνο παθεῖν, ὅπερ ἐπὶ τοῖς κακοῖς καὶ ἀσυμφόροις ἀκολουθεῖ· ταῦτα γὰρ μόνα λυπεῖν οἶδε τὸν λογιζόμενον ἐμφρόνως· ὥστε τὴν ἐπὶ τοῖς γράμμασι τοῦ οἰκονόμου λύπην ἀπόθου, καὶ τοὺς λογισμοὺς ἆρες τῆς ἀκηδίας, καὶ τὰ παραιτούμενα ῥήματα τὴν διακονίαν, ἐξ ἧς σοι ὀρθῶς καὶ ὁλοψύχως διακονοῦντι ἀσύγκριτος ἀπόκειται ὁ μισθός· μὴ γὰρ μόνον εἰς τὰ παρόντα βλέπεις ἄνθρωπος συνετὸς ὑπάρχων, καὶ πλέον τῆς παρούσης ζωῆς ὡς γε ὑπολαμβάνω ἐφιέμενος τῆς μελλούσης· πάντως δὲ οὐ διστάζεις ὅτι ἀπόκειταί σοι μισθὸς ἐκεῖθεν παρὰ θεοῦ ὑπὲρ ὧν ἐν τοῖς πράγμασι τῆς αὐτοῦ ἐκκλησίας πονεῖς· ἢ σὺ ἐάν τις ἐν τοῖς σοῖς πόνον καὶ σπουδὴν ἐπιδείκνυται πράγμασιν, ὥστε ὠφέλειαν τινὰ τούτοις γίνεσθαι τῆς ὀφειλομένης χάριτος, οὐκ ἀποστερεῖς τὸν σπουδάζοντα, ἀλλὰ παντὶ τρόπῳ τὴν ἀμοιβὴν τῶν πόνων τούτου περισκοπεῖς; τὸν δὲ ἐπὶ πάντων θεὸν λείπεσθαι τῆς σῆς προαιρέσεως ὑπολαμβάνεις; ἀλλ' ἄτοπον τοῦτο, καὶ μή ποτε εἰς νοῦν ἀνθρώπινον ἔλθοι· ὡς εἶπον, κατάβαλε τὴν ἐπὶ τῷ γράμματι ἀθυμίαν· περὶ δὲ τῆς τῶν πραγμάτων περιστάσεως καὶ δυσκολίας ἐγράψαμεν τῷ στρατηγῷ, καὶ λογιζόμεθα τοῦτον μὴ ἐν παραλογισμῷ θέσθαι τὰ παρ' ἡμῶν γραφέντα, ἀλλὰ τὴν ἐνδεχομένην ἐπιχορηγηθῆναί σοι παρ' αὐτοῦ βοήθειαν καὶ ἀντίληψιν· ὥστε καὶ ἐν τούτοις εὐθυμότερος γενόμενος, σπουδαιότερον τῶν πραγμάτων ἀντέχου· καὶ συγγινόμενος τῷ στρατηγῷ, καὶ τὴν ἐκείνου γνώμην ἀπὸ τοῦ νῦν ἀναμανθάνων γράφε πρὸς ἡμᾶς, καὶ τῆς δυνατῆς οὐκ ἐν δευτέρῳ ποιησόμεθα βοηθείας σε μὴ ἀποτυγχάνειν, μὴ δὲ τῆς ὀφειλομένης προνοίας τε καὶ προστασίας.

XXXVII. ΣΤΥΛΙΑΝΩ ΔΙΑΚΟΝΩ.

Προστάξεις καὶ διδασκαλίαι πράξεων ἐκείνοις ἀναγκαῖαι, ὅσοι μὴ τὸν οἰκεῖον νοῦν διδάσκαλον ἔχωσι· τοῦτο ἡμεῖς οὐ λογιζόμεθα περὶ σοῦ· διὰ τοῦτο καὶ τοῦ γράφειν σοι ὅπως δεῖ σε τὰ τῆς τοῦ θεοῦ ἐκκλησίας πράγματα διοικεῖν ἀπεσχόμεθα· πείσαντες γὰρ ἅπαξ ἑαυτούς, ὅτι πρῶτον μὲν εἰς θεὸν ὁρᾷς καὶ

τὸ ἐκείνου κατάκριμα φρίττεις, ἔπειτα δὲ ὅτι καὶ τῶν ἀνθρωπίνων λογισμῶν οἷς τὸ δέον γίνεται οὐχ ὑστερεῖς, περιττὸν ἡγησάμεθα τοῦ προστιθέναι τι παρ' ἑαυτῶν πρὸς τὴν δέουσαν τῶν τῆς ἐκκλησίας πραγμάτων διοίκησιν, ὅση τε ἐν τῇ καταστάσει τῶν ἱερέων, καὶ ὅση ἐν ἐπιμελείᾳ γεωργικῇ· τοῦτο δὲ μόνον γράφομεν, ὅπερ ᾔτησας Ἰοῦ ἀνοῖξαι μὲν τὸ σκευοφυλακεῖον, ἐξενεγκεῖν δὲ τὸ χαρτίον, ὃ πρὸς τὸ ἀνεπηρέαστον τῶν ἱερέων τῆς ἐκκλησίας οἱ κατὰ καιροὺς ἔδωκαν βασιλεῖς, ἀλλὰ καὶ ὥστε τὰ ἱερὰ πάντα ἐπισκέψασθαι τὰ τῇ μητροπόλει προσόντα, καὶ τὴν τούτων παραγραφὴν ἀποστεῖλαι πρὸς ἡμᾶς· τοῦτο ἐπιτελεσάμενος, καὶ τὰς ἡμῶν ἐλπίδας μὴ καταισχύναι διὰ σπουδῆς ποιούμενος, ἔρρωσο.

XXXVIII. ΦΙΛΗΤΩ ΜΟΝΑΖΟΝΤΙ.

Ἐγὼ, τέκνον ἐμὸν, τοῦτο εἰ καὶ ἁμαρτωλὸς εὔχομαι πάντας ἐκείνην τὴν ὁδὸν βαδίζειν, ἥ τις ἀφίστησι τῆς κοσμικῆς αὐτοὺς συγχύσεως, πρὸς δὲ τὴν σωτήριον ἀπάγει καὶ κατασκήνωσιν καὶ ἀνάπαυσιν· καὶ εἴ γε δυνατὸν, οὐ μόνον τὴν αἴτησιν εἰς τέλος ἀγαγεῖν εἰμὶ πρόθυμος, ἀλλὰ καὶ εἴ τι πλέον, μόνον εἰ ἐπηκολούθει τὸ σπουδαζόμενον τῇ προαιρέσει, ποιεῖν ἐβουλόμην· οὐκ ἀγνοεῖς δὲ, τέκνον ἡμῶν, καὶ χωρὶς τῶν ἡμετέρων λόγων τὴν κατάστασιν τῶν πραγμάτων, καὶ ὡς οὐδὲν ἐσμὲν δυνατοὶ πρὸς τὴν ὑπόθεσιν συμβαλεῖν, ἀλλ' ὁπόσα καὶ ἀγωνιεῖσθαι δόξομεν, ῥυήσεται διὰ κενῆς ὁ ἀγών· τί οὖν φημι, ὡς ἐν τοιούτῳ καιρῷ, ἢ τὸ πᾶν ἀνατιθέναι Θεῷ; καὶ ὁ μὲν τῷ πόθῳ τοῦ Χριστοῦ ἀναφλεχθεὶς, εἴ γε ἀληθῶς ἐπεπόθησεν αὐτὸν, πληροφορήσοι Ἰὸν ἀναφθέντα πόθον διὰ τοῦ ἀκολουθῆσαι τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, τῷ αἰτησαμένῳ καὶ ἄλλῳ τινὶ ἐπιτροπὴν λαβεῖν περὶ τῆς τῶν οἰκείων διοικήσεως, μὴ μόνον ἐπιτρέψαντι, ἀλλὰ καὶ τὴν τοιαύτην ἀπαγορεύσαντι μέριμναν, καὶ καταλιπεῖν ἐπ' ἐκείνῳ καὶ τῇ αὐτοῦ ἀκαμάτῳ προνοίᾳ τὴν ἐπικρεμαμένην αὐτῷ φροντίδα, ὡς ἐκείνου ἱκανοῦ ὄντος, καὶ ἃ φροντίζει ἀναδέξασθαι καὶ συμφε-

ρόντως διεξαγαγεῖν, καὶ τούτῳ προξενῆσαι τὸ ἀπερίσπαστον· ἐπιβλέπομεν γὰρ εἰς ἀρχαίας γενεὰς, καὶ οὐχ ὁρῶμεν ἀνατεθειμένην ἐλπίδα πρὸς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, εἶτα καταισχυνθεῖσαν· ταῦτά σοι, τέκνον ἡμῶν, καὶ ὡς συνετῷ, καὶ ὡς τὰ θεῖα μελετῶντι, καὶ ὡς ὑπὸ τῆς δυσκολίας τοῦ καιροῦ συμβαλέσθαι τί ἀνθρωπίνως τῇ σῇ ἐξαιτήσει μὴ συγχωρούμενοι γράφομεν· σὺ δὲ μετὰ τῆς ἄνωθεν εὐμενείας τὸν ἐκ τοῦ βιωτικοῦ κλύδωνος ἐξελάσαι ποθοῦντα, καὶ παραινέσεσι καὶ εὐχαῖς ἐκεῖθεν ἐξάγαγε· καὶ πιστεύομεν τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, ὡς καὶ περὶ ὧν φροντίζει, τούτων πρὸς τὸ συμφέρον γένηται ἡ διεξαγωγή· τὰ δ' ἄλλα ἔρρωσό μοι, καὶ τῆς ἡμῶν ταπεινότητος μὴ διαλιμπάνῃς ὑπερευχόμενος.

XXXIX. ΓΡΗΓΟΡΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΕΦΕΣΟΥ.

Ἴσως περιττὸν ὃ ποιοῦμεν· γράφομεν γὰρ ἃ χειλέων ἡμῶν ἤκουσας· οὐχ ὡς ἔτυχεν ἀλλ' ἀπὸ σπουδῆς, ὅσην ἑώρας ἐν τῷ ἀκούειν ἃ ἐλέγομεν· πλὴν ἰδού σοι καὶ γράμματι ἀπόντι προσφθεγγόμεθα ὅσα καὶ παρόντι ἔφημεν· οὐ συγχωρεῖ τὰ πράγματα τὴν διάστασιν ἡμῶν· τίνα μὲν γάρ ἐστι τὰ πρὸς ὑμᾶς διαβιβαζόμενα παρὰ τῆς φήμης, αὐτοὶ ἂν εἰδείητε· ἃ δὲ ἡμεῖς, τοῦτο μὲν ἀκούομεν, τοῦτο δὲ καὶ μανθάνομεν ἐναργῶς, πολλὴν ἔχει δύναμιν τοῦ λυπεῖν ὑμᾶς· ὡς οὖν τοιούτοις συνεχόμενοι, ἐκεῖνό σοι γράφομεν, μὴ τὸ σὸν ἐπίπροσθε ποιεῖν· εἴ γε καὶ ἔστι τοῦτο σόν τι καὶ σοὶ χαρίζεσθαι δυνάμενον, ἀλλὰ τὴν κοινὴν τῆς ἐκκλησίας ἀνωμαλίαν, καὶ σὺν τῷ δυνατῷ τάχει καταλαβεῖν πρὸς ἡμᾶς, καὶ μὴ ταυτὸν παθεῖν τῷ Κυζίκου, ὃς ἔοικε παντελῶς ἐκλελῆσθαι τῶν κοινῶν καὶ τῆς ἡμῶν μετριότητος· ὦ τέκνων πρὸς πατέρας στοργὴ καὶ φροντίδες καὶ μέριμναι, ποῖ ποτε ἀπανέστητε; νῦν γὰρ ἐν βίῳ οὐ πολιτεύεσθε· ἔρρωσό μοι καὶ ὑπερεύχου τῆς ἡμῶν μετριότητος.

XL. ΜΑΛΑΚΙΝῼ ΠΑΤΡΙΚΙῼ.

Οὐκ ἠλγήσαμεν ἐπὶ τοῖς ὀνειδισμοῖς, οὓς καθ᾽ ἡμῶν ἀποῤῥίπτει τὸ γράμμα, διότι καὶ τοῦτο μέγα νομίζομεν τὸ ἀξιοῦσθαι ὅλως μνήμης, ἄνθρωποι διὰ τὰς ἁμαρτίας ἡμῶν μὴ δὲ τὸν ἀέρα σπᾷν τυγχάνοντες· ἀλλ᾽ ἐκεῖνο ἡμῖν ἀλγεινὸν ἐφάνη, ὅτι νοῦν ἔχων ἄνθρωπος, καὶ πράγματα κρίνειν εἰδὼς ἀπήχθη τῶν πραγμάτων τῆς φύσεως, καὶ οὐκ ἔδωκε σκέψιν τῷ λογισμῷ, ἀλλὰ πρὸς μόνην τὴν ἑαυτοῦ ἀπέβλεψεν ἐπιθυμίαν· μέμφεται οἷς οὐκ ἔδει μέμφεσθαι, καὶ τοί γε εἰδὼς ἐκ προλαβούσης πείρας τὴν ἡμετέραν προαίρεσιν, ὅτε καιρὸς ἦν μὴ δυσκολίαν ἐπάγων τοῦ πρὸς ἔργον τὴν ἡμετέραν ἐξιέναι γνώμην· εἰ δ᾽ ὅτι οὗτος κἀκεῖνος ἔτυχον τινὸς παρ᾽ ἡμῶν, ἔδακε τὴν καρδίαν τὸ πρᾶγμα, καὶ πρὸς τὰς μέμψεις ἠρέθισεν, οὐ δὲ τοῦτο εὔλογον· οὐκ ἀγνοεῖ γὰρ οὐδὲ τοῦτο φρόνιμος ἄνθρωπος, ὅτι μεγάλην ἔχει ῥοπὴν ὁ καιρὸς, πολλὰ τῶν διοικημάτων οὐ κατὰ τὴν βούλησιν τοῦ διοικοῦντος, ἀλλ᾽ ἐνιότε καὶ ἀσχάλλοντος ἐπ᾽ αὐτοῖς εἰς ὑπόστασιν ἄγει· ταῦτα γινώσκων ὡς νουνεχὴς καὶ συνετὸς, ἄφες τὰς μέμψεις, καὶ τὰς μικρὰς ἡμέρας τῆς ζωῆς ἡμῶν εὔχου· χρεωστεῖς γὰρ τά τε ἄλλα, καὶ ὅτι φίλος ὑπὲρ φίλου τὴν εὐχὴν, εἰ μὴ παντάπασιν ἀπαρέσκῃ θεῷ ἐκ τοῦ περιστοιχίζοντος βάρους τῶν θλίψεων ἀνέτους διαγαγεῖν.

XLI. ΓΡΗΓΟΡΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΕΦΕΣΟΥ.

Καὶ ἄλλως ἡμῖν λυπηρῶς καὶ ἀθύμως διακειμένοις, ἐφ᾽ οἷς διὰ τὰς ἁμαρτίας ἡμῶν ἐσμὲν συνεχόμενοι, τὰ γράμματα τῆς ὑμῶν ἀρχιερατικῆς τελειότητος ἀναλεγομένοις, ἐπὶ πλέον προσγέγονε τοῖς εἰρημένοις κατασχεθῆναι, δι᾽ ὧν ἐκεῖθεν ἐμανθάνομεν μετὰ τῆς ἄλλης ταλαιπωρίας, καὶ νόσῳ περιπεσεῖν ὑμᾶς· μάλιστα καὶ τὴν τοῦ καιροῦ ὑφορώμενος φλόγα, ἣν φασὶ τοῖς αὐτόθι ἐπιχωριάζειν· τοῦτο ἡμᾶς ἠνίασε σφοδρότερον καὶ ἀνιᾷ, εἰ καὶ τῆς

θείας εὐμενείας ἐλπὶς τὰ χρηστότερα ὑποφαίνουσα δίδωσιν ἡμῖν ἐκ τοῦ βάρους ὥσπερ ἀναφέρειν τῆς λύπης· περὶ δὲ τῆς ἐνταῦθα καταλήψεως, οὐ χρὴ δυσφορεῖν· ἀναγκαία μὲν γὰρ ἡ ὑμετέρα συναναστροφὴ τῇ παρὰ τοῦ ἁγίου πνεύματος ἐγκεχειρισμένῃ σοι ἐκκλησίᾳ· πλὴν ἀλλ' ἐπεὶ τὰ ἐνταῦθα πράγματα μετὰ τὴν ὑμετέραν ἔξοδον, οὐκ οἶδα δὲ τὸν τρόπον, ὅπως εἰς τοιοῦτον καθέστηκε σχῆμα, τὴν σὴν ἐπιζητεῖ παρουσίαν, δεύτερα χρὴ λογίζεσθαι τέως τὰ ἐν τοῖς αὐτόθι, καὶ μᾶλλον τῆς πρὸς ἡμᾶς γενέσθαι φοιτήσεως· οἶδας γὰρ ὡς κατὰ ῥοῦν φερομένων τῶν ᾧδε πραγμάτων, καὶ τὰ κατὰ πᾶσαν ἐκκλησίαν ἀγαθὴν ἔχει τὴν κατάστασιν· τούτων δὲ ἀνωμάλως ἐχόντων, ἀνάγκη πολὺ χεῖρον τὰ ἔξω καθίστασθαι πράγματα· μηδὲν οὖν σε τοῦτο ἀνιάτω, καθὼς εἴρηται, ἀλλὰ μᾶλλον θεοῦ εὐμενῶς ἐπιβλέποντος, καὶ τὴν ἀπαλλαγὴν ὥς γε πεποίθαμεν τῆς νόσου διδόντος, καὶ δίχα τῆς τῶν παρακελευομένων ἐπιτροπῆς μὴ βραδύνῃς καταλαβεῖν· Τὸ δὲ χαρτίον ὃ ὑπεσχόμεθα οὔτε ἀναβολῆς τινος ἢ μεταμελείας ἐγγενομένης μέχρι τοῦ νῦν τῶν σῶν ἀπελείφθη χειρῶν· καὶ γὰρ καὶ πρὸ τῆς ἱερᾶς πανηγύρεως τοῦ μεγάλου γέγονεν ἀποστόλου· ἀλλ' ὅτι λόγοι τοῖς ὠσὶν ἡμῶν προσῄεσαν τὴν σὴν ἀπαγγέλλοντες μετὰ τὴν πανήγυριν διὰ τάχους πρὸς τὴν πόλιν ἀνακομιδὴν, γέγονεν ἡ ὑστέρησις· νῦν δέ σοι τοῦτο ἀπεστείλαμεν, ἵνα καὶ ἡμεῖς ἀπρεποῦς ὑπονοίας ἔξω διατελῶμεν· ἔῤῥωσό μοι, τέκνον ἱερώτατον, μεμνημένος ἐν ταῖς ὁσίαις εὐχαῖς τῆς ἡμῶν μετριότητος.

XLII. ΤΩ ΑΥΤΩ.

Ὅτε τὸ γράμμα τῆς ὑμῶν ἀρχιερατικῆς τελειότητος χερσὶν ἐδεξάμεθα, τῶν συνεχόντων ὑμᾶς λυπηρῶν βραχεῖά τις ἄνεσις προσῆλθεν ἡμῶν τῇ ψυχῇ, τὸ μὲν ὅτι ποθουμένου τέκνου καὶ ἀδελφοῦ λόγοις ἐμέλλομεν ἐντυγχάνειν, τὸ δὲ ὅτι καὶ ἠλπίζομεν οὐ προσαγγέλλειν ἡμῖν τὸ γράμμα ἃ προσήγγειλε λυπηρά· λυπηρὸν γὰρ ἡ τῶν τέκνων κάκωσις· ἀλλὰ μᾶλλον τὰ ἡδύνοντα καὶ φέροντα ψυχαγωγίαν, ἣν ἐκ τοῦ διακομίζειν τὸ μήνυμα τῆς

ὑμετέρας ὑγείας καὶ τῶν πραγμάτων τῆς καθ' ἡμᾶς ἐκκλησίας ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν τὴν ἀμείνω κατάστασιν· νῦν δὲ πρῶτον μὲν ἐδήλου κατέχεσθαι νόσῳ ὑμᾶς, ἔπειτα δὲ καὶ οὐδὲ εἰς ἄνεσιν φέρον καὶ παραμύθιον τῶν ἐμῶν ὀδυνῶν τῆς ἀεὶ δι' εὐχῆς ἡμῖν ὑπαρχούσης, εἰ καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν ἀτέλεστος ἡ εὐχὴ ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εὐταξίας, ὅμως ταῦτα καὶ ἑκόντες καὶ ἄκοντες τὴν ἡμῶν ταπεινὴν διαξαίνοντα καρδίαν· καὶ καρτερήσομεν, μέχρις ἂν τὰ ἀνεξιχνίαστα κρίματα τοῦ Θεοῦ ταῦτα κρίνῃ τῇ ταλαιπώρῳ καὶ δυστήνω ἡμῶν ζωῇ συμπολιτεύεσθαι· σὺ δὲ, τέκνον ἡμῶν ἱερώτατον, εἰ καὶ τὸ σαρκίον πεπόνηκε ταῖς ἀσθενείαις, τυχὸν δὲ καὶ ἔτι πονεῖ, ἀλλὰ τήν γε ψυχὴν χάριτι Θεοῦ ὡς ἐῤῥωμένην κεκτημένος, μὴ διαλίποις τὸ ὑπὸ τοῦ παναγίου πνεύματος ἐγκεχειρισμένον σοι ποίμνιον ταῖς σαῖς καὶ διὰ τῶν λόγων καὶ τῶν ἔργων ὁδηγίαις καὶ παραινέσεσιν οὕτω καταρτίζων οὕτως ἰθύνων καὶ ὁδηγῶν, ἵνα καὶ Θεὸς διὰ σοῦ εὐαρεστηθῇ, καὶ ἡμεῖς οἱ ταπεινοὶ μανθάνοντες τὴν σωτηριώδη πρόνοιαν τῆς καθ' ὑμᾶς ἐπαρχίας, ἐκ τοῦ βάρους ἀναφέρωμεν τῆς ἀθυμίας· καὶ αὐτὸς ὡς φωστὴρ ἐν κόσμῳ λόγον ἐπέχων ζωῆς, καὶ ἐν τῷ παρόντι βίῳ τὰ σὰ ἔργα τοῦ φωτὸς ἐπιδείξεις τοῖς ἀγαπῶσιν ἀρετὴν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι μετὰ τῶν τοῦ φωτὸς κληρονόμων, ὅπερ πεποίθαμεν ὡς ἔσται, συντεταγμένος ὀφθείης· τὰ δ' ἄλλα μὴ διαλίποις ἐν ταῖς ἁγίαις εὐχαῖς σου τῆς ἡμῶν μεμνημένος ταπεινότητος.

XLIII. ΑΝΔΡΕᾼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΠΑΤΡΩΝ.

Τὴν παροῦσαν ἐπιστολὴν γράφομέν σοι, τέκνον ἡμῶν ἱερὸν, εἰδότες ὡς καὶ χωρὶς τῶν ἡμετέρων λόγων τὴν ἁρμόζουσαν πρᾶξιν ἡ σὴ ἐξεπίσταται σύνεσις· πλὴν ἀλλὰ καὶ ἡμεῖς καθ' οὓς ἐνήχθημεν λόγους, τὴν οἰκείαν σοι γνώμην ἐμφανίζομεν, ἵνα εἰ συμβαίνουσαν τὴν ἀλήθειαν τοῖς ἀπηγγελμένοις ἡμῖν εὕροις, τοιαύτην τινὰ ποιήσῃ καὶ τὴν διοίκησιν· ἐπεὶ γὰρ ὁ τὸ γράμμα κομίζων ἀπήγγειλεν, ὡς γυνή τις ἀνδρὸς χηρωθεῖσα, ὅπερ ἐστι

φρονίμης ψυχῆς, ἀντὶ τῆς κοσμικῆς ζωῆς τὴν πνευματικὴν προέκρινε πολιτείαν, καὶ τῷ τάφῳ προσκαρτεροῦσα τοῦ ὁμοζύγου, μετὰ τῶν ἄλλων αὐτῆς πραγμάτων καὶ τὴν οἰκείαν ζωὴν προσήνεγκε τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἐν μοναδικῇ διεξάγουσα πολιτείᾳ· ταύτῃ δὲ, οἷα τὰ ἐξ ἀνθρώπων πονηρεύματα, καὶ ὁ τοῦ διαβόλου φθόνος ἐπήγειρε τρικυμίας, τὴν σὴν ἐπιχορηγήσεις βοήθειαν, καὶ μὴ ἐάσῃς τὸν ἐπίσκοπον ἐκεῖνον, ὅς τίς ποτέ ἐστιν, ἐπηρεάζειν αὐτὴν, ἀλλὰ μᾶλλον ταύτην συνεπικροτήσεις ἐν τῇ οἰκείᾳ διαμένειν τάξει, εἴτε ἡγουμενείας ἐπέχει βαθμὸν, εἴτε ἄλλως ἐν τῷ μοναστηρίῳ βούλεται διαμένειν καὶ προσκαρτερεῖν· ἄδικον γὰρ καὶ λίαν ἀπάνθρωπον, οὕτως εὐλαβείᾳ τὴν γυναῖκα ζῶσαν ἐξελαύνειν τοῦ τόπου, ἐν ᾧ τὸ λείψανον τοῦ ἀνδρὸς κατέθηκε, καὶ οὗ τὰ ὑπάρχοντα αὐτῇ προσήνεγκεν εἴς τε σωτήριαν τῆς ἰδίας ψυχῆς, καὶ εἰς τὴν τοῦ τόπου διαμονήν τε καὶ σύστασιν· ὡς οὖν εἴρηται, τὴν βαρεῖαν καὶ πλεονεκτικὴν τοῦ ἐπισκόπου χεῖρα ἐκεῖθεν ἀπόστρεψον, καὶ δίδαξον μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν τὴν κτῆσιν, ἀλλ' εἴπερ ὅλως ἐν λειτουργοῖς Θεοῦ συναριθμεῖσθαι φιλεῖ, καὶ τῶν οἰκείων καὶ αὐτῷ προσόντων τοῖς δεομένοις δι' ἀπορίαν κατὰ τὴν τοῦ πνεύματος ἐντολὴν ἐπαρκεῖν.

XLIV. ΠΡΟΣ ΣΤΡΑΤΗΓΟΝ.

Καὶ νῦν, ὥσπερ ἀεὶ, χάριν ὁμολογοῦμεν τῷ ἁγίῳ Θεῷ, ἐφ' οἷς, τέκνον ἡμῶν ἠγαπημένον, καὶ τὴν ὑμετέραν διαφυλάττει ζωὴν καὶ τὴν κατευόδωσιν τῶν πραγμάτων ἐχορήγησε· καὶ πεποίθαμεν ὅτι καὶ ἔτι χορηγήσει, εὐχόμενοι διὰ παντὸς καὶ ἔτι μείζοσι κατορθώμασι λαμπρύνεσθαι τὴν σὴν στρατηγικὴν ἀρετὴν, ὥστε διὰ τῶν σῶν ἀνδραγαθημάτων τὸ θεῖον ὄνομα μεγαλύνεσθαι, καὶ τὸ κοινὸν τῶν ὁμοδόξων γένος κοινῆς ἀπολαύειν εὐεργεσίας καὶ εὐφροσύνης· καὶ σὲ, τέκνον ἡμῶν, καὶ ἐν τῷ παρόντι βίῳ καρποὺς τῶν ἰδίων πόνων τὰς μείζονας τιμὰς καὶ τὴν ἐπὶ πλέον αὔξησίν τε καὶ προκοπὴν ἀπολαβεῖν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς κοινῆς καταξιωθῆναι τῶν ὑπὲρ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καὶ τῆς

ἐκείνου δόξης ἀγωνιζομένων ἀντιδόσεως· τὰ δὲ ἀποσταλέντα ἡμῖν ἀπεδεξάμεθα· καὶ ἀπεστείλαμέν σοι εὐλογίας χάριν ἄλιπτα * ἑκατόν, ἐπευχόμενοι τὴν θείαν καὶ ἀμάραντον εὐωδίαν μηδέποτε τὴν σὴν ψυχὴν ἐπιλιπεῖν· ἀλλ' ἀεὶ ὑπ' αὐτῆς εὐωδιάζεσθαι, καὶ εἶναι πάσης ἀκηδίας * ἀνωτέραν καὶ καθαράν.

* ita cod.

* γρ. ἀηδίας.

XLV. ΑΡΣΕΝΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Ἡμεῖς καὶ ἀπούσῃ τῇ σῇ ὁσιότητι, καὶ οὔπω ἡμῖν ἐγνωσμένῃ, μόνῃ φήμῃ τῇ ἀνακηρυττούσῃ τὴν σὴν ἀρετὴν, συνηπτόμεθα ἐν ἁγίῳ πνεύματι τῷ δεσμῷ τῆς αὐτοῦ ἀγαπήσεως· καὶ ἰδόντες σε καὶ πεῖραν λαβόντες ὅσην ἐλάβομεν, καὶ ἠγαπήσαμεν, καὶ τῇ πνευματικῇ ἑνώσει ἐπὶ πλέον συνήφθημεν· εἰ δὲ μὴ παρέσχομεν ἀπόδειξιν τῆς τοιαύτης ἑνώσεως ἐκ πραγμάτων γνωριζομένην, οἶμαι τῆς μέμψεως ἡμᾶς ἀπολύσει τὸ μηδὲν παρὰ τῆς ὑμῶν ὁσιότητος ἀναδιδαχθῆναι, ὧν ἡμεῖς μὲν ἐπιτελεῖν δυνατοὶ, σὺ δὲ ἐν χρείᾳ καθέστηκας· οἶδας γὰρ ὡς οὐδὲν εἰς αἴτησιν προεβάλου, ὧν παρασχεῖν ἡμᾶς ἱκανοί· οὔτε προβαλλόμενος ἀπέτυχες τῆς πληρώσεως· πλὴν εἰ καὶ οὕτως ἔχει, ἀγαπῶ τὸ ἔγκλημα, φίλων γὰρ πνευματικῶν πρὸς ὁμοίους φίλους ἡδέα καὶ ὠφέλιμα τὰ ἐγκλήματα· ταῦτα μὲν περὶ ὧν ἐδόξαμεν ὑπ' αἰτίαν πεσεῖν, ὅτι παρορῶντες ὤφθημεν τὴν σὴν ὁσιότητα.

Περὶ δὲ τῆς κινουμένης φιλονεικίας, καὶ εἴθε πᾶσα φιλόνεικος διάθεσις ἀπώλετο ἐξ ἀνθρώπων, μάλιστα δὲ τῶν τὴν πνευματικὴν πολιτείαν ἐπανῃρημένων, ἐξαπεστάλη μετὰ ἐντάλματος, ὃς τῷ τὴν βασιλικὴν δεχομένῳ κέλευσιν συνεπισκεπτόμενος τὰ πράγματα (παράσχοι δὲ ὁ ἅγιος θεὸς τελείαν τὴν διάλυσιν δοῦναι) τῶν ἀμφιβόλων τὴν κρίσιν ποιήσεται· τὰ δὲ ἄλλα τοῦ γράμματος ὧν τε ὁ κύρις Βάρδας ἐδίδου, καὶ ὧν εἰ παρεὶς ἐνταῦθα τοῦ κυροῦ Ἀλεξάνδρου περιόντος, πεφιλοτίμησο ἂν ἐξ αὐτοῦ· ἀλλὰ καὶ περὶ τῶν παρεχομένων παρὰ τοῦ κυροῦ Λέοντος, ἴσμεν καὶ χωρὶς τοῦ γράμματος, ὡς εἰ τῶν ἀγαπώντων ὑπῆρχες δεδέσθαι κοσμικαῖς ὕλαις, οὐκ ἂν οὐδὲ νῦν ἀπορήσῃς τοιούτου πλούτου, ἀλλὰ πάν-

τως ἣν ἐξ ἀρχῆς ἐτίμησας καὶ ἀντὶ παντὸς εἵλου ἀπόλαυσιν τὴν μετὰ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν συνομιλίαν. ταύτην μακαριωτέραν ἡ γῆ κλῆσιν τῶν πολλὰ πλέθρα κεκτημένων, καὶ πολυπλούτους περιουσίας, δι' ἣν καὶ νῦν παρὰ τοῖς ἀληθῶς τὰ καλὰ εἰδόσι μακαριστὸς ἔσῃ ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ τοῖς παρὰ θεοῦ μακαριζομένοις συμπλουτῶν καὶ συνδοξαζόμενος.

XLVI. ΤΩ ΥΠΕΡΦΥΕΣΤΑΤΩ ΚΑΙ ΗΓΑΠΗΜΕΝΩ ΗΜΩΝ ΥΙΩ ΤΩ ΠΕΡΙΔΟΞΩ ΕΞΟΥΣΙΑΣΤΗ ΑΒΑΣΓΙΑΣ.

Ἐπὶ τῷ χωρισμῷ, τέκνον ἡμῶν, τοῦ μακαριωτάτου πατρός σου ἐλυπήθημεν, ὥσπερ ἦν ἀκόλουθον, τήν τε σὴν ἐννοοῦντες ἐπὶ τῷ πάθει πληγὴν τῆς καρδίας, καὶ τῶν ἄλλων ὅσοι φιλεῖν οἴδασιν ἄνθρωπον ἀρετῇ κεκοσμημένον, μάλιστα οἷος ἦν ὁ σὸς πατὴρ παρὰ πάντων καὶ ἐπαινούμενος καὶ θαυμαζόμενος· πλὴν εἴχομεν τῆς λύπης ἀπαλλαγὴν, ὅτι σὲ βλαστὸν αὐτοῦ ὄντα γνήσιον, καὶ καρπὸν τῆς ἐκείνου σπορᾶς, ἡ θεία εὐδόκησε πρόνοια καὶ τὴν ἐξουσίαν τῆς ἀρχῆς ἀναδέξασθαι, καὶ ὥσπερ εἰκόνα τινὰ τῷ οἰκείῳ ἔθνει ἀντὶ τοῦ χωρισθέντος ἐκ τῆς ματαίας ταύτης ζωῆς παρέσχεν ὁρᾶσθαι· τοῦτο ἡμᾶς ἀπήλλαξε τῆς λύπης, καὶ μᾶλλον πρὸς θείαν εὐχαριστίαν μετήνεγκεν· καὶ εὐχαριστήσαμεν καὶ εὐχαριστοῦμεν, δεόμενοι τῆς θεϊκῆς ἀγαθότητος ἐν μηδενί σε τῶν πατρικῶν ἀπολειφθῆναι κατορθωμάτων, ἀλλὰ μᾶλλον ὑπερβαλεῖν, καὶ γενέσθαι τοιοῦτον ἐν τοῖς ὑποχειρίοις πατέρα καὶ ἄρχοντα, οἷος καὶ τὴν τοῦ θεοῦ ψῆφον ἐπ' ἔργοις μαρτυρῆσαι δικαίαν ἐπὶ σοὶ γενέσθαι, καὶ τὸν πατέρα ἔτι μακαριώτερον ἀποφῆναι διὰ τοῦ σοῦ τρόπου καὶ τῆς καλοκἀγαθίας, καὶ σεαυτῷ ἀείμνηστον κλέος ἔν τε τῷ παρόντι αἰῶνι περιποιήσασθαι, καὶ ἐν τῷ μέλλοντι τὴν ἀθάνατον δόξαν καὶ τιμὴν καὶ ἀπόλαυσιν.

Ἀπεστείλαμεν εὐλογίας χάριν ἱμάτιον· περὶ δὲ τοῦ ἀρχιεπισκόπου Ἀλανίας, τέκνον ἡμῶν, τί γράφειν οὐκ ἔχω· αὐτὸς γὰρ συνετὸς ὢν καὶ φρόνιμος καὶ εἰδὼς τὸ ἐκείνου ἔργον, ὅτι πρὸς σωτηρίαν ἀνθρώπων, ὅτι πρὸς δόξαν τοῦ μεγάλου ὀνόματος τοῦ

θεοῦ, πάντως καὶ χωρὶς ἡμετέρας γραφῆς διὰ τὴν ἀποκειμένην ἐκεῖθεν μισθαποδοσίαν τοῖς φιλοθέοις, καὶ συνεπικουρήσεις αὐτῷ, καὶ συναντιλήψῃ τῶν πόνων· καὶ εἴ τινος ἐν ἔθνει τοιούτῳ καὶ γῇ ξένῃ τῶν ἀναγκαίων καὶ ἄνεσιν τῇ ζωῇ φερόντων ἐνδεής ἐστι, προθύμως ἐπιχορηγήσεις τοῦ θεοῦ σοι δύναμιν παρασχόντος· καὶ εἴης καὶ ἔτι ἐπὶ πλέον εἰς εὐπορίαν τῆς τοιαύτης δυνάμεως καθιστάμενος βοηθεῖν τοῖς ἀπορουμένοις.

XLVII. ΚΩΝΣΤΑΝΤΙΝΩ ΠΑΡΑΚΟΙΜΩΜΕΝΩ ΠΑΡΑΜΥΘΗΤΙΚΗ ΕΠ' ΑΔΕΛΦΗ ΚΟΙΜΗΘΕΙΣΗ.

*γρ. τίμιον.

Ὅταν, τέκνον μου εὐλογημένον *, τὴν ἀπροσδοκήτως καταλαβοῦσαν θλίψιν, καὶ τὸ πικρὸν ἄλγος ἐννοήσω, πρὸς ἀφωνίαν συστέλλομαι καὶ αὐτὸς ἐγὼ, καὶ οὐκ ἔχω τὶ εἴπω ἤ τινα λόγον εὕρω παραμυθεῖσθαι δυνάμενον οὔτε τῆς ἐμῆς ψυχῆς τὸ ἄλγημα, οὔτε σὲ, οὔτε τὴν θεοφιλῆ μητέρα, οὔτε τοὺς ἄλλους συγγενεῖς καὶ φίλους, ὧν τὸ πικρὸν τοῦτο πάθος διασπαράσσει τὴν καρδίαν· νικᾷ γὰρ ὡς ἀληθῶς πᾶσαν παρηγορίαν καὶ παράκλησιν λόγων τὸ, οἴμοι πῶς εἴπω, συμβεβηκὸς ἡμῖν ἀτύχημα· τί γάρ τις πρῶτον πενθήσει; τῆς καταλιπούσης ἡμᾶς τὸ ἄωρον, καὶ τὴν ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας τομὴν, ἣν ὁ πικρὸς οὐκ ἐφείσατο θάνατος ἐπενεγκεῖν; ἢ τὴν τοῦ καλοῦ συζύγου ταύτης μόνωσιν, ὃς καὶ αὐτὸς ἐν ἴσῳ τῷ ἄνθει, εἰ καὶ μὴ τὴν ἐκ τοῦ βίου τομὴν ὑπέστη, ἀλλὰ πικροτέραν ἐδέξατο τὴν πληγήν; τί δὲ εἴποιμεν πρὸς τὴν διάστασιν σοῦ τοῦ ταύτης ἀδελφοῦ, ὃς διὰ τὸν συμπαθῆ τρόπον, οὐ μόνον πρὸς ἐκείνην ἀλλὰ καὶ πρὸς τοὺς ξένους καὶ πόῤῥω συγγενείας ἔχεις τὸ συμπάσχειν καὶ συναλγεῖν; τί δε πρὸς τὴν γηραλαίαν μετῆρα; ἢ τις εἰ καὶ τὸ χαίρειν εἶχεν ἐπὶ σοὶ, τέκνον ἐμὸν, ὡς ἐφ' υἱῷ τοιούτῳ τυγχάνοντι, ἀλλ' οὖν ἐπ' ἐκείνῃ ὡς θυγατρὶ καὶ τῆς αὐτῆς ὑπαρχούσῃ φύσεως· προσθήσω δὲ ὅτι καὶ ἔκγονα τῆς ἐκείνης κοιλίας ποθούσῃ φέρειν ἐν ταῖς ἀγκάλαις αὐτῆς, μείζονος ἀπήλαυεν ἡδονῆς τῷ βίῳ παρούσης καὶ συναναστρεφομένης αὐτῇ.

Ὅταν ταῦτα πάντα ὁμοῦ, τέκνον μου τιμιώτατον, ἀναλογίσωμαι, καί τοι καὶ ἓν ἕκαστον αὐτῶν οὐκ ἔστιν εὐχερὲς δέξασθαι παραμυθίαν, ἐπίσταμαι ὡς οὐκ ἔστι λόγος οὐδὲ παράκλησις ἡ δυναμένη παρακαλέσαι, καὶ τῷ τραύματι δοῦναι τὴν θεραπείαν· καὶ γάρ εἴ τις, ἅπερ εἶπον, αὐτὰ καθ᾽ ἑαυτὰ λογίζοιτο, βαρύτατά ἐστιν ἀληθῶς, ὅλον ὑπὸ τοῦ βάρους συγκαταφέροντα πρὸς ἀθυμίαν καὶ λύπην ἀπαράκλητον τὸν λογισμόν· οἷον μικροῦ καὶ ἡμεῖς πεπόνθαμεν ἀπροσδοκήτως τῆς πικρᾶς ἀγγελίας ταῖς ἡμετέραις ἀκοαῖς προσελθούσης· καὶ γὰρ ὅτε τοῦτο ἐμάθομεν, οὕτως εὐθέως ἐκρατήθημεν ὑπὸ τῆς λύπης, καὶ τῆς ἀθυμίας, ὡς μικροῦ μήτε φωνὴν δύνασθαι ἀφεῖναι, μήτε ἄλλου πρὸς ἡμᾶς λέγοντος βούλεσθαι ἀκούειν οὕτως ὑπὸ τοῦ βάρους τῆς θλίψεως συνεκλάσθημεν τὴν καρδίαν· ἀλλ᾽ ὀψὲ καὶ μετὰ πολὺ τοὺς λογισμοὺς ἡμῶν ἀναλαβόντες, καὶ πρῶτον μὲν κατανοήσαντες τὰ κοινὰ τῆς φύσεως πράγματα, καὶ ὅσα ἐξ ἀρχῆς καταλαμβάνει τοὺς ἀνθρώπους, εἰς ἐνθύμησιν καταστάντες ὡς οὐδὲν καινὸν οὐδὲ ξένον ὑπέστημεν, ἀλλ᾽ ὅπέρ ἐστι σύνηθες καὶ γνώριμον τῇ ἀνθρωπίνῃ ζωῇ· πρὸς τούτοις δὲ καὶ τὴν τοῦ πλάστου καὶ δεσπότου οἰκονομίαν λογισάμενοι, καὶ εἰδότες ὅτι πάντα πρὸς τὸ συμφέρον οἰκονομεῖ, καὶ ὡς κρεῖττον ἐκεῖνος διευθετεῖ τὰ τοῦ οἰκείου πλάσματος, ἢ εἴπερ ἡμεῖς φρονοῦμεν καὶ διανοούμεθα περὶ ἑαυτῶν, ἀναψυχήν τινα καὶ παραμύθιον εὕρομεν, καὶ τοῦ βαθέος ἐκείνου νέφους τῆς ἀθυμίας, ὥσπερ ἀνακύπτουσαν ἔσχομεν τὴν ψυχήν, μάλιστα δὲ ὅτι καὶ διὰ τῆς θείας ἐλπίζομεν φιλανθρωπίας τὴν καταλιποῦσαν ἡμᾶς καὶ τῆς ματαίας ταύτης ζωῆς ἐξελθοῦσαν εἰς ἐκεῖνον τὸν τόπον καταντήσειν, οὗ πᾶσα μὲν χαρὰ, πᾶσα δὲ φαιδρότης, πᾶσα δὲ γλυκύτης καὶ ἀπάθεια καὶ ἄνεσις ἄλυτος.

Ταῦτα, τέκνον ἐμὸν, καὶ σὲ φρόνιμον ὄντα καὶ συνετὸν θεοῦ χάριτι, καὶ παρακαλείτω καὶ παραμυθείσθω καὶ ἀνακουφιζέσθω τῆς ὀδυνηρᾶς διαστάσεως· οὐκ ἦν ἡμᾶς χωρὶς πένθους καὶ κοπετῶν καὶ σπαραγμῶν ἐνεγκεῖν τὴν διάστασιν, οὐδὲ γάρ ἦν· ἐπενθήσαμεν, ἐκόψαμεν, ἐσπαράχθημεν· μέχρι τούτου στήσωμέν τι

πένθος, παύσωμεν σπαραττόμενοι· διὰ τί; καιρὸν λύοντα· τί οὖν; ἐπὶ τούτων πάντων σωζομένην ὁρῶντες τὴν τάξιν τῆς φύσεως, οὐδέν τι πάσχομεν, οὐδὲ καινοτομίαν τινὰ ἡγούμεθα τὸ γινόμενον· εἰς ἡμᾶς δὲ μόνους ὁρῶντες, ὡς καινοτομούμενοι πενθοῦμεν, ὅτι κατὰ τοὺς κοινοὺς νόμους οἰκονομούμεθα· καὶ πῶς ἄξιον τοῦτο τῆς σῆς καὶ παιδεύσεως καὶ συνέσεως καὶ τῶν θείων ἐλπίδων, αἷς ἑαυτὸν ἐξανήρτησας; ἀλλ' ἐάσωμεν τὸ πένθος, τὰ δάκρυα, τὴν κατήφειαν· γενώμεθα ἡμῶν αὐτῶν, καὶ παραχωρήσωμεν τοῖς κρίμασι τοῦ θεοῦ, ὃς παρέσχε καὶ τὴν γένεσιν καθὼς αὐτὸς ἐδοκίμασε, καὶ συμβιοτεῦσαι ἡμῖν τὴν γλυκυτάτην ἀδελφὴν ὅσον ἔκρινε συμφέρειν, καὶ προσελάβετο ταύτην κατὰ τὴν αὐτοῦ ἀπόῤῥητον βουλὴν καὶ κρίσιν· πλεῖον ἐκεῖνος, ἢ ὅσον ἡμεῖς βουλόμεθα καὶ εὐχόμεθα, ὁ φιλόψυχος ὄντως πατὴρ τὰ ἡμέτερα διευθετεῖ καὶ διεξάγει πρὸς τὸ συμφέρον· ἡμεῖς μόνῃ τῇ ἐπιθυμίᾳ ἑλκόμεθα, καὶ πρὸς ταύτην νομίζομεν καὶ τὸ ὠφέλιμον συμβιβάζειν· κἂν μὲν συντρέχῃ τὰ πράγματα τῇ ἐπιθυμίᾳ, καλῶς ἡμῖν φέρεσθαι τὸν βίον ὑπολαμβάνομεν· εἰ δὲ μὴ, ὡς ἐπ' ἀσυμφόρῳ τῆς ζωῆς στενοχωρούμεθα· ἐκεῖνος δὲ οὐχ οὕτως, ἀλλὰ καὶ διὰ τῶν λυπεῖν καὶ στύφειν δοκούντων, πλέον τὸ ὄφελος δίδωσιν, ἢ ὅσον ἄν τις ἡγήσαιτο διὰ τῶν ἡδυνόντων ὠφελεῖσθαι· ὥστε μεταβάλωμεν εἰς εὐχαριστίαν, εἰς αἶνον, εἰς δοξολογίαν, χάριν μὲν εἰδότες ἐφ' ὅσον καιρὸν ἀπελαύσαμεν τῆς συμβιώσεως, χάριν δὲ νῦν ὁμολογοῦντες ὅτι ἐκ τῆς ματαιότητος ταύτης καὶ τῆς ἐπωδύνου καὶ ὄντως πολυπενθοῦς ζωῆς ἀπάρασα ἡ ἀδελφὴ πρὸς τὴν μακαρίαν κατήντησε καὶ ζωὴν καὶ ἀπόλαυσιν, καὶ πάσης λύπης ἐλευθέραν καὶ κατηφείας· καὶ διὰ τοῦτο ἀξίας οὔσης οὐχὶ πενθεῖσθαι, ἀλλὰ ζηλοῦσθαι μᾶλλον καὶ μακαρίζεσθαι.

XLVIII. ΓΡΗΓΟΡΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΕΦΕΣΟΥ.

Ἐπὶ τοῖς προκατειργασμένοις τὴν πολυώδυνον ἡμῶν ψυχὴν, τέκνον ἡμῶν ἱερώτατον, ἀλγήμασιν, οὕτω διέθηκε τὰ νῦν καταλαβόντα διὰ τῆς τῶν σῶν γραμμάτων ἀπαγγελίας ἀλγεινὰ, ὡς

μικροῦ πρὸς ἔκσ7ασιν ἑαυτῶν καταστῆναι, καὶ τῇ πολλῇ ἀμηχανίᾳ ὅμοιόν τι παθεῖν τοῖς ἐν χειμῶνι σφοδροτάτῳ ἀχανεῖ ἐναπειλημμένοις πελάγει, καὶ διὰ τοῦ7ο ῥίπτουσι πάσας τῆς σωτηρίας ἐλπίδας· πλὴν ὅτι παρέσχεν ὁ πάντοτε παριστάμενος βοηθὸς, καὶ ἀνενεγκεῖν ἔδωκεν ἐπιλογίσασθαι οἷς μέχρι καὶ νῦν οὐ διέλιπε τὴν μεγάλην ἐπορέγων χεῖρα καὶ ῥυόμενος δι' ἄφατον ἀγαθότητα τῶν πολυτρόπων καὶ πολυμηχάνων τὴν ἐκκλησίαν αὐτοῦ περιστάσεων· εἰς τοῦτο γὰρ ἀνενεγκοῦσιν ἡμῖν τὰς χρηστοτέρας ὑπῆρξε διασώζειν ἐλπίδας· καὶ εἴησαν διασωζόμεναι, Χριστέ μου καὶ σῶτερ, καὶ μὴ τῷ ἀπείρῳ τῶν ἐμῶν ἁμαρτιῶν πλήθει ἡμῖν τε καὶ τῇ σῇ ἁγίᾳ διαπίπτουσαι ἐκκλησίᾳ· ταῦτά σοι, τέκνον ἡμῶν, γράφειν ἔχω· περὶ δὲ τῆς ἄλλης, ὅσα γε 7ὰ ἀνθρώπινα, βοηθείας ἴσθι ἐν ἐσχάτῃ ὄντας ἀπορίᾳ· καὶ οὔτε τοῖς αὐτόθι ἐπαμύναι τι, οὔτε τοῖς ἐνταῦθα ἐστὶν ἰσχύς· μᾶλλον μὲν οὖν καὶ σὲ τὰ πράγματα ἐπιζητεῖ διὰ τάχους κα7αλαβεῖν πρὸς ἡμᾶς, καὶ τοῦτο δίχα πάσης ἀναβολῆς δεῖ γενέσθαι· τοῦ7ο γὰρ εἴπέρ τι ἄλλο τοῖς πράγμασιν ὠφελιμώτατον, ἡνωμένους εἶναι ὥσπερ τῷ πνεύματι, οὕτω καὶ 7ῷ σώματι, καὶ τὸ ἑξῆς ὡς ἂν ἡ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν μεγάλη καὶ ἀνεξιχνίαστος διοικῆσαι βούληται σύνεσις· ἔρρωσό μοι, τέκνον ἡμῶν ἱερώτατον, ταῖς θείαις πτέρυξι πάσης ἐπηρείας ὁρωμένης τε καὶ ἀοράτου φυλαττόμενος.

XLIX. ΠΡΟΣ ΤΟΥΣ ΜΗΤΡΟΠΟΛΙΤΑΣ ΕΞΩ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΟΝΤΑΣ.

Ἀνθρώπους πείθομεν, φησὶν ὁ θεῖος ἀπόστολος, θεῷ δὲ πεφανερώμεθα· καὶ οὐκ ἔστιν ἄλλως, ἢ κατὰ τὴν μακαρίαν ἐκείνην γλῶσσαν τὴν ἐξ οὐρανοῦ λαλοῦσαν, καὶ οὐχὶ λογισμῶν θνη7ῶν καὶ ἀνθρωπίνων· ὅρα δὴ οὖν καὶ σὺ, μᾶλλον δὲ ὁρᾶτε, οὓς οὐκ οἶδα πῶς συμπαθέστερον εἴπω, δυστυχῶς ἐμαυτῷ καὶ τῇ τοῦ Χριστοῦ καὶ θεοῦ ἀπεγέννησα ἐκκλησίᾳ· πῶς γὰρ οὐχὶ δυστυχῶς; οἱ ἐγεννήθη7έ μοι, οὐχ ἵνα κατὰ τὸν πρέποντα τέκνοις πρὸς γονέα νόμον προασπίσητε, ὑπερμαχήσησθε, καὶ τυχὸν ἐν κινδύ-

νοις ἡμῶν ὄντων συναντιλάβησθε, καὶ τοῦ κινδύνου ῥύσησθε τὸν πατέρα, κἂν ἴσως παρὰ δίκην· ἐπείπερ ἐστὶ παρὰ θεῷ, καὶ τοιαύτης συμπαθείας ἀντίδοσις τῷ τάξαντι τιμῆς ὅρους πατράσι καὶ τέκνοις· ἀλλ' οὐχὶ τὸ ἡμέτερον τοιοῦτον· τοῦ γὰρ κυρίου καὶ θεοῦ μου οὐχ ὅτι πρὸς θεραπείαν αὐτοῦ ἐξείργασταί τι ποτὲ παρ' ἡμῶν, ἀλλὰ δι' ἄφατον ἀγαθότητα τέως εὐμενοῦς ἡμῖν τυγχάνοντος, καὶ οὐδὲν παρακεχωρηκότος τοιοῦτόν τι πεπραγμένον ἡμῖν ὀφθῆναι.

L. ΙΓΝΑΤΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΚΥΖΙΚΟΥ.

Εὐφράνθημεν, εἰ καὶ μὴ τελείαν εὐφροσύνην, τὸ σὸν γράμμα, τέκνον ἡμῶν ἱερὸν, δεξάμενοι· καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ διὰ τοσούτου χρόνου, ἐξ οὗ ἀπ' ἀλλήλων διέστημεν, σαφῆ τινα λόγον μὴ μαθεῖν περὶ τῆς ὑμετέρας ζωῆς, νῦν διὰ τοῦ σοῦ γράμματος ὃ ἐποθοῦμεν μεμαθηκόσιν, ὑπόθεσις γέγονεν εὐφροσύνης· δεόμεθα δὲ τοῦ φιλανθρώπου θεοῦ ἡμῶν καὶ τελεώτερον ἐπὶ σοὶ εὐφρανθῆναι, διὰ τῆς τελείας ἀπαλλαγῆς τοῦ κοινῶς ἡμᾶς λελυπηκότος καὶ σφόδρα λυποῦντος πάθους· καὶ γένοιτο πληρωτὴς ὁ ἀγαθὸς τῆς αἰτήσεως, διδοὺς καὶ ἄλλοις ὀφθῆναι καὶ δοξάσαι οἷς ἀπελαύσαμεν τὴν αὐτοῦ ἀγαθότητα.

LI. Τῼ ΠΕΡΙΔΟΞῼ ΕΞΟΥΣΙΑΣΤῌ ΑΒΑΣΓΙΑΣ.

Τὸ φιλόθεόν σου καὶ τὸ χρηστὸν τοῦ τρόπου ἐκίνησεν ἡμᾶς πρὸς τὴν σὴν ἀγάπην, ὦ τοῦ θεοῦ ἄνθρωπε· καὶ ἰδοὺ πρῶτοι διὰ τοῦ γράμματος προσαγορεύομέν σε, καὶ ὡς τέκνον ἡμῶν οἷα παρόντες ἐναγκαλιζόμεθα, καὶ πατρικοῖς φιλήμασι περιπτυσσόμεθα· καὶ γὰρ τοῦ μὲν φιλοθέου ἀπόδειξις ἡ ἔνθεός σου σπουδὴ, ἣν ἐπὶ τῇ σωτηρίᾳ καὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας τοῦ ἔθνους τῶν Ἀλανῶν ἐπεδείξω καὶ ἐπιδείκνυσαι· ἀνεμάθομεν γὰρ ἐκ διαφόρων τῶν ἐπισταμένων τὰ σὰ κατορθώματα, ὡς μετά γε θεὸν πολλὴν τὴν πρόνοιαν κατεβάλου εἴς τε τὸν φωτισμὸν τοῦ

τῆς Ἀλανίας ἄρχοντος, καὶ εἰς τοὺς ὅσοι σὺν αὐτῷ κατηξιώθησαν τοῦ ἁγίου βαπτίσματος· τῆς δὲ χρηστότητος τῶν τρόπων καὶ τῆς εὐποιΐας τίς ἄλλη περιφανεστέρα ἔσται ἀπόδειξις; ἢ τίς ἂν ἄλλο ἐπιζητήσῃ μαρτύριον; ἀρκούσης τῆς ξενοδοχίας, τῆς θεραπείας, τῆς ἄλλης ἐν πᾶσι παραμυθίας, ὅση δυνατὴ χορηγεῖσθαι, ἣν εἰς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον τὸ τέκνον ἡμῶν, ὅλῃ προαιρέσει καὶ ὅλῃ ψυχῇ ὤφθης ἐπιδειξάμενος· διὰ τοῦτο δεόμεθα τοῦ ἱκανοῦ πολλαπλασίους ἀντιδοῦναι τὰς ἀμοιβὰς ἔν τε τῷ παρόντι βίῳ, καὶ τῷ μέλλοντι αὐτὸν κατὰ τὸν πλοῦτον τοῦ ἐλέους αὐτοῦ ἀντανακληρῶσαι τὰς χάριτας, νῦν μὲν ἐκ πάσης διατηροῦντά σε σκυθρωπότητος, καὶ τῆς τῶν ἀνθρωπίνων πραγμάτων ἐναντιότητος, ἐν δὲ τῇ μελλούσῃ ζωῇ συναριθμοῦντά σε τοῖς ἠγαπημένοις αὐτῷ, καὶ οὓς ἡ τῶν θεραπόντων αὐτοῦ ἔχει συναρίθμησις· εἴ τινος δ' ἂν καὶ ἔτι δυνατοῦ σου ὄντος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ἐπιτεύξηται παραμυθίας τῆς σῆς, τέκνον ἡμῶν, ἀρετῆς, πάντως καὶ τοῦτο ἕξεις τοῖς προλαβοῦσί σου καλοῖς συναριθμούμενον, καὶ τὴν ἀντίδοσιν παρὰ τοῦ μεγαλοδώρου θεοῦ ἡμῶν εἰς τὸ πολυπλάσιον ἀπεκδεχόμενος.

LII. ΠΕΤΡῼ ΑΡΧΙΕΠΙΣΚΟΠῼ ΑΛΑΝΙΑΣ.

Ἐδεξάμεθά σου τὴν ἐπιστολὴν, τὰ μὲν ἄλλα ἡδύνουσαν ἡμᾶς ὅτι σὴ ἐπιστολὴ, τὰ δὲ λοιπὰ λίαν ὀδυνῶσαν δι' ὧν ἐπιλήσμονας καὶ τὴν πρὸς τέκνα στοργὴν ἀποῤῥίψαντας ἔλεγε, καὶ τὸ βαρύτατον τέκνον πρὸς διακονίαν, εἰ καὶ πολλὴν ἐπαγγέλλεται τὴν θείαν ἀνάπαυσιν, ἀλλ' ἔν γε τῇ παρούσῃ ζωῇ ἀγῶνας καὶ πόνους οὐ ῥᾳδίως ἐνεγκεῖν, πλὴν ὅσον ἐπὶ τῇ θείᾳ δυνάμει τῆς ἐλπίδος ἡμῶν ἀποσαλευούσης· εἰ οὖν περὶ τέκνα τοιοῦτοι, τίνες ἂν εἴημεν πρὸς ἑτέρους, καὶ οὓς ἡ τῶν τέκνων οὐκ οἶδε τάξις; ἀλλ' ὅτι μὲν ἡ σὴ μνήμη, τέκνον ἡμῶν ἱερὸν, ἐν τῇ ἐμῇ καρδίᾳ διὰ παντὸς, οἶδεν ὁ πλάσας αὐτήν· ἐπεὶ δὲ ἀπὸ τῶν γραμμάτων συμβάλλεις τὴν ἡμετέραν στοργὴν, ἴσθι μὴ δὲ τούτου ἡμᾶς διημεληκότας· ἐγράψαμεν γὰρ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς,

εἰ καὶ ὡς ἔοικε μέχρι σοῦ τὰ γραφέντα (μὴ) διήκετο, ὥστε μήτε τὴν ἐν ἀλλοτρίᾳ γῇ ἀποδημίαν, μήτε ἄλλό τι πρὸς αἰτίαν λήθης ἡμῖν ἀναφέρεις· καί τοι, τέκνον ἡμῶν, εἰ καὶ τοῦτο ἦν, ἔδει σε ἀναλογιζόμενον τὴν φλόγα τῆς ἐμῆς ταπεινῆς ψυχῆς, καὶ τὰ συνέχοντα διὰ τὰς ἁμαρτίας ἡμῶν, εἰς συγγνώμην δοῦναι τὸ μὴ δέξασθαι γράμμα, ἀλλὰ μὴ ἔγκλησιν τοῦτο ποιεῖσθαι· οἴδαμεν οὖν ὅτι καὶ αὐτὸς τὴν τῶν περιστάσεων ἐλαύνεις πορείαν, καὶ τῆς καμίνου τῶν θλίψεων πεῖραν λαμβάνεις· ἀλλὰ τό γε ἡμέτερον οὐδ' αὐτὸς ἂν ἀντείποις, ὡς οὐχὶ τῶν σε περιστοιχιζόντων ἐπωδυνώτερον.

Ἀλλὰ περὶ ὧν ἐγώ τε καὶ σὺ λελυπήμεθα, μὴ πλέον εἰρήσθω· ἐκεῖνα δέ σοι λοιπὸν γράφω ἃ καὶ παρὼν ἤκουσας, καὶ ἀπὼν ἀκούεις τοῦ παναγίου σοι πνεύματος ἐνηχοῦντος, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσάν σοι δόξαν ἀποκαλύπτεσθαι· καὶ τοσοῦτον ἀπέχω τοῦ ἀλγεῖν ἐφ' οἷς λέγεις θλιβεροῖς τῆς χώρας, ὥστε καὶ εὔχομαι· καὶ εἴη γε τὸ θεῖον οὖς εἴ ποτε τῇ ἐμῇ τεταπεινωμένῃ εὐχῇ νῦν προσέχον, καὶ εὕροιμι τὴν κοινωνίαν τῶν σῶν θλίψεων· τί γὰρ τῶν ἐν βίῳ εὐφραινόντων ἀντιτιμᾶσθαι ταῖς τοιαύταις θλίψεσιν εὑρεθείη; ποία τῶν νομιζόντων εὐδαιμόνων ἀντάξιος ἡδονὴ γένοιτο τοῖς σὲ, τέκνον ἡμῶν, ἀλγύνειν δοκοῦσι; μεγάλης ἐλάχομεν παρὰ τοῦ πεφιληκότος ἡμᾶς φιλανθρώπου Χριστοῦ καὶ θεοῦ ἡμῶν χάριτος· τὸ μεγαλεῖον αὐτῆς ἐννοῶμεν, καὶ τῷ ἐνεργέτῃ κατὰ δύναμιν τὴν εὐχαριστίαν, εἰ καὶ μὴ τὴν ὀφειλομένην, ἀποδιδόντες μὴ λήγωμεν· ἀλλὰ μὴ ὥσπερ καταγογγύζοντες ὦμεν, καὶ τὸ μέγεθος τῆς χάριτος παρὰ φαῦλον ποιώμεθα· εἰπὲ, τέκνον ἡμῶν, εἴ τις σε τῶν ἐπὶ γῆς μέγα δυναμένων εἰς τὴν ἑαυτοῦ κατέστησε τάξιν, τίς ἂν ἐγένου; καὶ ποίαν ἂν διάθεσιν ἀνελάβου; εἶτα οὐκ ἐννοεῖς, ὡς ὁ φιλάνθρωπος ἡμῶν σωτὴρ ὁ κενώσας ἑαυτὸν ἐξ ὕψους τῆς δόξης αὐτοῦ, ἵνα τὸ ἀπολωλὸς σώσῃ, ἵνα τοὺς ἐν σκότει πλανωμένους τῆς ἀσεβείας πρὸς τὸ φῶς ὁδηγήσῃ τῆς εὐσεβείας, εἰς ἣν αὐτὸς εἵλετο διακονίαν, εἰς ταύτην σε προὐβάλετο; καὶ πᾶσαν χαρὰν πᾶσαν ἡδονὴν, ὅση πτεροῖ τὸν ἀνθρώπινον νοῦν

ἀναλαμβάνεις, καὶ πάντων σεαυτὸν ἡγῇ τῶν ἐν βίῳ μακαριώτατον, ἀλλ᾿ ὀδύρῃ καὶ θρηνεῖς ἐσχάτῃ περιπεσόντων συμφορᾷ; καὶ ποῦ ταῦτα τῶν ὡς σὲ χάριτι θεοῦ ἐκ παιδὸς ἀνηγμένου, καὶ ἀρετὴν μεμελετηκότα, καὶ οὐδὲν ἐπὶ γῆς τοῦ μακαρίζεσθαι ἄξιον λογισαμένων προσήκοντα; ἐγὼ τοσοῦτον ἀπέχω τοῦ ἀθυμεῖν ἐφ᾿ οἷς ἀθυμεῖς, ὥστε ὅταν τὰ σὰ πράγματα εἰς νοῦν ἀναλήψωμαι, διὰ τοῦ χαίρειν ἐπὶ τοῖς σοῖς, ἐπιλανθάνομαι τῶν οἰκείων κακῶν.

Ἡμεῖς μὲν γὰρ εἰ καὶ συνεχόμεθα τοῖς ἐνταῦθα λυπηροῖς, ἀλλὰ φεῦ τῶν ἐμῶν παθῶν, πάντων ὡς ἐπίστασαι ἱκανοὺς ἑαυτοὺς οἰομένων εἰδέναι τὴν σωτηρίαν μικροῦ δέω εἰπεῖν, ἀκερδῆ φέρομεν τὴν ὑπομονήν· σοὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ μετὰ τῆς ἄνωθεν δυνάμεως, εἰ καὶ μὴ πάντων, ἀλλ᾿ ὅσον δή ποτε προσεχόντων τῷ λόγῳ τῆς διδασκαλίας, καὶ ἀντὶ τῆς ἀθείας τὴν θεϊκὴν ἐπίγνωσιν ἀλλασσομένων ἀσύγκριτον τῆς ὑπομονῆς τὸ κέρδος· μὴ οὖν δυσφόρει, μὴ δὲ ἀνιῶ, μὴ δὲ τὸ πτερὸν τῆς διανοίας διὰ τὰ προσπίπτοντα ὑποχαλάσῃς δυσχερῆ, ἀλλ᾿ ὑπὸ τῆς ἀληθοῦς ἐλπίδος, ἣ μὴ διαψεύδεται τοὺς θεράποντας τοῦ θεοῦ, μετεωριζόμενος ὑπεράνω μοι γίνου τῶν ὀδυρμῶν καὶ τῶν θρήνων, νικώσης τῆς αἰωνίου γλυκύτητος πάντα τὰ ἐφήμερα· τί γὰρ ὁ ἀνθρώπινος βίος; εἴπερ χίλια ἔτη ὡς ἡμέρα λογίζεται, πικραίνειν δοκοῦντα τὴν αἴσθησιν· χωρὶς δὲ τούτων ἀναλογίζου μοι τὰ τῶν μακαρίων ἀποστόλων πάθη· ἐῶ γὰρ τὰ τοῦ δεσπότου· καίτοι ποίαν πικρότητα παθῶν οὐ διαλύει τῶν δεσποτικῶν παθημάτων ἡ ἀνάμνησις;

Ἀλλ᾿ εἰ βούλει ἐῶμεν ταῦτα, διότι κύριος ὢν τοῦ μὴ πάσχειν, ἑκὼν ἑαυτὸν εἰς τοῦτο παρεῖχε· πλὴν σκοπῶμεν τοὺς μετ᾿ ἐκεῖνον τὰ τούτου πάθη ἀναδεξαμένους, καὶ τοὺς ἀπ᾿ αὐτῶν μέχρι τῆς σήμερον εἰς τὸν τοῦ εὐαγγελίου παραγγείλαντας δρόμον, καὶ τοῖς ὁμοταγέσι τὰ οἰκεῖα συγκρίνοντες, μὴ δ᾿ ὅτι φέρομεν ἃ κἀκείνοις ὑπῆρξε, δυσφορῶμεν· ἀλλ᾿ εἴ τι ἐνδεῶς τὰ ἡμέτερα πάθη τῶν μακαρίων πατέρων ἡμῶν ἔχει, ἐν τούτοις πρὸς τὸ ἀγωνιᾷν καθιστάμεθα διὰ τὴν ἔλλειψιν τῆς ἐκείνων χαρᾶς,

τῆς λαμπρότητος καὶ τῆς δόξης, ὅταν εἰς ἀμοιβὴν τῶν πόνων καὶ τὴν ἀνακήρυξιν τῶν ἀγωνιζομένων ὁ δεσπότης προκαθίσῃ· ἀρκεῖ ταῦτα εἰς παραμύθιον τῶν θλίψεων ἡμῶν, καὶ συνετῷ σοι ὄντι, καὶ τοὺς ὑπὲρ Χριστοῦ κινδύνους ἠγαπηκότι· πάντως δὲ οὐδείς με πείσει λόγος, ὅτι καὶ μὴ διὰ τέλους ὁ αὐτὸς εἶ φιλῶν ἅπερ ἐξ ἀρχῆς προετίμησας· περὶ δὲ ὧν ἔγραψας τῶν τε κατὰ γάμον ἐναντιουμένων πραγμάτων τῇ καταστάσει τῆς ἐκκλησίας, καὶ τῶν ἄλλων ὅσα πρὸς τὸν ἐθνικώτερον τρόπον ὑπάγει τοὺς χρωμένους, οὐκ ἀγνοεῖ σου ἡ σύνεσις, ὅτι οὕτως ἀθρόον ἡ μετάστασις τῆς ἐθνικῆς ζωῆς πρὸς τὴν ἀκρίβειαν τοῦ εὐαγγελίου τὸ ῥᾴδιον οὐ καταδέχεται· διὰ τοῦτο χρὴ τὴν μὲν διδασκαλίαν καὶ τὴν πρὸς τὰ καλὰ ὁδηγοῦσαν παραίνεσιν ἀδιαλείπτως πατρικῶς καὶ μετ᾽ ἐπιεικείας προσάγειν· καὶ οἷς μὲν πειθομένους ἔχεις, εὐχαριστεῖν τῷ διδόντι χάριν τῇ σῇ διδασκαλίᾳ· οἷς δὲ δυσχεραίνοντας ὁρᾷς, ἀνέχεσθαι μακροθύμως, καὶ μάλιστα τῶν ἀπειθούντων τῆς ὑψηλοτέρας τάξεως τοῦ ἔθνους ὑπαρχόντων, καὶ οὐ τῶν ἀρχομένων, ἀλλὰ τῶν ἄρχειν λαχόντων· πρὸς μὲν γὰρ τοὺς ὑποχειρίους τυχὸν καὶ αὐστηρότερον καὶ ἐξουσιαστικώτερον δυνατόν σοι προσενεχθῆναι, καὶ τὸ ἀτόπημα μηδαμῶς καταδέξασθαι· πρὸς δὲ τοὺς μέγα δυναμένους εἰς ἐναντίωσιν τῆς τοῦ παντὸς ἔθνους σωτηρίας ἀνάγκη λογίζεσθαι, μή πως τραχύτερον ἡμῶν πρὸς αὐτοὺς διατιθεμένων, λήσωμεν αὐτοὺς τέλεον ἐξαγριώσαντες, καὶ ἄνω καὶ κάτω τὸ πᾶν καταστήσαντες.

LIII. ΙΩΑΝΝῌ ΤΩ͂Ι ΑΓΙΩΤΑΤΩ͂Ι ΠΑΠᾼ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ. (1)

Ὅσα ἡμῖν ἀπήντησε, μακαριώτατε ἡμῶν ἀδελφὲ, διὰ τὰς ἁμαρτίας ἡμῶν (οὕτω γὰρ ἐμὲ δεῖ λέγειν, καὶ ὑποχωρείτω ἡ τῶν ἄλλων αἰτία τῆς καθ᾽ ἡμῶν ἐπηρείας) τὴν σὴν ἁγιωσύνην ὑπολαμβάνω μὴ ἀγνοεῖν, οὐδὲ τὰ ἐν τῇ καθ᾽ ἡμᾶς ἐκκλησίᾳ συμβεβη-

(1) Multo est haec longior epistola, quam illa quae latine extat breviuscula apud Baronium ad an. CMXVI.

κότα νεώτερα μὲν σκάνδαλα, μικροῦ δὲ εἰπεῖν ἀποδέω τῶν παλαιῶν βιαιότερα, καὶ οὐκ ἄν ποτε λύσεως ἐλπίδα παρέχοντα, ὅσα γε τὰ ἀνθρώπινα· ὡς οὖν πρὸς εἰδότα, παραλιπεῖν καλὸν ἡγησάμην τὸ γράφειν, ἃ καὶ τοῦ γράμματος χωρὶς οὐ λέληθεν ὑμᾶς· περιττὸν γὰρ, ἵνα μὴ λέγω μάταιον, διδάσκειν τὸν ὃς οὐ δεῖται μανθάνειν τὸ δίδαγμα· γράφομεν δὲ τοῦτο μόνον, ὡς τὸν τάραχον τῆς καθ' ἡμᾶς ἐκκλησίας ἰδοὺ πεντεκαιδέκατον ἔτος ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ θεὸς, εἰς τὸ ἀτάραχον διελύσατο, καὶ τὴν δεινὴν καταιγίδα, καὶ πρὸς Τὸ ἀνέλπιστον τὴν καταστόρεσιν κεκτημένην· τίς ἂν ἐξερευνήσαι θεοῦ κρίματα; πρὸς βαθεῖαν γαλήνην ἀθρόον μετήνεγκε, μηδενὸς παρακολουθήσαντος δυσχεροῦς, οἷα πολλάκις τὸ ἀνθρώπινον ἐκβιάζεται παρὰ γνώμην συνέρχεσθαι τῷ γινομένῳ, οὐδέ τινος καταστάντος εἰς πεῖραν θλίψεως ἢ στενοχωρίας, ὑπερορίας φημὶ, τῶν οἰκείων ἀποστερήσεως, ταλαιπωρίας ἄλλης, ὅση τυραννεῖν ἐξεπίσταται τὸν λογισμὸν, καὶ παρὰ συνείδησιν ἀναγκάζει τῷ δοκοῦντι τῇ ἀνάγκῃ συνέρχεσθαι· ἀλλὰ γὰρ χάριτι θεοῦ, ὥσπερ ἐξ ἑνὸς συνθήματος (τί λέγω ἀνθρωπίνου συνθήματος;) ἀλλὰ τῷ ὄντι θείου νεύματος εἰς ἓν φρόνημα πάντες συνῆλθον, καὶ ἔχει ἅπαντας ἡ τοῦ θεοῦ καθ' ἡμᾶς ἁγία ἐκκλησία ἐν τοῖς ἱεροῖς αὐτῆς συνηγμένους κόλπους.

Ἀλλ' τὰ μὲν ἡμέτερα τοιαῦτα· ἐπειδὴ δὲ καὶ Τὴν ὑμεΤέραν ἀδελφικὴν ἐξ ἀρχῆς ἕνωσιν ἐπιζητοῦμεν, καὶ τῶν ἐξ ἡμῶν πρὸς ὑμᾶς παραγινομένων, ἣν τέως τὰ συμπεσόντα σκάνδαλα τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ διέκοψεν· τούτου δὴ χάριν γνωρίζομέν σοι, μακαριώτατε ἡμῶν ἀδελφὲ, ἵνα καὶ ὑμεῖς τῇ ἡμῶν εἰρήνῃ συνευφραινόμενοι, πρῶτον μὲν ὃ καὶ χωρὶς τῶν ἡμετέρων λόγων ἀκόλουθόν ἐστι, δοξάσητε τὸν καταλιπόντα Τὸν τῆς εἰρήνης κλῆρον ἡμῖν, καὶ τοῦτον ὅσαι ἡμέραι, εἰ καὶ συλᾷν ὁ πονηρὸς ἀγωνίζεται, ὅμως ἐπανασώζοντα τοῖς ἀγαπῶσιν αὐτόν· ἔπειτα δὲ ἵνα καὶ τῆς τῶν σκανδάλων λελυμένης αἰτίας ἡ πρὸς ἀλλήλους ἀποστολὴ καὶ συνομιλία τὴν ἀνακαίνισιν δέξηται· οὐ μὴν ἀλλὰ καὶ τοῦ ἱεροῦ ὑμῶν ὀνόματος ἡ ἀνάῤῥησις μετὰ τῆς ἡμῶν τεταπει-

νωμένης κλήσεως ἐν τοῖς ἱεροῖς συνάπτηται διπτύχοις· τοῦτο δὲ πάντως γενήσεται, τῶν ἕνεκα τοῦ τετάρτου γάμου προαχθέντων, εἰς ὁμολογίαν καθισταμένων ὡς ἐπράχθη παρὰ τὸ δέον, εἰ καὶ τῆς βασιλικῆς ἕνεκεν συμπαθείας τὸ γεγονὸς ἔλαβε τὴν κατάνευσιν· οἶδε γὰρ ἡ σὴ τελειότης, ὅτι περ οἷα πολλὰ τὰ ἀνθρώπινα καινοτομίας τινὸς γινομένης, καὶ μὴ τὴν ὀφειλομένην λαμβανούσης θεραπείαν, ἀφορμή τις καὶ εἰς τὸ ἔπειτα γίνεται τοῖς βουλομένοις τοῦ δέοντος παρατρέπεσθαι, φέρειν τὴν ὁρμὴν ἀνεπίσχετον, προτρεπομένης αὐτοὺς ἐπὶ τούτῳ τῆς προλαβούσης καταφρονήσεως· διὰ τοῦτο καὶ νῦν δεῖ τὸ αἴτιον γεγονὸς τῶν σκανδάλων εἰς ὁμολογίαν προελθεῖν, ὅτι παρὰ τὸ δέον ἐπράχθη· ὥστε μηκέτι καθάπερ εἴς τι ἀρχέτυπον ὁρῶντας τοὺς ἐπὶ τὸ χεῖρον ὡρμημένους· οὐ παύσεται δὲ πάντως τὸ ἀνθρώπινον τῆς τοιαύτης ὁρμῆς, ἕως ἂν τὸ γένος λαμβάνει τὴν πρόοδον ἐπαλείφεσθαι πρὸς τὴν μίμησιν.

Τοῦτο μὲν οἶδα, ὡς καὶ μὴ γραφόντων ἡμῶν ἡ σὴ ἀμώμητος καὶ ἐμφρονεστάτη ψυχὴ καὶ ἐπίσταται, καὶ τῆς εἰρημένης προνοήσεται ἀσφαλείας, ὅμως δὲ οὐδὲν ἀπεικὸς καὶ ἡμᾶς περὶ τούτων ὑπόμνησιν φέρειν· διὰ ταῦτα καὶ ὁ φιλόχριστος ἡμῶν βασιλεὺς Βασίλειον τὸν εὐκλεέστατον πρωτοσπαθάριον καὶ ἐπὶ τοῦ χρυσοτρικλίνου μετὰ τοῦ οἰκείου ἐξαπέστειλε γράμματος, καὶ ἡμεῖς Εὐλόγιον τὸν εὐλαβέστατον πρεσβύτερον καὶ κουβουκλείσιον, καὶ ἄνθρωπον ἡμῶν μετὰ τοῦ ἡμετέρου γράμματος συνεξαπεστείλαμεν, ἐκεῖνα καὶ σὺν τοῖς γράμμασι καὶ πρὸ τῶν γραμμάτων οἰκείᾳ γλώσσῃ ἐπιτρέψαντες προσειπεῖν, ὥστε τὰ κατατυπωθέντα ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ καὶ εἰρηνικὴν λαβόντα κατάστασιν, οὕτω καὶ τὰ ἐν ὑμῖν τυπωθῆναι καὶ εἰς τὴν μεθ' ἡμῶν ἕνωσιν διὰ τοῦ τοιούτου καταστῆναι τύπου· ταῦτα δέ ἐστιν οὐμενουν οὐδεμία τῶν πεπραχότων κατάκρισις, οὐδ' ἀπόρριψις δυσφήμου λόγου κατ' αὐτῶν, ἀλλὰ μόνον τοῦ τὰ γεγενημένα ἐπὶ τῷ τετάρτῳ γάμῳ διομολογηθῆναι πρὸς τὸ συμπαθὲς ὁρῶντα τῆς βασιλικῆς κατ' ἐκεῖνο καιροῦ ἀξιώσεως γεγενῆσθαι (1), ἀλλ' οὐ κατὰ τὸ προσ-

(1) En ut heic Nicolaus satis retractat sententiam suam, in epistola

ῆκον, οὐδὲ κατὰ θεσμοὺς τῆς ἐκκλησίας· ὃ καὶ χωρὶς τῶν ἡμετέρων λόγων οἱ τότε τῷ βίῳ παρόντες, φημὶ δὲ Σέργιος, ὃν ἐν τοῖς μακαρίοις εὔχομαι συντετάχθαι ἀρχιερεῦσι, καὶ οἱ σὺν ἐκείνῳ, ἐν τοῖς οἰκείοις διωμολόγησαν γράμμασι· καὶ ἵνα μὴ δόξωμεν τὰ μὴ ὄντα λέγειν, αὐτὰ ἐκεῖνά σοι τὰ διαπεμφθέντα παρ' αὐτῶν ἐξαπεστείλαμεν γράμματα. (1)

Ἀξίως οὖν καὶ τῆς σῆς πράττων ἀρχιερατικῆς σεμνότητος, καὶ τῆς τελειοτάτης φρονήσεως, οὕτω βουλήθητι διαθέσθαι τὰ πράγματα, ὥστε καὶ τὸν ἀθάνατον καὶ πρῶτον ἀρχιερέα ἡμῶν ἐπὶ πλέον εὐφρανθῆναι ἐπὶ τῇ τῆς καθ' ἡμᾶς ἐκκλησίας καταστάσει· εὐφρανθήσεται δὲ μηδεμιᾶς ὑπολειπομένης ἀφορμῆς τοῖς ἀφορμὴν οἷα τὰ ἀνθρώπινα ζητοῦσιν εἰς τὸ τὴν γαλήνην ἐκταράττειν τῆς ἐκκλησίας, καὶ τὴν ὑμετέραν ἐν κυρίῳ πρὸς ἡμᾶς ἕνωσιν, καὶ τοῦ ἱεροῦ ὑμῶν ὀνόματος τὴν ἐν τοῖς διπτύχοις ἀνακήρυξιν ὁμαλῶς καὶ ἀφιλονείκως γενέσθαι· οὐδεὶς γὰρ ἔτι δυνήσεται, ὥσπερ ἔφημεν, τῆς ὑμῶν ἁγιότητος πραττούσης τῶν ἐνταῦθα ἀρχιερέων καὶ ἱερέων προφάσεως λαβέσθαι τοῦ ζάλην ἀνακινεῖν μετὰ ταῦτα τῇ ἐκκλησίᾳ ἕνεκεν τῆς ὑμῶν ἑνώσεως· ἐπειδὴ δὲ ἀεί τινὰς ἡ τῶν χειρόνων φύσις ἕλκει πρὸς ἑαυτὴν, δεῖ καὶ τοῦτο προσθεῖναι τῷ γράμματι, καὶ εἰσί τινες οἱ προτιμῶντες τὴν ταραχὴν, καὶ τῇ ἐκκλησιαστικῇ γαλήνῃ δυσχεραίνοντες, ἀπέρρηξαν ἑαυτοὺς ἐξ ἡμῶν, ἐντείλασθαι ἀξιοῦμεν τοῖς ὑμῶν ἀποστόλοις ὡς τὰ συμφέροντα τῇ ἐκκλησίᾳ σκεψάμενοι, ἐκεῖνο καὶ περὶ αὐτῶν μεθ' ἡμῶν καὶ τῆς ἐκκλησίας διαπράξωνται, ὃ πράττειν εἰκὸς τοὺς ὑπὲρ τῆς ἱερατικῆς καταστάσεως, καὶ εὐχὴν ποιουμένους, καὶ τὴν εὐχὴν σὺν τῇ ἄνωθεν εὐμενείᾳ λαβεῖν πέρας λυσιτελὲς διεσπουδακότας· ἀπόστολοι δὲ ἄξιοι τῆς ὑμῶν ἁγιότητος ἀποσταλείτωσαν, δι' ὧν μέλλει σὺν θεῷ καλῶς καὶ πρεπόντως τὰ τῶν ἐκκλησιῶν διευθετηθῆναι· λέγωμεν δὴ εἰ δυνατὸν Ἰάκωβος ὁ θεοφιλέστατος ἐπίσκοπος· καὶ γὰρ καὶ πρότερον πρὸς

XXXII. tantopere inculcatam, de dispensatione quartis Leonis imp. nuptiis non indulgenda. En ut tandem romanae quoque ecclesiae Sergioque pontifici, qui contra se steterat, debitum honoris testimonium dat.

(1) Quaerendum superest de his rom. Pontificum epistolis.

ἡμᾶς ἀνελθὼν κατὰ πάντα ἔδοξεν ἡμῖν ἄξια τῆς ἁγίας τῶν Ῥωμαίων ἐκκλησίας ἀποστέλλων· καὶ ἕτερός τις ἐκείνῳ τὴν ἀρετὴν παραπλήσιος.

LIV. ΑΔΗΛΩ.

Εἰ καὶ πλήρης ὁ τῶν ἀνθρώπων βίος τῶν λυπούντων ἐστὶν, ὅμως ἔχει παραμυθίαν τινὰ τὴν ἀπὸ τῶν φιλούντων πολλάκις μνήμην· ὅταν δὲ τοῦτο μὴ παρῇ, καὶ μάλιστα τοῦ δικαίου τῆς συγγενείας ἀπαιτοῦντος, πλέον αὔξεται τοῖς λυπουμένοις τὰ λυπηρά· τοιοῦτόν τι καὶ ἡμῖν ἀπήντησε· πολλοῖς γὰρ καθ' ἑκάστην περιστοιχιζόμενοι τοῖς ἀλγύνουσι τὴν ψυχὴν, ὅσα γε τὰ ἀνθρώπινα οὐδεὶς ἡμῖν ὤφθη φέρων παραψυχήν· καὶ τοὺς μὲν ἄλλους ἐῶ, τὸ δὲ καὶ συγγενεῖς τὴν ὁμοίαν φέρειν διάθεσιν, πῶς ἄν τις παρίδοι μὴ λίαν ὢν τῶν ἀνθρωπίνων πραγμάτων ἀνεπαίσθητος; γράφω ταῦτα οὐκ ἐξονειδίζων, ἀλλ' ἀνακαινίζων εἰ βούλει τὸ συγγενικὸν φίλτρον, καὶ τὴν ἄλλην σχέσιν τῆς φιλίας, ἣν οὐκ οἶδα πῶς ὅσον ἡμῖν κατανοεῖν ὁ παρὼν ἐκάλυψε χρόνος· τὰ μὲν γὰρ ἡμέτερα οἵαις ἀνάγκαις συνειχόμεθα οὐχ ὑπολαμβάνω σε καὶ μὴ γραφόντων ἡμῶν ἀγνοεῖν· σὲ δὲ πάντως ἔπρεπεν ἐν τοῖς αὐτόθι παρόντα, κἂν ἡμεῖς ἐκωλυόμεθα γράφειν, καὶ πρὸς τὴν Ῥώμην παραγενέσθαι, καὶ τὸν ἁγιώτατον Πάπαν καὶ ἀδελφὸν ἡμῶν ἀναδιδάξαι τὰ εἰς ἡμᾶς συμβεβηκότα· οὐ γὰρ ἐλάνθανέ σε τι τῶν καθ' ἡμῶν ἐπιβουλῶν, καὶ τῆς ἐπηρείας καὶ τῆς ἐκκλησίας τὴν ταραχὴν, ὅση τις ἦν γνωρίσαι αὐτῷ, καὶ πεῖσαι ἀποκρισιαρίους στεῖλαι πρὸς ἀδελφὸν ἠδικημένον, καὶ συναγωνίσασθαι πρός τε τὸ τὴν ἐκκλησίαν ἡμῶν ἀποκαταστῆναι ἀξίως τῆς ἱερᾶς καταστάσεως, καὶ τὰ ἐκ τοῦ τετάρτου γάμου ἀναφυέντα σκάνδαλα διορθώσασθαι, οὐ μὴν ἀλλὰ καὶ τὸ ἐκείνου ὄνομα διὰ τῆς τοιαύτης διορθώσεως ἐν τοῖς ἱεροῖς ἡμῶν διπτύχοις ἐγγραφῆναι καὶ μετὰ τῆς ἡμετέρας ἀνακηρύττεσθαι κλήσεως.

Ἀλλ' ἐπεὶ ταῦτα παρῆλθεν ἤδη, καὶ Χριστὸς ὁ θεὸς ἡμῶν ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς τῇ ἀνεξερευνήτῳ αὐτοῦ σοφίᾳ τὴν

πολλὴν ἐκείνην ταραχὴν καὶ ζάλην ἰδοὺ πεντεκαιδέκατον ἔτος κατέπαυσε, καὶ πρὸς ἓν ἡ ἐκκλησία συνῆλθε φρόνημα· συνῆλθε γὰρ τῶν ὑπουργησάντων μὲν ἐπὶ τῷ τετάρτῳ γάμῳ τὸ οἰκεῖον πταῖσμα ἐξομολογησαμένων, ἡμῶν δὲ σὺν τῇ θείᾳ φιλανθρωπίᾳ τὴν συγχώρησιν αὐτοῖς παρασχόντων, καὶ μιᾷ γνώμῃ, καὶ μιᾷ γλώσσῃ ἐκείνων τε καὶ ἡμῶν τὸν τέταρτον ἀποκηρυξάντων γάμον, καὶ εἰς ἑνότητα καταστάντων μιᾶς ἐκκλησίας, καὶ μιᾶς ποίμνης πάντων γενομένων, καὶ ὑφ' ἑνὶ ποιμένι τῇ ἐμῇ ταπεινότητι ποιμαινομένων· ταῦτα μὲν θεοῦ χάριτι οὕτως ἐνταῦθα ἐπράχθη· ἐπιζητοῦμεν δὲ καθὼς ἀπ' ἀρχῆς καὶ τοῦ ἁγιωτάτου Πάπα τοῦ ἀδελφοῦ ἐν τοῖς ἱεροῖς ἡμῶν διπτύχοις τοῦ ὀνόματος τὴν ἀναφορὰν, ἥ τις μέχρι τοῦ νῦν οὐκ ἐκηρύσσετο διὰ τὸ ἐκ τῆς ῥωμαϊκῆς ἐκκλησίας τοῦ τετάρτου γάμου γενέσθαι τὴν ὑπόστασιν· νῦν οὖν ἐπειδὴ πάντα τὰ προλαβόντα οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ θεοῦ παρεχωρήσαμεν, τοῦτο μόνον δέον ἐστὶ γενέσθαι τὸ καὶ τὴν ῥωμαϊκὴν ἐκκλησίαν καθὼς ἡ ἐνταῦθα ὁμολογῆσαι, ὡς ὁ τέταρτος γάμος εἰ καὶ διὰ τὴν βασιλικὴν ἀνάγκην συγκεχώρηται, ἀλλ' ἔξω τοῦ ἐκκλησιαστικοῦ νόμου συγκεχώρηται, καὶ τῆς πρεπούσης γαμικῆς καταστάσεως· ὡς ἂν διὰ τῆς τοιαύτης ὁμολογίας ἀπό γε τοῦ παρόντος ὁ τοιοῦτος γάμος, καὶ τοῦ χριστιανῶν γένους ἀλλότριος ἐξασφαλισθῇ, καὶ μὴ χώραν λάβῃ εἰς ὄνειδος τῶν ἐκκλησιῶν τοῦ θεοῦ, μᾶλλον δὲ τοῦ χριστιανικοῦ γένους πολιτεύεσθαι· ἐπίστασαι γὰρ, τέκνον ἡμῶν, ὅτι ὅταν πρᾶγμα δέξηται ἀρχὴν ἐξ ἐνδόξου προσώπου καὶ περιφανοῦς, εἰ μὴ παντὶ τρόπῳ κωλυθῇ, πρὸς τὴν μίμησιν τούτου εὐκόλως οἱ ταπεινότεροι τῶν ἀνθρώπων ὑπάγονται.

Διὰ ταῦτα καὶ Ἀδεοδάτῳ τῷ εὐλαβεστάτῳ κληρικῷ αὐτόθεν ἀναδραμόντι πάντως θεοῦ βουληθέντος ἐνετύχομεν, καὶ μαθόντες παρ' αὐτοῦ τὴν αἰτίαν τῆς ἀναδρομῆς, καὶ ὡς πρὸς τὰ Ἱεροσόλυμα τὴν πορείαν ποιεῖται, τῆς πορείας ἐπέσχομεν αὐτὸν, μάλιστα περὶ τῆς ὑμετέρας ἀρετῆς ἀπαγγείλαντος ἡμῖν ὅσα ἀπήγγειλε, καὶ προετρεψάμεθα αὐτὸν ἀποστρέψαι καὶ διακονῆσαι ταύτῃ ἡμῶν τῇ χρείᾳ· ὃν καὶ διὰ τοῦ γράμματος καὶ ἔτι συνιστῶμέν σοι, καὶ προτρεπό-

μεθα μὴ ὀκνῆσαι πρὸς τὴν Ῥώμην διαβῆναι, καὶ σπουδάσαι τέλος λαβεῖν, ἃ τῷ μακαριωτάτῳ Πάπᾳ καὶ ἀδελφῷ ἡμῶν ὅ τε φιλόχριστος βασιλεὺς ἡμῶν καὶ υἱὸς, καὶ ἡ ἡμετέρα ἔγραψε μετριότης.

LV. ΑΔΗΛΩ.

Ἃ γράφομεν τῇ τιμιότητί σου, οἴδαμεν ὅτι συνέσει κοσμούμενος ἐν σεαυτῷ περιστρέφεις· οὐδὲν γὰρ οὕτω συνέσεως γνώρισμα, ὡς τὸ ἀεὶ μελετᾷν ὅσα ἑκάστοτε καὶ καθ' ὅλην ἡμῶν διαπράττομεν· ἡ γὰρ τοιαύτη μελέτη ἀσφαλεςέρους ἡμᾶς παρασκευάζει· καὶ ὧν μὲν εἴ τι παρὰ τὸ εἰκὸς ἐπράχθη, ἐπανάχθη πρὸς ἐπανόρθωσιν· εἴ τι δὲ χρηστὸν, σπουδαιοτέρους πρὸς τὴν τούτου ἐργασίαν ποιοῖτο· οἶδας ὃ λέγω, τέκνον ἐμὸν, πλὴν καὶ ὁ ἡμέτερος λόγος ἀναπτύξει αὐτό· ἐγένετό τις ἐν τοῖς προλαβοῦσι καιροῖς ἐπήρεια καθ' ἡμῶν, αἰτιᾶσθαι μὲν οὐ βούλομαι τινὰς, ἀλλὰ καὶ παραιτοῦμαι τὸν δίκαιον κριτὴν, μὴ δ' αὐτὸν ἀπαιτῆσαι τὰς εὐθύνας τῶν ἐπηρεασάντων· πλὴν ἐγένετο, τὸ μέν τι ἐντεῦθεν λαβοῦσα τὴν ἀφορμὴν, τὸ δὲ καὶ ἐκ τῆς ἁγίας τῶν Ῥωμαίων ἐκκλησίας, καὶ ἀπηλάθημεν τῆς ἐκκλησίας ἡμῶν, οὐδὲν οὔτε τῇ Ῥωμαίων πταίσαντες ἐκκλησίᾳ, οὔτε τοῖς ἐνταῦθα, εἰ καὶ πρὸς θεὸν διηνεκῶς ἁμαρτάνομεν· καὶ συνέβη σκάνδαλα ἐκ τῆς αἰτίας ταύτης, ὅσον εἰς ἀνθρώπων ὑπῆρχεν ἐλπίδας, πᾶσαν νικῶντα θεραπείαν· ἀλλ' ὁ παράδοξα ποιῶν θεὸς ἐκεῖνος καὶ νῦν ἀθρόον, καὶ ὡς οὐκ ἄν τις ἤλπισεν ἐπήνεγκε τῶν σκάνδαλων τὴν λύσιν, καὶ τὴν ταραχὴν μετήνεγκεν εἰς γαλήνην, ἰδοὺ πεντεκαιδέκατον ἔτος χαλεπῶς ἡμᾶς ἐκταράξασαν· καὶ χάριν μὲν ἀναφέρομεν τῷ εὐεργέτῃ καὶ τὴν ὀφειλομένην δόξαν ἐπὶ τῇ καταστάσει τῆς καθ' ἡμᾶς ἐκκλησίας.

Ἐπιποθοῦμεν δὲ καὶ τὴν μεθ' ὑμῶν ἀρχαίαν ἕνωσιν, καὶ διὰ τοῦτο γράφομεν ὑμῖν, ἅμα μὲν περὶ τῆς ἡμῶν καταστάσεως εὐαγγέλια, ἅμα δὲ καὶ ὑμᾶς ἕλκοντες πρὸς τὴν ἀδελφικὴν ἀγάπην τε καὶ συνάφειαν· τοῦτο δὲ γενήσεται ῥᾳδίως βουλομένων ὑμῶν· ἐξειπεῖν γὰρ δεῖ μόνον ὡς τὰ γεγενημένα ἡμῖν περὶ τοῦ τετάρ-

του γάμου, ἕνεκεν τῆς βασιλικῆς συμπαθείας ἐπράχθη, καὶ οὐ κατὰ τὸ προσῆκον τῇ ἐκκλησίᾳ καὶ τῇ σεμνότητι τῆς χριστιανικῆς πολιτείας· οὐδὲ γὰρ ἄξιον τοῦτο τῆς Ῥωμαίων ἐκκλησίας χώραν ὑπανοίγειν τῷ τετάρτῳ γάμῳ, καὶ παρέχειν ἐπιτροπὴν τοῖς βουλομένοις πολυγαμίᾳ πρὸς τὸν κτηνώδη βίον ὑπάγεσθαι· ὡς οὖν εἴρηται, διὰ ταύτην τὴν αἰτίαν, ὁ μὲν τέταρτος ἀποκηρυχθήτω γάμος, τὸ δὲ πραχθὲν πρὸς τὴν βασιλικὴν ἀναφερέσθω συμπάθειαν, καὶ τὸ λοιπὸν θεοῦ χάριτι συναπτόμεθα καθὼς ἀπ' ἀρχῆς, καὶ οὐκέτι ἕξει χώραν ἡ ἐξ ἀλλήλων διάστασις· ἀλλὰ καὶ ἀποκρισιάριοι κατὰ τὸ ἀρχαῖον ἔθος αὐτόθεν τε πρὸς ἡμᾶς, καὶ πρὸς ὑμᾶς ἐκ τῶν ἐνταῦθα συνεχῶς διαβαίνοντες ἔσονται, καὶ τῆς ὀφειλομένης ἀγάπης καὶ ὁμιλίας ἐσόμεθα ἀπολαύοντες· καὶ ἐπὶ τούτοις πᾶσι τοῦ ἱεροῦ ὀνόματος ἡ ἀνακήρυξις τοῦ ἁγιωτάτου Πάπα μετὰ τῆς ἡμῶν τεταπεινωμένης κλήσεως ἐν τοῖς ἱεροῖς διπτύχοις ἐκτελεσθήσεται· καὶ ἁπλῶς ἑνὶ φρονήματι, καὶ μιᾷ γνώμῃ, καὶ ἑνὶ πνεύματι, ὅπερ ἐστὶ θεῷ εὐάρεστον διαβιώσωμεν· ἡμεῖς μὲν, τέκνον ἡμῶν, ταῦτα γράφομεν, ἐν κυρίῳ ὑμῶν ἐπιζητοῦντες ἀγάπην, μὴ δέ τι ὧν ἐλυπήθημεν παρὰ τῆς ἁγίας τῶν Ῥωμαίων ἐκκλησίας.

LVI. ΤΩ ΠΑΠΑ ΤΗΣ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ.

Πολλάκις, εἰ καὶ μὴ διὰ γραμμάτων, ἀλλὰ διὰ τῶν ἐκ τῆς ὑμετέρας Ῥώμης ἐνταῦθα καταλαβόντων ἀνδρῶν, τοῦτο μὲν καὶ μοναζόντων, τοῦτο δὲ καὶ ἱερατικῶν, καὶ δὴ καὶ τῆς λαϊκῆς τυγχανόντων τάξεως, ἐδηλώσαμεν, ἀδελφὲ ἡμῶν ἱερώτατε, ὥστε ἀποστόλους ὑμῶν ἐνταῦθα παραγενέσθαι, καὶ σὺν ἡμῖν καὶ τῆς ὅλης ἡμῶν ἐκκλησίας, τὰ ἐν αὐτῇ (οὐκ οἶδα πῶς εἴπω, καλὸν γὰρ σιωπῇ δοῦναι) λυπηρὰ συμβεβηκότα σκάνδαλα, μέρος μέν τι ἀφορμὴν ἐντεῦθεν ἐσχηκότα, μέρος δέ τι καὶ ἐκ τῶν προηγησαμένων τῆς Ῥωμαίων ἐκκλησίας προέδρων, μετὰ τῆς ἄνωθεν συναντιλήψεως ἐκποδῶν ποιῆσαι, καὶ τὴν ὀφειλομένην εὐστάθειαν καὶ ἀταραξίαν αὐτῇ προμηθεύσασθαι· ἀλλ' ἐδηλώθη μὲν ταῦτα πολ-

λάκις· ἰδοὺ χρόνος ἔννατος, ἐξ οὗ κρίμασιν οἷς οἶδε θεὸς εἰς τὴν ἐκκλησίαν ἐπανήλθομεν, ἐξ ἧς οὐκ ἐν δίκῃ ἀπηλάθημεν, καὶ οὐδὲν ὅλως ἡμῖν περὶ ταύτης ἐδηλώθη τῆς ὑποθέσεως· πλὴν ἐῶμεν πάντα· τοῦτο δὲ τῇ σῇ μακαριότητι γνωρίζομεν, ὅτι ἐβράβευσεν ὁ πρῶτος ἀρχιερεὺς ἡμῶν καὶ θεὸς εἰρήνην τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, τῶν πάλαι σφαλέντων τὸ οἰκεῖον ἐξομολογησαμένων ἁμάρτημα, καὶ τυχόντων συγγνώμης, καὶ ὡς μέλεσιν ἡμῖν συναφθέντων· πλὴν ὀλίγων τινῶν, οἳ τῆς εἰρήνης τὸ στασιάζειν προτιμῶντες ἔτι φιλονεικοῦσι, τῷ ἰδίῳ χωρισμῷ τὴν ἐπὶ τῇ καταστάσει τῆς ἁγίας ἐκκλησίας συνταράττειν γαλήνην· διὰ τοῦτο γράφομεν ἀποσταλῆναι πρὸς ἡμᾶς τῆς ὑμῶν μακαριότητος ἀποστόλους, οἳ καὶ ἔτι τὸ τῆς τετραγαμίας μῦσος σὺν ἡμῖν παντελῶς ἀποκηρύξουσι, καὶ τῇ τῶν χριστιανῶν πίστει κοινῷ δόγματι τὸ ἀσφαλὲς περιποιήσονται, ὥστε μηδαμῶς ἔτι τοιοῦτον βδελυρώτατον γάμον ἐν χριστιανοῖς πολιτεύεσθαι· καὶ εἴ τι μεταξὺ ταύτης τε τῆς ἐκκλησίας καὶ τῆς ἁγίας τῶν Ῥωμαίων χάριν τοῦ τοιούτου γάμου ἐναντίον συμβέβηκε, καὶ τοῦτο διαλυθῆναι, καὶ εἰς τὸ ἐξ ἀρχῆς φρόνημα καὶ τὴν μίαν σύμπνοιαν καὶ ὁμόνοιαν τὴν ἀποκατάστασιν ἐγγεγονέναι.

LVII. ΤΩ ΣΥΝΑΔΩΝ.

Καὶ αὐτὸ τὸ ἐντυχεῖν τοῖς γράμμασι τῆς ὑμῶν ὁσιότητος, ἐγένετο ἡμῖν εἰς παραμύθιον τῶν λυπούντων, καὶ ἡδονῆς ἔσχομεν πνευματικῆς ἀπόλαυσιν· καὶ ἡ διὰ τοῦ εὐλαβεστάτου υἱοῦ ἡμῶν Ἰωάννου ἀπαγγελία περὶ τοῦ χάριτι θεοῦ ἐν ὑγείᾳ διατελεῖν ὑμᾶς, εἰς πλείονα καθέστησεν εὐφροσύνην· ἀνεπέμψαμεν οὖν τὴν συνήθη τῷ θεῷ εὐχαριστίαν, καὶ εὐχόμεθα εἰ καὶ ἁμαρτωλοὶ ἀνώτερόν σε εἶναι πάσης πείρας ὅση καὶ σὲ λυπεῖ, καὶ τοὺς φιλοῦντας τῆς φήμης διαβαινούσης εἰς λύπην καθίστησιν· ἃ δὲ περὶ τοῦ μοναστηρίου ἔγραψας διοικηθῆναι, ταῦτα καὶ ἡμῖν ἔδοξε καλῶς ἔχειν, εἰ μή τινες ἄλλοι ἀνακύψουσι λόγοι πρὸς τὰς ὑμετέρας ἀκοὰς οὔπω ἐλθόντες, καὶ ἴσως τοὺς φιλονεικοῦντας ἔτι

διεγείρουσι πρὸς τὸ φιλόνεικον· ἐγράψαμεν δὲ καὶ πρότερον, γράφομεν δὲ καὶ νῦν· ἧκε πρὸς ἡμᾶς, οὓς μετ᾽ ὀλίγον ἴσως καὶ βουλόμενος ἰδεῖν οὐκ ὄψει, τοῦ πέρατος τῆς ζωῆς, ὅσον κατ᾽ ἐμὴν αἴσθησιν, κατὰ πόδας παρόντος.

LVIII. ΤΩ ΙΚΟΝΙΟΥ

Ἡ συνεισφορὰ, τέκνον ἡμῶν ἱερὸν, ἡ ἐκ τῶν ἐκκλησιῶν τοῦ θεοῦ γινομένη, ἀλγεῖν σε παρασκευάζει, καὶ καλῶς ἀλγεῖς· ἴσθι δὲ ὅτι καὶ τὸ ἡμέτερον ἄλγος ἐπὶ τῇ τοιαύτῃ αἰχμαλωσίᾳ τῶν ἐκκλησιῶν τοῦ θεοῦ πολὺ πικρότερον καὶ ἀνιαρώτερον· ἀλλὰ τί ποιήσωμεν; τοιαύτης ἀνάγκης διὰ τὰς ἡμῶν ἁμαρτίας καταλαβούσης, ὥστε κἂν μὴ θέλωμεν, τὴν ὀδύνην ταύτην ὑποίσομεν· ἃ δὲ ὁ Καταφλώρων εἰς τὴν ὑμῶν ὁσιότητα ἐνεδείξατο, ταῦτα εἰ καὶ λυπηρὰ, σὲ μὲν ὠφελήσει πρᾴως καὶ μακροθύμως τὴν ἐπήρειαν φέροντα, ἐκεῖνον δὲ πάντως τὸ θεῖον καὶ ἀπροσωπόληπτον ὄμμα, εἰ καὶ μὴ νῦν, ἀλλ᾽ ἔστιν ὅτε βλοσυρῶς ὑποβλέψεται· ὃ μὴ γενέσθαι ὡς ἀρχιερεὺς τοῦ θεοῦ, καὶ ὡς μεμαθηκὼς τοὺς διώκοντας εὐλογεῖν, καὶ τῶν ἐπηρεαζόντων ὑπερεύχεσθαι, ἄξια τῆς οἰκείας ποιῶν ἀρετῆς, ὑπερεύχου καὶ παραιτοῦ, τὸν ζυγοῖς ἀντιμετροῦντα ἴσοις τὰ ἀνθρωπίνα πράγματα· ἔρρωσο.

LIX. ΑΔΗΛΩ.

Τὸ ἐν πᾶσι σπουδαῖον τῆς ὑμῶν συνέσεως εἰδότι μοι, τέκνον ἡμῶν, θαυμάζειν ἐπῆλθε πῶς ἐπὶ τῆς παρούσης ὑποθέσεως, περὶ ἧς προαγόμεθα γράφειν, τὴν οἰκείαν οὐκ ἐφύλαξε τάξιν· ἀλλ᾽ οὐκ οἶδα λήθης, οὐκ οἶδα ἄλλης τινὸς αἰτίας κωλυούσης, μέχρι καὶ τοῦ παρόντος ὅσα γε ἡμᾶς εἰδέναι, οὐκ ἐξεγένετο διαπραχθῆναι, ὃ ἀναγκαιοτάτην ἐπιζητεῖ τὴν τελείωσιν· βασιλικῆς γὰρ δεδομένης σοι προστάξεως, ὥς γε φασὶν οἱ τοῦτο εἰδότες, ἐπισκέψασθαι τὸ χωρίον, ἐξ οὗ ὁ περιώνυμος τοῦ θεοῦ ναὸς σῖτον μέλλει πορίζεσθαι, τοῦτο μὲν εἰς χορηγίαν τοῦ ἁγιαζομένου τῷ

θείῳ πνεύματι καὶ τοὺς μεταλαμβάνοντας ἁγιάζοντος ἄρτου, τοῦτο δὲ καὶ εἰς διατροφὴν τῆς ἡμῶν ταπεινότητος καὶ τοῦ λοιποῦ πλήθους, οἵ νυκτὸς καὶ ἡμέρας ἐξυπηρετοῦνται τῷ ναῷ τοῦ θεοῦ, οὐκ οἶδα πῶς εἴπω, οὐκ ἔσχεν ἐν σπουδῇ τοῦ προστάγματος τὴν ἐκπλήρωσιν· ἀλλὰ τὴν μὲν αἰτίαν αὐτὸς ἂν εἰδείης· ἡμεῖς δὲ γράφομέν σοι, τέκνον ἡμῶν, ὥστε τάχιον τοῦ λοιποῦ ἀνενεγκεῖν περὶ τούτου τοῖς δεδωκόσι τὸ πρόσταγμα· καὶ γὰρ καὶ ἡ ἐκκλησία τοῦ θεοῦ καὶ ἡμεῖς, ὅσα γε τὰ εἰς χρείαν τῶν αὐτῶν οὐ μικρῶς κινδυνεύομεν· τὰ δ᾽ ἄλλα ἐῤῥωμένος εἴης ὑπεράνω τηρούμενος πάσης κακότητος.

LX. ΤΩ ΟΙΚΟΝΟΜΩ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ.

Ἐλπίδες εἶχον ἡμᾶς ἐν τῇ τοῦ ἁγίου προφήτου θείᾳ ἑορτῇ τὴν σὴν ὁσιότητα συνέσεσθαι ἡμῖν, καὶ ὥς γε εἰκὸς ἐπὶ φίλων ἑνώσει γλυκυτέρας τινὸς διαθέσεως ἀπόλαυσιν, καὶ μάλιστα τοσούτων ὄντων ἀνιαρῶν τῶν ἐπικειμένων ἡμῖν· ἐπεὶ δὲ τὰ ἀνθρώπινα πράγματα τὸ ἀστάθμητον ἔχει καὶ τὸ ἀόριστον, καὶ διὰ τοῦτο ἐψεύσατο ἡμᾶς ἡ ἐλπὶς, καὶ κώλυμα παρέστη ἐκ τῶν συμβεβηκότων, λέγομεν δὴ τῆς τῶν Σαρακηνῶν ἀφίξεως, τῷ νῦν τὴν ὑμῶν ὁσιότητα παραγενέσθαι, κατὰ τὴν ὑμῶν ἐξαίτησιν ἀναγκαίαν οὖσαν, εἰ καὶ λυπούμενοι ὅμως παραχωροῦμεν τὴν τοῦ καιροῦ προθεσμίαν, ἣν ἐξαιτῆσαι διέγνως· μόνον θεοῦ ὑπερέχοντος ἐῤῥωμένος διατέλει, καὶ ὅτε σοι φίλον καὶ θεὸς ἐπινεύσοι, στείλασθαι τὴν πρὸς ἡμᾶς πορείαν, τότε ἡ πορεία γινέσθω· τῷ δὲ λογοθέτῃ τῶν ἀγελῶν ἀπεστάλη γράμμα· τί δὲ πέπρακται τῷ ἀνθρώπῳ, οὔπω καὶ σήμερον ἔγνωμεν· ἐῤῥωμένος ἡμῖν εἴης, καὶ ἐν ταῖς ὁσίαις εὐχαῖς μὴ λήθην ἔχων τῆς ἡμῶν μετριότητος.

LXI. ΑΔΗΛΩ.

Ἀκηκόαμεν, τέκνον ἡμῶν, λυπεῖσθαί σε ὡς τῆς ἡμῶν ταπεινότητος ἀγανάκτησίν τινα κατὰ σοῦ φερούσης· καὶ τοῦτο, τέ-

κνον ἡμῶν, εἴτε τις πρὸς τὰς σὰς ἀπεκόμισεν ἀκοὰς, ψεύστης ἐστὶ καὶ μὴ τιμῶν τὴν ἀλήθειαν· εἴτε αὐτὸς οἷα τὰ ἀνθρώπινα οἴκοθεν τοῦτο ὑπέλαβες, μηκέτι τοῦτο ἐν τῇ σῇ περιφέρῃς καρδίᾳ· αὐτὸς γὰρ ἐπίσταται ὁ θεὸς ὁ τὰς καρδίας ἐρευνῶν, οὐδὲν τοιοῦτον ἑαυτοῖς συγγινώσκομεν· ἐπιστάμεθα γὰρ χάριτι θεοῦ καὶ τὸ τῆς φρονήσεως ὑμῶν τέλειον, καὶ τὴν πρὸς ἡμᾶς ἀνυπόκριτον ἀγάπην, καὶ τὴν πρὸς τὰς τοῦ θεοῦ ἐκκλησίας εὐλάβειαν ἣν ἔχεις, ὡς ἄνθρωπος θεὸν καὶ εἰδὼς καὶ τιμῶν, καὶ γινώσκων, ὅτι καὶ τὸ τιμᾷν τὸν θεὸν ἔχει φρίκην τινά· οὐ γὰρ οἴδαμεν, εἰ ἀξίως τιμῶμεν· τὸ δὲ προσκρούειν, πόσῳ μᾶλλον φοβερώτερόν ἐστι καὶ φρικωδέστερον; ἐῤῥωμένον σε διαφυλάττοι ὁ κύριος, πάσης κακώσεως καὶ ὁρωμένης καὶ ἀοράτου ἀνώτερον.

LXII. ΠΕΤΡΩ ΜΟΝΑΖΟΝΤΙ.

Ἐσπούδασε μὲν ὁ ἐξ ἀρχῆς τῆς ἐν εἰρήνῃ καταστάσεως τῆς ἀνθρωπίνης ζωῆς πολέμιος τὰ συνήθη ἑαυτῷ πονηρεύσασθαι, καὶ διαταράξαι τὴν ὑμῶν ἱερὰν ποίμνην· καὶ ἴσως οὐδὲ προαιρέσεως ὄντα τοιαύτης τὸν ἄνθρωπον ἐκεῖνον, τὸν Ἱλαρίωνα φημὶ, ταῖς οἰκείαις μεθοδίαις ἐκίνησε σκάνδαλον ὑμῖν γενέσθαι· ὅμως δὲ ὁ τὴν εἰρήνην κλῆρον καταλιπὼν τοῖς ἀγαπῶσιν αὐτὸν, εἴτε ἀνθρωπίνης κουφότητος, εἴτε δαιμονικῆς ἐπηρείας τὸ γεγονὸς ὑπῆρξεν, ἐκεῖνα διέλυσεν, ὑμῖν δὲ παρέσχε τὸ εἰρηνεύειν· καὶ ἐπὶ τοῦτο μὲν χάριν ὁμολογοῦμεν τῷ ἁγίῳ θεῷ, ὑμῖν δὲ καὶ χωρὶς τῶν ἡμετέρων λόγων εἰδόσιν, οἷα δὴ πνεύματι θεοῦ κυβερνωμένοις, ὡς ἔστι δέον προσφέρεσθαι τῷ ἀνθρώπῳ, γράφομεν ἃ γινώσκομεν καὶ τῇ σῇ ὁσιότητι πρέποντα, κἀκείνῳ σωτήρια ὄντα καὶ συμφέροντα τοῦ μὴ ὥσπερ ἀπεξενωμένον αὐτὸν ἔχειν, μὴ δὲ τῆς σῆς ἀλλότριον πνευματικῆς σχέσεως· ἀλλ᾽ εἰ καὶ μὴ συνεχώρησεν αὐτὸν ἡ τοῦ τρόπου ἀνομαλότης, οἷα πολλὰ τὰ ἀνθρώπινα, σωματικῶς συνεῖναι καὶ συνδιάγειν ὑμῖν, τέως τῆς πνευματικῆς ἑνότητος μὴ εἶναι κεχωρισμένον αὐτόν· ἀλλ᾽ ὅπως ἂν ᾖ, τὴν σὴν πατρικὴν κηδεμονίαν διαβαίνειν, καὶ τῶν σῶν προσευχῶν

καὶ παραινέσεων, δι' ὧν πρὸς τὴν μακαρίαν καὶ εἰς ζωὴν ἄγουσαν ὁδὸν κατευθύνεται, μὴ ἀμοιρεῖν αὐτὸν, μὴ δὲ ἀποκήρυκτον τοῦ μεγάλου τούτου κλήρου καθίστασθαι· ἐῤῥωμένος ἡμῖν διαφυλάττῃ, μεμνημένος ἐν ταῖς ὁσίαις εὐχαῖς σου τῆς ἡμῶν ταπεινότητος.

LXIII. ΕΠΙΦΑΝΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Ἔχει τί πρὸς ἡδονὴν καὶ ἡ σωματικὴ τῶν φίλων συνομιλία τῇ σωματικῇ συναφείᾳ δοκοῦσα τοὺς συναπτομένους ἡδύνειν· ἀλλ' ἥ γε πνευματικὴ, τέκνον ἡμῶν, κἂν ᾖ τῶν σωμάτων ἀπόστασις, πλέον οἶδε τὸ ἡδὺ πηγάζειν ἐν ταῖς καρδίαις τῶν κατ' αὐτὴν συναπτομένων· ἔχομεν οὖν ἀνελλιπῆ τὴν ἀπόλαυσιν, ἐπεὶ χάριτι θεοῦ καὶ πνεύματι ἐσμὲν ἡνωμένοι, μηδὲν ἀπὸ τῆς σωματικῆς διαστάσεως ζημιούμενοι· τοιαύτη γὰρ ἡ τοῦ πνεύματος σχέσις, καὶ οὕτως οἶδε τῇ κατὰ τὸν νοῦν συναφείᾳ τοῖς καθαρῶς ἡνωμένοις χαρίζεσθαι, ὥστε εἰ καὶ πολέμιος ὁ καιρὸς τῇ σωματικῇ ἀπήντησεν ὁμιλίᾳ, οὐδὲν ζημιῶσαι δεδύνηται· πάντως δὲ θεοῦ βουλομένου συνεσόμεθα καὶ σωματικῶς ἀλλήλοις, ὁπότε τούτου τῆς θείας βουλῆς ἔσται κρίσις· περὶ δὲ ὧν ἡμῖν μὲν ἐδήλου τὸ γράμμα, ὁ δὲ χαρτοφύλαξ ἐκ τοῦ πρὸς αὐτὸν ἀπεσταλμένου γράμματος λαβὼν ἀνήγγειλεν, ἡ δοκοῦσα πρέπειν ἐξηνέχθη διάστασις· καὶ λοιπὸν οὕτω γενήσεται καθὼς παρ' ἡμῶν ἐγράφη τοῖς κατὰ χώραν ἱκανοῖς οὖσι διοικεῖν τὰ γραφόμενα· τὰ δ' ἄλλα ἔῤῥωσό μοι τῆς ἡμῶν ταπεινότητος ἐν ταῖς ὁσίαις εὐχαῖς σου μεμνημένος.

LXIV. ΤΡΥΦΩΝΙ ΜΟΝΑΧΩ.

Χαίρομεν ἐφ' οἷς ἡ ὁσιότης ὑμῶν οὕτω διὰ φροντίδος ἔχει πολλῆς τὰ ἡμέτερα· ἐπεὶ καὶ τοῦτο μέγα παραμύθιον τοῖς θλιβομένοις, ὥσπερ δὴ καὶ τὸ ἐναντίον σφοδρῶς ἀνιᾷ τοὺς εἰς παράκλησιν τοιαύτης προαιρέσεως· περὶ οὗ καὶ τὸ λόγιον φησὶ, καὶ ὑπέμεινα συλλυπούμενον καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας καὶ

οὐχ εὗρον· ἐν παντὶ γὰρ κοινωνίᾳ κουφότερον ποιεῖ τὸ βάρος τῶν ἀνάγκην ἐχόντων φέρειν αὐτό· ὡς οὖν ἔφην χαρᾶς ἐν τούτῳ τῷ μέρει ἀπολαύομεν, καὶ εὐχαριστοῦμεν τῷ ἁγίῳ θεῷ τῷ τοῦτο ὑμᾶς συγκινοῦντι· πλὴν ὁ χειμὼν ὁ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐξ ἀρχῆς ἡμῖν ἐπιτεθειμένος, οὐδὲν ἔλαττον καὶ ἔτι χειμάζει, πάντως τοῦ νέφους τῶν ἡμετέρων σφαλμάτων πολλὴν τὴν πύκνωσιν κεκτημένου, καὶ οὔπω τῆς θεϊκῆς εὐμενείας λαβεῖν τὴν λύσιν ἐθέλοντος· ἣν ταῖς σαῖς ὁσίαις ἐξιλέου εὐχαῖς· ἴσως ὀψέ ποτε δώσει αἰθρίαν ἡμῖν ὁ φιλάνθρωπος, καὶ ἀναπνεῦσαι παράσχοι τὴν ἐκκλησίαν τῆς συνεχούσης αὐτοῦ χαλεπότητος.

LXV. ΙΩΑΝΝῌ ΕΠΙΣΚΟΠῼ ΑΜΙΣΟΥ.

Τὸ γράμμα τῆς ὑμῶν ὁσιότητος διπλῆν ἡμῖν ἐνεποίησε τὴν διάθεσιν ἐξ ἐναντίων προερχομένην τῶν ἀφορμῶν· ἡ μὲν γὰρ παρεσκεύαζε χαίρειν, τῆς ὑμετέρας ζωῆς τὴν γνῶσιν ἡμῖν ἐμφανίζουσα· ἡ δὲ τὸ λυπεῖσθαι προεξένει· δι' ὧν ἐμανθάνομεν ὡς παρὰ τῶν βιαίων καὶ πρὸς μόνην τὴν πλεονεξίαν ὁρώντων, τὸ ἔλαττον αὐτὸς ἀπηνέγκω, κακὴν ὄντως καὶ ὀλέθριον νίκην ἐκείνων νενικηκότων· πλὴν ἐκεῖνο ἐνθυμηθέντες, ὅτι χάριτι θεοῦ οὐδὲν ἐζημίωται ἡ σὴ ἀρετὴ, τῆς σῆς ἀγαθῆς προαιρέσεως καὶ σπουδῆς· ναὶ δὴ καὶ τοῦ πόνου καὶ τῶν καμάτων, οὓς διὰ τῆς χαλεπῆς ὑπέστης ὁδοιπορίας, οὐκ ἀπεστέρησαν τῆς παρὰ θεοῦ μισθαποδοσίας οἱ δόξαντες ἀποφέρεσθαι τὴν νίκην, παραμύθιον οὐ μικρὸν εὕρομεν τοῦ μὴ λυπεῖσθαι, ὅπερ καὶ τῇ σῇ ἀρετῇ γενέσθω χάριτι θεοῦ πάσης ὕλης ἐλευθέρᾳ τυγχανούσῃ, καὶ πρὸς μόνα τὰ ἀποκείμενα αἰωνίως κέρδη ἀτενιζούσῃ. τοὺς δὲ ὑβριστὰς καὶ εἴρωνας οἵ τινες ποτέ εἰσι μετὰ τῆς αὐτῆς δυσφημίας καὶ εἰρωνίας, εἰς τὸ μηδὲν ἀποῤῥίψωμεν, μηδεμίαν φροντίδα ποιούμενοι, εἴτε πλύνουσιν ὕβρεσιν, εἴτέ τι ἕτερον εἰς ἐπίνοιαν φέρουσι τοῦ καθ' ἡμῶν ἐπιδείκνυσθαι· τὰ δ' ἄλλα ἐῤῥῶσθαί σε ἡμῖν παράσχοι ὁ ἅγιος θεὸς μεμνημένον τῆς ἡμῶν μετριότητος.

*

LXVI. ΑΔΗΛΩ.

Τέκνον μου ἠγαπημένον· πρᾶγμα ἐγένετο ὡς λέγουσί τινες μήτε τῇ δόξῃ πρέπον τῆς πόλεως ταύτης ἐν ᾗ πᾶσα τάξις χριστιανικὴ καὶ πᾶσα εὐσέβεια πολιτεύεται, καὶ πᾶσα σοφίας ἀκρότης καὶ ἱερᾶς καταστάσεως ἀκρίβεια, μήτε τὸ ἄλυπον καὶ ἄμεμπτον τῇ ἐκκλησίᾳ παρεχόμενον· λέγουσι γὰρ τοιαῦτα γενέσθαι, οἷα ἐν τοῖς ἔθνεσι, καὶ ἐν τοῖς ἕλλησι πολιτεύεται· αἱ γὰρ διὰ πυρκαιᾶς καὶ διὰ σφαγῆς τῶν ζώων γενόμεναι συνθῆκαι οὐδὲν ἄλλο εἰσὶν ἢ θυσία ἐθνική τε καὶ ἑλληνική· μὴ γὰρ μόνον πρὸς τὴν σφαγὴν ἁπλῶς οὕτω καὶ ὡς ἔτυχεν ἀποβλέψῃς, ἀλλὰ κατανόει ὅτι μυστικωτέρους τινὰς ἔχουσι λόγους κατὰ τὴν ἐκείνων ἀθεότητα· ἐπεὶ διὰ τί μὴ ἁπλῶς τὰ τυχόντα ζῶα σφάζουσιν, ἀλλ' ἐκλέγονται βοῦς καὶ κύνας καὶ πρόβατα; ὥσπερ οὖν ἡ φρικτὴ τῶν χριστιανῶν θυσία ἐκλέγεται ἄρτον καὶ οἶνον, καὶ ταῦτα προσφέρει μυστικῶς ἁγιάζουσα τοὺς τελοῦντας, οὕτω καὶ ἐκεῖνα τὰ ζῶα κατὰ τὴν ἰδιότητα τῆς ἀσεβείας αὐτῶν ἐκλέγεται εἰς θυσίαν οἰκειοποιοῦντα τοὺς τελοῦντας τοῖς ὑπ' αὐτῶν λατρευομένοις δαίμοσι· μὴ γὰρ ἀπατάτω ἡμᾶς τοῦτο τὸ παρ' αὐτῶν λεγόμενον, ὡς οὕτως χεθείη τὸ αἷμα· ὅτι ψιλοί εἰσι λόγοι· ἀλλὰ τοῦτο γινώσκειν ὀφείλομεν, ὅτι πρὸς μυστικήν τινα κατ' αὐτοὺς τὰ γινόμενα αἰτίαν ἔχουσιν τὴν ἀναφοράν· ἐπὶ τί ἐκώλυεν ἁπλῶς σχίσαι ξύλον καὶ εἰπεῖν, οὕτω διατμηθείην; τί ἐκώλυε στρουθίον θῦσαι καὶ εἰπεῖν, οὕτω τὸ αἷμά μου χεθείη; ἀλλὰ πυρκαιᾶς ἅπτουσι, καὶ ἐκλογὴν ἰδίως ποιοῦνται κυνῶν καὶ βοῶν καὶ προβάτων.

Οὐκ ἔδει οὖν τοῦτο γενέσθαι, ἀπηγορευμένον γάρ ἐστι καὶ τοῖς ἱεροῖς κανόσι, καὶ τῇ χριστιανῶν καταστάσει· ὡς οὖν εἶπον οὐκ ἔδει γενέσθαι· ἐπεὶ δὲ ἐγένετο, δεύτερόν ἐστιν ἀκολουθῆσαι τὴν θεραπείαν, καὶ ὑποβληθῆναι ἐπιτιμίοις τοὺς εἰς τὸ πρᾶγμα τοῦτο παρατυχόντας, ἵνα μήτε σκάνδαλον τῇ ἐκκλησίᾳ προσγένηται, καὶ ταραχὴ καὶ ζάλη ἐπιπλέον αὐτὴν καταλάβῃ,

μήτε μέμψις καὶ ἐν τῇ παρούσῃ γενεᾷ, καὶ ἐν τῇ μετὰ ταῦτα ἡμῖν τε τοῖς ἁμαρτωλοῖς καὶ τῇ σῇ ἀρετῇ, τέκνον μου ἠγαπημένον, καὶ τοῖς λοιποῖς ἄρχουσι τῆς πολιτείας προστριβῇ· ὁ γὰρ φιλόχριστος ἡμῶν βασιλεὺς διὰ τὸ ἀτελὲς τῆς ἡλικίας καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις τὸ ἄμεμπτον ἕξει· ἡμεῖς δὲ, γίνωσκε, ὅταν δὲ λέγω ἡμεῖς, τὴν ἐκκλησίαν λέγω καὶ σὲ καὶ τοὺς λοιποὺς τῆς πολιτείας ἄρχοντας, καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις ἐν μέμψει καὶ φαυλισμῷ γενησόμεθα· σπούδασον εἶναι, τέκνον μου, τῇ παρὰ Θεοῦ σοι δεδομένῃ φρονήσει οὕτω διευθετῆσαι τὸ πρᾶγμα, ἵνα μὴ λάβωσιν ἀφορμὴν οἱ φιλόψογοι καὶ διασύρειν ἐπιμέλειαν ἔχοντες μέμψεως ἀφορμὴν, ἀλλὰ πολλάκις καὶ τὰ καλὰ πράγματα εἰς τὸ λοιδορεῖσθαι καὶ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ τῇ περιδόξῳ πολιτείᾳ καὶ νῦν καὶ μετέπειτα· ἀλλὰ γνῶσιν ὅτι τὸ μὲν γεγονὸς δι' ἀνάγκην ἐγένετο, ἧς αἴτιοι οἱ τοὺς πολέμους ἀγαπῶντες καὶ τὰς σφαγὰς τῶν ἀνθρώπων, λέγω δὴ οἱ Θεομίσητοι Βούλγαροι· ἡ δὲ Θεραπεία ἐπηκολούθησεν ἐκ τῆς ὑμῶν εὐσεβοῦς καὶ εὐδιακρίτου φρονήσεως· τὰ γὰρ κατ' ἀνάγκην γινόμενα, συγγνώμης ἀξιοῦται καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις τοῖς εἰδόσι τὰ ἀνθρώπινα πράγματα· καὶ γὰρ πολλάκις διὰ λιμοῦ ἀνάγκην ἀπεγεύσατό τις τῶν ἀπηγορευμένων, εἶτα μετὰ τοῦτο τὴν ὀφείλουσαν Θεραπείαν δεχόμενος, οὐδὲ μίαν ἔχει μέμψιν, ὅτι δι' ἀνάγκην ἀκαθάρτου τινὸς ἀπεγεύσατο· οὕτως οὖν καὶ τοῦτο ἐὰν δέξηται Θεραπείαν, ἀδιάβλητον διὰ τὴν ἀνάγκην καὶ ἀκατάκριτον· ἐὰν δὲ μείνῃ ἀθεράπευτον, οὔτε ἡ παροῦσα γενεὰ, οὔτε ἡ μετὰ ταῦτα ἐσομένη ἀδιαβλήτους ἡμᾶς καὶ ἀκατακρίτους ἐάσουσιν.

LXVII. ΑΔΗΛΩ.

Τέκνον μου ἠγαπημένον· ἀντὶ τῆς εὐσεβείας καὶ τῆς τιμῆς, ἣν πρὸς τὴν τοῦ Θεοῦ ἐκκλησίαν ἔχεις, καὶ αὐτὸς καὶ οἱ λοιποὶ ἔνδοξοι τοῦ ἱεροῦ παλατίου ἄρχοντες, εὐχόμεθα εἰ καὶ ἁμαρτωλοὶ δοθῆναι ὑμῖν τὴν αἰώνιον δόξαν αὐτοῦ καὶ τιμὴν, καὶ εἶναι τὸν φιλάνθρωπον δεσπότην Χριστὸν ἡμῶν καὶ Θεὸν ἐν πάσαις

ταῖς αἰτήσεσιν ὑμῶν] εὐπειθῆ καὶ ἐκπληρωτὴν τῶν σωτηρίων ὑμῶν αἰτημάτων· καὶ πιστεύω τοῖς οἰκτιρμοῖς αὐτοῦ, ὅτι οὕτως γενήσεται πρὸς ὑμᾶς, ὥσπερ καὶ αὐτοὶ πρὸς τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν διετέθητε· ὁ γὰρ εἰπὼν ἐφ' ὅσον ἑνὶ τῶν ἐλαχίστων τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε, πῶς οὐχὶ τὴν πρὸς τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν τιμὴν ὑμῶν καὶ ὑποταγὴν ἀμείψεται πολλαπλασίως; ἀλλὰ ταῦτα μὲν περὶ τῆς θεοφιλοῦς ὑμῶν προαιρέσεως· μητροπολίτας δὲ ἀποστελοῦμεν τρεῖς, ἐπεὶ πρὸς ἡμᾶς τὸ πλῆθος τῶν ἀρχόντων ἀνελθεῖν οὐκ ἐγχωρεῖ, ἵνα ἐκεῖνοι ἐν τῷ ἱερῷ παλατίῳ κατενώπιόν σου, τέκνον ἡμῶν, καὶ τῶν περιβλέπτων ἀρχόντων, ὅσοι ἂν εὑρεθῶσι τὸ ὁρισθὲν ἐπιτίμιον γνωρίσωσιν ὑμῖν· τοῦτο δὲ ἔσται καὶ ὑμᾶς λυποῦν, μὴ δὲ καὶ βαρύνον, καὶ τοῖς πολλάκις κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ ἐφεδρεύουσι καὶ κινουμένοις ἀποκλεῖον τὴν κίνησιν· καὶ πάλιν δὲ φημί· εἴη ὁ θεὸς ὁ διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων σταυρωθῆναι καταδεξάμενος ἀντὶ τῆς ἐπιεικείας ὑμῶν, καὶ τῆς σωτηρίου ταύτης ὑποκατακλίσεως ἀνυψῶν καὶ κατευοδῶν καὶ τὰ φρονήματα ὑμῶν καὶ τὰ βουλεύματα καὶ τὰ πράγματα.

LXVIII. ΑΔΗΛΩ.

Τὰ γράμματά σου, τέκνον ἡμῶν, ἀναγινώσκοντες, πρῶτον μὲν ἐπὶ ταῖς καταλαβούσαις ὑμᾶς χαλεπότησιν ὀδυνήθημεν σφοδρῶς τὴν καρδίαν· πῶς γὰρ οὐκ ἐμέλλομεν σφοδρὰν δέχεσθαι τὴν ὀδύνην τοιούτοις πάθεσιν μανθάνοντες ἐμπεπτωκέναι σε, τέκνον ἡμῶν; ἀλλὰ τὰ τοῦ γράμματος ἔσχατα ἔδωκεν ἀναπνεῦσαι ἡμῖν διδάσκοντα θεοῦ χάριτι τοὺς χαλεπoὺς ἐκείνους διαλελύσθαι κινδύνους, καὶ τὴν ὑμῶν μετὰ σωτηρίας κατάληψιν ἐν τῇ τῶν Χερσωνιτῶν πόλει· καὶ εἴη ὁ ὑπεράγαθος θεὸς, ἐπεὶ οὐδὲν τῶν ἐν ἀνθρώποις ὁμαλὸν οὐδὲ χωρὶς περιστάσεως, οὕτως τὴν σὴν διεξάγων ζωὴν, ὥσπερ τὰ ἔσχατα τοῦ γράμματος ἡμᾶς ἀνεδίδαξε· περὶ δὲ τοῦ ἐπισκόπου τῆς Χερσῶνος μέμνηταί σου ἡ ἀγαθὴ σύνεσις, ὅτι καὶ στόματι οἰκείῳ προσωμιλήσαμεν, καὶ νῦν δη-

λοῦμεν διὰ τοῦ γράμματος, ὅτι τῶν ἀπὸ Χαζαρίας πρὸς τὰ ἐνταῦθα καταλαβόντων ἐπίσκοπον ἐξαιτησαμένων, ὥστε χειροτονίας ἐκεῖσε πρεσβυτέρων ἐπιτελέσαι, ἀλλὰ καὶ περὶ τῆς καθαρᾶς τῶν χριστιανῶν πίστεως ἀναδέξασθαι τὴν διακονίαν, τὸν ἐν τῇ Χερσῶνι προβληθέντα ἀρχιεπίσκοπον ἀπέστειλεν, ὥστε θεοῦ συνεπιλαμβανομένου ἀπελθεῖν μὲν πρὸς τὴν Χαζαρίαν, καὶ ὅσα ἐκεῖ δεήσει ἐξυπηρετήσασθαι, εἶτα πρὸς ὃν προεβλήθη θρόνον ἐπανελθεῖν, τουτέστι πρὸς τὸν τῆς Χερσῶνος· καὶ πάντως ὡς τῆς ἐκκλησίας υἱὸς, οὕτω προθυμήθητι, καὶ τῷ πρὸς τὴν Χαζαρίαν ἔργῳ συναγωνίσασθαι καὶ τῇ καταστάσει καὶ ἐνιδρύσει τοῦ ἀρχιεπισκόπου πρὸς τὸν οἰκεῖον θρόνον, ἐπειδὰν πρὸς τὴν Χαζαρίαν θεοῦ συνεργοῦντος ἐκτελέσῃ· εἴη δὲ Χριστὸς ὁ θεὸς ἡμῶν καὶ αὐτόθι εὐδόκιμόν σε δεικνὺς, καὶ τὴν πρὸς τὰ ἐνταῦθα χαριζόμενός σοι μετὰ σωτηρίας ἀνακομιδήν.

LXIX. ΔΑΒΙΔ ΚΑΜΟΥΛΙΑΝῼ ΠΡΩΤΟΣΠΑΘΑΡΙῼ.

Ἃ ἔγραψας, τέκνον ἡμῶν ἠγαπημένον, περὶ τῶν, οὐκ οἶδα πῶς εἴπω μανίᾳ ἢ μισανθρώπῳ δαίμονι, πρὸς τὴν ἀπάνθρωπον πρᾶξιν συνελαθέντων, εἰς ὑπόμνησιν τοῦ βασιλικοῦ ἀνηνέχθη κράτους· πλὴν καὶ πρὸ τῆς ἡμετέρας ὑπομνήσεως δι᾽ ἀναφορᾶς ὑμῶν ἡ τῶν πραχθέντων οὐ διελάνθανε τούτους γνῶσις· παρεκελεύσαντο οὖν τῇ ἐντρεχεστάτῃ συνέσει σου, ὥς γε ὑπολαμβάνω σὺν τῷ θεοφιλεστάτῳ τῆς Ἐφέσου ἀρχιεπισκόπῳ ποιήσασθαι τὴν τούτων ἐπίσκεψιν· ἀλλὰ περὶ μὲν τούτων οὕτως· ἡμεῖς δὲ καὶ πρώην ἰδόντες τὴν σὴν τελειοτάτην φρόνησιν, καὶ νῦν αὐξάνουσαν ἔχοντες διὰ τῶν πράξεων ὑμῶν τὴν περὶ σοῦ γνῶσιν, εὐχόμεθα εἰ καὶ ἁμαρτωλοὶ διὰ παντός σε τῇ τοῦ θεοῦ ὁδηγεῖσθαι δεξιᾷ ἐν πᾶσιν οἷς πορεύῃ, καὶ ὑπὸ τῆς ἄνωθεν τοῦ ἁγίου πνεύματος ἐπιπνοίας κινούμενον, ἐκεῖνα καὶ φρονεῖν καὶ πράττειν, ὅσα καὶ ἐν τῇ παρούσῃ ζωῇ παντὸς μώμου ἀνώτερον καθίστησι, καὶ ἐν τῇ μελλούσῃ τὴν αἰωνίαν σοι εὔκλειαν χαριεῖται.

LXX. ΔΑΒΙΔ ΚΑΜΟΥΛΙΑΝΩ ΠΡΩΤΟΣΠΑΘΑΡΙΩ.

Ἃ μὲν ἔδει πρὸς θεὸν ἀνενεγκεῖν, ὅτι τέκνου ἠγαπημένου γράμμασι τοὺς ὀφθαλμοὺς ἡμῶν ἐπεβάλλομεν, καὶ τῇ ἐπιβολῇ ταύτῃ ὥσπερ ἐν ὀφθαλμοῖς ἔχειν τὸ τέκνον ἐνομίζομεν, ἀνηνέχθη· ἃ δὲ τὸ γράμμα περὶ τῶν τὴν γλῶσσαν εὐκόλων εἰς μνήμην ἦγε, τί δεῖ, τέκνον μου, συνετὸν ὄντα σε θεοῦ χάριτι πειρᾶσθαι διὰ τῶν ἡμετέρων λόγων, τοῦ τοιούτου τῶν ἀνθρώπων πάθους ἄγειν εἰς κατανόησιν; οἶδε γὰρ ὅτι οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις οἷον τὸ διασύρειν τὰ τῶν πλησίον πράγματα καὶ τοὺς λόγους, ὁποῖα ποτὲ ἂν ὦσι· καὶ τί θαυμαστὸν, εἰ καὶ ἡμῖν συμβαίνει ἐκ τοῦ τοιούτου ἀνθρωπίνου πάθους κακολογεῖσθαι; ὥστε τοὺς κακολογοῦντας ἔα χαίρειν, τέκνον ἐμὸν, σὺ δὲ τῆς σῆς ἀγαθῆς ἔχου συνειδήσεως, ἣν θεῷ σπουδάζεις παραστῆσαι τῷ ἀπροσωπολήπτῳ κριτῇ ἀδιάβλητον· ἐπεὶ τά γε πρὸς ἀνθρώπους οὐδεὶς οὕτω κατωχυρωμένος ἐστὶν ἐξ ὀρθῆς συνειδήσεως, ᾧ μὴ πάντως ὁ μῶμος τὸν πικρὸν ὀφθαλμὸν ἐπιβάλλει· οἴδαμεν δὲ καὶ ἡμεῖς ὅτι πρότερον πόνους ὑπέστης καὶ νῦν ὑπομένεις, οὐδὲν ἐξ ἀνθρώπων προξενήσαντας ὄφελος· καὶ θεὸς αὐτὸς μάρτυς ὁ τὰς καρδίας ὑποπτεύων· ἀλγυνόμεθα τὴν ψυχὴν, ἀλλὰ τί ἄν τις εἴποι περὶ τῶν πεφυρμένων τοῦ βίου πραγμάτων, πλὴν εἴ τι δεῖ πρὸς κρείττονας ὁρᾷν ἐλπίδας; ἐκεῖνο ἐλπίζομεν, ὅτι καὶ ἡ σὴ ἀρετὴ τῆς ὀφειλομένης αὐτῇ μεθέξει τιμῆς· ἀλλὰ ταῦτα μὲν περὶ τούτων· ἃ δὲ ἀπέστειλας ἡμῖν περὶ τῶν εἰς ἐξέτασιν ὑποβληθέντων ἀνθρώπων, ἐφ' οἷς κακῶς διεπράξαντο, ταῦτα πρὸς τὴν βασιλικὴν ἐπίσκεψιν προσῆλθε, καὶ καθὼς ἐπεσκέψαντο τῇ σῇ τιμιότητι παρακέλευσιν ἐποιήσαντο, ὅπως δεήσει καὶ ἔτι τὰ περὶ τῶν ἀφρόνων ἐκείνων μετιέναι ἀνθρώπων· λοιπὸν ἔστιν ἀκόλουθον τῆς σῆς τελειοτάτης συνέσεως τὸ λεῖπον ἔτι τῆς δικαίας ἀνταποδόσεως ἐπενεγκεῖν τέλος τοῖς δι' ἐρημίαν φρενῶν, ἵνα μὴ λέγω μανίαν ὑποδίκους ἑαυτοὺς τῆς τοιαύτης πεποιηκόσι κολάσεως· τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάττοι ὁ κύριος, καὶ ἀνώτερον ἐκ πάσης ὁρωμένης καὶ ἀοράτου ἐπερείας καὶ κακότητος.

LXXI. ΑΛΕΞΑΝΔΡῼ ΝΙΚΑΙΑΣ.

Περιττὸν ἡγούμενοι, τέκνον ἡμῶν, τοῦ διὰ γραμμάτων ἡμετέρων διδάσκειν, ἃ τοῦ Ἰακώβου παρόντος παρ' αὐτοῦ μάθοις, παρείδομεν διεξιέναι τὴν τῶν παρά σου γραφέντων διόλου διοίκησιν· ἐκεῖνο δὲ γνωρίζομεν, ὡς ὁ Πέτρῳ εἰ μὴ πάλιν προτιμήσῃ τὸ ψεῦδος τῆς ἀληθείας, τὸ ζητούμενον τρίτον πρόσωπον ὡμολόγησε παρασχεῖν· καὶ εἰ μὲν τιμήσῃ τὴν ἑαυτοῦ ὁμολογίαν, μηδὲν πλέον ἐπ' αὐτῷ πράξεις· εἰ δὲ πρὸς ἀθέτησιν ταύτης ἴδοι, ἀνάγκη αὐτὸν ἐκεῖθεν ἀπελαύνεσθαι, καὶ πάντως ἀπελαθήσεται· ὁ δὲ Ἰάκωβος εἰσήχθη κατὰ πρόσωπον τοῦ βασιλεύοντος, καὶ ὡς ἐξηγήσατο ἡμῖν, πᾶσαν εἶδε τὴν ἐκείνου ῥοπὴν μετὰ τῶν ἀντιδίκων· τί οὖν δεῖ πράττειν, τέκνον ἡμῶν, τῶν πραγμάτων οὕτως ἐχόντων; ἢ φιλοσόφως διαγενέσθαι, καὶ τῷ καιρῷ παρασχεῖν, ὅσον μὴ παντελῶς δείκνυσι προδότας τῶν ἐκκλησιῶν τοῦ θεοῦ· πλὴν μετὰ τῶν λοιπῶν ὅσα ὁ Ἰάκωβος ἀπαγγελεῖ, καὶ ταύτην προσθήσει τὴν ἀπαγγελίαν· ἐῤῥωμένος ἡμῖν εἴης καὶ μεμνημένος ἐν ταῖς ὁσίαις εὐχαῖς τῆς ἡμῶν ταπεινότητος.

LXXII. ΑΔΗΛῼ.

Τέκνον μου ἠγαπημένον· μετὰ πάντων σου τῶν καλῶν δεῖξον καὶ τὴν ἀγαθήν σου προαίρεσιν ὑπὲρ τῆς παραμυθίας τῆς ἐκκλησίας τοῦ κλήρου τοῦ θεοῦ, τῶν ἡμέρας καὶ νυκτὸς εἰς τὴν δοξολογίαν τοῦ θεοῦ κοπιώντων, καὶ προσευχομένων ὑπὲρ ζωῆς καὶ σωτηρίας τοῦ βασιλέως καὶ τῆς σῆς καὶ πάντων τῶν ὑπηκόων· μὴ τὴν ῥῶγα, ἣν ἀφ' οὗ συνέστη ἡ ἐκκλησία, καὶ μέχρι τοῦ νῦν ἐλάμβανον ἀποστερηθῇ, ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τοῦ κυροῦ Κωνσταντίνου, μὴ δὲ καταλίπῃς τῷ χρόνῳ ἱστορίαν τοιαύτην· ἀλλ' εἰ καὶ ἀπέκοψαν αὐτὴν οἱ μὴ καλῶς πρὸ σοῦ διοικήσαντες τὰ κοινὰ πράγματα, σὺ διόρθωσαι τὸ ἐκείνων σφάλμα εἰς δόξαν μὲν τοῦ βασιλέως, εἰς μνημόσυνον δὲ ἀγαθὸν τοῦ ὀνό-

ματός σου, ὅτι διὰ τῆς σῆς θεοσεβείας οὐχ ὑπέμεινεν ἐκκλησία τὴν τοσαύτην ζημίαν, οὐδὲ ὁ παραλογισμὸς ἐβεβαιώθη ὃν παρελογίσαντο αὐτὴν οἱ ἄνθρωποι ἐκεῖνοι, ἀλλὰ πάλιν ἐν ταῖς ἡμέραις σου τετίμηται ἡ ἐκκλησία· ἕνεκεν μὲν λιτρῶν, τέκνον μου, οὔτε ἐὰν μὴ δοθῶσι τὸ ταμεῖον τοῦ βασιλέως αὐξηθήσεται, οὔτε ἐὰν δοθῶσι καινοτομία τις αὐτῷ προσγενήσεται· τὸν δὲ μισθὸν σκόπει πόσος ἔστιν, ὡσαύτως καὶ κατάκριμα· ἐὰν δὲ ἑνὸς ἐλεουμένου μισθὸς ἀπόκειται παρὰ τῷ θεῷ, ἢ πάλιν ἑνὸς ἀδικουμένου κόλασις μένει καὶ τιμωρία, πόσῳ μᾶλλον τοσούτου λαοῦ καὶ γυναικῶν ἀθλίων πτωχῶν ἠπορημένων ἡ ἐλεημοσύνη προξενήσει σοι ἄπειρον παρὰ θεοῦ τὴν μισθαποδοσίαν; καὶ, τέκνον ἠγαπημένον, τίμησον τὴν ἐκκλησίαν, ἵνα καὶ σὺ μετὰ τῆς ἐπιγείου τιμῆς καὶ τῆς αἰωνίου ἣν πάντως οἶδα ὅτι ἐπιθυμεῖς, ἀπολαύσῃς· παράσχοι δὲ ὁ θεὸς ὁ ἅγιος ὅσα εἰς δόξαν αὐτοῦ, ὅσα εἰς τὴν σὴν τιμὴν καὶ σωτηρίαν, ταῦτα καὶ διανοεῖσθαι καὶ πράττειν, ῥυόμενός σε ἀπὸ πάσης κακῶν περιστάσεως καὶ ὁρωμένης καὶ ἀοράτου.

LXXIII. ΑΔΗΛΩ.

Γένους ὑπάρχων ἐξ ἀγαθοῦ καὶ δικαίου, τέκνον ἡμῶν, οἴκοθεν ἔχεις τὸ ἀγαθὸν καρποφορεῖν καὶ τὸ δίκαιον· διὰ τοῦτο οὐδὲν ἄλλο ἢ μόνην τὴν ὑπόθεσιν γράφομεν· ἐκεῖ γὰρ ἡ παραίνεσις χώραν ἔχει, οὗ ἔστιν ὑπόνοια μὴ παρ᾽ ἑαυτοῦ κατηρτισμένον εἶναι τὸν παραινούμενον· ἡμεῖς δὲ πόῤῥω ταύτης τῆς ὑπονοίας ἐσμὲν περὶ σοῦ· διὰ τοῦτο μόνον τὸ πρᾶγμα παριστῶμεν τὸ βαρὺ τοῦτο καὶ χαλεπὸν φορτίον· ὁ λεγόμενος κόκκος, ὥς φησιν ὁ τὸ γράμμα κομίζων, ἐξ ἀρχῆς μέχρι καὶ σήμερον οὐκ ἐπεφορτίσθη τῷ τοῦ ἁγίου ἀποστόλου κτήματι, νῦν δὲ ὅπως οὐκ οἶδα κινδυνεύει τῷ ἄχθει τούτῳ καταβαρεῖσθαι· σὸν οὖν ἐστι, τέκνον ἡμῶν, καὶ τῆς σῆς ἀρετῆς καὶ συνιδεῖν τὸ βάρος, καὶ τῷ μοναστηρίῳ, μᾶλλον δὲ τῷ μεγάλῳ μαθητῇ τοῦ κυρίου, μὴ συγχωρῆσαι ἣν οὐκ ἔγνωκε μέχρι σοῦ βαρύτητα νυνὶ γνωρίσαι· εἴης

ἡμῖν ἐῤῥωμένος ἐν κυρίῳ, καὶ πάσης ὁρωμένης τε καὶ ἀοράτου κακώσεως ὑπερκείμενος.

LXXIV. ΑΔΗΛΩ.

Καὶ οἰκείᾳ γλώσσῃ ἐνετειλάμεθα τῇ εὐλαβείᾳ σου τοὺς χορηγοῦντας τὸ ἐτήσιον τοῦ κηροῦ τέλος, μὴ πλέον τῆς δυνάμεως μὴ δὲ πρὸς ἀδικίαν τῆς ῥοπῆς κλινούσης ἀπαιτεῖσθαι τὸ τέλεσμα· ἀλλ᾽ ὅσον ἡ σὴ ὁρᾷ σύνεσις μήτε ἐκείνους τῆς ὀφειλομένης τῇ ἐκκλησίᾳ ζημιοῦν χορηγίας, μήτε τὴν ἐκκλησίαν ἀδίκως τί παρ᾽ ἐκείνων κερδαίνειν· ἐξ ἴσου γὰρ καὶ τὸ ἐκείνους τὴν ἐκκλησίαν ἀποστερεῖν τῆς δικαίας χορηγίας, καὶ τὸ παρὰ τῆς ἐκκλησίας ἐκείνους πλεονεκτεῖσθαι, ἀποβεβλημένον ἡμῖν· ὥστε ὡς ἄνθρωπος φρόνιμος καὶ συνετὸς τὸ ἄλυπον ἑκατέρῳ μέρει περιποίησαι· τὸν δὲ ἐπίσκοπον, ὃς ἀτάκτως καὶ παρὰ κανόνα εἰς πράγματα ἑαυτὸν ἐπιδίδωσι, καὶ ἄλλους τὰ πράγματα κἀκεῖνον ὑπόδικον ποιοῦντα, εἰ μὲν πλησίον ἐστὶν οἰκείοις λόγοις ἀλελφικῶς παρακάλεσον, τὸ πρέπον συνιδεῖν καὶ ἐπισχεῖν ἑαυτὸν τῆς ἀτάκτου προαιρέσεως· εἰ δὲ μὴ πλησιάζει, ὅσα ἡ διὰ γλώσσης παράκλησις ἔμελλε ποιεῖν, ταῦτα διὰ γράμματος ποίησον· καὶ εἰ μὲν ἀκούσει, θεῷ χάρις, καὶ τὰ πράγματα τὴν οἰκείαν ἕξει κατάστασιν· εἰ δὲ μὴ ἀκούσει, αὐτὸς εὑρήσει τὰ ἐκ τῆς ἀνηκοΐας συναντήσοντα, καὶ σὺ ἕξεις τὸν ἐκ τῆς παρακλήσεως ἔπαινον· καιροῦ δὲ τὴν ὁδὸν ἀνεμπόδιστον ποιοῦντος, τὸν ἀτάκτως τὴν τοῦ Χαλδίας μητρόπολιν ἐπίσκοπον μεταποιήσαντα πρὸς ἀρχιεπισκοπὴν, πρὸς τὰ ἐνταῦθα πάντως ἐξαπόστειλον, ἵνα καὶ ἡμεῖς ἐκ τῆς ἐκείνου γλώσσης μαθόντες τὰ παρακολουθήσαντα, τὸ πρέπον τῇ ἐκκλησίᾳ διορισώμεθα.

LXXV. ΑΔΗΛΩ.

Τέκνον μου ἠγαπημένον· ἃ γράφομεν, τέκνον ἡμῶν, ὑπὲρ τῆς σῆς τιμῆς καὶ σωτηρίας καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλ-

λοντι γράφομεν, οὐχ ἵνα ἡμεῖς τι τῶν τοῦ βίου κερδήσωμεν, καὶ γὰρ ἤδη πρὸς τάφον ὁρῶμεν, καὶ τὴν ἐκ τοῦ βίου τούτου ἀναχώρησιν· ὅσοι τῶν ἀνθρώπων δυναστείαν ἐπὶ γῆς παρὰ θεοῦ λαμβάνουσι, τοῦτο πρῶτον ἔχουσιν ἔργον, ὅταν εὐχάριστοι διαμένωσιν ἐπὶ ταῖς τοῦ θεοῦ εὐεργεσίαις, τοῦ σπουδάζειν δοξάζεσθαι τὸν θεόν· δοξάζεται δὲ ὁ θεὸς διὰ πολιτείας ἐναρέτου αὐτῶν τε καὶ τῶν ὑποχειρίων· ἐν οὐδενὶ γὰρ οὕτω θεὸς τῶν ἐπιγείων πραγμάτων οὔτε δοξάζεται, οὔτε τιμᾶται ἢ ἐπὶ ναῶν οἰκοδομῇ, ἢ ἐπὶ προσενέξει τινῶν ἀναθημάτων, ὡς ἐπὶ πράξει ἀγαθῇ καὶ βίου καθαρότητι· καὶ σὺ οὖν, τέκνον ἡμῶν, παρὰ θεοῦ λαβὼν τὸ δύνασθαι, καὶ ἄνθρωπος φρόνιμος ὢν καὶ εὐχαριστεῖν εἰδὼς τῷ εὐεργετήσαντί σε, ὀφείλεις ἐκεῖνα φρονεῖν καὶ σπουδάζειν, δι' ὧν οἱ ἄνθρωποι μέλλουσιν ἔσεσθαι βίου τιμιωτέρου καὶ ἀσφαλεστέρας ζωῆς, καὶ μήτε θεὸν λυπούσης, μήτε τὸ ἀνθρώπινον ὑβριζούσης· διὰ τί γράφω ταῦτα; ἐπειδὴ χθὲς εἶπες πρὸς ἡμᾶς ὅτι λέγουσιν οἱ ἀνθιστάμενοι τῇ ἐκκλησίᾳ, ὡς διὰ τοῦτο παραιτούμεθα τὸ ἀσφαλὲς τῇ ἐκκλησίᾳ ποιῆσαι διὰ τῆς ἐγγράφου ἀπαιτήσεως, ὅτι φοβούμεθα μήποτε πάλιν βασιλική τις ἐξουσία ἢ τοιαῦτα ἢ καὶ χείρονα ποιήσει, καὶ πάλιν ὑπαχθῶμεν τοῖς αὐτοῖς· καὶ αὐτόθεν, τέκνον ἡμῶν, ἔστιν ἡ ἀπολογία αὐτῶν φανερὰν τὴν κατάκρισιν ἔχουσα· ἐν τίνι γὰρ ὀφείλουσιν οἱ ἱερεῖς διαφέρειν τοῦ λαοῦ, ἐὰν μὴ τῶν ἱερῶν ἀντέχωνται νόμων;

Εἶτα, τέκνον ἡμῶν, ἐν παρατάξει πολεμικῇ ἐν ᾗ καὶ ἀνετράφης καὶ ἐπαιδεύθης ἀπὸ μικρᾶς ἀρχῆς καὶ ἕως τῆς μεγίστης, οὐχὶ πολλοὶ καταλιμπάνουσι τὴν οἰκείαν τάξιν ὑπὸ δειλίας, καὶ φεύγουσιν ἐκ τῆς παρατάξεως; μὴ οὖν ἐπειδὴ τοῦτο καθ' ἑκάστην συμβαίνει τοὺς κειμένους ἐπ' αὐτοῖς νόμοις καὶ ἀσφαλιζομένους παραιτήσασθαι ἔχεις, ἐὰν βουληθῇς τοὺς λειποτάκτας ἐκείνους καὶ φυγόντας τὴν παράταξιν πάλιν εἰς τὴν στρατιωτικὴν δέξασθαι τάξιν; ἀλλ' οὐχὶ πρῶτον σωφρονήσας αὐτούς, καὶ ἀσφαλισάμενος εἰς τὸ μηκέτι τοιοῦτον τολμῆσαι, μὴ δὲ ἀποφυγεῖν τῆς οἰκείας τάξεως, οὕτως αὐτοὺς παραδέξῃ; εἶτα ἐπὶ μὲν

τῆς ἀνθρωπίνης στρατείας οὕτως ἐπιζητήσεις ἀσφάλειαν, ἐπὶ δὲ τῆς πνευματικῆς καὶ ἁγίας τοῦτο παραβλέψεις; ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὅς τις ἂν ᾖ, καὶ ἄρχειν ὑπὸ Θεοῦ καταπεπιστευμένος, τὸ ἀρέσκον Θεῷ καὶ εἰς σωτηρίαν τῶν ὑποχειρίων ὑπάρχον, ὀφείλει καὶ φρονεῖν καὶ ποιεῖν· οἱ δὲ ὑποχείριοι ἐὰν μὲν φυλάξωσιν, εὑρίσκουσι τὴν ἑαυτῶν σωτηρίαν· εἰ δὲ μὴ φυλάξωσιν, αὐτοὶ μὲν κατακεκριμμένοι, ὁ δὲ ἄρχων ἀκατάκριτος· διότι ὅπερ ὤφειλεν ἐκεῖνος προενοήσατο· διὰ τί καὶ οἱ νομοθέται τίμιοι καὶ μακάριοι; ὅτι νόμους ἔθεντο προνοούμενοι τῆς σωτηρίας τῶν ἀνθρώπων· οἱ δὲ παραβαίνοντες τοὺς νόμους, ἐλεεινοί· καὶ οὐ διὰ τοῦτο οἱ νομοθέται μεμπτοὶ, ἢ τὸ ἔργον αὐτῶν, ὅτι ἔθηκαν νόμους, οὓς οἱ πλεῖστοι τῶν ἀνθρώπων, ὡς καὶ αὐτὸς γινώσκεις, τέκνον ἡμῶν, καταπατοῦσι καὶ παρορῶσιν.

Περὶ δὲ τῶν λεγόντων, ὅτι διὰ τοῦτο δυστυχοῦσι τὰ πράγματα τῆς πολιτείας ἡμῶν, ἐπειδὴ μὴ συνήνωνται οἱ τὴν τετραγαμίαν δεξάμενοι τῇ ἐκκλησίᾳ (1), ἐκεῖνο λέγω, ὅτι οὐδὲ τὸ τί λέγουσιν οἴδασιν, οὐδὲ περὶ τίνων διαβεβαιοῦνται· διότι ἐν παντὶ πράγματι πρῶτον μὲν προηγήσασθαι τὴν σπουδὴν, εἶτα περιμένειν τὴν βοήθειαν τοῦ Θεοῦ· οὐδεὶς ἀμελῶς σπείρας, θέρος πολὺ ἐγεώργησεν· οὐδεὶς μὴ ἐπιμελῶς θεμέλιον καταβαλόμενος, οἶκον ἀσφαλῆ δύναται οἰκοδομεῖν· ἀλλ᾽ οὐδὲ πελάγη τὶς πλεῦσαι δύναται καὶ διασωθῆναι ῥαθυμῶν καὶ κοιμώμενος, εἰ μὴ περιποιουμένου τοῦ πλοίου τὰς ἐξαρτήσεις· ὅμως, τέκνον ἡμῶν, ἐνθυμήθητι καὶ τοῦτο, ὅπερ καὶ οἰκείᾳ εἴπομεν γλώσσῃ, ὅτι κυροῦ Φωτίου τοῦ πατριάρχου καὶ πάσης αὐτοῦ τῆς χειροτονίας ἀποδιωχθείσης διὰ σπουδῆς ἐπιμελοῦς καὶ συντόνου, ὁ πάππος τοῦ βασιλέως ἡμῶν τοῦ κυροῦ Κωνσταντίνου τὴν Τεφρικὴν ἐξηφάνισε, τὴν Βάριν ἐχειρώσατο, τὴν Λογγιβαρδίαν ὑποχείριον ἐποιήσατο, τὴν Τερεντὼ καὶ ἄλλα κάστρα ἐκ τῆς ἐπικρατείας τῶν Σαρακηνῶν ἐξήρπασεν· ἀποθανόντος δὲ τοῦ κυροῦ Ἰγνατίου καὶ

(1) Notabilis hic epistolae tractus, de Graecorum adversus Romanos schismate, Nicolai patriarchae aetate, quod tamen Graeci ipsi religiosiores improbabant.

τοῦ κυροῦ Φωτίου καὶ τῆς χειροτονίας αὐτοῦ ἑνωθέντων, ἡ Συράκουσα ἠφανίσθη καὶ ἡ Σικελία πᾶσα· διὰ τί; διὰ τὴν ἀμέλειαν τοῦτό τε δρογγαρίου τοῦ πλωΐμου λέγω δὴ τοῦ Ἀδριανοῦ· πάλιν ἐν ταῖς ἡμέραις τοῦ κυροῦ Λέοντος γινώσκεις ὅτι ὁ Πάπας συνῆλθε καὶ οἱ μετὰ τούτου ὄντες, καὶ ἡνώθησαν τῇ ἐκκλησίᾳ, καὶ εἰρήνης βαθείας οὔσης ἀπῆλθεν ἡ Θεσσαλονίκη καὶ τὸ Ταυρομένιον· διὰ τί; ὅτι ἐνταῦθα ἀμέλειαν προηγήσαντο· καὶ γὰρ ἐπιδεομένων βοηθείας τῶν Θεσσαλονικέων ἡμέραν ἐξ ἡμέρας ἀναβαλλόμενοι πρὸς τὸ ἀπολυθῆναι ἐκεῖ πλώϊμον, ἀπώλεσαν τὰ πράγματα· τοῦτο, τέκνον ἡμῶν, καὶ φρόνει καὶ διανοοῦ, καὶ μετ' ἐπιμελείας τοῦ θεοῦ ἐνισχύοντός σε ἀντέχου τῶν πραγμάτων, καὶ αὐτῇ μαθήσῃ τῇ πείρᾳ τὸ αἴτιον τῆς εὐτυχίας καὶ τῆς δυστυχίας τῆς πολιτείας ἡμῶν.

Γράφω δὲ ταῦτα οὐκ ἀποβαλλόμενος, οὐδὲ μισῶν τὴν εἰρήνην καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας· μὴ οὕτω μανιεῖν ποτέ, μὴ δὲ συγχωρήσῃ θεὸς οὕτω με φρενῶν ἔξω γενέσθαι· ἀλλ' ἐπιζητῶ ἕνωσιν τὴν τιμῶσαν τὴν ἐκκλησίαν, τὴν χαριζομένην κατάστασιν τοῖς πράγμασι καὶ ἐν τῷ παρόντι καὶ μετὰ ταῦτα, καὶ ἵνα μὴ ἐκ τοῦ βίου ἀπερχομένων ἡμῶν ἡ ἐρχομένη γενεὰ καταγνώσῃ ἡμῶν ὡς ἀφρόνων, ὡς ἀλόγων, ὡς καταφρονητῶν τῶν θείων κανόνων, καὶ διὰ τοῦτο, καὶ ἡμᾶς καὶ ὑμᾶς τῷ ἀναθέματι παραπέμψωσιν· ὅπερ οἶδε συμβαίνειν, ὅταν οἱ τέως δυνατοὶ κατὰ τὸν βίον ἀπέλθωσι, καὶ ἄλλοι γεννηθῶσι καὶ φρονήσει καὶ εὐσεβείᾳ καὶ ἀρετῇ διαφέροντες.

LXXVI. ΑΔΗΛΩ.

Τὸ γνήσιον τῆς στοργῆς, ὃ πρὸς τὴν ἡμῶν μετριότητα ἡ σὴ εὐλάβεια κέκτηται, πάλαι καὶ διελέχθη καὶ γινώσκεται, οὐ δεῖται νῦν ἀποδείξεως, οὐδὲ τῆς ἐκ λόγων συστάσεως, ἱκανῆς οὔσης τῆς ἐκ τῶν ἔργων πληροφορίας· διότι καὶ ἡμεῖς οὐ μικρὰν εὑρίσκομεν ἐν ταῖς θλίψεσιν ἡμῶν παρηγορίαν ἐκ τῆς σῆς πρὸς ἡμᾶς πνευματικῆς διαθέσεως· καὶ οὐδὲν χάριτι θεοῦ ζημιούμεθα τῆς

ἐκ τῆς σῆς ἀγάπης περιχεομένης ἡμῖν ἱερᾶς ἡδονῆς, ἕνεκεν τοῦ κωλύεσθαι ἄλλοις συνεῖναι, καὶ διὰ τῆς τῶν αἰσθητῶν ὀφθαλμῶν θεωρίας, τοῦ βλέμματος τῆς διανοίας ἀκωλύτως καὶ ὁρῶντος καὶ νοερῶς ἡμᾶς συνάπτοντος· οὕτω δὲ καὶ ἡ ὑμῶν ὁσιότης μηδὲν νομιζέτω διὰ τὴν σωματικὴν ἀπόστασιν τῆς κατὰ πνεῦμα συναφείας ἀποστερεῖσθαι· ὅπου γὰρ ἀληθοῦς ἀγάπης ἕνωσις οὐ ἂν ὦσι διεστηκότες, συνηνωμένοι τυγχάνωσιν· ὥστε καὶ ἡμεῖς ταύτῃ τῇ θείᾳ ἑνώσει οὐ νῦν οὐδὲ χθὲς, ἀλλ' ἐκ μακροῦ τοῦ χρόνου συνημμένοι, τῇ τοπικῇ διαστάσει οὐδαμῶς χωριζόμεθα· ἀλλὰ τοῦτο μὲν οὕτως ἔχει· περὶ δὲ τοῦ σφαλέντος ἀδελφοῦ δι' ἄγνοιαν, ἐκεῖνο φαμὲν, ὡς οὐκ ἀποκλείει αὐτὸν συγγνώμης τὸ πεπραγμένον ἐξ ἀγνοίας, καὶ μάλιστα ὡς τὸ γράμμα διήγγειλε συντριβομένου τὴν καρδίαν, καὶ δριμείαις ἀλγηδόσι σπαρασσομένου· διὰ τοῦτο αὐτὸς ἐπ' ὀφθαλμοῖς ἔχων τὸν ἄνθρωπον, καὶ τὴν ἐπὶ τῇ μετανοίᾳ τούτου σπουδὴν, καθορῶν καὶ τὸ ἄλγημα τῆς ψυχῆς ἐφ' ὅσον ἂν δοκιμάσῃς, ἐπιτιμήσει μετρίᾳ ἰάτρευσον τὸ ἁμάρτημα, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις οἰκονομεῖν εἴωθας· θείᾳ χάριτι κατασταθεὶς ἐπὶ τοῦτο καὶ τῶν ὑπὸ σοῦ κυβερνωμένων τὰ σφάλματα διορθούμενος, καὶ ἑκάστῳ κατὰ τὸ μέτρον τῆς μετανοίας καὶ τὴν συγχώρησιν ἐπιμετρῶν.

LXXVII. ΑΔΗΛΩ.

Ἐδηλώθη καὶ δι' ἑτέρων γραμμάτων καὶ τοῖς πρὸ ὑμῶν, ὦ μακαριώτατε, καὶ τῇ σῇ ἀδελφότητι τὰ ἐξ ἐπηρείας τοῦ πονηροῦ δαίμονος εἰς τὴν καθ' ἡμᾶς ἐκκλησίαν συναντήσαντα χαλεπὰ· καὶ δοκεῖ μοι τὸ γράφειν περὶ τῶν αὐτῶν πάλιν ἔξω τοῦ δέοντος εἶναι καὶ περιττόν· πλὴν τοῦτο γνωρίζομεν, ὅτι πρὸ τοῦ παρόντος γράμματος ἐγράψαμεν πρὸς τὴν ὑμῶν μακαριότητα διὰ τοῦ κληρικοῦ τοῦ Ἀδεοδάτου καὶ Πέτρου τοῦ πατρίδα μὲν ἐσχηκότος τὴν Ῥώμην, ἡμετέρου δὲ μετὰ τὴν ἐπάνοδον ἡμῶν τὴν ἐν τῷ θρόνῳ χρηματίσαντος ἀνθρώπου, καθὼς ἡ τῶν πραγμάτων ἀκολουθία ἐν τῇ καθ' ἡμᾶς γέγονεν ἐκκλησίᾳ· λόγος ἀναγκαῖος πρὸς

Τὸ καταργηθῆναι μὲν τέλεον τὰ προλαβόντα σκάνδαλα· εἶναι δὲ ὥσπερ ἐξ ἀρχῆς οὕτω καὶ νῦν τὸν σύνδεσμον καὶ τὴν ἕνωσιν τῆς τε ῥωμαϊκῆς ἐκκλησίας, καὶ τῆς ἐν Κωνσταντινουπόλεως παρὰ θεοῦ κυβερνωμένης, ἐγράψαμεν δὲ καὶ τῷ πρωτοσπαθαρίῳ· ἀλλὰ καὶ τῶν θεοστεφῶν βασιλέων, καὶ τέκνων ἡμῶν, κέλευσις πρὸς αὐτὸν ἐξεπέμφθη, ὥστε καταλαβεῖν ἐκεῖνον πρὸς τὴν ὑμῶν ἁγιωσύνην καὶ ἀποδοῦναι εἴ τι ἐξεπέμφθη λόγον ἔχοντα ξενίων, καὶ ἀναλαβεῖν αὐτόθεν ἀποστόλους τῆς ὑμῶν ἁγιότητος, καὶ ἀναδραμεῖν πρὸς ἡμᾶς τοῦ κοινῇ συνέδρια τῶν τε ὑμετέρων ἀποστόλων καὶ τῆς ἡμῶν ταπεινότητος εὐστάθειαν λαβεῖν εἴ τι καὶ ἔτι ὑπολείπεται ἕνεκεν τῶν προλαβόντων σκανδάλων ἐν τῇ Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ στασιαζόμενον.

Εἰ μὲν οὖν ἐκεῖνοι κατέλαβον πρὸς ὑμᾶς, πληρωθήσεται τὰ γεγραμμένα διὰ τῆς ἐκείνων ἀνόδου σὺν τοῖς ὑμετέροις ἀποστόλοις· εἰ δὲ, οἷα τὰ ἀνθρώπινα, ἐκείνοις οὐκ ἐξεγένετο παραστῆναι ὑμῖν, ἀλλ᾽ οὗτος ὁ τὸ παρὸν γράμμα ἐπικομιζόμενος καθὼς παρὰ τῆς ἡμῶν ταπεινότητος ἐνεχήθη, πάντως ἀπαραλείπτως ἀπαγγελεῖ πάντα· καὶ θεοῦ βουλομένου τὴν ἐπάνοδον αὐτοῦ ποιουμένου πρὸς τὰ ἐνταῦθα, τῆς ἀγάπης μεσιτευούσης ἣν κατέλιπεν ἡμῖν ὁ Χριστὸς καὶ θεὸς ἡμῶν τῆς ὑμετέρας ἁγιωσύνης, ἀναδραμοῦνται σὺν αὐτῷ οἱ ἀπόστολοι, ἵνα μηδὲν ἔτι παραλυπῇ τὴν ἐκκλησίαν ἀδιόρθωτον ὂν τῶν δεομένων ἐπανορθώσεως· εἰ γὰρ καὶ μὴ τὸ ὅλον, ἀλλὰ χάριτι τοῦ τὴν αἰώνιον τῶν ἀνθρώπων διάστασιν εἰς ἕνωσιν μετασκευάσαντος, ἡ καθ᾽ ἡμᾶς ἀπείληφεν ἐκκλησία τὴν ἕνωσιν· καὶ δέον ἐστὶν εἴ τι καὶ ἔτι ἐξ ἐπηρείας τοῦ ἀεὶ στασιάζοντος δαίμονος ὑπολέλειπται, καὶ τοῦτο ἐκποδῶν γενέσθαι, καὶ τελείαν καὶ ἀπηρτισμένην ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὴν ὁμόνοιαν διαπρέπειν· πλειόνων λόγων οὐκ ἔστιν οἶμαι χρεία· διὰ τοῦτο οὐδ᾽ ἐκτείνομεν τὴν ἐπιστολήν· οἴδαμεν γὰρ ἀναμφιβόλως, ὡς ἡ τελειοτάτη θεοῦ χάριτι σύνεσις ὑμῶν καὶ χωρὶς τῶν ἡμετέρων γραμμάτων πάντα διερευνῶσα καὶ ἐξετάζουσα, οὐδὲν ἔλαττον ἡμῶν ἐξεπίσταται τὰ συμπεσόντα ἡμῖν καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἐξ οὗ χρόνου, εἰ καὶ ἀχρεῖοι καὶ ἀνάξιοι, εἰς τὴν ἀρχιερατικὴν

κατέστημεν τάξιν, καὶ μέχρι τῆς παρούσης ἡμέρας, εἰς ἣν οὐκ οἶδα ποίοις κρίμασι τοῦ θεοῦ, ὅμως δ' οὖν ἡ ἐπώδυνος ἡμῶν ἐξέτεινε ζωή· ἐῤῥωμένον σε διαφυλάττοι ὁ κύριος ἡμῶν, μακαριώτατε ἡμῶν ἀδελφέ.

LXXVIII. ΤΟΙΣ ΜΟΝΑΖΟΥΣΙ.

Καὶ ἐκ τοῦ γράμματος καὶ ἐκ τοῦ κομίζοντος αὐτὸ μοναχοῦ τὰ περὶ ὑμῶν, ὅσιοι τοῦ θεοῦ θεράποντες, ἀναμεμαθηκότες τὴν ὀφειλομένην ἀνεπέμψαμεν εὐχαριστίαν τῷ ἐκλεξαμένῳ ὑμᾶς ἐκ τῆς τοῦ βίου ματαιότητος, καὶ δυναμώσαντι ζωὴν ἑλέσθαι τὴν τῶν ἀγγέλων, δι' ἧς καὶ τῆς ἐκείνου ἀξιωθήσεσθε συμπαραστάσεως καὶ δόξης, ὅτε τὰ παρόντα καὶ τοὺς ἀπατωμένους ἐφελκόμενα τὴν λύσιν λάβῃ, καὶ φανερωθῇ τῶν ἁγίων ἡ μακαρία διαγωγή· ὄντως μακάριοι ἐστὲ καὶ εἴ τις ἄλλος καθ' ὑμᾶς τοιοῦτον ἐκτήσατο φρόνημα, καὶ κατέλιπε τὴν ἄστατον ταύτην τοῦ βίου περιφορὰν, καὶ μόνην τὴν πρὸς θεὸν ἐζήτησεν ὅσον ἀνθρώπῳ δυνατὸν ἐκ τῆς σαρκὸς ἐκδημίαν, καὶ τὴν πρὸς αὐτὸν ἕνωσιν, εἰ καὶ τὸ παχὺ τοῦτο νέφος τοῦ σώματος οὐ συγχωρεῖ καθαρῶς ἑνωθῆναι τῷ ποθουμένῳ· ἀλλὰ τὸ μὲν ὑμέτερον τοιοῦτον· ἡμεῖς δὲ ἀντὶ παντὸς δώρου τὰς ὁσίας ὑμῶν εὐχὰς ἐξαιτούμεθα, ἃς καὶ ὑμῖν εὐπρεπὲς παρέχειν, καὶ ἡμῖν ἀναγκαῖον λαμβάνειν· τί γὰρ τούτου δῶρον τερπνότερον ἢ ὠφελιμώτερον; ταύτας οὖν μὴ λήγοιτε διδόντες· καὶ φυλάττοισθε ἡμῖν ἐῤῥωμένοι ἐν κυρίῳ εὐοδούμενοι τὴν ἀρετὴν, καὶ ἀεὶ προστιθέντες αὐτῇ, μέχρις ἂν τῶν σαρκικῶν λυθέντων δεσμῶν ἀναπτῆτε πρὸς τὴν οὐράνιον λῆξιν.

LXXIX. ΑΔΗΛΟΙΣ.

Ἴσως καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων ὑμῖν τοῖς πνευματικοῖς ἡμῶν τέκνοις ἡ φήμη διεκόμισε τὰ περὶ τῆς ἐκκλησίας ὑπὸ τῆς θεϊκῶς εὐμενείας διῳκημένα· πλὴν καὶ τὸ γράμμα ταῦτα εὐαγγελίζεται, ὅτι τῆς θείας ἀγαθότητος τὰς ἡμῶν παραβλεψαμένης

ἁμαρτίας ἡ ἐκκλησία τὴν πολλὴν ἐκείνην διέλαθεν ἐπήρειαν, καὶ τέως οἱ ταύτης ἐπηρεασταὶ τῆς βιαίας ἰσχύος ἀφῄρηνται καὶ τῆς τυραννικῆς ἐπιθέσεως, ἡμῶν ἀπολαβόντων θείᾳ χάριτι τὴν ἰδίαν τάξιν, ἣν ὑπήρχομεν εἰ καὶ ἀχρεῖοι λαχόντες, καὶ ἧς ἡ βίαιος ἀπήλασε χείρ· ἀλλὰ τὸ μὲν ἡμέτερον οὕτως εὐδοκίᾳ θεοῦ τετέλεσται· ὑμεῖς δὲ ἀγαπητοὶ καὶ τῶν θείων ἀποστόλων συγκοινωνοὶ τῶν καμάτων καὶ διὰ τοῦτο καὶ ἀνέσεως, οἱ δραμόντες τὸν μακάριον δρόμον, ὧν οἱ πόδες ὡραῖοι ὡς εὐαγγελιζομένων εἰρήνην, τὸ οἰκεῖον ἔργον ἔτι σπουδαιότερον διανύσατε, ἐλαύνοντες τὸ σκότος τῆς δυσσεβείας ἐκ τῶν ὑπ᾽ ἐκείνου κατεχομένων ψυχῶν, καὶ ἀνατέλλοντες αὐτοῖς τῆς σωτηρίας τὸ φέγγος· ἵνα δι᾽ ὑμῶν τῆς πίστεως αὐτόθι κρατυνθείσης, δοξάζηται μὲν ὁ θεὸς ἐν αὐτοῖς, δοξασθείητε δὲ καὶ ὑμεῖς ἐν τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μέλλοντι τῇ θείᾳ καὶ ἀλύτῳ δόξῃ.

Οἶδα μὲν ὅτι πολλὰ τὰ συνέχοντα ὑμᾶς, καὶ τὴν ἱερὰν ὑμῶν στενοχωροῦντα ζωήν· αὐτός τε ὡς εἰκὸς ἀναλογιζόμενος τοῦ τόπου τὴν ἐρημίαν, καὶ τῶν ἀνδρῶν οἷς συνδιάγετε τὸν τρόπον, καὶ τοῦ ἤθους τὸ ἀλλότριον καὶ παρὰ τοῦ ὑμῶν ἀποκρισιαρίου τοῦτο αὐτὸ διδαχθείς· ὅμως οὐκ ἄξια τὰ παρὰ τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι ὑμῖν, πρὸς ἣν ἀφορῶντες καὶ τὸν πόνον καὶ τὴν στενοχωρίαν ἐν δευτέρῳ τιθέμενοι, τὸ μακάριον ἔργον ὑμῶν τελειώσατε, καὶ πάσῃ δυνάμει τὸν στηριγμὸν τοῖς νεοπαγέσι περιποιήσασθε· καὶ καταλιμπάνοντες αὐτοῖς τοὺς ἀνθ᾽ ὑμῶν μέλλοντας τῇ διδασκαλίᾳ πρὸς τὴν ἀπλανῆ ὁδὸν τούτους καθοδηγήσασθαι, καὶ τῆς σωτηρίας αὐτῶν ἀντιλαμβάνεσθαι, καιροῦ καλοῦντος μετὰ τῆς ἄνωθεν συνεπινεύσεως πρὸς τὴν ἡμῶν ἀναδράμετε μετριότητα, οἰκείοις τε λόγοις αὔξοντες ἡμῶν τὴν χάριν, ἣν ἐπὶ τοῖς προσαγομένοις Χριστῷ τῷ θεῷ ἡμῶν κεκτήμεθα διὰ τοῦ βαπτίσματος, καὶ συνησθησόμενοι ἐπὶ τῇ εὐφροσύνῃ τῆς ἐκκλησίας, ἣν παρακληθεὶς ὑφ᾽ ἑαυτοῦ ὁ ὑφ᾽ ἑαυτοῦ ὁ σωτὴρ ἡμῶν καὶ θεὸς τοῖς ἐπ᾽ αὐτῷ παρέσχεν ἐλπίζουσιν.

LXXX. ΑΔΗΛΩ.

Τὰ γράμματά σου, τέκνον ἡμῶν, ἐδεξάμεθα, καὶ περὶ τῆς ἐρημώσεως τῶν κάστρων καὶ πρὸ τοῦ ἐξελθεῖν σε τῶν ἐνταῦθα τοὺς λόγους ἠκούσαμεν καὶ παρὰ σοῦ, τέκνον ἡμῶν, καὶ παρ᾿ ἑτέρων· καὶ οἶδα ὅτι καὶ τότε ἀληθῆ ἔλεγες, καὶ νῦν ἀληθῆ λέγεις· καταλιπὼν οὖν ἐκεῖνα γράφειν, ἐκεῖνα τοῦ θεοῦ δυναμοῦντός σε γράφε ἡμῖν, ὅτι τὴν διόρθωσιν ἐποιήσω τῶν ἐρημωθέντων, ὅτι ὅσα οἱ πρὸ σοῦ στρατηγήσαντες τῇ ἑαυτῶν ἀπώλεσαν ἀμελείᾳ, ταῦτα ἡ σὴ φρόνησις ἀνεκτήσατο, καὶ τῇ σῇ ἐπιμελείᾳ συνεστήσω· οὕτω γὰρ καὶ ἡ ἀρετή σου ἐπὶ μᾶλλον διαφανήσεται, καὶ τὸν μέγαν ἡμῶν θεραπεύσεις βασιλέα, καὶ τῆς ἀξίας παρ᾿ αὐτοῦ ἀντιδόσεως ἀπολαύσεις· περὶ δὲ τῶν ἀσεβῶν καὶ ἀθέων ἐχθρῶν τοῦτο γινώσκων, ὅτι οὐκ ἐν πλήθει λαοῦ ἡ δύναμις, ἀλλ᾿ ἐν δικαιοσύνῃ καὶ ὁμοψυχίᾳ· κἂν ὀλίγους ἔχῃς τοὺς ὑπὸ σὲ, ταῦτα παιδεύων αὐτοὺς, μετ᾿ ἐκείνων ἀγωνίζου προθύμως, καὶ πεποίθαμεν Χριστῷ τῷ θεῷ καὶ σωτῆρι ἡμῶν, ὅτι ὑπὲρ τοὺς ἐν πλήθει λαοῦ καυχωμένους εὐδοκιμήσεις.

LXXXI. ΑΔΗΛΩ.

Λέγεται πολλὰ παρὰ ἀνθρώποις, καὶ τούτων τὰ μὲν πλείω, φεῦ τῆς ἐπὶ τὰ χείρω νεύσεως τῶν ἀνθρώπων, τοῦ ψεύδους ἐστὶ κληρονομία, ἔστι δὲ ἃ γινώσκει καὶ ἡ ἀλήθεια· λέγεται περὶ σοῦ, ἀγαθὲ καὶ καλὲ ἄνθρωπε, ὡς ἐχθραίνεις, αἰσχύνομαι λέγειν, πρὸς ἡμᾶς· τί γὰρ ἐσμὲν, εἰ καὶ τὸν πολύφθονον ἐγκεχειρίσμεθα θρόνον, δι᾿ ἃς οἶδεν αἰτίας ὅπως εἴπω τοῦτον ἐγχειρισθῆναι κεκρικώς; ἀλλὰ γὰρ ἐχθραίνεις οὐ πρὸς ἡμᾶς, πρὸς δὲ τὴν ἄχραντον καὶ ἡρμοσμένην αἵματι ἀχράντῳ νύμφην τῷ υἱῷ τοῦ θεοῦ· καὶ διὰ τοῦτο στρέφεις μὲν κατὰ σεαυτὸν ἃ στρέφεις, συνιστᾷς δὲ καὶ ἄλλους ὡς μὲν οἴει τῷ καθ᾿ ἡμῶν συνασπισμῷ, τῷ δὲ ἀληθεῖ λόγῳ κατὰ τῆς ἑαυτῶν σωτηρίας· ἡμεῖς γὰρ καὶ χωρὶς

τῆς ὑμετέρας συσκευῆς πάντως ἢ νῦν ἢ μετ᾽ ὀλίγον κεισόμεθα ἐν τάφῳ λυόμενοι ὅπερ ὑμῖν ἐστι διὰ σπουδῆς· αὐτοὶ δὲ καὶ ἡμῶν ἀποιχομένων πείρᾳ μαθήσεσθε τοῦ συνασπισμοῦ τὸ κέρδος· τοῦτο δέ φαμεν ὑπὸ μάρτυρι Θεῷ, καὶ μὴ ἀπιστήσῃς· ἀπαραλόγιστος γὰρ ὁ μάρτυς· οὔτε ἀνθρώπῳ ἐντευξόμεθα καθ᾽ ὑμῶν οὔτε Θεῷ· ἐπείπερ οἶδα ὅτι μᾶλλον σιωπώντων ἡμῶν, ἡ ἀπροσωπόληπτος καὶ θεία ἐπόψεται δίκη τὴν ὑμετέραν προαίρεσιν.

LXXXII. ΤΩ ΠΕΡΙΦΩΝΕΣΤΑΤΩ ΗΓΑΠΗΜΕΝΩ, ΠΝΕΥΜΑΤΙΚΩ ΤΕΚΝΩ, ΛΑΝΔΟΥΛΦΩ ΑΝΘΥΠΑΤΩ, ΝΙΚΟΛΑΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Τὸ γεγονὸς εἰς τὸν πατρίκιον καὶ στρατηγὸν Οὐρσολέοντα, καὶ πρὸ τῶν γραμμάτων σου, τέκνον ἡμῶν, προλαβοῦσα ἡ φήμη ἐγνώρισεν ἡμῖν, καὶ ἐδεξάμεθα λύπην αὐτῆς ἡμῶν τῆς ψυχῆς ἁπτομένην, τὸ μὲν διὰ τὸν θάνατον ἐκείνου τε καὶ τῶν ὁμοίως ἀποθανόντων, τὸ πλέον δὲ ὅτι περὶ σοῦ, τέκνον ἡμῶν, πονηροὶ λόγοι θεοστεφῶν βασιλέων ἡμῶν προσήρχοντο, πᾶσαν τὴν πρόφασιν τῶν κακῶς ἀποθανόντων ἐπὶ σὲ φέροντες, καὶ κατηγοροῦντες ἐκ τῆς ὑψηλῆς καὶ μεγάλης βασιλείας, ἧς καὶ τῶν εὐεργεσιῶν ἀπέλαυσας, καὶ τῆς τιμῆς καὶ τῆς δόξης· ὅση παρ᾽ αὐτῆς σοι δεδώρηται· ἐλυπούμεθα οὖν διὰ ταῦτα, τέκνον ἡμῶν, ὡς εἶπον, λύπην οὐ δεχομένην παράκλησιν, μάλιστα ἐννοοῦντες καὶ παραβάσεις ὅρκων οὓς ἐποιήσω πρὸς τὸν μακαριώτατον ἡμῶν βασιλέα τὸν κύριν Λέοντα· νῦν δὲ διὰ τῶν σῶν γραμμάτων καὶ τῶν ἐκ τῆς κοινότητος ἀναπεμφθέντων, ἕτερα τινὰ διδασκόμενοι, καὶ οὐχὶ τοιαῦτα ἀναίσχυντα οἷα προαπήγγειλεν ἡ φήμη, ὥσπέρ τινα μικρὰν παραμυθίαν τῶν λυπούντων ἐσχήκαμεν· εἰ καὶ μὴ ἐλεύθεροι καὶ οὕτω δικαίας ἀναφαίνεσθε μέμψεώς τε καὶ κατακρίσεως· ἔστω γὰρ ἀληθῆ πάντα ὅσα κατὰ τοῦ ἀποθανόντος πατρικίου καὶ στρατηγοῦ παρ᾽ ὑμῶν ἐγράφη, ἀλλ᾽ οὐκ ἔδει τοῦτον παρ᾽ ὑμῶν τὴν τιμωρίαν δέξασθαι· ἀλλὰ παρὰ τίνος; παρὰ τῆς κοινῆς δεσποτείας καὶ βασιλείας, παρ᾽ ἧς καὶ σὺ ἐδοξάσθης, καὶ εἰς τὸ

στρατηγεῖν τοῦ τόπου ἐκεῖνος προβέβληται· ἔπρεπε μετὰ τὰς παρακλήσεις, μετὰ τὰς προαιρέσεις, μετὰ τὰς ἄλλας φιλοφρονήσεις τὰς παρὰ σοῦ πρὸς αὐτὸν γεγενημένας, ἐπεὶ ἀπαράκλητος ἦν καὶ ἀδυσώπητος καὶ πρὸς μόνην ἐφέρετο τὴν πονηρίαν, ἀνενεγκεῖν τῷ θεοστεφεῖ κράτει τῶν βασιλέων ἡμῶν, καὶ παρ᾽ αὐτῶν ἐξαιτεῖσθαι τὴν ἐπανόρθωσιν τῶν κακῶν, ἀλλ᾽ οὐχὶ γενέσθαι ὑμᾶς αὐτοὺς φονεῖς μὲν τῶν ἀδελφῶν καὶ συνδούλων, ἐκδικηταὶ δὲ ὡς λέγετε τῶν κακῶς γενομένων· τοῦτο ἦν, τέκνον ἡμῶν, τῇ εὐγενείᾳ σου πρέπον, τῇ φρονήσει, τῇ ὀρθῇ πίστει καὶ ἀγάπῃ, τῇ πρὸς τὴν βασιλείαν, τοῖς σοῖς ὅρκοις οὓς ἐποιήσω πρὸς τὴν σὲ δοξάσασαν βασιλείαν· νῦν δὲ οὐ μόνον τοσοῦτον, ἀλλ᾽ ὡς φασὶν ἐχειρώσω καὶ κάστρα τὰ μηδαμῶς πρὸς τὴν σὴν ἐξουσίαν ἀνήκοντα, καὶ ὑπὸ τὴν σὴν ἐποιήσω ἐπικράτειαν, ἃ μέχρι τοῦ παρόντος πρὸς τὴν σὴν οὐκ ἐγνώριζεν ἐπικράτειαν.

Ταῦτα, τέκνον ἡμῶν, εἰ ἀληθῶς διεπράξω, οὐκ οἶδα τίς εὑρεθήσεται ἀπολογία· τίς λόγος ἡμῖν συναγωνιεῖται πρὸς τὸ συστῆσαι, ὅτι σώζεις ἔτι τὴν ὀφειλομένην εὔνοιαν καὶ τὴν ὑποταγὴν πρὸς τὴν μεγάλην καὶ ὑψηλὴν βασιλείαν; ὅμως ἡμεῖς ἀμφιβόλως διακείμενοι πρὸς τὴν προλαβοῦσαν φήμην, καὶ μᾶλλον τοῖς ἄρτι καταλαβοῦσι γράμμασι προστιθέμενοι, τοὺς θεοστεφεῖς ἡμῶν βασιλεῖς ἐδυσωπήσαμεν μὴ ἐκστῆναι τῆς πρὸς ὑμᾶς διαθέσεως, μὴ δὲ ἀλλοτρίους νομίζειν τὴν πίστιν καὶ εὔνοιαν διασωζόντων πρὸς τὴν βασιλείαν αὐτῶν· ἀλλὰ καὶ ἔτι καθὼς καὶ πρὸ τῶν συμβεβηκότων τούτων κακῶν διέκειντο πρὸς ὑμᾶς, οὕτως ἔχειν περὶ ὑμῶν, παραβλέψαντες τὰ τολμηθέντα εἴ τι καὶ γέγονεν· ὡς τὴν ἀφορμὴν μὲν δεδωκότες τοῦ Οὐρσολέοντος, ὑμῶν δὲ ἀνθρωπίνως συναρπασθέντων καὶ πραξάντων, ἃ μὴ ἔδει πραχθῆναι.

Διὰ τοῦτο καὶ περὶ τοῦ γενέσθαί σε στρατηγὸν Λογγιβαρδίας λόγους ἐποιησάμεθα πρὸς τὴν βασιλείαν αὐτῶν, καὶ ἥ γε τούτων εὐμένεια καὶ τὰ γεγονότα παρεῖδε σφάλματα καὶ τὸ κατανεῦσαι πρὸς τὴν στρατηγικὴν ὑμῶν προβολὴν οὐ παντελῶς ἀπηγόρευσεν· ἀλλὰ ζητεῖ ὥσπερ ἔστιν ἀκόλουθον πληροφορίαν δέξασθαι παρ᾽ ὑμῶν τῆς ἀσφαλοῦς καὶ ἀνοθεύτου πρὸς τὴν βασιλείαν αὐτῶν

ἀγάπης, καὶ μέχρι βίου παντὸς ὑποταγῆς καὶ δουλώσεως· ἡ δὲ πληροφορία καὶ διὰ τιμίας αὐτῶν κελεύσεως ἐδηλώθη σοι, καὶ ἡμεῖς δὲ τῷ παρόντι γράμματι ταύτην ἐνσημαινόμεθα, πρὸ παντὸς ἄλλου καταλιπεῖν τὰ κάστρα, ὧν μήπω πρότερον ἐξουσιάζων, νῦν ἰδιοποιήσω τὴν ἐξουσίαν μετὰ τὴν γενομένην ἀταξίαν· δεύτερον ὁ πάντως καὶ παρέξει τὴν ἐντελῆ πληροφορίαν, ἃ περὶ τῆς γυναικὸς καὶ τῆς ἐν Πελοποννήσῳ διαγωγῆς ἐκελεύσθη σοι· εἰ δὲ τοῦτό σοι μὴ δυνατὸν, ἀλλά γε καὶ τὸ ἕτερον τῶν υἱῶν σου πρὸς τὰ ἐνταῦθα ἐξαποσταλῆναι, ἵνα μετὰ τοῦ ἐνταῦθα ὄντος παιδός σου συνὼν καὶ συνδιάγων τῆς βασιλικῆς τιμῆς καὶ ἀντιλήψεως ἀπολαύῃ· τούτων παρὰ σοῦ γινομένων, ὥσπερ ἔφημεν, ὡς μηδὲ τὴν ἀρχὴν γενόμενα ἅπερ ἐγένετο σφάλματα παρορῶντες οἱ θεοστεφεῖς ἡμῶν βασιλεῖς τῇ σῇ αἰτήσει δώσουσι πέρας, καὶ στρατηγόν σε τῆς ὅλης Λογγιβαρδίας ἀναδείξουσιν· ἃ μὲν ἐσπουδάσθη παρ' ἡμῶν πρὸς τοὺς μεγάλους καὶ ὑψηλοὺς ἡμῶν βασιλεῖς ὑπὲρ σοῦ, καὶ ἣν ἔχουσι γνώμην πρὸς τὴν σὴν ἔτι εὐεργεσίαν καὶ ἀντίληψιν, ἰδοὺ διὰ τοῦ γράμματος μανθάνεις· τὸ λοιπὸν σόν ἐστιν ἢ τὴν ὀργὴν αὐτῶν ἐπισπάσασθαι, ἢ τῆς εὐμενείας καὶ ἀγαθότητος, ὅπερ ἐλπίζω καὶ εὔχομαι, ἀπολαύσειν.

LXXXIII. ΤΩ ΤΟΥ ΙΔΡΟΥΝΤΟΣ.

Ἃ μὲν περὶ τῆς θείας καὶ ἀνθρωπίνης βραβευθείσης εἰρήνης ἐν τῇ ἐκκλησίᾳ εὐχαρίστεις, καλῶς εὐχαριστεῖς· ὅπου γὰρ ἐπὶ τῷ τοιούτῳ σωτηρίῳ πράγματι οὐδεὶς οὐδὲ τοῦ πληρώματος τοῦ λαοῦ καθέστηκεν, ὃς οὐχὶ τὴν εὐχαριστίαν δίδωσιν ἐπὶ τῇ ὁμονοίᾳ τοῦ ἱερατικοῦ πληρώματος τῷ θεῷ, πῶς οὐκ ἄξιον, εἰ δυνατὸν, μὴ μόνον γλώσσῃ ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις μέλεσιν ἡμᾶς ἐκπληροῦν τὴν εὐχαριστίαν, οὓς εἰ καὶ ἀναξίους κύκλῳ τοῦ ἁγίου θυσιαστηρίου παρέστησεν ὁ Χριστὸς ἡμῶν καὶ θεός; ἀλλ' ἔδει μετὰ τῆς ἰδίου εὐχαριστίας τὰ ἐνταῦθα καταλαβεῖν σε, καὶ κοινῶς μετὰ τῶν ἀδελφῶν σου καὶ συναρχιερέων εὐχαριστῆσαι τῷ αἰτίῳ καὶ βραβευτῇ τῆς εἰρήνης τῷ πρώτῳ καὶ μεγάλῳ ἀρχιερεῖ καὶ θεῷ·

πλὴν ἀλλ' εἰ καὶ τοῦτο περιστάσεις πονηρῶν πραγμάτων ἐκώλυσαν, ἀλλ' ἀπό γε τοῦ νῦν μὴ ἐπιβάλλῃ ποιῆσαι, μὴ δ' εἰς ὑπέρθεσιν τὴν πρὸς τὰ ἐνταῦθα δώσεις πορείαν· ταῦτα μὲν περὶ τούτου· ἃ δὲ περὶ τοῦ πατρικίου Οὐρσολέοντος ἔγραψας, ταῦτα κοινῶς ἀνενεχθέντα καὶ παρὰ τῶν λοιπῶν ἐνήχηνται οἱ μεγάλοι καὶ ὑψηλοὶ βασιλεῖς ἡμῶν, καὶ ἃς ἔδοξεν αὐτοῖς σωτηρίους καὶ συμφερούσας παρέσχοντο ἀποκρίσεις· πλὴν οὐδὲν κωλύει καὶ ὑμᾶς ταῦτα εἰδέναι· ἀμνηστίαν ἐπηγγείλαντο τῶν τετολμημένων, εἰ τοῦ λοιποῦ εὖνοι καὶ ὑπήκοοι διαμενοῦσιν οἱ τὰ πονηρὰ τετολμηκότες· περὶ δὲ τῶν πρὸς τὴν Ῥώμην ἀποσταλέντων, τὴν μὲν σὴν εἰς αὐτοὺς προαίρεσιν ἀπεδεξάμεθα, τὴν δ' ἐκείνων βραδύτητα καὶ ῥαθυμίαν ἐν οἷς ἔδει συντείνειν τὸν δρόμον, οὐκ ἔξω τίθεμεν μέμψεως· πλὴν καὶ ἀπὸ τοῦ παρόντος εἴ τις σοι δύναμις συναντιλαβέσθαι αὐτοῖς ὡς κοινωφελοῦς οὔσης τῆς συναντιλήψεως, πρόθυμος περὶ ταύτην γενοῦ· τὰ δ' ἄλλα *(Adde quae sunt in clausula sequentis epistolae.)*

LXXXIV. ΤΩ ΕΥΚΛΕΕΣΤΑΤΩ ΗΓΑΠΗΜΕΝΩ ΠΝΕΥΜΑΤΙΚΩ ΤΕΚΝΩ ΓΑΙΔΩΝΙ ΒΑΣΙΛΕΩΣ ΠΡΩΤΟΣΠΑΘΑΡΙΩ, ΝΙΚΟΛΑΟΣ ΕΛΕΩ ΘΕΩ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Τῷ γράμματί σου, τέκνον ἡμῶν, ἐντυχόντες, οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις γράμμασιν ὅσα πρὸς ἡμᾶς ἐξεπέμφθη παρὰ τῶν οἰκητόρων τῆς αὐτόθι γῆς, ἀνεμάθομεν τὰ δυστυχῆ πράγματα, καὶ ὅσα ὁ πονηρὸς καὶ οἱ ἐκείνῳ συνεργοῦντες ἄνθρωποι κατειργάσαντο· καὶ περὶ μὲν τῶν ἤδη πραχθέντων δυστυχῶς οἱ μεγάλοι καὶ ὑψηλοὶ βασιλεῖς ἡμῶν συγγνώμην παρασχόντες τοῖς ὑπουργοῖς τῶν τοιούτων δυστυχημάτων ἐδήλωσαν διὰ κελεύσεως αὐτῶν οἷα ἐδήλωσαν· δεῖ οὖν καὶ σὲ, τέκνον ἡμῶν, ὡς πιστὸν θεράποντα τῆς βασιλείας, ἐκεῖνα καὶ λέγειν καὶ ὑποτίθεσθαι, ὅσα πρὸς κατάστασιν καὶ ἀταραξίαν ὁρᾷ, οἷς ἂν δύνῃ προσεντυγχάνειν καὶ λέγειν, καὶ ὅσα πρὸς ὑποταγὴν τῆς βασιλικῆς ἐξουσίας καὶ κυριότητος· ταῦτα μὲν περὶ τῶν ἐν τῇ χώρᾳ ὑμῶν συμ-

βεβηκότων· περὶ δὲ τῶν ἐκκλησιαστικῶν πραγμάτων οὐκ ἔχω πλέον τί γράφειν παρὰ τὰ ἤδη γραφέντα σοι· εἰ οὖν ἐστί σοι δύναμις τὴν Ῥώμην καταλαβεῖν καὶ κατὰ τὰ γραφέντα σοι διοικῆσαι, τοῦτο σπουδαίως ἐπιτέλεσον, εἰδὼς ὅτι τοῦ σοῦ καμάτου καὶ τῶν πόνων καὶ τὸν μισθὸν ἀπολήψῃ παρὰ Θεοῦ καὶ παρὰ τῆς βασιλικῆς ἐξουσίας, καὶ εἴ τις ἐστὶ καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἀνταμοιβὴ, καὶ αὐτῆς προσεπιχορηγηθήσεται· τὰ δ᾽ ἄλλα διατηρήσει ὑμᾶς ὁ Θεὸς εὐαρεστοῦντας αὐτῷ καὶ κατὰ τὸ ἐκείνου ἀεὶ θέλημα καὶ ζῶντας καὶ πράττοντας.

LXXXV. ΠΡΟΣ ΤΟΥΣ ΑΡΧΙΕΡΕΙΣ ΚΑΙ ΙΕΡΕΙΣ ΚΑΙ ΑΡΧΟΝΤΑΣ ΚΑΙ ΤΟ ΛΟΙΠΟΝ ΠΛΗΘΟΣ ΤΟΥ ΛΑΟΥ ΛΟΓΓΙΒΑΡΔΙΑΣ, ΝΙΚΟΛΑΟΣ ΕΛΕῼ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ.

Τὰ γραφέντα παρ᾽ ὑμῶν, τέκνα μου ποθητὰ, ἐπιμελῶς ἀνέγνωμεν, καὶ τῇ διανοίᾳ ἐπιμελέστερον ἀνεσκεψάμεθα, καὶ ἃ μὲν συνέβη περὶ τὸν ἄνθρωπον ἐκεῖνον οἱ μεγάλοι καὶ ὑψηλοὶ βασιλεῖς ἡμῶν τῷ ἐκεῖθεν παραπέμψαντες κριτηρίῳ, ἐν ᾧ λανθάνει οὐδὲν οὐχ ὅτι τῶν πραττομένων, ἀλλ᾽ οὐδὲ τῶν εἰς ἐνθύμησιν ἡκόντων, ἀφῆκαν ἔξω τῆς ἐτάσεως τῆς οἰκείας αὐτῶν ἐπισκέψεώς τε καὶ κρίσεως, ὥστε τούτου γε ἕνεκεν μηδένα φόβον οἱ πράξαντες τοῦ τί κακὸν παθεῖν παρὰ τῆς βασιλείας ὑφοράσθωσαν· μόνον τοῦτο πάσῃ σπουδῇ καὶ εὐγνωμοσύνῃ διατηρείτωσαν, τὸ πρὸς τὴν οἰκείαν καὶ ἣν ἔλαβον παρὰ τοῦ Θεοῦ δεσποτείαν τὴν ὀφειλομένην ἀγάπην καὶ πίστιν διαφυλάττειν ἀμετακίνητον· μᾶλλον δὲ σπουδάσαι διὰ τῶν ἀγαθῶν ἔργων τὴν ἐπὶ τῷ γενομένῳ φόνῳ ἀποτρίψασθαι κατηγορίαν, καὶ δεῖξαι ὅτι κἀκεῖνο ἔπραξαν, εἰ καὶ μὴ ἔδει, ἀλλ᾽ οὖν διὰ τὸ μισοπόνηρον καὶ τὴν ἀποδιώξιν τῆς κακίας· τοῦτο δὲ φανερὸν ἔσται, ἐὰν τοῖς κελευομένοις παρὰ τῶν ὑψηλῶν καὶ μεγάλων ἡμῶν βασιλέων εὐπειθῆ παρέχωσι τὴν ἀκοὴν, καὶ πρὸς τὴν ἑαυτῶν ἐκπλήρωσιν ἕτοιμοι γίνωνται· περὶ δὲ τοῦ προχειρισθῆναι στρατηγὸν τὸν ἀνθύπατον Λανδοῦλφον οἱ μεγάλοι καὶ ὑψηλοὶ βασιλεῖς ἡμῶν κατὰ τὴν δε-

δομένην αὐτοῖς ἄνωθεν παρὰ Θεοῦ πρόνοιαν, καὶ συνδιεσκέψαντο, καὶ τῷ ἀνθυπάτῳ τὴν οἰκείαν γνώμην ἐδήλωσαν, καὶ πάντως εἰ βουλήσεται πεισθῆναι τῇ πρὸς αὐτὸν ἀπεσταλμένῃ κελεύσει, τὸ κοινὸν αἴτημα ὑμῶν τε κἀκείνου εἰς πέρας ἐκβήσεται· τί δεῖ πλέον γράφειν; πᾶς ὁ δωρεᾶς ἀξιούμενος εἴτε θεϊκῆς, εἴτε ἀνθρωπίνης, ταύτης ἄξιον ἑαυτὸν ἀποδείκνυσι, καὶ οὕτως παρὰ τοῦ διδόντος τυγχάνει, ὃν ὁ διδοὺς ἔκρινεν ἄξιον τὸν λαμβάνοντα τὰ δωρήματα· εἴη δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν καὶ ἄρχοντας καὶ ἀρχομένους ἐκεῖνα διδοὺς καὶ λογίζεσθαι καὶ αἰτεῖσθαι καὶ πράττειν, ὅσα εἰς σωτηρίαν, ὅσα πρὸς τὸ συμφέρον ὁρᾷ καὶ τὴν ὑμῶν εἰρηνικὴν κατάστασιν καὶ εὐζωΐαν.

LXXXVI. ΤΩ ΒΑΣΙΛΕΙ ΥΠΕΡ ΤΟΥ ΟΙΚΟΝΟΜΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Δέσποτα καὶ τέκνον δεδοξασμένε ὑπὸ Θεοῦ· ὁ ἀναγαγών σε εἰς τὸ ὕψος τῆς βασιλείας, ὕψωσε καὶ τὸν νοῦν σου καὶ τὰ φρονήματα, ὡς πιστευθῆναι μὲν τῇ αὐτοῦ ἀγαθότητι εἰς ὕψος τὸ ἁρμόζον τῇ βασιλείᾳ σου· καὶ διὰ τοῦτο ὑπομιμνήσκω, ὡς πατήρ, τὸ δεδοξαμένον μου τέκνον καὶ δεσπότην, ἵνα κατὰ τὸ ὕψος τῆς βασιλικῆς ἀγαθότητος, καὶ πρὸς τοὺς ὑποχειρίους σου διατιθήσῃ, καὶ μὴ κατὰ τὴν ἀφροσύνην τῶν πολλάκις παραφρονούντων καὶ λεγόντων ἃ μὲν οὐ δεῖ λέγειν πρὸς τὴν βασιλείαν σου, ὅμως δὲ νικωμένων παρὰ τῆς ἀφροσύνης καὶ φλυαρούντων· ἀρκεῖ αὕτη ἡ ὑπόμνησις, καὶ πλειόνων οὐ δεόμεθα λόγων· περὶ δὲ τοῦ οἰκονόμου ἠγάγομεν αὐτὸν, καὶ ὅσα ἔδει παρῃνέσαμεν, καὶ νομίζω μηκέτι αὐτὸν τὴν σὴν τιμίαν λυπήσειν ψυχὴν, ὥσπερ πρότερον ἐλύπει, τὰ μὴ πρέποντα λέγων, καὶ ὡς ἐδόκει ἐξονειδίζων τὴν σὴν τιμιωτάτην βασιλείαν· ἀπεστείλαμεν οὖν αὐτὸν, καὶ δεῖξον αὐτῷ πρόσωπον εὐμενὲς ἄξια ποιῶν τῆς σῆς ἀγαθότητος, καὶ οἰκείᾳ γλώσσῃ ἃ ὁ Θεὸς ἐμπνεύσει ἐν τῇ ἁγίᾳ σου ψυχῇ λέγων αὐτῷ, καὶ πάλιν ἐγχειρίζων τὰ κλειδία τοῦ οἰκονόμου· ὁ Θεὸς ὁ ἅγιος ἀνθ' ὧν τῆς ἡμετέρας τεταπεινωμένης ἤκουσας

δεήσεως, αὐτός σοι παρέξει εὐήκοον τὸ ἅγιον αὐτοῦ ὠτίον ἐν πάσῃ δεήσει σου, καὶ πληρωτὴς ὀφθείη πάντων σου τῶν θελημάτων.

LXXXVII. ΑΔΗΛΩ.

Τέκνον ἡμῶν ἱερόν· οὐ λογίζομαι ἀγνοεῖν τὴν σὴν ἔμφρονα σύνεσιν, οὔτε τὴν ἐμὴν φύσιν, οὔτε ὅπως ἔχω γνώμης ὁ ταπεινός σου πατὴρ πρὸς τὰ πολλάκις ἀνθρωπίνως γινόμενα προσκρούσματα, οὐδ᾽ ὅτι οὐδὲν τῶν τοιούτων ἐν τῇ ἐμῇ ἀποθησαυρίσω ψυχῇ, οὐχ ὅτι πρὸς τέκνον ἐμὸν, καὶ σπλάγχνον οἰκεῖον καὶ μέλος ὥσπερ εἶ σὺ, χάριτι θεοῦ ἐξ ἀρχῆς καὶ συγκοινωνὸν τῶν παθημάτων, ἀλλ᾽ οὐδὲ πρὸς ἕτερόν τινα· μηδεὶς οὖν ὑποτρεχέτω λογισμὸς, τέκνον ἠγαπημένον, τὴν σὴν ψυχὴν, ὡς ἕνεκεν τῶν προλαβόντων ἀηδές τι ἐν τῇ ἐμῇ ἀποκείσεται ψυχῇ, οὐδ᾽ ἀποστροφή τις καὶ ἐναντίωσις· μὴ γένοιτο, τέννον μου, μὴ οὕτως ποτὲ νικήσῃ τις ὑπεναντίως κινούμενος λογισμὸς, ὥστε τοιοῦτον ἐνθύμημα ἐν τῇ σῇ ἐμφυτευθῆναι ψυχῇ· ἀλλ᾽ ὄψει μᾶλλον πλέον ἢ πρόσθεν τὴν ἡμετέραν πρός σε καὶ διάθεσιν, καὶ γνώμην, καὶ στοργὴν ἐξηπλωμένην, καὶ τοσοῦτο πλέον ὅσον νῦν εἰς μέσον εἰσέρχομαι τῶν ἴσως διὰ τὰς ἐμὰς ἁμαρτίας μὴ καθαρῶς μὴ δὲ γνώμῃ ἀδιαστρόφῳ μεθ᾽ ἡμῶν μελλόντων συναναστραφήσεσθαι· καὶ πάλιν φημὶ εἴ τις παρενοχλεῖ λογισμὸς ἕνεκεν τῆς μικρᾶς ταύτης γεγενημένης διαστάσεως, τοῦτον ὅλῃ ψυχῇ ῥίψον ἀφ᾽ ἑαυτοῦ, λαμβάνων πληροφορίαν, ὡς οὐδ᾽ ἴχνος ὅλως τῶν γεγονότων μεταξὺ ἡμῶν τῇ ἐμῇ ψυχῇ, ἐν θεῷ φαμὲν, ἀποκείσεται.

LXXXVIII. ΑΔΗΛΩ.

Οἴδαμεν τὴν ἀγαθήν σου προαίρεσιν, τέκνον ἡμῶν, μὴ δεομένην τῆς ἡμῶν παραινέσεως· οἱ γὰρ οἴκοθεν ἔχοντες τὸ συμπαθὲς οὐ χρήζουσιν ἐπὶ τοῦτο τῆς ἐκτὸς παρακλήσεως· διὰ τοῦτο οἱ τὸ γράμμα ἡμῶν ἐπιφερόμενοι, μέχρι τοῦ νῦν τοιοῦτο οὐκ ἐκόμισαν

γράμμα περὶ τοῦ μηδὲν ἐπιβαρεῖσθαι αὐτοὺς ἕνεκεν τῆς ἐξ ἀρχῆς καὶ ἄνωθεν ἐλαφρυνούσης αὐτοὺς συνεισφορᾶς ἐν τῇ πατριαρχικῇ διοικήσει· ἐλογιζόμεθα γὰρ ὅτι καὶ χωρὶς τοῦ ἡμετέρου γράμματος τούτους ἀφήσῃς τοῦ δημοσίου βάρους ἀνέτους· οὐδὲ γὰρ δυνατὸν, ὡς καὶ ἡ σὴ ἐξεπίσταται σύνεσις, τά τε πατριαρχείῳ ἐξ ἀρχῆς διορισθέντα συνεισφέρειν, καὶ ταῖς δημοσίαις ὑπηρεσίαις καταβαρύνεσθαι· διὰ ταῦτα γράφομέν σοι, τέκνον ἡμῶν, εἰ δυνατὸν ἐάσαι πένητας ἄνδρας διὰ τὴν αὐτῶν ἀπορίαν μικρὰν συνεισφέροντας χρείαν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ μὴ βάρος αὐτοῖς ὑπὲρ τὴν δύναμιν ἐπιθεῖναι, ὃ καὶ τοῖς δημοσίοις πράγμασι λειτουργεῖν αὐτοὺς οὐ συγχωρήσει, καὶ τῆς μικρᾶς προσενέξεως τὴν ἐκκλησίαν τοῦ θεοῦ ἀποστερήσειν.

LXXXIX. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ.

Ἐπειδὴ τὰ τῆς ἁγίας αὐτοῦ ἐκκλησίας ὁ μέγας καὶ πρῶτος ἀρχιερεὺς ἡμῶν ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς οἰκονομηθῆναι παρέσχεν, ὃν τρόπον τῇ αὐτοῦ ἔδοξεν ἀγαθότητι· τίς γὰρ ἐπὶ νοῦν τολμήσοι λαβεῖν ὡς τὸ μέγα τοῦτο ἔργον μὴ γεγονέναι σὺν τῇ ἐκείνου εὐδοκίᾳ; ἀλλὰ γὰρ ἐπεὶ τὰ τῆς ἱερᾶς αὐτοῦ συναγωγῆς διῳκήθη, ὁρίζομεν τοὺς μὲν ἀρχαίους λειτουργοὺς τοῦ ἁγίου θυσιαστηρίου προτετάχθαι τῶν παρὰ τῆς σῆς ἀρχιερωσύνης ἐν τῷ νῦν καιρῷ εἰς λειτουργίαν προκεχειρισμένους· μετ᾿ ἐκείνους δὲ τοὺς παρὰ σοῦ τὴν χειροθεσίαν λαβόντας· ἐσχάτους δὲ εἶναι τοὺς ἐν τῷ καιρῷ τῶν οὐκ οἶδα ποίοις κρίμασι θεοῦ συγκεχωρημένων ἐπεισελθεῖν σκανδάλων τῇ ἐκκλησίᾳ ὑπὸ Κωνσταντίνου καὶ Ἰωάννου χειροθετηθέντας· καὶ τοῦτο μὲν τὸ μέρος τοιοῦτον ἔχει τὸν διορισμόν· ἕτερον δὲ ὁρίζομεν, καὶ τοῦτο μενέτω πάντως ἀπαραποιήτον, ὥστε τὸν παρὰ σοῦ εἰς τάξιν πρωτοπρεσβυτέρου τεταγμένον καὶ ἀρχιδιακόνου, ναὶ δὴ καὶ τὴν τοῦ λεγομένου δευτερεύοντος, συντηρεῖσθαι τάξιν τε καὶ κατάστασιν, καὶ μηδαμῶς αὐτοὺς ἐν ὑποβεβηκυίᾳ τάξει δοκιμάσαι καταγαγεῖν· ταῦτά σοι ἐντελλόμεθα, καὶ γενοῦ φύλαξ, τῆς ἡμε-

τέρας ἐντολῆς, ὡς ἑπόμενος εἰ καὶ ἁμαρτωλῷ ὅμως δ' οὖν πατρί σου καὶ ἀρχιερεῖ.

XC. ΑΔΗΛΟΙΣ.

Ἀδελφοί μου, προσθήσω δὲ καὶ τέκνα, εἰ μὴ λύπην ἡ προσθήκη ποιεῖ τοῦ τέκνα καλεῖσθαι ἁμαρτωλοῦ μὲν, ὅμως δ' οὖν πατρὸς, ὡς οὐδ' ἂν αὐτοὶ ἀρνηθείητε εἰ καὶ πλ . . . εἶναι παρὰ πᾶσιν ἄξιοι καθεστήκαμεν· ἀλλὰ γὰρ τέκνα καὶ ἀδελφοὶ . . . πονηροῦ δαίμονος τῆς ἐκκλησίας διαῤῥήξεις, προμηθείᾳ τοῦ ἀεὶ καὶ ἐξ ἀρχῆς τὰ διεστῶτα εἰς ἕνωσιν ἄγοντος, μάλιστα μὲν δι' ἑαυτοῦ οἷς ἐκένωσεν ἑαυτὸν ὑπὲρ τῆς πάντων ἑνώσεως καὶ παθεῖν ἠνέσχετο οἷα πέπονθεν· ἔπειτα δὲ καὶ διὰ τῶν εἰς τὴν ἐκείνου πρόνοιαν τῆς ἀνθρωπίνης εἰσεληλυθότων ἑνώσεως, ἀποστόλων φαμὲν καὶ τῶν ἐφεξῆς διαδόχων, ἀπείληφε τὴν, ὥς γε νομίζομεν, εἰ καὶ ἁμαρτωλοὶ, θείῳ νεύματι πρέπουσαν ἱερεῦσι θεοῦ σύναψιν· καὶ εἴ τις ταύτην οὐκ ἐν ἀποδοχῇ τίθεται, οὐκ ἔστιν ἐμὸν ἐλέγχειν, τῶν πραγμάτων ἀρκούντων εἰς ἔλεγχον, κἂν ἡμεῖς σιωπήσωμεν· ἃ δὲ πρὸς τὴν ἐμὴν ταπείνωσιν εἴτε παρ' ὑμῶν, εἴτ' ἐπ' ἄλλων αἰτιάματα βλέπει, οὐ παραιτοῦμαι τὴν τῶν αἰτιωμένων προαίρεσιν, εἰς ὃ προελθεῖν ἀγαπῶσιν· κἂν θείᾳ χάριτι μὴ δειλιῶμεν τὴν τῶν αἰτιαμάτων διάλυσιν, ὅμως οὖν τέκνα καὶ ἀδελφοὶ εἰ βαρὺς ἐγὼ καὶ ἀπαρέσκων, ἕτοιμός εἰμι καὶ τοῦ βάρους ἀπαλλάττειν τοὺς βαρυνομένους, καὶ πρὸς τὸ ἀρεστὸν ὑμῖν τὰ κατ' ἐμαυτὸν διατιθέναι, παραχωρῶν τῷ εἰς ἀρέσκειαν ἐσομένῳ τὸ εἶναι ὑμῶν κεφαλὴν, μόνον πρὸς τὴν ὁλότητα τοῦ τῆς ἐκκλησίας ἐπιστράφητε σώματος.

XCI. ΤΩ ΗΓΑΠΗΜΕΝΩ ΠΝΕΥΜΑΤΙΚΩ ΤΕΚΝΩ ΤΩ ΕΝΔΟΞΟΤΑΤΩ ΚΟΡΟΠΩ.

Οἴδαμεν, τέκνον ἡμῶν, καὶ πρὸ τῶν γραμμάτων τῆς σῆς τελειοτάτης συνέσεως, ὡς ἡ τῶν πραγμάτων δυσχέρεια τὴν ὑμε-

τέραν ἀπεκώλυε τιμιότητα διαπέμπεσθαι πρὸς ἡμᾶς· πλὴν τοῦτό σε μὴ λανθανέτω, ὅτι κἂν μὴ πρὸς ἡμᾶς δήλωσίς τις ἐγίνετο παρ' ὑμῶν, οὐκ ἐτίθεμεν ἐν παροράσει τὸ ἐν ταῖς τεταπεινωμέναις ἡμῶν εὐχαῖς μεμνῆσθαι τῆς ὑμῶν εὐζωίας καὶ σωτηρίας· τοῦτο καὶ ἀπὸ τοῦ παρόντος οὐ λήξομεν, εἰ καὶ ἁμαρτωλοὶ, ποιοῦντες· ἔστι δὲ τῆς σῆς συνέσεως τὴν ταπεινὴν εὐχὴν ἡμῶν ἐνεργῆ ποιῆσαι καὶ παῤῥησίαν λαβεῖν τοῦ προσιέναι τῷ πάντων θεῷ· ἰσχύει γὰρ δικαίου δέησις ἐνεργουμένη· εἰ δὲ τῶν δικαίων εὐχὴ χρῄζει καὶ τῆς ὑπὲρ ὧν εὔχεται βοηθείας, πόσῳ μᾶλλον ἡ τῶν ἁμαρτωλῶν ὁποῖοι τυγχάνομεν ἡμεῖς; πάντως δε, τέκνον ἡμῶν, γενήσεται ἡ παρὰ σοῦ βοήθεια τῇ ἡμῶν τεταπεινωμένῃ εὐχῇ, βιοῦντος σου θεοφιλῶς, ὅπερ ὀφείλει πᾶς μὲν ὁ ὑπὸ τὴν ἀνθρωπίνην φύσιν τελῶν, μάλιστα δὲ οἱ παρὰ θεοῦ λαβόντες τὸ ἄρχειν καὶ ἴσα καὶ θεῷ τοῖς ὁμοφυέσι καὶ ὁμοδούλοις τοῖς ὑποτεταγμένοις ὄντες· τί οὖν φημί; ὅτι πατρικῶς ἄρχων μᾶλλον οὐχὶ δεσποτικῶς, ὅτι προνοούμενος τῶν ὑπηκόων ὡς τέκνων οἰκείων, ὅτι δικαιοσύνην τιμῶν καὶ σωτηριώδη ποιούμενος πρόνοιαν τῶν ὑπὸ τῇ σῇ προνοίᾳ κειμένων, καὶ ἁπλῶς ἵνα μὴ πλέον λέγω, ὅτι οὕτως ἄρχων τῶν ὑποχειρίων, ὡς παρὰ θεοῦ τὸ ἄρχειν λαβὼν καὶ εἰκονίζων τὸν πάσης ἀρχῆς καὶ κυριότητος ἄρχοντα, τὴν ἡμετέραν ὑπὲρ σοῦ ἔμπρακτον καταστήσεις εὐχὴν, καὶ οὕτω καθὼς εὐχόμεθα, καὶ τὴν ἐπὶ γῆς ζωὴν διανύσεις ἐνδόξως, καὶ τῆς μελλούσης οὐκ ἀποτεύξῃ, πρὸς ἣν πᾶς ἄνθρωπος ἔρωτα τῆς κληρονομίας τῶν ἀγαθῶν κεκτημένος, καὶ εὔχεται καὶ σπουδάζει κατασχεῖναι· εἴη δὲ θεὸς ὁ καὶ προαγαγὼν ἡμᾶς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, καὶ εἰς ἄρχειν ἀφορίζων οἷς οἶδεν ἐκεῖνος κρίμασι τῶν ὁμοδούλων, ἐκ πάσης μὲν κακώσεως ὅση ὁρωμένη καὶ ἀόρατος διατηρῶν, πάσῃ δὲ ἀρετῇ σεμνύνων, ὅση τὸν κατὰ θεὸν ἄρχοντα οἶδεν ἐξωραΐζειν.

XCII. ΑΔΗΛΩ.

Αἱ κοιναὶ περιστάσεις κοινὴν ἀπαιτοῦσι καὶ τὴν βοήθειαν· οὐ γάρ ἐστιν ἄλλως τὰς κοινὰς συμπτώσεις λαβεῖν ἐπανόρθωσιν· εἰ μὴ πάντες κατὰ τὸ δυνατὸν συνεπιλήψονται τῆς διορθώσεως· διὰ τί ταῦτα λέγομεν; πάντως καὶ πρὸ τῶν ἡμετέρων λόγων οὐκ ἠγνόηκεν ἡ σὴ θεοσέβεια, ὅμως ἀπαγγέλλομεν καὶ ἡμεῖς· ἡ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐκ τῆς βαρβάρου καὶ βουλγαρικῆς ἐπαναστάσεως γεγενημένη τῶν πραγμάτων κατάπτωσις, πολλῆς ἐπιμελείας δεῖται καὶ σπουδῆς χεῖρα θεοῦ ὑπερέχοντος εἰς τὸ τὴν ὀφειλομένην λαβεῖν ἐπανόρθωσιν· ἡ πολλὴ δὲ αὕτη σπουδὴ πῶς ἂν γένοιτο, ἢ δηλονότι πάντων κατὰ δύναμιν μᾶλλον δὲ καὶ ὑπὲρ δύναμιν τὰ δέοντα συνεισφερόντων; οὐκοῦν δεήσει τὴν σὴν τελειότητα πράττουσαν μὲν ἑαυτῆς ἄξια τῆς φρονήσεως, ἀναγκαῖα δὲ τῇ κοινῇ καταστάσει, πρῶτον μὲν ἀπὸ τῆς ἰδίας ἐκκλησίας ποσότητα χρυσίου ὅση μὴ δὲ τὴν ὑμῶν καινοτομῇ καὶ καταβαρύνῃ καὶ τῷ κοινῷ προξενῇ τὴν ὠφέλειαν, προθύμῳ παρασχεῖν γνώμῃ, ἔπειτα δὲ καὶ τῶν ὑπὸ σὲ μοναστηρίων καὶ ἐπισκοπείων τελούντων τὸν ὅμοιον τρόπον καταπρᾶξαι τὴν συνεισφοράν· εἰ γὰρ καὶ ἴδια στενοχωρουμένοις τισὶν ὀφείλομεν χορηγεῖν κατὰ δύναμιν πρὸς τὸ λῦσαι τὴν στενοχωρίαν τῶν ἀπορουμένων, πόσῳ μᾶλλον ἐν τῇ παγκοίνῳ ταύτῃ στενοχωρίᾳ τοῦτο πράττειν ὀφείλομεν; ἐκεῖνο καλῶς εἰδότες ὅτι σωζομένης τῆς κοινότητος, πάντως σώζεται καὶ τὸ ἴδιον ἑκάστῳ, τῶν δὲ κοινῶν παραπολωλότων, τίς ἔτι σωτηρία τοῦ ἰδιάζοντος ἀπολείπεται; ὡς οὖν ἔφημεν, τέκνον ἡμῶν, καὶ τῆς ὑπὸ σὲ χάριτι θεοῦ διεπομένης ἐκκλησίας, καὶ τῶν μοναστηρίων, καὶ τῶν ἐπισκόπων ποσότητα χρυσίου συναγαγὼν, ὅσην ἡ σὴ ἔμφρων οἰκονομία ὁρᾷ, μήτε ὑμᾶς εἰς ἀφόρητον ἀπάγουσαν στενοχωρίαν, καὶ τῇ κοινῇ βοηθοῦσαν ἀπορίᾳ, εἴτε διὰ σεαυτοῦ ἧκε φέρων, εἴτε δι' ἀνθρώπου τοῦ σοὶ πιστοῦ τυγχάνοντος μέχρι τοῦ μαρτίου μηνὸς ἐξαπόστειλον.

Περιττόν τι ποιεῖν δοκοῦμεν τῇ σῇ τελειότητι δεσμὸν ὑποβαλ-

λοντες, πλὴν οὕτω καταναγκαζούσης τῆς χρείας, ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι προστίθεμεν τὸν δεσμὸν, οὕτω τὴν εἴτε λειτουργίαν, εἴτε συνεισφορὰν χρὴ λέγειν ταύτην ἐπιτελέσαι, ὥστε μήτε τοῦ δέοντος ἔλαττον τοῖς κοινοῖς πράγμασι τὴν βοήθειαν γενέσθαι, μήτε πλέον ἢ προσῆκε τὰς συνεισφερούσας τοῦ θεοῦ ἐκκλησίας τὸ βάρος ὑποστῆναι τῆς ζημίας· ὅπερ δὲ ἀναγκαῖον ἐστιν εἰδέναι τὴν ὑμῶν τελειότητα, τοῦτο ἔτι προσκείσθω, ὅτι περ ἐάν τε ὑστέρησις γίνεται, ἐάν τε σμικρολογούμενοι ἔλαττον τοῦ δέοντος εἰς τὴν κοινὴν ταύτην χρείαν συνεισενέγκητε, τοτε βασιλικοὶ ἐξαποσταλήσονται ἄνθρωποι, καὶ τὴν ὑμετέραν προαίρεσιν ἀκριβολογούμενοι, καὶ ἀκόντων ὑμῶν τὴν συλλογὴν ταύτην ἐπιτελέσοντες· καὶ ὅση τις γενήσεται βαρύτης ὑμῖν ἐκ ταύτης τῆς ὑποθέσεως, οὐκ ἐμὲ χρὴ διδάσκειν, αὐτὸς γὰρ καὶ πρὸ τῶν ἡμετέρων λόγων τὸ γενησόμενον ἐξεπίστασαι.

XCIII. ΘΕΟΚΤΙΣΤῼ ΚΛΑΥΔΙΟΥΠΟΛΕΩΣ.

Ἄγράφομεν, τέκνον ἡμῶν ἱερὸν, τῇ θεοσεβείᾳ σου καὶ ἑκόντες καὶ ἄκοντες γράφομεν, ἑκόντες μὲν ὅτι ὁ κομίζων τὸ γράμμα ἐν πάσῃ προόδῳ ἡμῶν, ὅση ἐν ἐκκλησίᾳ, ὅση ἐν βασιλείοις, οὐ διέλιπεν ἡμῶν κόπτων τὴν ἀκοὴν ταῖς βοαῖς αὐτοῦ, ἕως ἂν ἔπεισε δοῦναι τὸ γράμμα· αἱ δὲ καταβοήσεις, ὅτι πολλὴν παρὰ τοῦ δικαίου ἔχων τὴν δύναμιν, ἐξελαύνεται παρ᾽ ὑμῶν τῶν ἰδίων· ὅπερ οὔτε ἐπιστεύσαμεν, οὔτε πιστεύομεν· πλὴν ὁ ἄνθρωπος ταῦτα κράζει, καὶ οὗ ἂν ἐμφανεῖς αὐτῷ καταστῶμεν, πληροῖ τὸν ἀέρα τῶν οἰκείων φωνῶν, μάλιστα προστιθεὶς, ὅτι καὶ γενομένης ἐπισκέψεως περὶ ἧς ἐγκαλεῖ ὑποθέσεως ἐκ διαφόρων βασιλικῶν ἀνθρώπων τὴν δικαιοῦσαν ἔλαβε ψῆφον· ἀλλὰ ταῦτα μὲν ἑκόντας ἡμᾶς ἐκίνησεν εἰς τὸ γράφειν· ἄκοντες δὲ γράφομεν διὰ τὸ ἀκηκοέναι, ὡς Βασίλειος ὁ πρωτοσπαθάριος ἐν τῷ καθ᾽ ὑμᾶς θέματι ἐξαποσταλεὶς, διάταξιν ἐκ τῶν βασιλειῶν φέρει τὴν τοῦ ἐγκαλοῦντος καθ᾽ ὑμῶν ἔγκλησιν ἐπισκέψασθαι· εἰ μὲν οὖν συνορᾷ σου ἡ ἀρετὴ, οἷα πολλὰ τὰ ἀνθρώπινα, παρὰ τὴν τοῦ δικαίου

φύσιν πάσχειν τὸν ἄνθρωπον ἃ πάσχειν διατείνεται, σόν ἐστι καὶ τῆς σῆς εὐλαβοῦς συνειδήσεως μήτε βασιλικῆς δεηθῆναι κρίσεως μήτε ἄλλου τινός, ἀλλὰ σεαυτοῦ γενέσθαι κριτὴν, καὶ τῷ δικαίῳ συστῆναι· εἰ δὲ τὸ ὅλον μανία καὶ γνώμη ἀπάνθρωπος καὶ ἀσυνείδητός ἐστιν ἡ κινοῦσα τὸν ἄνθρωπον εἰς τὰς καθ' ὑμῶν ἐγκλήσεις, τὴν ἐκ τοῦ δικαίου βοήθειαν, ὅση ἔστι βοηθοῦσα ὑμῖν, ἢ αὐτόθι προβαλλόμενος τῆς κατὰ σοῦ ἀπόστησον συκοφαντίας τὸν ἄνθρωπον, ἢ πρὸς τὰ ἐνταῦθα καταπραττόμενος ἥκειν αὐτόν τε καὶ τοὺς μέλλοντας ὑπὲρ τοῦ ἀντιδικοῦντος ἀγωνίζεσθαι, τὸ ἄμεμπτον σεαυτῷ καὶ ἡμῖν τὸ ἀνενόχλητον περιποίησαι.

XCIV. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ.

Ἃ μὲν, τέκνον ἡμῶν ἱερὸν, τῆς ἄνωθεν συνεργίας τοῦ παναγίου πνεύματος συναντιλαμβανομένης ὑμῖν, ἐπράχθη πρός τε ὑμῶν αὐτῶν ἔπαινον καὶ τὴν τοῦ μεγάλου ἀρχιερέως ἡμῶν καὶ θεοῦ δόξαν καὶ σωτηρίαν τῶν ὑφ' ὑμῶν κυβερνωμένων καὶ παραμύθιον τῆς ἡμῶν πολυωδύνου ψυχῆς, ταῦτα εἰς εὐφροσύνην διέθηκε· καὶ ηὐχαρίστησα τῷ Χριστῷ μου καὶ θεῷ καὶ σὲ τῆς τελειοτάτης συνέσεως καὶ πρεπούσης τῇ σῇ ἀρετῇ ἔμφρονος ἐπιμελείας καὶ σπουδῆς ἀπεδεξάμην καὶ ηὐξάμην, οἷα εἰκὸς εὔξασθαι πατέρα ὑπὲρ τέκνου ποθουμένου, καὶ ἀντιποθεῖν τὸν πατέρα οὐκ ἔλαττον ὑπολαμβανομένου· τὰ δ' ἑξῆς τοῦ γράμματος ἠλλοίωσε τὴν ἡδονὴν ἡμῶν τῆς ψυχῆς, καὶ μάλιστα ἐν οἷς διεξῄει τῇ τῶν μειζόνων προσλήψει τοὺς εὐτελεῖς ὑμᾶς καὶ μικροὺς παρὰ φαῦλον ἀποῤῥίψαι· καὶ καινόν τι πεπόνθαμεν, λύπῃ καὶ θαύματι συνεχόμενοι· ἐθαυμάζομεν γὰρ πῶς τοῦτο εἰς νοῦν ἦλθε τῆς ὑμῶν τελειότητος· συνειχόμεθα δὲ τῇ λύπῃ τοιοῦτοι δόξαντες, οἵους ὑπεζωγράφει τὸ γράμμα· ἀλλ' ὡς ἔοικεν ἀνθρώπινα ταῦτα, καὶ δεῖ μὴ ἀκριβολογεῖν· πλὴν ἵνα γνῷς, ὅτι ἐπλήγημεν τὴν καρδίαν, ἐγράψαμεν οἷα ἐγράψαμεν.

Τὸ δὲ πεμφθὲν πρός σε γράμμα, ὃ καὶ τῆς λυπηρᾶς ταύτης

ὑποθέσεως γέγονεν ἀφορμὴ, οὐχ ἁπλῶς οὕτω πρὸς τὴν ὑμῶν ὁσιότητα προσεγάγη πεμφθῆναι, ἀλλὰ φήμης ἀεὶ καταλαμβανούσης, ὡς ἀλογοῦσι τῆς ἐν κοινῇ συνόδῳ γεγενημένης ἀσφαλείας οἱ προϊστάμενοι τῶν ἐκκλησιῶν, καὶ χειροτονίας ἐπιτελοῦσιν ὃν ἂν αὐτοῖς τρόπον δοκῇ, διωρισάμεθα πρὸς πάντας, ὥσπερ ἀνάμνησιν τινὰ τῶν κοινῶς δοξάντων διὰ τοιούτου γενέσθαι τύπου τοῦ γράμματος, οὐ πρόσωπον σὸν ὀνομάσαντες, μὴ γένοιτο, ἀλλ' εἰπόντες πρὸς πάντας τοιαύτην ἐκπεμφθῆναι γραφήν· καὶ τοῦτο γέγονεν αἴτιον, ἀλλ' οὐ φαύλη τις ἐνθύμησις, οὐ γνώμης ἀλλοτρίωσις, οὐδὲ τῆς ἀρχῆς στοργῆς καὶ τῆς ἡμῶν πρὸς σὲ τέκνον φιλίας ἀθέτησις· ἀπολογούμεθα ταῦτα, καὶ τὴν σὴν ἅμα καὶ τὴν ἐμὴν θεραπεύοντες καρδίαν· τὰ δ' ἀπὸ τούτου, ἵνα μὴ καὶ πάλιν πρόφασις θλίψεως, γράφομεν· ἔδοξε τοῖς ἐπὶ τῶν κοινῶν πραγμάτων καθημένοις συνεισφορὰν ποιήσασθαι ἀπὸ πάσης ἐκκλησίας, ὅση δυνατὴ γενέσθαι· καὶ βασιλικοὶ κατὰ πᾶσαν ἐξηπέμφθησαν ἐπαρχίαν· ἡμεῖς δὲ νομίζοντές τι φρονεῖν ὑπὲρ τῆς ἐκκλησίας, μὴ χωρὶς τῆς τῶν ἐπισκόπων γνώμης διοικεῖν τοὺς βασιλικοὺς κατεπραξάμεθα· δεῖ οὖν σε, τέκνον ἐμὸν, αὐτὸν τὰ τῆς οἰκείας ἐπαρχίας διασκέψασθαι, ἐπισκοπεῖά τε φημὶ καὶ μοναστήρια, καὶ ὃ ἂν συνείδοις ἑκάστην ἐκκλησίαν δυνατὴν οὖσαν συνενεγκεῖν, τοῦτο ἐπισυναθροῖσαι· καὶ εἴτε διὰ σεαυτοῦ, εἴτε δι' ἀνθρώπου τοῦ πιστοῦ πρὸς ταύτην ὄντος τὴν λειτουργίαν ἄχρι μαρτίου μηνὸς τὸ συνηγμένον χρυσίον ὥστε πρὸς τὰ ἐνταῦθα κομισθῆναι διοικήσασθαι.

XCV. ΡΩΜΑΝῼ ΚΑΙΣΑΡΙ.

Δέσποτα καὶ τέκνον μου εὐλογημένον· φήμην ἠκούσαμεν, παράσχοι δὲ θεὸς ψευδῆ ταύτην εἶναι, ὅτι πρὸς τὴν Λάμψακον ἐπέρασαν Βούλγαροι, καὶ ἐποίησαν κακώσεις τινάς· εἴτε οὖν ψευδής ἐστιν ἡ φήμη, μὴ καλαφρονήσωμεν 7ῶν λεγομένων, ἀλλὰ μετὰ τῆς τοῦ θεοῦ βοηθείας ἀσφάλεια γενέσθω εἰς τὸν τόπον· εἴτε ἀληθής ἐστι, καὶ ὡς οὕτω πλέον καὶ πλέον γενέσθω πρόνοια τοῦ

μὴ συμβῆναι ἄλλό τι τοιοῦτον· εἰ γὰρ ἐγένετο ἀρχὴ τοιαύτη, καὶ μικρόν τι ἀποθαῤῥήσωσι τοῦ περνᾷν πρὸς τὰ μέρη τῆς Λαμψάκου, πολλῆς μετὰ ταῦτα δεησόμεθα σπουδῆς ἵνα τὸ πρᾶγμα θεραπεύσωμεν· νῦν οὖν γενέσθω ἡ πᾶσα φροντὶς καὶ ἐπιμέλεια, ἵνα θεοῦ συνεργοῦντος μὴ ἀρχὴν λάβῃ τὸ τοιοῦτον κακὸν, εἴτε δι' ἐντοπίων χελανδίων, ἐὰν εἰσὶν, εἴτε μονερίων ἐντεῦθεν κἂν δύο ἀποστελλομένων εἰς παραφυλακὴν τοῦ τόπου καὶ σωτηρίαν· ὁ θεὸς ὁ ἅγιος αὐτὸς ὥσπερ τῷ ὕψει τοῦ ἀξιώματος ἐδόξασεν, οὕτω καὶ τῷ ὕψει τῶν κατορθωμάτων καὶ τῆς εὐοδώσεως τῶν κοινῶν πραγμάτων δοξάσει, καὶ ὀνομαστὸν ποιήσει καὶ ἐν τῇ παρούσῃ γενεᾷ, καὶ ἐν τῷ μετὰ ταύτην ἀνθρώπων γένει· ἐπειδὴ δὲ πάντων σου τῶν κατορθωμάτων μετὰ θεὸν τὴν δικαιοσύνην οἶδα αἰτίαν γενήσεσθαι, δικαιοσύνη γὰρ ἔθνος ἀνυψοῖ, καὶ τοῦτο ὑπομιμνήσκω ἵνα τοὺς ἀντιγραφεῖς, καὶ μάλιστα τοὺς γέροντας τιμιωτέρους τοῖς ἀξιώμασι ποιήσεις, πάντως ἀρκουμένων αὐτῶν ἐν τῇ προκοπῇ τῶν ἀξιωμάτων, καὶ μὴ προσθήκην ῥόγας ἐπιζητούντων, καὶ παραινέσεις αὐτοὺς σπουδαιοτέρους γενέσθαι εἰς τὰς κρίσεις, καὶ ἀπροσωπολήπτους· προστιθεὶς καὶ τοῦτο, ὅτι ἐπειδὴ πληροφορίαν ἔλαβον περὶ ὑμῶν, ὡς ἄνθρωποι φιλοδίκαιοι ἐστὲ, διὰ τοῦτο προανεβίβασα τὰς ἀξίας ὑμῶν, ἵνα ἐπιπλέον καὶ αὐτοὶ τὴν ἀρετὴν ὑμῶν ἐπαυξήσητε, καὶ μὴ μόνον διὰ τοῦ ἀξιώματος, ἀλλὰ καὶ διὰ τῆς ἐπαυξήσεως τῆς ἀρετῆς ὑμῶν, τιμιώτεροι γένησθε.

XCVI. ΙΓΝΑΤΙῼ ΝΙΚΟΜΗΔΕΙΑΣ.

Τὴν περὶ τῶν μοναστηρίων ὑπόμνησιν ἐποιησάμεθα, καὶ περὶ τῆς αὐτῶν διοικήσεως τῷ Μονομάχῳ ἐδήλωσαν ἡμῖν διατάξασθαι· ἃ δὲ τούτου ἡ διάταξις ἕξει, καὶ ὁ σὺν ταῖς μοναζούσαις καταλαβὼν κληρικὸς, πάντως ἀπαγγελεῖ, καὶ ἡμεῖς δὲ γράφομεν· εἶπον γὰρ ὡς εἴ τινας τόπους ἐκ τῶν ἀλλαγῶν ἐκτήσαντο τὰ μοναστήρια, ἢ τινὰς τοὺς ὑπουργοῦντας ἐν αὐταῖς προσελάβοντο, τὴν ἀντ' ἐκείνων ὑπουργίαν ἄξιοι ποιεῖν τυγχάνουσιν οἱ καὶ-

νοτομήσαντες τὴν τοῦ δημοσίου δουλείαν· εἰ δὲ μὴ ἔστιν αἰτία τοιαύτη, παραλόγως ἡ δουλεία τῶν μοναστηρίων, τὴν ὀφειλομένην σύστασιν ὑπὲρ τῆς αὐτῶν παρασχεῖν ἐλευθερίας· τὰ δὲ λοιπὰ τοῦ γράμματος, καθὼς καὶ προεγράψαμεν, χωρὶς τῆς ὑμῶν παρουσίας, οὔτε κἂν λέγωμεν τοῖς κρατοῦσιν ἀνυσθήσεταί τι πλέον, οὔτε κἂν ἄλλα σπουδάσωμεν, ἡ σπουδὴ τὸ πέρας ἕξει, διότι ὁ κατὰ καιροὺς βασιλικὸς τοῖς σοῖς ἐπαίνοις ὀχυρωθεὶς, νῦν ἐκ τῶν ἐναντίων λόγων οὐχ ἁπλῶς ἀποχυροῦται, ἀλλὰ δοκεῖ τοιοῦτος εἶναι, ὁποῖος ἐμαρτυρήθη παρ' ὑμῶν, καὶ οὐδὲν ἕτερον ἢ μέμψεις δεχόμεθα τὰ ἐκείνου πράγματα διασύροντες· ὅταν οὖν τὰ ἐνταῦθα καταλάβῃς, τότε σὺ ὁ ἐπαινέτης οἶδας ὃ ἐρεῖς, καὶ ὑπὲρ τῶν ἐπαινουμένων, καὶ ὑπὲρ τῶν ψεγομένων αὐτοῦ πραγμάτων· τὰ δ' ἄλλα ἔῤῥωσο.

XCVII. ΤΩ ΑΥΤΩ.

Ὃ περὶ τοῦ κυροῦ Θεοστηρίκτου ἔγραψας, τέκνον ἡμῶν ἱερὸν, λέγω δὴ τὸ παρ' ἡμῶν γενέσθαι σημείωσιν τῆς γεγενημένης ἐπ' αὐτῷ κρίσεως παρ' ὑμῶν, οὐκ ἔδοξεν ἔχειν ἀκολουθίαν· οὐδὲ γὰρ προσῆκον οὐδ' εὐπρεπὲς τὰ παρ' ἑτέρων κρινόμενα σημειώσεσιν ἑτέρων ἐξοχυροῦσθαι· ἀλλὰ τὴν σημείωσιν ταύτην, εἴτε καὶ τὸ λεγόμενον κρίσιμον ὑμᾶς δεῖ ποιῆσαι τοὺς διοικήσαντας τὰ παρ' αὐτοῦ εἰς τὴν ὑμετέραν κρίσιν ἀχθέντα· καὶ τοῦτο οὕτως γενέσθω, δηλονότι μνημονεύσῃς τῆς σημειώσεως ὑμῶν ἢ καὶ τοῦ κρισίμου, ὅτι κατ' ἐπιτροπὴν ἡμετέραν τῶν πραγμάτων ὁρισθέντων τῆς ὑμετέρας τυχεῖν σκέψεώς τε καὶ κρίσεως· ἐπράχθη τὸ καὶ τὸ, καθὼς ἡ τῶν πραγμάτων προέβη τάξις ἡ τούτων ἀποπεράτωσις.

XCVIII. ΤΩ ΑΓΙΩΤΑΤΩ ΚΑΙ ΜΑΚΑΡΙΩΤΑΤΩ ΑΔΕΛΦΩ ΚΑΙ ΣΥΛΛΕΙΤΟΥΡΓΩ.

Ὑπὲρ μὲν ὧν τοῖς καθ' ἑκάστην ἐνταλαιπωρεῖ κινδύνοις ἡ ἁγιότης ὑμῶν, εἰ καὶ μὴ τῶν κινδύνων ἐσμὲν κοινωνοὶ, ἀλλά γε τῶν

θλίψεων καὶ τῶν σπαρασσόντων ὀδυνῶν τὴν καρδίαν, οὐκ ἐσμὲν ἀλλότριοι τῆς κοινωνίας, καὶ πάντως οὐκ ἀπιστήσεις· ἡ γὰρ ἀγάπη τοῦ παναγίου πνεύματος τοὺς ταύτῃ δεσμίους καὶ ἡνωμένους οἶδε καὶ τοῖς συμβαίνουσι πράγμασιν ἑνοποιεῖν, καὶ κοινὰ τούτων ποιεῖσθαι καὶ τὰ ἡδέα καὶ τὰ ἀλγύνοντα· ἔστι μὲν οὖν κοινὸν τὸ ἄλγος ἡμῖν, καθὼς ἔφημεν· οἶδε δὲ πολλάκις καὶ μείζονα ποιεῖν τὴν ὀδύνην τῷ μὴ κοινωνοῦντι μέρει τῶν παθημάτων ἡ ὄντως εἰλικρινὴς ἀγάπη τοῦ πνεύματος, διότι ἐν μὲν τῷ κοινωνεῖν τοῖς παθήμασι τοῦ φιλουμένου νομίζει τὶ κέρδος ὁ φιλῶν ἔχειν αὐτὸ τοῦτο τὸ μετασχεῖν τῶν ἴσων παθῶν· ὅταν δὲ μὴ τοῦτο παρῇ, ὥσπερ ζημίαν ἡγούμενος τὸ μὴ τὰ ἴσα παθεῖν, πλέον φέρει τὸ ἄλγημα· ἀλλὰ τὰ μὲν τῆς ὀδύνης τοιαῦτα· ἔχομεν δὲ καὶ παράκλησιν τὴν ἀποκειμένην ἐλπίδα, ὧν ἡτοίμασεν ἀγαθῶν τοῖς ὑπὲρ αὐτοῦ πάσχουσι Χριστὸς ὁ θεὸς ἡμῶν· ἐνθυμούμενοι γὰρ τὴν ὑπὲρ τῶν ἐπικήρων τούτων πόνων αἰωνίαν ἑτοιμαζομένην ἀνάπαυσιν τῇ σῇ ἁγιότητι, μεγάλης ἀπολαύομεν παρακλήσεως καὶ χαρᾶς, ἧς οἶδα πάντως καὶ τὴν ὑμῶν ἱερὰν ψυχὴν, εἰ καὶ συνέχεται τῶν πειρασμῶν τῷ πυρὶ, καὶ ἀπολαύειν καὶ κρείττω γίνεσθαι τῆς ἐκ τῶν λυπούντων πυρώσεως.

Ἀλλὰ περὶ τούτων τέως, μηδὲν πλέον· τὰ δὲ τῆς καθ' ἡμᾶς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ἐπείπερ καὶ ταῦτα εἴπέρ τι ἄλλο ἡδὺ προξενήσειν ὑπολαμβάνω τὸ ἡσθῆναι τῇ σῇ ἁγιότητι, εὐαγγελιζόμεθά σοι, ὡς ταῖς ὑμετέραις εὐπροσδέκτοις εὐχαῖς ἀπῆλθεν ἐκ μέσου τὰ πονηρὰ ἐκεῖνα σκάνδαλα τῆς διαστάσεως, ὅσα ὁ ἀποτρόπαιος γάμος, ὃν εἴθε μὴ ἔγνωμεν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ εἰσήγαγε, πάντων ὁμοῦ τῶν πρώην οἷα τὰ ἀνθρώπινα συναρπασθέντων ὑπὸ τῆς ἐξουσίας τῇ τούτου παραδοχῇ μετὰ τῆς ἡμῶν μετριότητος ἀποκηρυξάντων αὐτὸν καὶ ἀλλότριον ἀποφηναμένων τοῦ ἀνθρωπίνου γένους, μάλιστα δὲ τῆς τῶν χριστιανῶν πολιτείας· καὶ λοιπὸν ἐσμὲν πάντες μιᾷ ψυχῇ ἑνὶ πνεύματι καὶ φρονήματι τὸ ἱερὸν κυκλοῦντες θυσιαστήριον, ἐκείνων μὲν συγγνώμην ἐξαιτησαμένων, ἡμῶν δὲ ἄνωθεν εὐμενείᾳ τεθαῤῥηκότων καὶ τῇ ἐξαιτήσει τὸ πέρας ἀπονειμάντων καὶ εὐχαριστούντων τῷ

συνάψαντι τὰ διεστῶτα Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ τὸ αἴτιον τῆς ἔχθρας καταλελυκότι μεσότοιχον· ἐγράφη ταῦτα, ἵνα καὶ ἡ ὑμῶν ἁγιότης ἐπὶ τούτῳ συνηδομένη τὰς χαριστηρίους ἀναφέρῃ εὐχὰς, δεομένη καὶ ἔτι συντηρηθῆναι τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν ἐν εὐσταθείᾳ εἰρηνικῇ, καὶ πάσης καταιγίδος ἀπειράτῳ γαλήνῃ· ταῦτα μὲν ἡμῖν, ὦ πατέρων καὶ ἀδελφῶν ἐγράφη τιμιώτατε· σὺ δὲ ταῖς ὁσίαις ἡμᾶς ἀμείβου εὐχαῖς, ἐῤῥωμένος μοι συντηρούμενος ἐν Θεῷ, καὶ τῶν πειρατηρίων ἐφ' ὅσον δυνατὸν ὑπεράνω γινόμενος.

XCIX. ΑΔΗΛΩ.

Χαίρομεν οὐκ ἔλαττον ἢ σὺ, τέκνον ἡμῶν ἱερὸν, ἐφ' οἷς ἀπαγγέλλεις τοὺς σοὺς πολίτας καὶ τὸν εὐαγῆ κλῆρον τὴν πρέπουσαν ἀρχιερεῦσι Θεοῦ καὶ οἰκείῳ πατρὶ ἀπονέμοντας αἰδῶ καὶ τιμήν· ὀφειλόμενον δὲ καὶ ἡμῖν ἐστιν ἐπιπλέον τὰ πατρικὰ ἐπιδείκνυσθαι σπλάγχνα, καὶ τὴν πρόνοιαν τῆς σωτηρίας αὐτῶν, καὶ τοσούτῳ μᾶλλον, ὅσον ἐκεῖνοι τὸ εὔνουν καὶ εὐπείθειαν διαδείκνυνται παρεχόμενοι· γράφω δὲ ταῦτα οὐκ ἀγνοῶν ὅτι καὶ χωρὶς τῶν ἡμετέρων λόγων, τοῦτο ποιεῖς, ἀλλ' ὅτι καθὼς συνειδόμεθα τόδε ἡμῖν ἐφάνη καὶ τὸ κοινῇ περὶ τούτου συνδιασκέπτεσθαι· εἴη δὲ Θεὸς κἀκείνους ἐπιπλέον τῷ δεσμῷ τῆς πνευματικῆς ἀγάπης τῷ πατρὶ καὶ ἀρχῇ αὐτῶν συνενῶν, καὶ σὲ πλουσιωτάτῃ στοργῇ τῇ πρὸς τὰ τέκνα καὶ ποθεινότερον καὶ τιμιώτερον ἀποτελῶν· ἡ δὲ πρὸς ἡμᾶς ἄφιξις ἐπεὶ τὰ τῆς σωτηρίου ἑορτῆς ἐκτετέλεσταί σοι, μὴ ἐν δευτέρῳ εἴη κειμένη.

C. ΠΡΟΣ ΤΟΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΝΙΚΑΙΑΣ.

Ὑπὲρ μὲν τῶν ἄλλων ὅσα κατὰ γνώμην τῇ τοῦ Θεοῦ χάριτι ἐπακολουθῇ, τέκνον ἡμῶν ἱερὸν, ἐν τῇ ἐκκλησίᾳ τὴν ὀφειλομένην εὐχαριστίαν φέρομεν τῷ ποιουμένῳ Θεῷ τὴν διευθέτησιν τῶν πραγμάτων· ἃ δὲ πρὸς τὰς ὑμετέρας ἀκοὰς ἀφικνεῖται περὶ τῶν ἐνταῦθα, οἶδα καὶ χωρὶς τοῦ δέξασθαι τὸ σὸν γράμμα, ὡς ἀγάθ-

μητα· καὶ τί ἄλλο, ἢ δημώδη φλυαρήματα; ὁπότε γὰρ μηδ' ἐνταῦθα δυνατόν ἐστι λόγον ὑγιῆ ταῖς ἀκοαῖς ἑλκύσαι, ὅπερ οὐδ' αὐτὸς ἀγνοεῖς, τί δεῖ λογίζεσθαι περὶ τῶν ἐντεῦθεν μέχρις ὑμῶν διαπετωμένων ῥημάτων; ἐγράψαμεν καὶ πρὸ βραχέος τοῦ καταλαβεῖν πρὸς ἡμᾶς, καὶ καθ' ἑκάστην ὥσπερ ἐν ὀφθαλμοῖς τὴν σὴν ἐβλέπομεν παρουσίαν· ἀλλ' ὡς ἔοικεν, οὐκ ἐδόθη ἀνθρώπῳ ἐπιτηδείῳ πρὸς τὴν διακονίαν τὸ γράμμα· διὰ τοῦτο οὐδ' ἀφίηται πρὸς σὲ καθὼς παρὰ τοῦ κομιστοῦ ἀνεμάθομεν· νῦν οὖν δευτέρου γράμματος περὶ τῶν αὐτῶν ἐν χρείᾳ κατέστημεν· ζητοῦμεν καὶ ἡμεῖς καθ' ἑαυτοὺς τὴν σὴν ἄφιξιν, ζητοῦσι δὲ καὶ οἱ τῆς ἐξουσίας τῶν πραγμάτων ἐπειλημμένοι, καὶ προσεῖπον ἡμῖν, ὥστε μετάκλητόν σε γενέσθαι· τοῦτο μαθὼν, τέκνον ἡμῶν, πάντως μὴ ἀναβάλῃ τὸ τὴν Νικαίαν μὲν καταλιπεῖν, πρὸς ἡμᾶς δὲ παραγενέσθαι.

CI. ΑΔΗΛΩ.

Φίλοι εὐγνώμονες καὶ θεράποντες, ὅταν τὸν αὐτὸν τρόπον τιμῶσιν εὐεργεσίας τυγχάνοντες, σπουδὴν ποιοῦνται τοὺς εὐεργέτας ἀμείβεσθαι· ἡ δὲ ἀντάμειψις ἐν τῷ καθιστάναι αὐτοὺς εἰς ἐκπλήρωσιν ἑτοίμους τῆς τῶν εὐεργετῶν βουλήσεως· συνορᾷς, τέκνον ἡμῶν· ἡ παρὰ τοῦ θεοστεφοῦς βασιλέως εὐεργεσία παρεσχέθη σοι, τὸ δὲ μέγεθος ταύτης, ἵνα μὴ λέγωμεν ἡμεῖς, πάντως οὐκ ἠγνόησας· λοιπὸν οὖν σόν ἐστιν ἐν πᾶσι πρόθυμον ὀφθῆναι οἷς ἂν ἡ αὐτοῦ βασιλεία τὴν σὴν ὑπηρεσίαν ἐπιζητεῖ, ἵνα καὶ τῆς εὐεργεσίας ἄξιος ὄντως ἀναφανῇς, καὶ ἡμεῖς φιλοτιμώμεθα ὑπὲρ ἀνδρὸς τοιούτου τὴν μεσιτείαν πεποιημένοι· καὶ ὁ μέγας καὶ ὑψηλὸς ἡμῶν χαίρει βασιλεὺς, ἄξιόν σε τιμῆς ὄντα τηλικαύτης, δι' ὧν ἐπιγινώσκεις τὸ εὐεργέτημα· ἐπιγινώσκων δὲ εἴης, ὅπερ ἔφην, τὰ τούτου ἐπιτάγματα ἐκπληρῶν ἐν τῇ τιμῇ καταστάς· τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος· εὐλογίας δὲ χάριν ἀπέστειλά σοι ἱμάτιον· τοῖς αἰτήμασιν ὑμῶν ὁ μέγας καὶ θεοστεφὴς βασιλεὺς εὐήκοον οὖς παρασχὼν, ἐπέ-

θηκε τὴν τελείωσιν, καὶ τὴν τιμὴν, ἣν ὁ τὴν ὑμετέραν ἀρχὴν πεπιστευμένος πολὺν εἶπε πόθον λαβεῖν, παρέσχεν αὐτῷ· τὰ μὲν παρὰ τοῦ βασιλέως τοιαῦτα γεγένηνται εἰς ὑμᾶς· ἀναλογίζεσθαι δὲ ἄξιον τὴν ὑμετέραν τελειότητα τὸ εὐεργέτημα ὅσον, καὶ διὰ τοῦτο τὸν εὐεργέτην τιμᾷν· τιμὴ δὲ τοῦ εὐεργέτου τίς ἂν ἄλλη, πλὴν τοῦ κατὰ πάντα εὔνοιαν αὐτῷ διασώζεσθαι παρὰ τῶν εὐεργετηθέντων, καὶ πάντα τρόπον σπουδὴν ποιεῖσθαι τὰ τῆς ἐκείνου δόξης καὶ φρονεῖν καὶ ἐπιτελεῖν; πλειόνων οὐ δεόμεθα λόγων· ἀρκεῖ γὰρ ταῦτα καὶ τὴν ὑμετέραν τελειότητα, καὶ τοῦ ἄρχειν ὑμῶν λαχόντος τὴν σύνεσιν, ἐν οἷς προέφημεν καὶ βεβαίους ἀποκαταστῆσαι φίλους, καὶ τὴν ὑμῶν εὐγνωμοσύνην καὶ νῦν καὶ ταῖς μετέπειτα γενεαῖς ἐμφανῆ ποιῆσαι, καὶ ὑπόδειγμα πίστεως ἀληθοῦς καταστῆσαι ὑμᾶς τῆς πρὸς τοὺς εὐεργέτας διαθέσεως τοὺς εὐεργετουμένους.

CII. ΤΩ ΥΠΕΡΦΥΕΣΤΑΤΩ ΠΑΝΕΥΓΕΝΕΣΤΑΤΩ, ΜΕΓΑΛΟΔΟΞΩ ΦΙΛΩ ΗΜΩΝ ΟΔΗΓΩ, ΤΩ ΚΑΤΑ ΘΕΟΥ ΨΗΦΟΥ ΤΟΥ ΣΑΡΑΚΗΝΩΝ ΕΘΝΟΥΣ ΤΗΝ ΕΠΙΚΡΑΤΕΙΑΝ ΛΑΧΟΝΤΙ ΚΑΙ ΚΥΡΙΟΤΗΤΑ.

Ὅσῳ πάντων τῶν σῶν ὁμοφύλων, ὦ εὐγενεστάτη τῶν Σαρακηνῶν κορυφὴ, παρὰ θεοῦ ἔλαβες τὸ ὑπερέχειν, καὶ ὑπεράνω καθῆσθαι, τοσοῦτον καὶ τῇ ἄλλῃ ἀρετῇ πάντων ὀφείλεις τὸ ἐξαίρετον ἔχειν· καὶ λέγω ταῦτα, οὐχ ὅτι μὴ τοιοῦτόν σε ὑπάρχειν ὑπολαμβάνω· διδάσκει γὰρ ἡμᾶς ἡ ἀγαθὴ περὶ σοῦ φήμη ἅ γε διδάσκει, καὶ μανθάνομεν ἐκ ταύτης, ὅτι ὥσπερ κατὰ τὴν ἀρχὴν, οὕτω καὶ φρονήσει καὶ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ καλοκαγαθίᾳ τῶν τρόπων τῶν σῶν διαφέρει καὶ ὑποχειρίων· ἀλλ' ἐπειδὴ λόγος ἄτοπος καὶ παράδοξος ταῖς ἡμετέραις ἀκοαῖς προσῆλθεν ὡς κατὰ τῶν ὑποκειμένων ὑμῖν Χριστιανῶν εἰς φοβερὰν ὀργὴν ἐξηνέχθης, ἀπ' οὐδεμιᾶς ἀληθοῦς αἰτίας, ἀπὸ δὲ ψιλῆς μόνης συκοφαντίας, διὰ τοῦτο προοιμιαζόμεθα ταῦτα· ἀπήγγελλε γὰρ ὁ ἄτοπος ἐκεῖνος λόγος, ὡς τῆς ὑμῶν μεγαλοπρεπείας

ἀκοὴν δεξαμένης οὐκ οἶδα πόθεν, ἐκ τοῦ διαβόλου τοῦ ἀπ' ἀρχῆς τὸ ψεῦδος τεκόντος, ὅτι τῶν Σαρακηνῶν εὐκτήριον, ὅπερ ἐνταῦθά ἐστι, παρὰ τῆς ῥωμαϊκῆς καταλέλυται βασιλείας, καὶ ὅτι καὶ Σαρακηνοὶ βίᾳ καὶ ἄκοντες, ἔξαρνοι μὲν τῆς ἰδίας καθίστανται πίστεως, πρὸς δὲ τὸ σέβας μεθίστανται τῶν Χριστιανῶν, καὶ διὰ ταῦτα ἐξηνέχθη παρ' ὑμῶν πρόσταγμα τοὺς ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν ναοὺς τῶν Χριστιανῶν καταλύεσθαι.

Τοιαύτην ἀρχὴν τῷ γράμματι ἐπιτεθείκαμεν· οὔτε γὰρ τὴν ἀρχὴν ἔδει τῇ πονηρᾷ ταύτῃ λογοποιΐᾳ καὶ διαβόλῳ τὴν σὴν ἀκοὴν ὑποκλῖναι, οὔτε οἷα τὰ ἀνθρώπινα εἰ καὶ τὴν ἀκοὴν ὑπέσχες, πρόσταγμα τοιοῦτον ἐξενεγκεῖν· ἀλλ' ἐπιμελεῖ ἐξετάσει παραδοῦναι τὸν λόγον, καὶ διὰ ταύτης εἴτε ὀρθῶς, εἴτε διεστραμμένως μαθεῖν, καὶ μὴ πρὸς κατάγνωσιν τοσαύτην ῥίψαι τὴν τῆς ῥωμαϊκῆς βασιλείας φιλανθρωπίαν καὶ ἐπιείκειαν ἐκ τοῦ παρατυχόντος ἀκούσματος· ἀλλ' ὅσῳ μέγας ὢν καὶ ὑψηλὸς τὴν ἀρχὴν περὶ μεγάλης ἤκουες καὶ ἀρχῆς ὑψηλῆς παράδοξον φήμην, τοσοῦτον ἐχρῆν ἀσφαλεστέρας ἔχειν τὰς ἀκοάς, καὶ μὴ τοῖς φημιζομένοις ὑπάγεσθαι· καὶ γὰρ πολλῶν ὑπαρχόντων οἷς τὸ ῥωμαϊκὸν σεμνύνεται γένος, ἓν τοῦτο ὑπάρχει ἐξαίρετον τὸ τῆς φιλανθρωπίας αὐτῶν καὶ ἐπιεικείας· καὶ τούτου μάρτυς οὐχ ὁ ἐμὸς λόγος, ἀλλ' ἀφ' οὗ πῆξιν ἔσχεν ἐπὶ γῆς ἡ ῥωμαϊκὴ ἐξουσία, καὶ πανταχοῦ γῆς ἐξετάθη ταύτης ἡ ἐπικράτεια, πάντες ἄνθρωποι κατὰ πᾶσαν γῆν, καὶ πᾶσα ἱστορία ταύτην παρέχονται τὴν μαρτυρίαν· πῶς οὖν εἰκὸς ἦν ὧν παρὰ πάσης γλώσσης καὶ πάσης ἱστορίας κοιναὶ τῆς φιλανθρωπίας αἱ μαρτυρίαι, ὡς ἂν καὶ αὐτὸς φαίης φρόνιμος τυγχάνων, καὶ πεῖραν πρέπουσαν ἀρχῇ τοσαύτῃ ἐφ' ἣν ἐπιβέβηκας τῶν ἀνθρωπίνων ἔχων πραγμάτων τοιαύτας ἐνεργηθῆναι πράξεις ἀφιλανθρώπους; οὐκ ἔδει οὖν τὸ ὑμέτερον ὑψηλὸν ἔν τε ἀρχῇ καὶ συνέσει ὅλως ἀπονεῖμαι πίστεως χώραν ταῖς διαβόλοις γλώσσαις, αἵ τινες ποτὲ εἰσιν, ὅτι Ῥωμαῖοι τοσαύτην ἐπεδείξαντο ἀπανθρωπίαν.

Πλὴν ἐπεὶ τοῦτο γέγονε, καὶ τὴν διὰ τῶν ἀποσταλέντων αὐτόθεν καὶ πρὸς ἡμᾶς ἡκόντων πληροφορίαν ἐπιζητεῖς, λήψῃ καὶ

παρ' αὐτῶν τὸ ζητούμενον· ἃ γὰρ οἰκείοις ὀφθαλμοῖς ἐθεάσαντο, καὶ ὧν τὴν ἀλήθειαν ἔχουσι ταῖς αὐτῶν ἀκοαῖς, ταῦτα προσαναγέλλουσιν ὑμῖν· οὐ μόνον δὲ ἀλλὰ καὶ οἱ σὺν αὐτοῖς ἀπεσταλμένοι τῆς ὑμετέρας φυλῆς καὶ πίστεως παρέξονται τὴν ὁμολογίαν, ὧν ἐν τῇ βασιλίδι ταύτῃ πόλει, ἀφ' οὗ χρόνου τῆς αἰχμαλωσίας ἐγένοντο, ἔτυχόν τε καὶ ἐν πείρᾳ κατέστησαν· καὶ ἴσως ἤρκει τοῦτο μόνον γενέσθαι τὸ διὰ γλώσσης τῶν ὑμετέρων ὁμοφύλων, καὶ τῶν νῦν παρ' ὑμῶν ἀποσταλέντων λαβεῖν τῆς γενομένης ψευδολογίας τὴν μάθησιν· πλὴν ἀλλὰ γράφομεν καὶ ἡμεῖς, ἁμαρτωλοὶ μὲν ὄντες, τοῦ χριστιανικοῦ λαοῦ εἰ καὶ ἀνάξιοι πατέρες ὄντες, καὶ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν τυγχάνοντες μαθηταὶ, καὶ τὴν ἐκείνου ἀλήθειαν οὐδέ ποτε, μὴ γένοιτο, μὴ δὲ τοσοῦτον καταληφθείημεν τῆς ἐκείνου ὁδηγίας καὶ προνοίας, ἐξαρνούμενοι.

Ἄκουε οὖν τοῦ Σαρακηνῶν γένους ὁ μέγας καὶ ὑπερκείμενος ἄνθρωπος· Ῥωμαίων οἱ ἐξ ἀρχῆς βασιλεύσαντες, οὕτω τὰ περὶ τῶν αἰχμαλώτων διέταξαν, ὡς εἰδότες ὅτι μέχρι μὲν τῆς τοῦ πολέμου συστάσεως δεῖ πρὸς κάκωσιν τῶν πολεμίων ἀγωνίζεσθαι, ἐπειδὰν δὲ λάβωσιν ὑπὸ χεῖρα τοὺς πολεμοῦντας, ὡς ὑπεξουσίων κήδεσθαι, καὶ πρόνοιαν ἐπιδείκνυσθαι τῆς αὐτῶν ἀταλαιπώρου ζωῆς, καὶ ὥστε μηδὲν αὐτοῖς λυπηρὸν ἕτερον ἐπιτρέχειν, ἢ μόνην τὴν ἀποστέρησιν τῆς πατρίδος καὶ τῶν οἰκείων καὶ φίλων, καὶ συγγενῶν· διὰ τοῦτο καὶ οἰκήσεις ἀπένειμαν ἀστενοχωρήτους, καὶ ἀέρος καθαρωτάτου ἀπόλαυσιν, καὶ τῶν ἄλλων ὅσα πρὸς τὴν ἀνθρωπίνην ζωὴν συντελεῖ, οἷα τοῖς ὁμογενέσι καὶ ὁμοπίστοις, καὶ τοῖς τῆς ὑμετέρας θρησκείας ἀφωρισμένον εὐκτήριον· καὶ ἁπλῶς ὅπερ προφθάσας εἶπον, ἐν οὐδενὶ ἄλλο ἔδοξε τοῖς ἐξ ἀρχῆς βασιλεῦσι τῶν Ῥωμαίων ὑστερεῖσθαι τοὺς ὑμετέρους αἰχμαλώτους, τῶν ἐν τῇ οἰκείᾳ πατρίδι καὶ χώρᾳ διαγόντων Σαρακηνῶν, ἢ μόνον τῇ ἀποξενώσει τῶν οἰκείων συγγενῶν· ταῦτα τῆς φιλανθρωπίας οὕτως ἀπ' ἀρχῆς διατεταγμένης, οἱ καθ' ἑκάστην γενεὰν τὸ τῆς βασιλείας διαδεχόμενοι κράτος, ἔμειναν τὴν αὐτὴν προαίρεσιν μέχρι καὶ σήμερον διασώ-

ζοντες· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν τὴν ἀλήθειαν τιμῶν, ὡς παραλλαγή τις ἐπὶ τὸ χεῖρον, ἢ τῆς οἰκήσεως, ἢ τῆς ἄλλης διαγωγῆς τῆς ἐξ ἀρχῆς ἀπονενεμημένης τοῖς τῶν Σαρακηνῶν γέγονεν αἰχμαλώτοις· καί τοι γε τῶν παρ' ἡμῖν αἰχμαλώτων Χριστιανῶν, ὡς ἔστι παρὰ πάντων ἀκούειν, ἐν τοιαύτῃ στενοχωρίᾳ κειμένων, καὶ τοιαύτην ἀθλίαν ζωὴν ἐκμετρούντων, ὡς πολὺ κρείττονα εἶναι καὶ ποθούμενον αὐτοῖς μᾶλλον τὸν θάνατον, ἢ τὸ ζῶσιν ἐναριθμεῖσθαι.

Σκέψαι δὲ καὶ τοῦτο· διὰ τί ἔμελλον οἱ σήμερον λαχόντες βασιλεύειν τοῦ ῥωμαϊκοῦ γένους τοιαῦτα χαλεπὰ εἰς τοὺς ὁμοφύλους ὑμῶν διαπράξασθαι οἷα ἡ πονηρὰ λογοποιΐα ταῖς ὑμετέραις ἀνήγγειλεν ἀκοαῖς; οὐ γὰρ ἂν εἴποιτε, ὅτι τῶν πρώην βεβασιλευκότων ἀπολείπονται τῆς φιλανθρωπίας· πῶς γὰρ ὁ τοιοῦτος λόγος, κἂν τις προαιρεθείη τοῦτον ἐξενεγκεῖν; χώραν εὑρήσει πίστεως; εἰ μὲν γὰρ βάσανοί τινες νῦν ἐκαινοτομήθησαν, ἢ θανάτου τρόπος ἐπὶ τοῖς ὑμετέροις αἰχμαλώτοις, λεγέτω τις παρελθὼν ἐξ ὑμῶν, καὶ τότε καὶ ταύτην προφερέτω τὴν κατηγορίαν· καί τοι γε ὑμῶν πολλάκις θανάτους βιαίους καὶ ξένους τῆς ἀνθρωπίνης ἐπινοίας τοῖς τῶν Χριστιανῶν αἰχμαλώτοις ἐπαγόντων· ὁπότε γὰρ ἀντὶ τοῦ ξίφει τὴν κεφαλὴν ἀποτεμεῖν ὡς πρόβατα σφάζειν οὐκ ἰλιγγιᾶτε, οὐδ' αὐτὴν εὐλαβεῖσθε τὴν κοινὴν φύσιν· ὁπότε κρεμανύντες ἐπὶ ξύλου τοξοις καὶ λίθοις βιαίως τὸν ἄνθρωπον τοῦ ζῆν ἀπελαύνετε (1), τί ἂν τις εἴποι· ἀλλ' ὅμως καὶ ταῦτα πραττόντων ὑμῶν, τὸ φιλάνθρωπον τοῦ ῥωμαϊκοῦ γένους οὐ μιμεῖται τὴν βιαιότητα, ἀλλ' ὁπότε δεήσει τινὰ τῶν Σαρακηνῶν τῆς ζωῆς ἀποστερηθῆναι, ἁπλῷ τρόπῳ καὶ βίας καὶ χαλεπότητος ἀπεστερημένης, μόνῃ τῇ ἀποτομῇ τῆς κεφαλῆς τὸν ἄνθρωπον ὑπεξάγουσι τῆς ζωῆς· πῶς οὖν τοὺς οὕτως ἀπ' ἀρχῆς καὶ μέχρι τοῦ νῦν ἐπιεικεῖς ὄντας καὶ φιλανθρώπους ἔπρεπεν ὑπολαμβάνειν νῦν βίαν τοσαύτην ἐπαγαγεῖν Σαρακηνοῖς, ὅσην οἱ

(1) Saevum hunc Turcarum morem tradit adhuc sua aetate vigentem A. Gratianus apud nos T. VIII. p. 201, nempe reos ligno suspensos seu adfixos sagittis conficiendi.

λογοποιήσαντες εἰς πρόσταγμα τῆς ὑμετέρας ἐξουσίας ἀνάξιον τὴν σὴν προήγαγον ἡμερότητα· ἀλλ' ἐκεῖνοι μὲν, ἵνα μηδὲν εἴπω περὶ αὐτῶν ἐπαχθέςερον, δοκοῦσι τοιαῦτα ταῖς σαῖς ὑποβαλεῖν ἀκοαῖς δυσμενείᾳ τῇ πρὸς τοὺς Χριστιανοὺς, καὶ ζητοῦντες τὴν κατ' αὐτῶν ἐπιτεῖναι κάκωσιν, καὶ μίσει τῷ πρὸς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, ὅσον οὔτε τῷ βίῳ παρὼν, οὔτε πρὸς τὴν οἰκείαν δόξαν ἀναδραμὼν, ἄμυναν κατά τινος ἐπεδείξατο τῶν ἐπανισταμένων αὐτῷ, τάξας ἐκείνην τὴν φοβερὰν ἡμέραν, ἐν ᾗ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἀλλὰ περὶ μὲν τῶν πειρασθέντων τὴν ὑμετέραν ἐπιείκειαν εἰς ὀργὴν ἀνακαῦσαι τὴν κατὰ Χριστιανῶν, ἱκανὰ τὰ εἰρημένα.

Ἡμεῖς δὲ ὡς ἂν εἰ παρόντες ἐτύχομεν, καὶ οἰκείᾳ γλώσσῃ προσεφθεγγόμεθα, ταῦτα διὰ τοῦ παρόντος προσομιλοῦμέν σοι γράμματος· οὐκ ἔστιν, ὦ τοῦ Σαρακηνῶν γένους ὁ παρὰ Θεοῦ τὴν ἐξουσίαν ἐγκεχειρισμένος, ἀληθὲς τὸ νῦν εἰς ὑμᾶς διαβεβηκὸς προσάγγελμα, τῶν οἵ τινες ποτὲ εἰσιν οἱ τοῦτο διαπλάσαντες, μήτε Θεὸν φοβηθέντες τὸν ἐρευνῶντα καρδίας, οὗ πρὸ τῶν ὀφθαλμῶν τὰ κρύφια παντὸς περικαλύμματος γεγυμνωμένα παρέστηκε, μήτε τὴν λογικὴν αἰδεσθέντες εὐγένειαν, μήτε τὴν ἐπ' ἀρετὴν μέγα φέρουσαν παρὰ Θεῷ καὶ ἀνθρώποις ἀξίωμα τὴν ἀλήθειαν, ἐπιλογισμὸν λαβόντες, μήτε τὰς σὰς ἀκοὰς, αἷς οὐδὲν οὕτω φίλον ὡς τὸ καθαρὸν τῆς ἀληθείας· τί γὰρ ἂν γένοιτο φιλικώτερον ἀνδρὶ ἀρχικῷ τῆς ἀληθείας; καὶ μάλιστα τῷ ἄρχειν λαχόντι τοσούτου ἔθνους τῶν Σαρακηνῶν ῥυπαίνειν ὑποδειλιάσαντες, ἀλλ' ὁμόσε κατὰ πάντων ὧν διεμνημονευσάμην ἐχώρησαν, προτιμότερον θέμενοι τὸ ψεῦδος καὶ τὴν συκοφαντίαν κατὰ τῶν οὐδὲν ὅλως τοιοῦτον ἑαυτοῖς συνειδότων· καὶ ἐθάῤῥησαν τοιαῦτα πλαστολογεῖν, ἃ ἔμελλεν ἐκ τοῦ παραυτίκα ὡς ἔστι ψευδῆ ἀπελέγχεσθαι.

Οὐκ ἔστιν οὖν οὐδὲν τῶν εἰρημένων παρ' αὐτῶν ἀληθὲς οὐδὲ γεγονός· ἀλλὰ παντελῶς ἀγένητα, καὶ εἰς τὴν τοῦ ψεύδους χώραν ἀποῤῥιπτόμενα· οὔτε γὰρ εὐκτήριον τῶν ὁμοπίστων ὑμῶν, οὔτε νῦν· οὔτε πρότερον, κατάλυσιν ἔσχεν, οὔτε κεκωλυμένον ἐστὶν

ἐπισκευάζεσθαι αὐτὸ παρὰ τῶν ἐνταῦθα Σαρακηνῶν, ἀλλὰ καὶ τοσαύτης ἐπιμελείας τυγχάνει, ὅσης ἂν ἔτυχεν εἰ παρὰ τῇ ὑμῶν ἐξουσίᾳ ἐτύγχανεν τό τε εὐκτήριον, καὶ οἱ τοῦτο θεραπεύειν βουλόμενοι· ἀλλ' οὔτε σαρακηνὸς ἠναγκάσθη τὴν ἰδίαν ἐξαρνήσασθαι πίστιν ἐκ βασιλικῆς προστάξεως, ἢ ἐξ ἐπηρείας τῶν μεγιστάνων καὶ ἀρχόντων, ὅσοι τοῖς βασιλεῦσι πλησιάζουσι, καὶ τῆς ἐκείνων ἀπολαύουσιν οἰκειότητος, καὶ κατήκοοι γίνονται τῶν λόγων, καὶ τῶν προσώπων ἔχουσι τὴν ἐποψίαν· εἰ δέ τινες τῶν κάτω κειμένων καὶ ἀφανῶν καὶ μὴ ἐγνωσμένων τοῖς βασιλεῦσιν, ἐνδεεῖς μὲν ὄντες φρενῶν, καταστάσεως δὲ ἀρχικῆς ἀμοιροῦντες, τοῦτο πράττειν ἀπενοήθησαν, οὐκ ἔχω διατείνεσθαι περὶ τούτου· πλὴν δεῖ τοὺς τοῦτο πράξαντας ἐπιδήλους γενέσθαι, καὶ εἴγε ὑπεριδεῖν τὸ πρᾶγμα καὶ μὴ κατὰ λόγον ὑπεξελθεῖν ἡ βασιλικὴ ἐξουσία διανοηθείη, τότε τάχα ἔξεστιν ὑμῖν καὶ μέμφεσθαι καὶ ἴσως καὶ κατὰ τῶν ὑποχειρίων ὑμῶν φέρειν τὴν ἀγανάκτησιν· εἰ καὶ μὴ δὲ οὕτως ὁ τοῦ δικαίου λόγος ἐπιτρέπει, ἀλλ' οὔτε ἡ σὴ περὶ τὸ δίκαιον ἐπιμέλεια, οὔτε ἡ ἐξ ἀρχῆς παρὰ τοῦ προφήτου ὑμῶν δεδομένη τοῖς γεγενημένοις ὑποχειρίοις, καὶ ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν κειμένοις ἀσφάλεια· τί γὰρ ἐγὼ δίκαιος πάσχειν κακῶς ὑπὸ σὲ τελῶν, καὶ μηδὲν ἀπεναντίας τῇ σῇ πράττων ἐξουσίᾳ, ἂν ἄλλος ὁ κατὰ μηδὲν ὑποκείμενος, ἀλλὰ τῆς σῆς ἀπηλλαγμένος κυριότητος ἐθέλοι τὰ σοὶ μὴ δοκοῦντα πράττειν;

Τί οὖν; διὰ ταῦτα Χριστιανοὶ καὶ οἱ τούτων ναοὶ ἄξιοι κακώσεις ὑπομένειν, οἱ κατὰ πάντα τρόπον τοῖς σοῖς ἐξυπηρετοῦνται προστάγμασι, καὶ οὐδὲ χεῖρα τὸ δὴ λεγόμενον κινῆσαι τολμῶσι μὴ σοῦ βουλομένου, ἐὰν βασιλεὺς ὁ Ῥωμαίων, ἵνα καὶ τοῦτο δῶμεν, προαιρεθῇ τοὺς ὑπ' αὐτὸν δεσμίους τῶν Σαρακηνῶν ταλαιπωρίαις ὑποβάλλειν· καὶ ταῦτα λέγομεν οὐχ ὅτι γέγονεν οὕτως, οὐδὲ γὰρ γέγονεν οὐδὲ γενήσεται, οὐδ' ἡ ῥωμαϊκὴ φιλανθρωπία ἠγνόησεν ἑαυτὴν, οὐδ' ἀγνοήσει ποτέ· ἀλλὰ ταῦτα φαμὲν, ἵνα εἰδῇς, ὅτι οὐδὲ οὕτως δίκαια ποιεῖς τοὺς ὑπὸ σὲ Χριστιανοὺς ὑποβάλλων ταλαιπωρίαις· ἀλλὰ καὶ τοῦ ὑμετέρου προ-

φήτου ἔγγραφοι ἀθετοῦνται ὑπ᾽ ἐκείνου δεδομέναι ἀσφάλειαι, καὶ τῆς σοὶ ὀφειλομένης τιμᾶσθαι δικαιοσύνης μεγάλη γίνεται ἡ ἀτιμία καὶ ἡ ἀθέτησις· μὴ οὖν, ὦ τῶν Σαρακηνῶν δόξης καλλώπισμα, κατὰ τοῦτο τὸ μέρος εἰς ἀδοξίαν περιστῆσαι βουληθείης τὴν ὑμετέραν δόξαν· τίς γὰρ τοῦτο μανθάνων, ὅτι περ ὁ τῶν Σαρακηνῶν πρῶτος ἄνθρωπος καὶ τὴν κυβέρνησιν αὐτῶν πεπιστευμένος, τοὺς ὑποχειρίους αὐτῷ Χριστιανοὺς εἰς θλίψεις ἐμβάλλει καὶ στενοχωρίας, μηδὲν ὅλως αὐτῷ πταίσαντας ἢ ἐναντιουμένους, οὐχὶ ἄδικα πράττειν ὑμᾶς λογιεῖται καὶ ἀνάξια τῆς ἐγκεχειρισμένης σοι παρὰ θεοῦ ἐξουσίας; ὥσπερ γὰρ ἄξιος ἕκαστος δι᾽ οἰκείαν ἀρετὴν εὐεργετεῖσθαι, οὕτω καὶ τῶν ἰδίων σφαλμάτων ἕκαστος ὑπέχειν τὰς εὐθύνας ἐστὶ δίκαιος· ἐπίσταται γὰρ πάντως ἡ σὴ μεγαλοπρεπεστάτη σύνεσις, ὅτι περ οὐδὲ υἱὸς πολλάκις πταίσαντος τοῦ πατρὸς κοινωνὸς γίνεται τῆς τιμωρίας, ἐὰν μὴ καὶ τοῦ πταίσματος· ἀλλ᾽ οὐδὲ ἀδελφὸς ἀδελφοῦ πονηρόν τι πράξαντος σὺν αὐτῷ κατακρίνεται, εἰ μὴ καὶ τοῦ πονηροῦ ἔργου γέγονε συνεργάτης· καὶ ἁπλῶς οὐδὲ συγγενὴς ἄλλος τῷ ἑαυτοῦ συγγενεῖ, οὐδὲ φίλος τῷ ἰδίῳ φίλῳ ἐπί τινι πράγματι ἀξίῳ κολάσεως συγκολάζεται, εἰ μὴ καὶ τῆς πράξεως μετέχων ἀποφανθείη.

Σκέψαι οὖν ἐκ τούτου πόσῳ μᾶλλον εὐλογώτερον τοὺς ὑπὸ σὲ Χριστιανοὺς μηδὲν πάσχειν δεινὸν ἕνεκά γε βίας τῶν ἐνταῦθα Σαρακηνῶν, ἵνα καὶ τοῦτο δῶμεν καθὼς προφθάσαντες εἴπομεν, οἱ μηδὲν ὅλως μὴ δὲ καθ᾽ οἱονδήποτε τρόπον τῆς προαιρέσεως ἢ τῆς βίας συμμετέχουσι τῶν ἐνταῦθα ἐξουσίαν ἐχόντων βιάζεσθαι· ἀλλ᾽ οὐδὲ τοῦτο γέγονεν, οὐδὲ βία τις ἢ παρὰ βασιλέως, ἢ παρὰ τῶν ἐκείνου ἀξιουμένων τῆς ὁμιλίας, ἢ τῆς ἄλλης γνώσεως καὶ οἰκειότητος προσήχθη Σαρακηνοῖς· πλὴν εἰ μή που παρά τινος τῶν εἰς ἀφανῆ τάξιν κειμένων, οἵ τινες τούτου διαγινωσκομένου, τῆς προσηκούσης ἐπιτεύξονται διορθώσεως· καὶ ἵνα μὴ δόξωμεν διὰ τῶν ἡμετέρων λόγων τὴν περὶ τούτου πίστιν παρέχειν ὑμῖν, καὶ Σαρακηνοὶ ἐντεῦθεν ἐξαπεστάλησαν, καὶ γράμματα τῶν ἐνταῦθα δορυαλώτων, δι᾽ ὧν ἐπιπλέον λήψεσθε

τὴν πληροφορίαν, ὡς ἡ προσελθοῦσα ταῖς ἀκοαῖς ὑμῶν πονηρολογία ἀνθρώπων ἐστὶν ὑπὸ τοῦ πονηροῦ δαίμονος ἐμπνεομένων, καὶ τῷ ἀνθρωπίνῳ γένει ὥσπερ ἐξ ἀρχῆς ἐκείνου διαφθονουμένων, καὶ μελέτην ποιουμένων καὶ τοὺς Σαρακηνοὺς εἰς διαβολὰς ἐμβαλεῖν, μᾶλλον δὲ τῇ δικαίᾳ Τοῦ θεοῦ κατακρίσει, καὶ τοὺς Χριστιανοὺς εἰς κακώσεις καὶ ταλαιπωρίας· ἀλλὰ σὲ ὦ μεγίστη καφαλὴ τοῦ Σαρακηνῶν ἔθνους, ταῦτα μὴ λανθανέτω, μὴ δὲ λάθῃς λυμαιώνων ἀνθρώπων ὑπαγόμενος ψευδολογίαις, μὴ δὲ τῇ σῇ δόξῃ καὶ τῷ μεγάλῳ ὀνόματι προστρίβων ὄνειδος, μὴ δὲ μνήμην τῷ βίῳ καταλίπῃς, ὡς ἐπὶ σοῦ τὰ ἀλγεινὰ τοῖς Χριστιανοῖς ἐπεύξηται· ἀλλ᾽ εἴ τι ἐμοὶ πείθῃ ἀγαπῶντι καὶ τὴν σὴν δόξαν καὶ σωτηρίαν, ὡς καὶ πάντων ἀνθρώπων, τοῦτο γὰρ ἡ ἐμὴ διακονία καὶ ὑπὲρ τῆς πάντων εἰ καὶ ἁμαρτωλὸς νύκτα καὶ ἡμέραν εὔχομαι σωτηρίας, μᾶλλον κατάλιπε ὁπόταν ἐκ τοῦ βίου παρέλθῃς, μνημόσυνον φιλανθρώπιας, μνημόσυνον ἐπιεικείας καὶ δικαιοσύνης, καὶ ὅτι ἐν ταῖς ἡμέραις τῆς σῆς ἀρχῆς φιλανθρωπία καὶ δικαιοσύνη τοῖς ὑπηκόοις ἐμπολιτεύεται, ἀδικία δὲ πᾶσα καὶ βιαιότης ἀπελήλαται.

CIII. ΓΟΔΙΝῼ ΒΑΣΙΛΕΩΣ ΠΡΩΤΟΣΠΑΘΑΡΙῼ ΚΑΙ ΑΡΧΟΝΤΙ.

Πολλῶν ἀνθρώπων ὡς εἰκὸς λανθάνουσαν ἀρετὴν εἴωθεν ὁ χρόνος ἀνακαλύπτειν, ἐπειδὰν περιστάσεις πραγμάτων ἢ ἐκείνου φορὰ ἐπαγάγῃ τῷ ἀνθρωπίνῳ βίῳ· τοιοῦτόν τι, τέκνον ἡμῶν, καὶ νῦν ὁρῶμεν ἐπὶ σοὶ γεγενημένον· εἰ γὰρ καὶ μὴ πρότερον παντελῶς ἐλάνθανεν οἷος εἶ τὴν φρόνησιν, καὶ οἷος ἐν Τῇ μεταχειρήσει τῶν πραγμάτων, ἀλλ᾽ ὅμως νῦν καταφανὴς ὑπῆρξας, καὶ τελείως τὴν σὴν διέδειξας ἀρετήν· πρῶτον μὲν τὸ μέγα τῶν κατορθωμάτων τὴν ἀγάπην ὡς φυλάττεις ἀπαραποίητον· δεύτερον τὴν εὐγνωμοσύνην, καὶ τὸ μὴ ἐξυβρίζειν εἰς τοὺς εὐεργέτας· ἐπὶ τούτοις τὸ οἷόν τις ἀγαθὸς κυβερνήτης ἐν κλύδωνι καὶ ταραχῇ τῶν πραγμάτων, σωτηρίαν αὐτοῖς μετά γε τῆς ἄνωθεν βοηθείας πο-

ρίζειν· ταῦτα γὰρ δι᾽ ὧν ἐσπούδασας τὴν τῶν ἀποστησάντων κακίαν, εἰ καὶ μὴ τέλεον ἐκ μέσου πεποίησαι, ἀλλὰ τέως ἐπισχεῖν τὴν αὔξησιν ταύτης, καὶ μὴ ἐπιπλέον ἐᾶσαι προβῆναι μαρτύριον ὑπάρχει τῆς ὑμῶν τελειοτάτης ἀρετῆς· διὰ τοῦτο καὶ οἱ φιλόχριστοι βασιλεῖς ἡμῶν καὶ τῆς εὐνοίας καὶ τῆς ὀρθῆς ἀγάπης ἀποδεχόμενοι, μᾶλλον οἰκεῖον σε ποιοῦνται καὶ φίλον πιστὸν, καὶ τῆς σπουδῆς ἀποδώσουσι τὰς ὀφειλομένας ἀντιδόσεις· καὶ νῦν μὲν τῶν σῶν αἰτήσεων παρέσχοντο τὰς πληρώσεις· πάντως δὲ καὶ εἰς τὸ ἔπειτα τῆς σῆς ἱκανότητος τὰ πράγματα διευθυνούσης, καὶ τὴν ἀποστασίαν σὺν τῇ θείᾳ δυνάμει καθὼς ἄξιον μεταχειριζομένης, καὶ τὰ τῆς χώρας εἰς τὸ εἰρηναῖον ἀποκαθιστώσης, πολὺ κρείττονας καὶ πλουσιωτέρας παρέξονται τὰς ἀμοιβάς· σὸν οὖν ἐστι, τέκνον ἡμῶν, ὥσπερ μέχρι τοῦ παρόντος, οὕτω καὶ ἀπὸ τοῦ νῦν τοῖς βασιλεῦσιν ὀφθῆναι σπουδαῖον καὶ πιστὸν φίλον, καὶ τὰ εἰς τὴν θεραπείαν αὐτῶν ἔτι μᾶλλον διαπράξασθαι, καὶ ἀπολαῦσαι δαψιλεστέρων παρ᾽ αὐτῶν τῶν φιλοτιμιῶν καὶ δεξιώσεων.

CIV. ΚΩΝΣΤΑΝΤΙΝῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΛΑΟΔΙΚΕΙΑΣ.

Ἐδεξάμην τὸ γράμμα τῆς σῆς ὁσιότητος αὐταῖς ἤδη τοῦ θανάτου ταῖς πύλαις· οὐκ οἶδα δὲ εἰ ἀποστρόφους ἐκεῖθεν ποιήσεται ὁ τῆς ζωῆς ἡμῶν χορηγὸς καὶ ταμίας καὶ οἰκονομῶν τὰ συμφέροντα, ὡς ἡ ἐκείνου ἐξεπίσταται οἰκονομία· ἀλλὰ γὰρ οὕτω διακείμενος ὑπὸ τῆς συνεχούσης ἀῤῥωστίας, ἐδεξάμην τὸ γράμμα, καὶ ὅμως ἐν τοιαύτῃ ἀπογνώσει τυγχάνων, ὥσπερ ᾐσθόμην τινὰ ψυχαγωγὸν ἡδονὴν, καὶ ηὐχαρίστησα τῷ κοινῷ δεσπότῃ καὶ θεῷ καὶ μεγάλῳ ἀρχιερεῖ· καὶ τὴν μὴν σὴν πορείαν οἶδα ὅτι χαμαίζηλος ἡ εὐχή· ὅμως οὖν ἀναπέμπω ταύτην, ἐξαιτούμενος ἀλύπῳ διαθέσει ψυχῆς καὶ σώματος διανυσθῆναι· τὸ δ᾽ ἄλλο μέρος τοῦ γράμματος ἴσως οὐκ ἀναγκαῖον ἦν παρ᾽ ἡμῶν πυθέσθαι· ἔχομεν γὰρ διδάσκαλον ὅπως δεῖ προσεύχεσθαι τὸν ἀγαγόντα ἡμᾶς εἰς ἐπίγνωσιν αὐτοῦ καὶ φωτίσαντα, καὶ ὥσπερ τὰ

λοιπὰ, τὸν καὶ τὰ τῆς προσευχῆς ἡμᾶς διδαξάμενον· οὐκ ἔστιν οὖν οὐκ ἔστιν, ὃς τὸ βραχὺ ἐκεῖνο καὶ σωτήριον παίδευμα τῆς προσευχῆς ἐκτελῶν μεθ' οἵας προσῆκε ψυχικῆς καταστάσεως, οὐκ ἐπιτεύξεται τῶν ἐπαγγελλομένων ἀγαθῶν· ἔχεις δὲ καὶ τὸν μακάριον ἀπόστολον διδάσκοντα τρόπον τῆς προσευχῆς ὡς παραινεῖ ἐπαίρειν ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν, διαλογισμῶν δηλονότι τῶν περισπώντων ἐπὶ τὴν τοῦ βίου ματαιότητα, καὶ τὰ ἐκείνης ἐπίπονα μὲν, ἀνόνητα δέ· διὰ τοῦτο καὶ πληθυντικῇ λέξει τοῦτο ἐμνημόνευσεν· ὁ γὰρ πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν κεκλημένος τὴν ἔφεσιν, οὐ λογισμοῖς ἔνθεν κἀκεῖθεν περιστρέφεται, ἀλλ' ἕνα λογισμὸν ἀναλαμβάνει μονοειδῆ, καὶ τοῦτον διατηρῶν ἀπλανῆ, εὑρίσκει τοῦ μακαρίου ἐκείνου λογισμοῦ τὴν ὄντως ἐπωφελῆ κτῆσιν, καὶ ἀϊδίως αὐτῷ τὴν ἄνεσιν περιποιουμένην· ἀπεκρινάμεθα οὖν ὡς ἐν τοιαύτῃ ἀπορίᾳ τὸ ἡμέτερον φρόνημα· σὺ δὲ, τέκνον ἡμῶν ἱερὸν, τῷ χρίσαντί σε παναγίῳ πνεύματι πεφωτισμένος ψυχὴν καὶ διάνοιαν ἀξίως τῆς σῆς ἀρετῆς ἐντυγχάνων, παρ' ἐκείνου μᾶλλον λήψῃ τοῦ ζητουμένου τὴν διδασκαλίαν· τὰ δ' ἄλλα εἴης μὲν αὐτὸς ἐῤῥωμένος, ἀθορύβως καὶ ἀταράχως τὴν ἅλμην μὲν τοῦ βίου διαπερῶν, ἡμῶν δὲ μεμνημένος ἐν ταῖς ὁσίαις εὐχαῖς, τυχὸν μὲν ἔτι τῷ βίῳ στρεφομένων, ὅπερ ἀμφίβολον, τυχὸν δὲ ἀπιόντων, ὃ καὶ μᾶλλον ἐναργέστερόν μοι δοκεῖ παρίστασθαι τῆς τοῦ βίου ματαιότητος.

CV. ΑΔΗΛΩ.

Οἶδα παρόντος σου, τέκνον ἡμῶν, πρὸς ἡμᾶς τοιούτοις πεποιημένου λόγους, ὡς ἐν τῷ μοναστηρίῳ τοῦ μακαρίου πατρός σου βούλει προσμένειν καὶ τοῖς ἐκεῖ μονάζουσι συνδιάγειν, οὐδενὸς ἄλλου ἐν χρείᾳ σου ὄντος, ἢ μόνου οἰκίσκου ἐν ᾧ τὴν διαμονὴν μέλλεις ἔχειν, καὶ τῆς κατὰ θεὸν πολιτείας τὸ σπουδαῖον καὶ ἐπιμελὲς ἐκδιδάσκεσθαι· ταῦτα οὖν μέμνημαι παρὰ σοῦ ἀκηκοώς· καὶ διὰ τοῦτο ἐκ τοῦ μοναστηρίου πρὸς ἡμᾶς ἀφικομένων μοναχῶν, αὐτοῖς τε προσείπομεν, καὶ σοὶ γράφομεν ἀπ-

ἐλθεῖν ἐν τῷ μοναστηρίῳ, καὶ καθὼς ᾐτήσω τὴν ἐν αὐτῷ ποιεῖσθαι διαγωγήν· ἐπεὶ δὲ περὶ τοῦ ἡγουμένου, καὶ παρὰ σοῦ φήμας οὐκ ἀγαθὰς, ἀλλὰ καὶ λίαν ἀλλοτρίους μοναδικῆς εὐλαβείας ἐνηχήθημεν, καὶ παρὰ τῶν μοναχῶν τὰ παραπλήσια λεγόντων ἠκούσαμεν, ἐξαποσταλήσεται ἄνθρωπος ἔρευναν τῶν φημιζομένων ποιούμενος· καὶ εἴ γε τοὺς λόγους ἀμετόχους εὕροι τοῦ ψεύδους, ἐκεῖνος μὲν ὡς ἄχρηστος πρὸς ἡγουμενείαν ἀποπαυθήσεται· ἄλλος δὲ ὃν ἂν ἡ τε ἀδελφότης συνίδοι ἄξιον τῆς ἐπιστασίας αὐτῶν, καὶ ἡ ἡμῶν μετριότης ἐπίκρισιν ποιουμένη τὴν ἱκανότητα τοῦ ἀνδρὸς ἐπιγνῷ, οὗτος ἀναδέξεται τὴν τοῦ μοναστηρίου προστασίαν· σὺ δὲ, τέκνον ἡμῶν, μὴ ἐπιλάθῃ τῆς ἐξ ἀρχῆς προαιρέσεως, μὴ δὲ κατασβέσῃς τὸ ζέον καὶ πρόθυμον τῆς σῆς καρδίας, ὅτε πρὸς τὸν μονήρη βίον κατέσπευδες· ἀλλὰ μᾶλλον τῆς θείας δυναμούσης σε χάριτος προθυμότερος γίνου καὶ ἐντονώτερος, οἷον ἐπὶ κλίμακος τινὸς τὰς ἀναβάσεις ποιούμενος, καὶ ἀεὶ ὅσον δυνατὸν προβαίνων ἐπὶ τὰ πρόσω, καὶ μὴ πρὸς τὰ ὀπίσω στρεφόμενος.

CVI. ΤΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΧΕΡΣΩΝΟΣ.

Ἦν μὲν οὖν ἁρμόδιον, μᾶλλον δὲ ὀφειλόμενον τῇ τελειότητί σου καὶ κόπων καταφρονῆσαι καὶ φόβων τῶν ἐκ θαλάσσης, τῇ ἄνωθεν ἐλπίδι θρασυνόμενον πρὸς τὰ ἐνταῦθα καταλαβεῖν, τοῦ καὶ ἡμῖν καὶ ὅλῳ τῷ πληρώματι τῆς τοῦ θεοῦ ἐκκλησίας συνησθῆναι, καὶ ἀπολαῦσαι, ὡς εἰκὸς, ὧν ἀπολαύει ψυχὴ θεοφιλὴς ἐπὶ τοσαύτῃ ἑνότητι καὶ ἀπαλλαγῇ τῆς πρὶν διαστάσεως· ἐπεὶ δὲ τῆς θαλάσσης ἡ δειλία, καὶ τῆς πορείας ὁ κάματος ἐξενίκησε, καὶ τὸ ζημιωθῆναι τῆς ἐκ τοῦ πρὸς ἡμᾶς παραγενέσθαι ἱερᾶς ἡδονῆς ἐποίησεν, ὃ λοιπόν ἐστι παραμύθιον τῆς ζημίας, ἐκεῖνο ποιοῦμεν, καὶ γράφομεν οὐ μέμψιν ὑπὲρ ὧν ὤκνησας, οὐδ᾽ ἐπιτίμησιν ὑπὲρ ὧν ἐδειλίασας, ἀλλὰ συγγνώμην, καὶ τὸ εἰδέναι σε, ὅτι μηδεὶς θόρυβος ἐν τῇ ἡμετέρᾳ ψυχῇ ἐκ τοῦ μὴ βουληθῆναί σε ἐπίδημον πρὸς ἡμᾶς γεγενῆσθαι· μᾶλλον μὲν οὖν καὶ

ἃ πρὸς τὸ ἐξηπατημένον ἔθνος καὶ μικροῦ συληθὲν ἐκ τῶν τῆς εὐσεβείας κόλπων ὑπὸ τοῦ πονηροῦ δαίμονος διεσπουδάσθη σοι ἐν μεγάλῃ ἀποδοχῇ πεποιήμεθα, καὶ παραινοῦμεν καὶ ἔτι ὅση δύναμις τὴν ὑπὲρ τῆς αὐτῶν σωτηρίας μέριμναν καὶ σπουδὴν ἀναδέξασθαι· ἵνα τέλεον ἀνασωθῇ τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἡ τούτων οἰκείωσις καὶ σωτηρία παντὸς ὄκνου καὶ καμάτου καὶ πάσης ἄλλης δυσχερείας, ὅση τῇ τοιαύτῃ ἐπανίσταται ὑπηρεσίᾳ, παρὰ φαῦλον τιθεμένης διὰ τὴν ἐλπιζομένην ὑπὲρ τῶν τοιούτων καμάτων ἀντίδοσιν καὶ ἀπόλαυσιν· εἰ γὰρ καὶ μιᾶς ψυχῆς προσένεξις τῷ Χριστῷ ἀσύγκριτον ἔχει τὴν ἀντάμειψιν, ὁ ἐξάγων γὰρ ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μου φησὶν ἔσται, τί δ' ἂν εὑρεθείη τῆς τοιαύτης ὁμότιμον δωρεᾶς; σκοπεῖν χρὴ τὴν ὑμῶν σύνεσιν ὅση τις ὑπὲρ τοῦ τοσούτου πλήθους ἐξ ἀναξίων καθισταμένων ἀξίων Θεοῦ ἀποκείσεταί σοι χάρις· καὶ περὶ τοῦ μέλλοντος δὲ ἀρχιερέως συνεῖναι αὐτοῖς, ὑμῖν ἀνατίθεμεν τὴν φροντίδα· ὥστε τῇ σῇ πεφροντισμένῃ διασκέψει τὸ ἱκανὸν πρὸς τὸ τοιοῦτον ἔργον εὑρεθῆναι, καὶ πρὸς ἡμᾶς ἐξαποσταλῆναι Ἰοῦ ἐν Ἰῷ παναγίῳ πνεύματι εἰς τὴν τῆς ἐπισκοπῆς τάξιν προχειρισθῆναι, καὶ εἰς ποιμένα τοῦ τέως ἀπεστερημένου τοῦ ποιμαίνοντος ποιμνίου καταστῆναι· ἀρκεῖ ταῦτα πρὸς τὴν ὑμῶν σύνεσιν, οἴκοθεν ἐχόντων ὑμῶν τὸ περὶ τούτου ἐπιμελὲς, ἐξ ὧν ἐκ τῶν προλαβόντων ὑπεδείξατε σπουδασμάτων

CVII. ΕΙΣ ΤΟΝ ΚΥΖΙΚΟΥ.

Οὐκ οἶδα ἐπηρείᾳ δαίμονος τοῦ ἀεὶ συνταράσσοντος τὸ ἀνθρώπινον, οὐκ οἶδα γνώμῃ κακούργος ἀνθρώπων φύρειν ἐφιλονείκησε τὰ ἐκ τῆς προλαβούσης κρίσεως ὁρισθέντα περὶ τῆς ὑμῶν ἀναμεταξὺ καὶ τῶν Βλαχερνῶν συζητήσεως· ἀλλὰ πάλιν, τέκνον ἡμῶν ἱερὸν, εἰς τὴν ἑαυτῆς ἐπανῆκεν ἡ ψῆφος κατάστασιν· καὶ λοιπὸν ἔστω διαμένοντα ὡς ὡρίσθη τὰ πράγματα, καὶ τοῦ ἀδελφοῦ σου, καὶ τέκνου ἡμῶν, τοῦ ἀρχιεπισκόπου, εἴ γε μέχρι τότε μετὰ τῶν ζώντων διατελέσομεν ἀριθμούμενοι, τὰ ἐνταῦθα κατα-

λαμβάνοντος, τότε πάλιν εἴ τι κοινῶς συνδιασκεπτομένων ἡμῶν δόξῃ καὶ εἰρηνικώτερον καὶ ἀλυπώτερον ἐκεῖνο γενήσεται.

CVIII. ΠΡΟΣ ΤΟΝ ΠΙΣΣΗΝΟΥΝΤΩΝ.

Τὴν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἐπήρειαν καθεκάστην ἀναμανθάνοντες, καὶ χωρὶς τῶν ὑμετέρων γραμμάτων, λίαν σπαρασσόμεθα τὴν ψυχήν· νῦν δὲ καὶ τοῦ γράμματος ἡ ἀπαγγελία καθ' ἑκάστην βαθύτερον τὸν σπαραγμὸν ἀπειργάσατο, καὶ μάλιστα ὅτι ἄνθρωπος ὀφείλων ἐν ἐτασμοῖς εἶναι, ὑπὲρ ὧν τῆς ἑαυτοῦ καταφρονήσας σωτηρίας, τοῦ μοναδικοῦ βίου τὸν στρατιωτικὸν ἀντηλλάξατο, τοιαῦτα κατὰ τῆς ἐκκλησίας πράττει, καὶ οὕτω θρασέως καὶ ἀναιδῶς ἐπεμβαίνει αὐτήν· ὅμως κατὰ τὴν ἀξαίτησιν ὑμῶν καὶ βασιλικὴ ἐξεπέμφθη κέλευσις, καὶ ἡμέτερον γράμμα πρὸς ὃν ἠτήσω· καὶ πάντως εἰ μελέτην ἔχει τιμᾶν τὸ θεῖον, καὶ οἷα τέκνον τῆς ἐκκλησίας τὴν ταύτης τιμὴν ἐν λόγῳ τίθεται, πληρώσει τὰ προσταχθέντα, καὶ τοῦ ταλαιπώρου ἐκείνου ἀνθρώπου ἐπικόπτων τὴν πρὸς τὴν κακίαν ὁρμὴν, καὶ τὴν ἐπὶ τοῦτο θλίψιν τῆς ὑμετέρας καρδίας, καὶ ἣν εὐλόγως περιφέρεις ἀποδιώκων· τὸ δ' ἀποσταλὴν κτῆνος ἐκεῖ ἔδει παρεῖναι, οὗ πλέον ἡ τούτου χρεία· οὐκ ἄδηλον δὲ ὅτι μᾶλλον ὑμεῖς τῆς χρείας ἐπιδεεῖς· πλὴν ἐδεξάμεθα ὁπότε θεοῦ βουλομένου ὀφθείης ἡμῖν λόγον ἐξαπαιτήσοντές σε τῆς τούτου δαπάνης, ἵν' εἰδῇς μὴ πρὸς ἀπόρους καὶ πένητας τοιοῦτον παμμέγεθες κτῆνος ἐκπέμπων, οὗ χορηγεῖν τὴν βρῶσιν ἀμηχανοῦμεν· ἀπεστάλη δέ σοι τῆς ἱερᾶς κεφαλῆς καλυπτήριον· ἔρρωσο, τέκνον ἡμῶν ἱερόν.

CIX. ΑΔΗΛΩ.

Ἤδη τῆς ἀρρωστίας προσομιλεῖν ἀρχομένης, ὁ τὸ γραμματεῖον ἐπιφερόμενος ἐπίσκοπος μήπω εἰς ὄψιν ἡμῶν καταστὰς, δι' ἑτέρων τινῶν ἐδήλου ἑαυτὸν ὅς τις εἴη, καὶ οἷα τὰ μέχρι τοῦ παρόντος αὐτῷ διεπραγματεύθη· καὶ τῶν μὲν προλαβόντων κατ-

εγίνωσκε, καὶ πολλὰ ἑαυτὸν ᾐτιᾶτο τῆς ἀπάτης, ἣν ἄνθρωπος ὢν ὑπὸ τῶν πρὸς ταῦτα ἐπιτηδείων ὑπέστη· νῦν δὲ ὅλῃ ψυχῇ ἐξομολογούμενος τὸ ἁμάρτημα καὶ ἀνακαλούμενος ἑαυτὸν ἐκ τοῦ σφάλματος, προσέδραμε τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, τὴν μὲν εἰρήνην καὶ τὸ ἕνα γνωρίζεσθαι τοῦτον τῆς ἱερᾶς τοῦ Θεοῦ ποίμνης πρόβατον εὐχῆς ἔργον ποιούμενος, συγγνώμην δὲ ἥνπερ εἴωθεν ἡ ἐκκλησία νέμειν τοῖς ἐπιστρέφουσιν ἀξαιτούμενος· ταῦτα μὲν ὥσπερ ἔφην ἀρχομένης ἤδη τῆς ἀῤῥωστίας, καὶ διὰ μέσου, ἐπεί, καθὼς καὶ πρώην ἐγράφη, ταῖς τοῦ θανάτου παρειστήκειμεν πύλαις, πλέον οὐδέν· νῦν δὲ ὅτι πάλιν κρίμασιν οἷς οἶδεν ὁ τῆς ζωῆς ἡμῶν κύριος ὥσπερ ἐλπίδες ἀνέκυψαν, τίς δὲ οἶδεν εἰ ἀληθεύσουσιν ὡς πάλιν ἐσόμεθα μετὰ τῶν ἐν βίῳ ζώντων, τὰ αὐτὰ ὁ ἄνθρωπος κεκίνηκε ῥήματα, καὶ τὴν ἐξαίτησιν προκομίζεται· καὶ ἡμεῖς, τέκνον ἡμῶν ἱερὸν, μετὰ τῶν ἄλλων πάντων τὸ τῆς ἐκκλησίας ἐπιζητοῦντες ὁλόκληρον, καὶ τὴν τῶν σκανδάλων ἐλευθερίαν· τούτου γὰρ καὶ ζῶσιν ἡμῖν, ὡς καὶ αὐτὸς ἐπίστασαι, εἴπερ τινος ἄλλου ἐμέλησε· τοῦτο καὶ ἀπιόντες ἐντεῦθεν, ἐγκάρδιον φέρομεν μέριμναν, καὶ οὐ βούλεται ἀφίστασθαι ἡμῶν οὐδὲ νῦν ὁ ὑπὲρ τῆς ἐκκλησίας τοιοῦτος πόνος.

Τί οὖν φημι; ἐπεὶ προσῆλθε τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ χωρὶς τῶν ἡμετέρων λόγων, ὡς οὐκ ἔστι δίκαιον ὑπεριδεῖν ἡμᾶς τὸν ἄνθρωπον, ἐπίσταταί σου ἡ τελειότης· ποῦ γὰρ δίκαιον παριδεῖν τὸν ἐπὶ τοσούτοις πλανώμενον ἔτεσι, νυνὶ δὲ τὴν ἐπιστροφὴν ἀγαπήσαντα; μᾶλλον δὲ πῶς οὐχὶ τὸν πατέρα τὸν φιλάνθρωπον, τὸν εὐμενῆ μιμησόμεθα, ὃς οἶδας οἷα ἐπὶ τῇ τοῦ πεπλανημένου παιδὸς ἐπιστροφῇ ἐτέλεσε πράγματα; οἶδα οὖν, ὅπερ ἔφην, ὅτι οὐ δεῖ σοι ῥημάτων ἐμῶν εἰς τὸ ἀνοῖξαι αὐτῷ τὰ σπλάγχνα, εἰς τὸ προσλαβεῖν, εἰς τὸ πᾶσαν εἰς αὐτὸν ἐπιδείξασθαι ὅσα ὀφείλει ἐπιδεικνύειν ἄνθρωπος τοῦ Θεοῦ τῷ ὄντι ἀρχιερεὺς καὶ κατὰ μίμησιν τοῦ πρώτου ἀρχιερέως τὴν οἰκείαν ἀγωνιζόμενος κοσμεῖν ἀρχιερωσύνην· ἔστι δὲ τοῦ ἀνθρώπου τὸ αἴτημα οὐ βαρὺ οὐδὲ φορτικὸν, οὐδὲ τῆς συνηθείας ἀλλότριον, ἀλλ' ἀπ' ἀρχῆς καὶ μέχρι τοῦ νῦν εἰωθὸς γίνεσθαι· τί τοῦτο; τὴν οἰκείαν ἀπο-

λαβεῖν ἣν κακῶς κατέλιπεν ἐπιζητεῖν ἐκκλησίαν, καὶ τὸν ἐκεῖ ἀντὶ τούτου τυγχάνοντα πρόεδρον σχολάσαι, μέχρις ἂν ὁ ἐπιτήδειος εὑρισκόμενος τόπος, αὐτὸν εἰς ἐφορείαν προσλήψεται· ἣν μὲν ὁ ἄνθρωπος προσήγαγεν ἐξαίτησιν αὕτη ἐστὶ, καὶ ἡμεῖς ἐμφανῆ σοι καθιστῶμεν αὐτήν· τὸ λοιπόν ἐστι τῆς ὑμῶν ὁσιότητος, καὶ τὸ πρέπον τῆς ἐκκλησίας οἰκονομῆσαι, καὶ τὸν ἐπίσκοπον πατρικοῖς σπλάγχνοις ἐκ τῆς μακρᾶς ἐκείνης ὑποδέξασθαι πλάνης, καὶ οὕτως περὶ αὐτοῦ διοικῆσαι ἵνα καὶ θεῷ εὐχαριστῶν, καὶ σοὶ τῷ ἑαυτοῦ ἀρχιερεῖ ὁ ἄνθρωπος διαφαίνηται· καὶ περὶ τοῦ νῦν προεδρεύοντος ἐν τῇ ἐπιζητουμένῃ ἐκκλησίᾳ πρόνοιαν καταθεῖναι, μέχρις ἂν ὡς εἴρηται τόπου ἀναφανέντος τοῦ προσήκοντος, εἰς προεδρείαν πάλιν ἀποκαταστῇ· ἡμεῖς μὲν οὖν ταῦτα ἐκρίναμεν, τέκνον ἡμῶν ἱερὸν, γνωρίσαι σοι· τὸ δὲ πᾶν ἐν τῇ σῇ κεῖται καὶ διασκέψει καὶ μετὰ θεὸν συμφερούσῃ προνοίᾳ ἀμφοτέρων τῶν ἐπισκόπων, ὡς καὶ ὑπὸ τὴν σὴν χεῖρα τελούντων.

CX. ΠΡΟΣ ΤΟΝ ΠΙΣΣΙΝΟΥΝΤΩΝ.

Ὑμῶν μὲν τὴν ῥῶσιν ἔκ τε τοῦ γράμματος καὶ τῆς τοῦ κεκομικότος αὐτὸ γλώσσης ἀναμαθόντες ηὐχαριστήσαμεν τῶν ἀγαθῶν τῷ δοτῆρι Χριστῷ τῷ θεῷ ἡμῶν· ὃς εἴη, τέκνον ἡμῶν ἱερὸν, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐν πτέρυξι τῆς ἑαυτοῦ ἀγαθότητος διατηρῶν ἔξω πείρας ἁπάσης κακότητος· ἡμεῖς δὲ συνεσχέθημεν νόσῳ μαστιζούσῃ μὲν διὰ τὰς ἁμαρτίας ἡμῶν ἐφόσον ἐδοκίμασεν ὁ ἐπανορθωτὴς τῶν σφαλμάτων ἡμῶν τῇ τοιαύτῃ ἐτάζεσθαι μάστιγι· νῦν δὲ ὅτι συνήθως παρακέκληται ὑπὸ τῶν ἰδίων οἰκτιρμῶν τέως ἀνῆκεν, εἰ καὶ παραλυπεῖ ἔτι τὰ ἐκ τῆς προλαβούσης ἐτάσεως· ἐφ' ὃ δ' ἂν ἀποβαίη τέλος τὸ τῆς ταπεινῆς ἡμῶν ζωῆς, εἴη τὸ ὄνομα τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὥσπερ καὶ ἔστιν εὐλογημένον· τὰ δ' ἄλλα μεμνῆσθαι ἡμῶν ἐν ταῖς ὁσίαις εὐχαῖς, εἴτε συμβιοτεύομεν ὑμῖν, εἴτε τῆς ἐντεῦθεν σκηνῆς ἀναχωρήσωμεν, μὴ διαλείψῃς.

CXI. ΑΔΗΛΩ.

Ἡδὺ τὸ γράμμα τῆς ὑμῶν ὁσιότητος, ὅτι ἐκ ψυχῆς γλυκείας οἱ λόγοι πηγάζουσι· τί γὰρ γλυκύτερον ψυχῆς πλουτούσης τὴν ἀγάπην τοῦ πνεύματος, ἣν καὶ ἡ ὑμετέρα ψυχὴ κεκτημένη τοιούτους ἐξερεύγεται λόγους; πλὴν τοὺς ἐπαίνους καταλιπὼν, μᾶλλον τῆς ἡμετέρας ὑπερεύχου ταπεινότητος· τοῦτο γὰρ ἡμῖν ἐρασμιώτερον, καὶ ταύτῃ ἀγαπῶμεν δεξιούμενοι τῇ χάριτι· ἄλλων γὰρ οἱ ἔπαινοι τῶν ἐπαινεῖσθαι ἀξίων, ἡμεῖς δὲ μηδὲν ἐπαίνου ἄξιον ἑαυτοῖς συνειδότες, ἀλλὰ μᾶλλον εὐχῶν ὄντες ἐπιδεεῖς, ταύταις καὶ δεξιούμενοι χαίρομεν.

CXII. ΘΕΟΚΤΙΣΤΩ ΚΛΑΥΔΙΟΥΠΟΛΕΩΣ.

Ὅσης ἐστὶν εἰκὸς ἐγγίνεσθαι χαρᾶς καὶ ἀγαλλιάσεως ἀπολαύσειν, πατρὶ ἀκουτιζομένῳ τέκνων ὑγείαν καὶ σωτηρίαν, ταύτης διὰ τοῦ θεοφιλεστάτου συμπρεσβυτέρου ἡμῶν ἥκοντος ἀπελαύσαμεν, ἀναγγείλαντος ἡμῖν οἰκείᾳ γλώσσῃ τὸ σὲ θείᾳ χάριτι ἀνώτερον πάσης λύπης διατελεῖν ἐπιθέσεως· καὶ τῷ ἁγίῳ θεῷ ἡ ἐπὶ τοῦτο εὐχαριστία ἡμῖν ἀποδέδοται, καὶ εὐχόμεθα πάντοτε τοιαύτης περὶ ὑμῶν ἀγγελίας τυγχάνειν ἀγγέλου· ἐπειδὴ δὲ τῶν πραγμάτων αἱ περιστάσεις οὐκ ἐῶσιν ἡμᾶς ἀναπνεῖν, καὶ ὡς ἐν τοιούτοις περιστοιχιζόμενοι, δεόμεθα ἄνθρωποι ταπεινοὶ ὄντες καὶ τῆς ἐκ τῶν συνόντων παρηγορίας, οἶδας δὲ ὅτι οὐδὲν οὕτω παρηγορεῖ, ὡς ἡ τῶν τέκνων συνομιλία, ἐβουλόμεθα ἐν τοιούτῳ καιρῷ σὺν ἡμῖν εἶναι· εἰ μὲν οὖν οὐκ ἔστιν ἀναγκαιότερα τὰ ἐν τοῖς αὐτόθι πράγματα πρὸς τὴν σὴν ἐπίσχεσιν, παραγενοῦ πρὸς ἡμᾶς· εἰ δ' ἔστι τις ἀνάγκη δυνατωτέρα, τέως ἡμῖν ταῖς ὁσίαις εὐχαῖς ὅση δύναμις συνίστασο, καὶ ἡ παρουσία, ἐπεὶ μὴ νῦν συγχωρεῖται, πάντως ὅταν θεὸς διδῷ γενήσεται· τὰ δ' ἄλλα ἐρρῶσθαί σε ἐπευχόμεθα, καὶ μεμνῆσθαι τῆς ἡμῶν μετριότητος.

CXIII. ΝΙΚΗΤᾼ ΑΘΗΝΩΝ.

Καὶ κυβερνήτης ἄριστος τῶν βαπτιζόντων κυμάτων τὴν ἔκκλισιν ποιεῖται διὰ προνοίας, ἀλλ' οὐχὶ πρὸς ἐκεῖνα συνωθεῖται δι' ὧν μέλλει πλέον καταβαπτίζεσθαι· καὶ ἰατρὸς ᾧ γε δι' ἐπιμελείας ἐστὶν ἡ σωτηρία τοῦ κάμνοντος, σπουδὴν ἀναδέχεται, εἰ μὴ δυνατὸν παντελῶς θεραπεῦσαι, ἀλλά γε τέως ἐλαττῶσαι τὸ διενοχλοῦν ἀῤῥώστημα φάρμακα συντιθέναι· συνίεις οἶμαι τοῦ προοιμίου τὸ βούλημα· εἰ μὴ ἑκόντες ἑαυτοὺς τῇ ἀγνοίᾳ παρέσχομεν, ἡ τοῦ θεοῦ ἐκκλησία ἐν τοσαύτῃ ζάλῃ καὶ τρικυμίᾳ καθέστηκε, καὶ τοσοῦτος καθ' ἡμῶν διὰ τῶν ἔσωθεν, καὶ διὰ τῶν ἔξωθεν ἐγείρεται κλύδων, ὡς καθ' ἑκάστην ἡμέραν μᾶλλον δὲ εἰπεῖν ὥραν τὴν παντελῆ κατάδυσιν ἐλπίζειν· καὶ σὺ ἐπισκόπους τῶν ἐκκλησιῶν ἐλαύνεις τοὺς ὑπ' ἐκείνων χειροτονηθέντας, οὓς οὔπω ὑπὸ καθαίρεσιν προφανῆ πεποιήμεθα· ἢ λέληθέ σε ὡς οὔτε Σάβας ὁ πρὸ σοῦ τὸν θρόνον διέπων τῶν Ἀθηνῶν, οὔτέ τις ἕτερος τῶν ὁμοταγῶν ἐκείνῳ ὑπὸ καθαίρεσιν γέγονε, πλὴν τῶν φθασάντων τεσσάρων καθῃρεῖσθαι, τοῦ τε Δημητρίου φημὶ, καὶ Γαβριὴλ, καὶ Γρηγορίου, καὶ Κοσμᾶ, ὃς εἰ καὶ μὴ διὰ τὴν αὐτὴν αἰτίαν τοῖς ἄλλοις τρισὶν, ἀλλά γε διὰ τὰς ἐν τῇ Ῥώμῃ ψευδολογίας, τῇ καθαιρέσει ὑποβέβληται· πάντα καιρῷ ἰδίῳ διευθύνεται· τὸ δὲ παρὰ τὸν προσήκοντα καιρὸν γινόμενον, ὥσπερ ἀτελές ἐστι· τὸ δὲ ἀτελὲς ἀνάγκη ἀποστερεῖσθαι καὶ διαμονῆς· ἔδει οὖν σε τὸν καιρὸν κατανοήσαντα, καὶ τῶν πραγμάτων τὴν ἀνωμαλίαν, μηδὲν διαπράξασθαι οἷόν σοι διαπέπρακται· ἐπεὶ δὲ οὐκ οἶδα ὅπως εἰς τοῦτο προήχθης, πάντως εἴ τι σοι μέλει περὶ τοῦ μὴ ἐπὶ πλέον χειμάζεσθαι τὴν ἐκκλησίαν, καὶ περὶ τῆς ἡμῶν μετριότητος τῆς καθόσον ἐγχωρεῖ ἀνέσεως, τὴν ἐπισκοπὴν ὁ ἄνθρωπος ἀπολαυέτω, καὶ διαμενέτω ἕως ἂν τὰ δοκοῦντα τῇ ἐκκλησίᾳ εἰς πέρας ἔλθοι, καὶ ἡ περὶ τῶν πταισάντων ἀμφιβολία ἐναργῆ κατάκρισιν ἢ ἄλλην τινὰ δέξηται οἰκονομίαν· ἐῤῥῶσθαί σε καὶ ψυχῇ καὶ σώματι ἐπευχόμεθα, καὶ τῆς ἡμῶν ὑπερεύχεσθαι μετριότητος.

CXIV. ΒΑΣΙΛΕΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΧΑΛΔΙΑΣ.

Ἡ μὲν ὑπόθεσις τοῦ γράμματος ἀναγκαία μὲν τῷ κομίζοντι τὸ γράμμα· διὰ τοῦτο καὶ πληροῦντες τὴν δέησιν αὐτοῦ καὶ τὴν ὑπόθεσιν ταύτην τοῦ γράφειν ἐσχήκαμεν· ἡμῖν δὲ οὔτε πρότερον οὔτε νῦν ἐδόκει ἀναγκαία ἡ ὑπόθεσις· οὐ γὰρ κατέστημεν εἰς λογισμὸν, ὅτι περ ἡ σὴ εὐλάβεια ὅλως τινὶ λύπης ἐθελήσει αἴτιος γενέσθαι, οὐχ ὅτι ἀναιτίῳ, ἀλλὰ καὶ κἂν τις ᾖ εὔλογος αἰτία οἷα τὰ ἀνθρώπινα λύπης πρόξενος ἀναφαινομένη· ἐπειδὴ καὶ τότε τῆς μὲν αἰτίας τὸ ἰάσιμον ἐπιδεχομένης, πάντως θεραπευόμενος οὐ λυπηθήσεται ὁ ταύτην παρασχών· εἰ δὲ πρὸς τὸ ἀνίατον ἤλασε τὸ κακὸν, οὐδ᾽ οὕτως ἔσται παρὰ σοῦ τῷ λυπουμένῳ ἡ λύπη, ἀλλὰ παρὰ τῆς κακίας τοῦ πράγματος· ἀρκεῖ ταῦτα· λοιπὸν ἐπὶ τὸ πρᾶγμα χωρῶμεν, περὶ οὗ γράψαι διενοήθημεν· λελύπηται ὥς φησι παρὰ τῆς ὑμῶν ὁσιότητος ὁ κομίζων σοι τὴν ἐπιστολὴν, ὅτι μόνης ἐξηλάθη ἐν ᾗ πλεῖστα ἔτη διατελέσας τὴν ἐπιστασίαν ἐγκεχείρισται, μηδὲν ἐργασάμενος τοιοῦτον, μὴ δὲ ἄξιον τῆς ἐκεῖθεν ἐλάσεως· τοῦτο ἡμῖν ἀπαγγελθὲν γνῶθι, ὅτι λίαν ἥψατο τῆς ψυχῆς· εἴ τι οὖν σοι μέλει περὶ τοῦ ἐμὲ μὴ λυπεῖσθαι, ἀπόδος τὴν ἰδίαν τάξιν τῷ ἀνθρώπῳ, μηδὲν δειλιῶν ὅπερ ὑποπτεύεις· οὐ γὰρ ἀφαιρήσεταί τις τὸ μοναστήριον τοῦ ὑπὸ τὴν σὴν τελεῖν ἐξουσίαν, οὔτε ἡμεῖς οὔτε ἄλλος, μέχρις ἂν ἐνταῦθα διάγωμεν.

CXV. ΕΥΘΥΜΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΑΝΤΙΟΧΕΙΑΣ.

Ὀδυνηρὰν ἀγγελίαν ἀκούσαντες, ἣν εἴη θεὸς πόῤῥω τῆς ἀληθείας ποιῶν· ἠκούσαμεν γὰρ βεβλῆσθαί σε νόσῳ, καὶ διὰ τοῦτο ἐπὶ τοσοῦτον χρόνον τῆς πρὸς ἡμᾶς ἐπανόδου καθυστερεῖν· ἀπεστείλαμεν ἅμα μὲν περὶ ὧν ἀκηκόαμεν ἐκμαθεῖν, ἅμα δὲ καὶ σοὶ καὶ ὑγιῶς διατελοῦντι, ὅπερ παράσχοι θεὸς ἐγγενέσθαι, παρηγορίαν τινὰ τῇ τοῦ ἀποσταλέντος πρὸς σὲ καταλήψει· οἶδα μὲν γὰρ

ὡς καὶ εἰ μηδὲν ἕτερον διοχλοῦν ἦν, ἀλλά γε αὐτὸ τοῦτο ἡ ἐξ ἡμῶν διαχώρησις ἐν χρείᾳ σε παρηγορίας καθίστησι· παράσχοι δὲ θεὸς πάσης νόσου καὶ πάσης λύπης ἀπηλλαγμένον, θᾶττόν σε παραγενέσθαι καὶ ὀφθῆναι ἡμῖν.

CXVI. ΦΙΛΙΠΠῼ ΛΑΡΙΣΣΗΣ.

Ἔγνωμεν ἐκ τοῦ γράμματος τῆς σῆς καρδίας τὸ ἄλγημα, ἔγνωμεν δὲ καὶ ὡς ὑπόνοιαν φέρεις περὶ τῆς ἡμῶν μετριότητος, ὅτι ἐξ ἡμῶν σοι προσγέγονε τὸ ἀλγεῖν· καὶ ἐπὶ μὲν τῇ ὀδύνῃ τῆς καρδίας σου σφοδρῶς ἠνιάθημεν καὶ ἡμεῖς· οὐ γὰρ μὴ ὅτι γέ σοι, τέκνῳ τυγχάνοντι καὶ ἀρχιερεῖ καὶ τῶν μελῶν οἰκειοτάτῳ, ἀλλ᾽ οὐδενὶ ἑτέρῳ τῶν ἐναντίως πρὸς ἡμᾶς ἐχόντων, τὸ διακεῖσθαι ὀδυνηρῶς βούλησίς ἐστιν ἡμῖν· περὶ δὲ ὧν ὑπονοούμεθα, λελυπήμεθα μὲν ὅτι ὅλως ὁτῳδήποτε τρόπῳ τοιαῦτά σοι παρέσχομεν ὑπονοεῖν· πλὴν οὐ τοσοῦτον ἅπτεται τῆς καρδίας τὸ ἄλγος διὰ τὸ συνειδέναι μηδὲν τοιοῦτον, ὁποῖον εἰς αἰτίαν φέρεις, παρ᾽ ἡμῶν προελθεῖν· οὔτε γὰρ τῷ ἀτακτήσαντι περὶ τὴν σὴν ἐπαρχίαν τοῦτο ἐνετειλάμεθα, οὐδὲ ὅλως ἀναφερόμεθα εἰς ἔννοιαν τοιαύτης αὐτῷ ἐγχειρήσεως, οὔτε τῷ ἀρχιεπισκόπῳ Θηβῶν ὑπὸ σὲ τελοῦσαν ἐκκλησίαν ἐπεστείλαμεν ἱερῶσαι, ἀλλὰ διδαχθέντες ὡς τοῖς πατριαρχικοῖς προνομίοις, εἴ τις ποτέ ἐστιν ἐκεῖνος ὁ ἐγκεκαινισμένος ναὸς τελεῖ, τοῦτο διωρισάμεθα, οὐ τὴν σὴν ἀρετὴν ῥίπτοντες παρὰ φαῦλον, ἀλλὰ τὸ τῆς ὁδοῦ διάστημα μὴ μαθόντες ἀκριβῶς, λογισάμενοι ὅτι μᾶλλον ἐκείνῳ ἢ σοὶ ῥάδιος καὶ κουφοτέρα ἡ ὁδοιπορία καὶ τοῦ προστάγματος ἡ ἐκπλήρωσις· τοῦτο μὲν οὕτω παρηκολούθησε· καὶ χρή σε τὸ ἀληθὲς διδαχθέντα, τὴν λύπην ἀποθέσθαι· διὰ τί; ὅτι καὶ ἀπό γε τοῦ νῦν εἰ τῆς σῆς ἐπαρχίας ἐστὶν ὁ ἱερωθεὶς ναὸς, πάντως ὑπὸ σοὶ διατελέσει, καὶ οὐ ζημιωθήσῃ τοῦ σοὶ διαφέροντος πράγματος ἐκ τοῦ μὴ κατὰ λόγον προσγεγονότος.

CXVII. ΛΕΟΝΤΙ ΣΥΛΑΙΟΥ.

Ἀπ᾽ ἀρχῆς τοῦ γράμματος τὴν διάθεσιν τῆς ἡμετέρας ψυχῆς φανερὰν σοι ποιοῦντες γράφομεν, ὅτι μετὰ σφοδρᾶς τῆς λύπης ἐπὶ τὸ γράφειν πρὸς σὲ κεκινήμεθα· πῶς γὰρ οὐχὶ βαρεῖαν τὴν ἀλγηδόνα φέρομεν; ὁπότε λογισμοῖς ἀμείνοσι, καὶ πάντα λογιζομένοις δι᾽ ὧν ἡμῖν ἔσται παραψυχὴ, δι᾽ ὧν δοξασθήσεται μὲν θεὸς, κλέος δὲ ἀείμνηστόν σοι περιεγενήσεται, καὶ τοῖς ὑπὸ τὴν σὴν ἐφορείαν τῶν βαρυνόντων ἄνεσις καὶ παράκλησις, ἡ σὴ ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον τῆς αὐτόθι ἐκκλησίας καταστήσεται προβολή· νῦν δὲ τῶν λογισμῶν ἐκείνων, φεῦ τῆς τοῦ δαίμονος ἐπηρείας, ὡς οἱ καθ᾽ ἑκάστην ἡμῖν προσιόντες ἀπαγγέλλουσι, καταvοοῦμεν ἑαυτοὺς ἐκπεπτωκότες· ὁρᾷς ἐξ οἵας συνοχῆς τῆς ἡμῶν ψυχῆς τὸ γράμμα σοι γράφεται· οὐ γὰρ διαλείπουσι καθ᾽ ἑκάστην νῦν μὲν μονάζοντες, νῦν δὲ τῆς λαϊκῆς τάξεως, νῦν δὲ καὶ τοῦ κλήρου, τὰς ἐγκλήσεις ποιούμενοι κατὰ σοῦ, ὡς τῶν οἰκείων ἀποδιωκόμενοι, καὶ ἀντὶ τοῦ ῥύεσθαι παρὰ τῆς σῆς ἀρχιερωσύνης αὐτοὺς ἐκ χειρὸς ἄλλης στερεωτέρας, τῆς σῆς δεόμενοι παρὰ τῶν δυναμένων ἀντιλαβέσθαι ῥυσθῆναι.

Ἐῶ τὰ λοιπά· ἀλλὰ νῦν ὁ τοῦ βήματος καθηγούμενος τῆς μονῆς ἐπέστη πλήρης δακρύων, πλήρης ἀθυμίας καὶ συγχύσεως· καὶ τὸ αἴτιον ὅτι σὺν αὐτοῖς μονάζουσι παρὰ τῆς ὑμῶν ἀπελαύνεται προαιρέσεως, οὐκ οἶδα πόθεν ἐπὶ τοῦτο κινηθέντος σου, ἢ τί δίκαιον προϊσχομένου τῆς τοσαύτης βιαίας ἐπιθέσεως· καίτοι εἰ καὶ πᾶς δίκαιος λόγος παρῆν συναγωνιζόμενος, τοῦτο μόνον ἱκανὸν τέως ἦν ἐπισχεῖν τὸ τελεῖν ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν, εἰς τὸ μηδὲν τοιοῦτον μὴ ὅτι πράττειν, ἀλλὰ μὴ δ᾽ εἰς ἐνθύμιον φέρειν, ἕως ἂν πρὸς τὰ ἐνταῦθα παραγενομένου σου, καὶ τῆς ὑποθέσεως προβεβλημένης, τὸ δέον πραχθῆναι διέγνωστο· μὴ τέκνον ἡμῶν, εἴ τι σοι μέλει περὶ τῆς ἐμῆς πολυωδύνου ζωῆς· μὴ οὕτω καθίστασο τοῖς ὑπὸ τὴν σὴν ἐπαρχίαν βαρὺς, μὴ δὲ ἀγαπῶμεν τὰς πάντων γλώσσας κινεῖν καθ᾽ ἡμῶν, μὴ δὲ

ἀντὶ τοῦ πρὸς εὐχαριστίαν Θεοῦ ἐφ' οἷς τῆς ἀπὸ σοῦ ἀπολαύουσιν ὠφελείας, διανίστασθαι τοὺς ἀνθρώπους πρὸς λοιδορίας αὐτοὺς ἀνακινῶμεν, καὶ τὰς κατὰ τῆς ἐμῆς κεφαλῆς ἀράς· οἶδας γὰρ ὅτι ὡς ἐπὶ πολὺ οἱ κακῶς πάσχοντες τῶν ἀρχομένων μετὰ τὸ διαβάλλειν τοὺς κακῶς διατιθέντας αὐτοὺς, καὶ τὰς ἀρὰς ἀποῤῥίπτουσιν εἰς τὰς τῶν αἰτίων γινομένων κεφαλάς· ὅπερ, τέκνον ἡμῶν ἱερὸν, πάσῃ δυνάμει φυλαξώμεθα, μάλιστα τοῦ ἀποστόλου λέγοντος ἀπροσκόπους εἶναι οὐ μόνον ὁμοδόξοις, ἀλλὰ καὶ ἰουδαίοις καὶ ἕλλησιν.

Οὐκ ἀγνοοῦμεν οὖν, ὅτι καὶ τῇ σῇ συνέσει πλεῖστοι ἐπιτίθενται παραλόγως, καὶ πονηρευόμενοι ἀγῶνα ποιοῦνται τοῦ τὴν σὴν ἐκκλησίαν ζημίᾳ περιβαλεῖν· ἐπίσταμαι ὡς πολλοὶ τοιοῦτοι· καὶ γὰρ διὰ πάντων ὁρῶ κεχυμένην τὴν νόσον τῆς πλεονεξίας, καὶ σπάνιόν ἐστιν εὑρεῖν καὶ ἐν μείζοσι προσώποις καὶ ἐν ἐλάττοσι τὸν μὴ κεκρατημένον τῷ πάθει· πλὴν, τέκνον ἡμῶν, ἐπειδάν τι τοιοῦτον ἀνακύψῃ, τῇ προσηκούσῃ συνέσει καὶ εὐλαβείᾳ τῇ σῇ ἀρχιερωσύνῃ προσφέρου τοῖς διατιθεμένοις, καὶ μὴ σεαυτὸν ἐκδικεῖν, μηδὲ ὡς ἐξ αὐτονόμου ἐξουσίας σεαυτῷ τὶ περιποιεῖσθαι, καὶ ἀποστερεῖν τοὺς κατέχοντας τὸ ζητούμενον· ἀλλ' εἴτε διὰ σεαυτοῦ, εἴτε δι' ἑτέρου τῶν ἐπιτηδείων προσιέναι τοῖς κατὰ τόπον δικάζειν λαχοῦσι, καὶ τῷ ψηφιζομένῳ παρὰ τῆς δικαίας κρίσεως ἀγαπητῶς ἐμμένειν, ἵνα τοῦ καὶ οἱ πλεονεκτικῶς τὶ κατέχοντες ἀφαιρούμενοι τοῦ πλεονεκτήματος μὴ ἔχοιεν κατὰ σοῦ γογγύζειν, καὶ σοὶ τὸ περιγινόμενον παρὰ τῆς δικαιοσύνης μηδεμίαν ἐπιφέρῃ μέμψιν, μηδ' ὑπό τινος καταβόησιν· ταῦτά σοι, καὶ πάλιν φημὶ, λίαν ἐγράψαμεν ὀδυνώμενοι· καὶ εἴ τι περὶ πατρὸς ὀδυνωμένου φροντίζεις, μηκέτι πρὸς ἀνάγκην ἡμᾶς καταστήσῃς τοιαῦτά σοι γράφειν· ἐῤῥωμένον σε ὁ κύριος διαφυλάξοι ἐν πᾶσιν εὐαρέστως αὐτῷ διαβιοῦντα, καὶ τῆς ἡμῶν μετριότητος ὑπερευχόμενον.

CXVIII. ΠΕΤΡΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΑΛΑΝΙΑΣ.

Οὐκ οἶδε τοὺς πνευματικῶς ἡνωμένους σωματικὴ ἀπόστασις ἀπ' ἀλλήλων διαχωρίζειν, ἀλλ' εἰ χρή τι καὶ παράδοξον ἐρεῖν ἡ τῶν σωμάτων διάζευξις πλέον τὴν ἕνωσιν ἀπεργάζεται, ὅλης ὡς εἰπεῖν τῆς σχέσεως εἰς τὴν τῶν ψυχῶν συνάφειαν καθαρῶς περιϊσταμένης, καὶ μὴ ἐθελούσης μερίζεσθαι, οἷς ὑποβάλλει τῶν σωμάτων ἡ ἕνωσις· οὐ τοίνυν ἀθυμεῖν ἄξιον, ὅτι τοῖς σώμασι διεστήκαμεν, ἀλλὰ μᾶλλον εἰδὼς, ὅπερ ἔφην, ὅτι πλέον τῷ πνεύματι συναπτόμεθα, ὑψηλότερος γενοῦ μοι τῆς ἐκεῖθεν περισπώσης τὸν λογισμὸν διοχλήσεως, καὶ τῆς ἐγκεχειρισμένης σοι παρὰ τοῦ παναγίου πνεύματος ὅλος ὢν ἱερωτάτης ἀγαλλιάσεως πλήρης, ἀντέχου· πρὸς ἐκείνην τὴν ψυχὴν περιστρέφων, καὶ τὴν ἐκεῖθεν φυομένην ἡδονὴν τῷ σωτῆρι πάντων Χριστῷ καὶ ἡμῖν τοῖς ταπεινοῖς, καὶ τὴν σοὶ προσγινομένην δόξαν τε καὶ ὠφέλειαν, ὀπίσω ῥίψας τὴν ἀθυμίαν, καὶ τὰ ἐκείνης ἀηδῆ ἐνοχλήματα· εἰ γὰρ ἕνεκεν γηΐνου κέρδους μακρὰς ὁδοιπορίας στελλόμενοί τινὲς, καὶ γονέων καὶ γυναικὸς καὶ παίδων ἀποστερούμενοι, οὐ μόνον οὐκ ἀθυμοῦσιν, ἀλλὰ καὶ χαίροντες ἐνίοτε ἀναδέχονται τὴν διάστασιν, τῆς ἐκ τοῦ κέρδους ἐλπίδος τὸ χαίρειν ἀντὶ τοῦ ἀθυμεῖν χαριζομένης, τί δεῖ φρονεῖν τοὺς οἷον μέλλοντας κερδαίνειν ἃ καὶ ἀγγέλοις εἰς ἐπιθυμίαν, καὶ μόνης καθίσταται παρακύψεως; ἀλλ' εἰκὸς ἐνθυμούμενον τὸ μὴ ἔτι πρὸς θέαν καταστῆναι ἀλλήλοις, κεντεῖσθαι τὴν καρδίαν ὑπὸ τοῦ θερμοῦ πρὸς ἡμᾶς πόθου, μάλιστα μὲν εἰ καὶ τοῦτο συμφέροι, παρέξει ὁ ἀγαθός· εἰ δὲ ὑποτεμεῖται τὴν τοιαύτην ἀπόλαυσιν, ἀλλ' ἀντὶ ταύτης χαριεῖται, πεποίθαμεν τῇ ἐκείνου χρηστότητι τὴν ἀμείνω, ἣν οὔτε χρόνος διατέμνει, οὐ τόπος, οὐκ ἄλλη τις περίστασις ἔξωθεν, ἀλλ' ἀεὶ παραμένειν τοῖς συνοῦσιν ἀμάραντον παρεχομένη τὴν ἡδονήν· ὁ δὲ φιλάνθρωπος ἡμῶν πατὴρ καὶ θεὸς αὐτὸς, τέκνον ἡμῶν, συνὼν ἀδιαστάτως εἴη καὶ συναντιλαμβανόμενος οἷς διακονεῖς τῷ εὐαγγελίῳ αὐτοῦ, καὶ λύων πάσης ἀκηδίας σκυθρωπότητα, καὶ τῆς ἀσβέστου σε φαιδρότητος καταξιῶν.

CXIX. ΑΝΔΡΕᾼ ΠΑΤΡΩΝ.

Ὅση στενοχωρίᾳ περιστοιχιζόμεθα, καὶ χωρὶς τοῦ ἡμᾶς διδάσκειν, οὐ λογιζόμεθά σε τέκνον ἡμῶν, ἀγνοεῖν· ἡ γὰρ τῶν πραγμάτων διάθεσις οὐκ ἔστιν οἵα λανθάνειν μὴ ὅτι γε ὑμᾶς, ἀλλ' οὐδὲ ἄλλον τινὰ τὸν τυχόντα· διὰ τοῦτο ἐπὶ τοῖς ἐνταῦθα συνέχουσι κακοῖς, καὶ οἱ ἐξ ἑτέρων τόπων καθ' ἑκάστην ἀφικνούμενοι καὶ διοχλοῦντες, βαρυτέραν τὴν στενοχωρίαν ἡμῖν ἀπεργάζονται· ἔδει οὖν, τέκνον ἐμὸν, ἐν παντὶ τρόπῳ προνοεῖσθαι τῶν αὐτόθεν ἀνερχομένων, καὶ μάλιστα ὑπὸ τὴν σὴν χεῖρα τελούντων, μὴ ἐπιτίθεσθαι ἡμῖν τὰς διοχλήσεις, κἂν ποτε διὰ πταίσματα οἷα φιλεῖ τὰ ἀνθρώπινα ἀποκίνησιν τινὸς συμβαίη γενέσθαι τῆς ὑπ' αὐτῶν διοικουμένης διακονίας, ἄλλης τινὸς τυγχάνειν παραμυθίας, ἥ τις τούτους ὥσπερ ἐξιλαρυνεῖ, καὶ τὸ ἄτακτον πήδημα τῆς καρδίας συστεῖλαι παρασκευάσει· νῦν δὲ πῶς εἴπω ὡς μὴ δυνάμενοι ἄλλως τὴν ἐπώδυνον ταύτην ἕλκειν ζωὴν, οὕτω καλατεινόμενοι ταῖς ὀδύναις καὶ τὴν ψυχὴν σπαρασσόμενοι πρὸς τὰ ἐνταῦθα παραγίνονται οἱ ἐκ τῶν οἰκείων παρακινούμενοι λειτουργιῶν· τούτων ἔστι καὶ Γρηγόριος ὁ μοναχὸς, ὅς φησιν ἀποδεδιῶχθαι μοναστηρίου, ἐν ᾧ ἀπεκείρατο, καὶ οὗ προτιμότερος ἦν καταπεπιστεῦθαι τὴν διοίκησιν, ὡς ἄλλοις τε τρόποις διαφέρουσαν αὐτῷ καὶ τῇ κατὰ συγγένειαν τοῦ τὸ μοναστήριον συστησαμένου κληρονομίᾳ· ἀλλ' ἐκεῖνος μὲν ταῦτα προστιθεὶς, ὅτι ξένος τις καὶ ἀλλότριος καὶ μηδὲν δίκαιον εἰς τὸ ἄρχειν τοῦ μοναστηρίου κεκτημένος, μὴ τρόπον, μὴ βίον, μὴ συγγενῆ τινα πρόφασιν, παρὰ σοῦ προεκρίθη εἰς τὴν τοιαύτην ἐπιστασίαν· ἡμεῖς δὲ τοῦτό σοι γράφομεν, ὡς εἰ μὲν ὁ τὸ γράμμα ἡμῶν ἐπικομιζόμενος ἀληθῆ ἐδίδαξε, καὶ οὐκ ἔστι τις αἰτία κωλύουσα τοῦ μοναστηρίου ἄρχειν αὐτὸν, μὴ ἀποστερείσθω παρὰ τῆς ὑμῶν θεοφιλίας τῆς ἐπιβαλλούσης αὐτῷ κατὰ τὸν τοῦ δικαίου λόγον ἡγουμενείας· εἰ δέ τι ἐστιν ἐναντίωμα, δι' οὗ ἀνάξιος ἀναδείκνυται τῆς τοιαύτης ἀρχῆς, τέως τῆς ὀφειλομένης παραμυθίας

καὶ τῆς ὅσον ἐστὶ δυνατὸν ἀστενοχωρήτου ζωῆς, εἴ τι σοι μέλει, τέκνον ἡμῶν, τῶν ἡμετέρων θλίψεων καὶ ὀδυνῶν, παντὶ τρόπῳ ὡς ἀρχιερεὺς θεοῦ, καὶ ἀπαραιτήτως ὀφείλων τὸ φιλάνθρωπον ἐπιδείκνυσθαι, καταβαλοῦ τὴν περὶ αὐτὸν πρόνοιαν.

CXX. ΤΡΥΦΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Καὶ τὸ δῶρον γλυκὺ, καὶ οἱ λόγοι οὐ μόνον γλυκεῖς, ἀλλὰ καὶ φέροντες οὐ μετρίαν ἄνεσιν ἀπὸ τῶν συνεχόντων κακῶν τὴν ἡμετέραν ψυχήν· προεθυμήθην οὖν προτρέψασθαι τὴν σὴν πατὲρ ὁσιότητα πρὸς τὴν ἀπὸ τῶν ἱερῶν εὐχῶν παρηγορίαν καὶ διάλυσιν τῶν θλίψεων ἡμῶν· ἀλλ' ἐκεῖνο ἐνθυμηθεὶς, ὡς οἱ λόγοι ἐκ τῆς γινομένης πράξεως ἐπὶ τῶν θείων ἀνδρῶν λαμβάνουσι τὴν φωνὴν, ἐπέσχον τῆς τροπῆς ἐμαυτόν· σὺ δέ μοι καὶ χωρὶς τοῦ προτρέπεσθαι ἡμᾶς, τὰ τῶν φιλούντων καὶ συνοδυνομένων τοῖς φίλοις καὶ πράττων καὶ γράφων πάντως διατελέσεις, καὶ τῆς ἡμῶν ὑπερευχόμενος πῶς εἴπω πάντοθεν ἐπηρεαζομένης ἐκ τῶν ἔξωθεν ἐκ τῶν ἔνδοθεν ἐπισταμένων ταλαιπώρου ζωῆς.

CXXI. ΛΕΟΝΤΙ ΠΑΤΡΙΚΙΩ ΚΑΙ ΣΤΡΑΤΗΓΩ ΤΩΝ ΑΝΑΤΟΛΙΚΩΝ.

Ἐδεξάμεθά σου, τέκνον ἡμῶν, τὸ διαπεμφθὲν πρὸς ἡμᾶς γράμμα, καὶ ηὐχαριστήσαμεν τῷ διαφυλάττοντί σε Χριστῷ τῷ θεῷ ἡμῶν, ὃς πεποίθαμεν ὅτι καὶ ἔτι διὰ τὴν προσοῦσάν σοι ἀρετὴν ἐπὶ πλέον διατηρήσει πάσης μὲν ὁρωμένης, πάσης δὲ ἀοράτου ἐναντιότητος ὑψηλότερον· ἀλλά μοι, τέκνον ἡμῶν, τοῦτο εἰδὼς, οἷα δὴ φρόνιμος ὢν καὶ συνετὸς, ὅτι ὀφθαλμοὶ κυρίου ἐπιβλέπουσι μὲν ἐπὶ πάντας, μάλιστα δὲ ἐπὶ τοὺς εὐθεῖς τὴν καρδίαν, πάσῃ δυνάμει ἀντέχου τῆς εὐθύτητος τῆς δικαιοσύνης· ἵνα διὰ παντὸς τοῦ θείου ὀφθαλμοῦ πρὸς σὲ ἀτενίζοντος, καὶ μηδὲ ποτὲ σε καταλιμπάνοντος, ἐν παντὶ καὶ διανοήματι καὶ πάσῃ μελέτῃ καὶ βουλῇ καὶ πράξει πρὸς τὸ συμφέρον εἴης καθοδηγού-

μενος· περὶ δὲ ὧν ἔγραψας ἡμῖν, πληρώσομεν τὴν ἐξαίτησιν· μόνον τοιοῦτος ἔστω ὁ παρὰ τῆς σῆς μαρτυρούμενος ἀρετῆς καὶ κατὰ παίδευσιν, καὶ κατὰ τὴν ἄλλην τοῦ βίου αὐτοῦ κατάστασιν, ἵνα μήτε ἡμεῖς αἰσχυνθῶμεν, μήτε αὐτὸς ἐπὶ τῇ σῇ μαρτυρίᾳ καὶ παρὰ θεῷ καὶ παρὰ ἀνθρώποις μέμψιν εὑρεθῇς ἀποφερόμενος, μήτε ὁ μαρτυρούμενος εἰς κατάκριμα ἴδιον εἰς τὴν τοιαύτην προσληφθῇ διακονίαν· ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος, καὶ ἐν τῷ παρόντι εὐοδούμενον βίῳ, καὶ ἐν τῷ μέλλοντι τῆς ἑτοιμαζομένης τιμῆς καὶ ἀπολαύσεως τοῖς εὐαρεστοῦσιν αὐτῷ μὴ ἀποπίπτοντα.

CXXII. ΑΜΒΡΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἐπὶ τοῖς συνέχουσι κοινῶς ἡμᾶς ἄλγεσι, καὶ νῦν ἰδίως ἀλγήματι τὸ σὸν δεξάμενοι συνεσχέθημεν γράμμα, μεμαθηκότες πάλιν ἐπιτίθεσθαί σοι τὰς νόσους, οὐ μόνον ὅτι τὰ πάθη τῶν τέκνων ἴδια γίνεται, ἀλλ' ὅτι καὶ ταῖς ἀνακυπτούσαις χρείαις ἡ σὴ χάριτι θεοῦ ἐξυπηρετουμένη σύνεσις, καθὼς ἐστι φίλον τῇ δικαιοσύνῃ, καὶ πρέπον θεοῦ λειτουργοῖς, καὶ διὰ τοῦτο θεραπεύουσα οὐ μικρῶς τὴν πολυώδυνον ἡμῶν ψυχὴν, ἐμπόδιον ἕξει τὴν ἐκ τῶν πόνων ὄχλησιν πρὸς τὴν τοιαύτην ὑπηρεσίαν, ἐξ οὗ συμβαίνει καὶ ἡμᾶς ἀποστερεῖσθαι, ἧς ἀπελαύομεν θεραπείας· ὅμως καὶ νῦν, ὥσπερ ἐν πᾶσι, πρὸς τὸν κοινὸν σωτῆρα καὶ βοηθὸν ἀναφέροντες, ἐλπίζομεν τυχεῖν τῆς ἐκεῖθεν ἐπικουρίας· καὶ μὴ τῆς ἐλπίδος εἴη διαπεσεῖν, ὢ σπλάγχνοις φιλανθρώπιας τὰς ἡμῶν ὑπερβαίνων ἁμαρτίας· περὶ δὲ τῶν κοινῶν τῆς ἐκκλησίας παθῶν τί γράφω; στῆναι πρὸς θεὸν συντονώτερον καὶ σὲ καὶ εἴ τις ἕτερος θεϊκῆς ἔστι παῤῥησίας κληρονόμος, καὶ πεῖσαι αὐτὸν συναντιλαβέσθαι κατὰ τὴν μεγάλην αὐτοῦ καὶ ἀνεξιχνίαστον σύνεσιν· οὐ γάρ ἐστιν ἐξ ἀνθρώπων εὑρεῖν παραμύθιον οὐδὲ λύσιν τῆς τοσαύτης καὶ ἀνιστορήτου κατὰ τῆς ἐκκλησίας ἐπαναστάσης ἐπηρείας τε καὶ κακώσεως, καὶ ἀεὶ μὲν αὐξομένης διὰ τὰς ἁμαρτίας ἡμῶν, συστολὴν δὲ μέχρι καὶ σήμερον οὐδὲ τὸ βραχύτατον ἐπιδεικνυούσης.

CXXIII. ΑΝΔΡΕᾼ ΠΑΤΡΩΝ.

Τὰ κοινῶς ἐπιτιθέμενα, τέκνον ἡμῶν, κακὰ ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις, κἂν μηδεὶς ὁ γράφων ᾖ, μὴ δὲ τῷ λόγῳ δῆλα ταῦτα ποιῶν, οὐ λανθάνει τὴν ἡμετέραν ταπείνωσιν· ἴσμεν γὰρ ὅτι λίαν αἱ βαρεῖαι χεῖρες νῦν ἐδράξαντο καιροῦ τοῦ τὴν οἰκείαν βαρύτητα ἐπιδείκνυσθαι· ἀλλ᾽ ὅσον ἐκεῖναι τὸ βάρος ἔχουσι, τοσοῦτον διὰ τὰς ἁμαρτίας ἡμῶν πρὸς τὸ ἀμύνειν ἡμεῖς ἀποδέομεν, ὅσα γε τὰ ἀνθρώπινα· τί οὖν δεῖ ποιεῖν; ἢ πρῶτον μὲν τὴν θείαν αἰτεῖσθαι βοήθειαν, καὶ τοῦ ἐκεῖνον ἅψασθαι τῆς καρδίας τῶν ἐπηρεαστῶν, ὡς ἂν οὕτω καὶ τῶν ἁγίων ἐκκλησιῶν ἡ βλάβη ἀποδιώκοιτο, καὶ τῆς ἐκείνων σωτηρίας γίνοιτο ἡ ἐπιστροφή· ἔπειτα δὲ καὶ ἡμᾶς χρὴ, ἐφ᾽ ὅσον ἔστι δυνατὸν, πρᾳότητι καὶ ἐπιεικείᾳ καὶ λόγοις παραινέσεως προσφέρεσθαι αὐτοῖς, καὶ οἷον κατεπᾴδειν τὰς καρδίας αὐτῶν, πληροφορίαν διδόντας, ὡς οὐ φροντίζομεν ἐπικρατείας ἁπλῶς, ἀλλὰ σωτηρίας καὶ τῶν ἐκκλησιῶν τοῦ θεοῦ, καὶ τῆς αὐτῶν ἀπωλείας κηδόμεθα· οἱ ἐν τῷ πορθεῖν τὰς ἐκκλησίας ἀγνοοῦσιν ἑαυτοὺς αἰχμαλώτους ποιοῦντες, καὶ τοῦ πλούτου τοῦ θεοῦ καὶ τῆς δόξης ἀλλοτριούμενοι, πρὸς δὲ τὸν ἀλάστορα τοῦ ἀνθρωπίνου γένους καὶ ἐξ ἀρχῆς ἐχθρὸν καὶ πολέμιον ὑπαγόμενοι, καὶ σὺν αὐτῷ τῇ αἰωνίῳ καταδίκῃ συναριθμούμενοι· πλὴν καὶ πρὸς οὓς ἔφης τῶν μοναστηρίων ποιεῖσθαι τὴν καταλύσιν, ὅσοι τοῖς αὐτόθι πάρεισιν, ἡμέτερα ἐξεπέμφθη γράμματα, τοῦτο μὲν παράκλησιν, τοῦτο δὲ καὶ ἐπιτίμησιν ἔχοντα, ἐὰν ἄρα ἀκούσωσι τῶν γεγραμμένων· πρὸς δὲ τοὺς ἀναδραμόντας ἐνταῦθα, αὐτόν σε δεῖ παραγενέσθαι· τάχα γὰρ οὕτως ἐν ἡμετέρᾳ ὄψει παρ᾽ ὑμῶν γινομένων τῶν λόγων πρὸς τοὺς ἐπηρεάζοντας, ὄφελός τι γενήσεται· τὸ δὲ μοναστήριον, ὅπερ ᾔτησας, οὕτω θεοῦ πρόνοιαν σὺν θεῷ φάναι εἰς ἐπίδοσιν καταστάσεως ἐλθεῖν, ὥστε μήτε ἡμᾶς μεταμεληθῆναι, μήτε σὲ πρὸς μέμψιν καταστῆναι ἐπὶ φαυλοτέρᾳ τῶν τε πραγμάτων αὐτοῦ, καὶ τῶν ἐκεῖ διαγόντων μοναχῶν διοικήσει.

CXXIV. ΓΡΗΓΟΡΙΩ ΕΦΕΣΟΥ

Οὔτε φιλονείκως ἔχοντες, οὔτε ὡς ἄν τις ὑπὲρ ἰδίας αἰσχύνης ἀγωνιζόμενοι ἴσως ταῦτά σοι γράφομεν· καὶ τὸ φιλόνεικον γὰρ θεοῦ χάριτι οὐ μεμελετήκαμεν, καὶ τῆς παρὰ ἀνθρώπων αἰσχύνης οὐ πεποιήμεθα λόγον· ἀλλὰ γράφομεν ταῦτα, καὶ ὑπ' αὐτοῦ κινούμενοι τοῦ συνειδότος ἡμῶν, καὶ ὑπὸ τῶν δακρύων τοῦ χειροτονηθέντος ὑφ' ἡμῶν, ὡς ἡ τότε παρ' ὑμῶν γέγονε μαρτυρία μηδεμιᾶς προκειμένης ἀντιλογίας, καὶ ὑπὸ τοῦ νῦν πλήθους προσυπαντῶντος καὶ διισχυριζομένου, ἦ μὴν ἀληθῆ λέγειν, καὶ εἴ τι ψεῦδος ἀπελέγχοιτο, τοῦτο τιμωμένων θανάτου· ταῦτα ἐκίνησεν ἡμᾶς γράψαι πρὸς τὴν ὑμῶν ἀρχιερατικὴν τελειότητα, οἷα γράφομεν καὶ ὑπ' αὐτῆς τῆς χάριτος τοῦ παναγίου πνεύματος, παρ' οὗ κατέστης ἀρχιερεὺς, ἀσφαλῆ ὄντα ἐπὶ μᾶλλον διασφαλιζόμεθα· καὶ φαμὲν μὴ τὴν περὶ τοῦ ἀνδρὸς μαρτυρίαν, εἴτε τῶν χειρόνων, εἴτε τῶν ἀμεινόνων ἐστὶ παρέργως ἀκοῦσαι, μὴ δὲ παρὰ ἀνθρώπων τῶν ἐξ ἐπὶ πολλῆς αὐτὸν γινωσκόντων, ἀλλ' ἐξ αὐτῆς ἐκείνης τῆς ἐπαρχίας, ἐν ᾗ καὶ τὴν γένεσιν ἔσχε καὶ ἀνατέθραπται, καὶ τῶν ἀκριβῶς εἰδότων τὴν ἐκείνου πολιτείαν καὶ βιοτήν· οἶδας γὰρ οἷα τῶν θνητῶν ἐστι πραγμάτων ἡ φύσις, καὶ οὔτε μέγεθος ἀξιώματος, οὔτε σχῆμα νομιζόμενον εὐλαβείας ἱκανόν ἐστι πίστιν ἐπιθεῖναι τοῖς λόγοις, χωρὶς τῆς τῶν πραγμάτων συνομολογίας· εἰ γὰρ ἁπλῶς τὰ ὦτα τοῖς ἐπαίνοις καὶ ταῖς λοιδορίαις διανοίξομεν, λήσομεν ἑαυτοὺς, εἰ μὴ τὸ οἰκεῖον προσίσταται συνειδὸς, μὴ δὲ ἑαυτοὺς γινώσκοντες· ἀλλὰ νῦν μὲν εἰς τὴν τῶν ἀγγέλων ἀνάγοντες ἑαυτοὺς τάξιν, νῦν δὲ πρὸς τὴν μιαρῶν δαιμονίων καταβιβάζοντες· τοιαῦτά ἐστι τὰ οἰκτρὰ τῶν ἀνθρώπων οἴμοι πῶς εἴπω εἴτε ἀκουσίως ἡμῶν ὑπὸ τοῦ σαρκικοῦ φρονήματος, εἴθ' ἑκουσίως καταδουλουμένων καὶ φρονήματος καὶ σπουδάσματος· ἀλλὰ σύ γε, ὦ ἄνθρωπε τοῦ θεοῦ, εἴπερ ἄλλοτέ ποτε νῦν τῷ ἀκριβεῖ κριτηρίῳ τῆς σῆς συνέσεως τὴν περὶ τοῦ ἀνδρὸς ἀμφισβήτησιν διαιτήσας, καὶ ἡμᾶς καὶ σεαυτὸν

ἀπαλλάξαι τυχὸν μὲν ἀνθρωπίνου μώμου, τυχὸν δὲ καὶ θείκοῦ κατακρίματος προνοήθητι.

CXXV. ΑΔΗΛΩ.

Οὐκ ἀγνοοῦμεν ὅσα τὴν ὑμῶν θεοφιλῆ συνέχοντα θλίβει ψυχήν· ἀλλὰ τί δεῖ ποιεῖν, ἢ πράως φέρειν, καὶ ὅσον δυνατὸν φρονίμως τοῖς πράγμασι συναρμόζεσθαι; ὅταν γὰρ πράγματα χαλεπὰ ὄντα καὶ τὴν τοῦ καιροῦ προσλάβηται χαλεπότητα, ἀμήχανον ἐξ ἑτοίμου κατάστασιν αὐτὰ προσλαβεῖν· καὶ τοῦτο ἴδοις ἂν ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν ὁδῷ καταβαῖνον ἐν ταῖς διοικήσεσι τῶν πραγμάτων γινόμενον· ὥστε καὶ σὺ, τέκνον ἡμῶν, πειθόμενος τῇ κοινῇ καὶ κοσμικῇ τάξει, πράως καὶ μακρυθύμως καρτέρει τὰ συμπίπτοντα, μᾶλλον δὲ ὅσα ἡ προλαβοῦσα τοῦ χρόνου κακία κακῶς διέθηκε· καὶ σὺν θεῷ κατὰ βραχὺ τὸν δυνατὸν ἐπανόρθου τρόπον αὐτὰ, καὶ μὴ ἀθρόον βουλόμενος τὴν ἐπανόρθωσιν δοῦναι, ὑπὸ τῆς ἀντικειμένης τῶν τὴν πονηρίαν φιλούντων σπουδῆς τε καὶ μηχανῆς, καὶ σεαυτῷ λύπας προξενῇς, καὶ τοῖς πράγμασιν ἀντὶ ὠφελείας ἀφορμὴν παρέχῃς ἐπὶ τὰ χείρω προϊέναι· ἀλλὰ ταῦτα γράφομεν, ἐξ ὧν καὶ ἡμεῖς πεῖραν λαμβάνομεν τὴν σὴν ὑπομιμνήσκοντες σύνεσιν· δοίη δὲ θεὸς ἐπὶ τὸ ἄμεινον πάντα μετασκευασθῆναι, καὶ ὡς ἂν ᾖ σοί τε ἄλυπον, καὶ τοῖς ἐκείνου εὐάρεστον κρίμασιν.

CXXVI. ΙΓΝΑΤΙΩ ΜΑΓΙΣΤΡΩ ΓΕΓΟΝΟΤΙ, ΜΟΝΑΣΑΝΤΙ ΔΕ ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΑΓΡΩ.

Καὶ νῦν καὶ πρότερον μεγάλην εὑρηκότες παράκλησιν ἐκ τῶν γραμμάτων τῆς ὑμῶν ὁσιότητος τῶν διὰ τὰς ἁμαρτίας ἡμῶν συνεχόντων ἡμᾶς, εὐχαριστίαν τῷ δοτῆρι τῶν ἀγαθῶν θεῷ ἀνεπέμψαμεν, ὃς τὴν ἀληθῶς εἰλικρινῆ καὶ πνευματικὴν ἀγάπην διατετήρηκεν ἡμῖν, σχεδὸν πάντων ὅσοι ταύτην ἐπηγγέλλοντο πρὸς ἡμᾶς κεκτῆσθαι τας αὐτῶν ἐπιλανθανομένων ἐπαγγελίας· ἀλλ'

οπερ ἔφην, σὲ διεφύλαξεν ἡμῖν ὁ ἀγαθὸς, ἅμα μὲν τὴν τελειοτάτην ἀρετὴν τοῖς μιμεῖσθαι τὰ καλὰ βουλομένοις παράδειγμα προτιθεὶς, ἅμα δὲ καὶ ἡμῖν ἐν τοιούτῳ καιρῷ μέγα παραμύθιον χαρισαμένης τῶν περιστοιχισάντων ὀδυνηρῶν· ἃ δὲ περὶ τῆς τοῦ θεοῦ ἐκκλησίας καλῶς καὶ φρονίμως καὶ ἀξίως τῆς σῆς εὐλαβείας ὑπέμνησας, γίνωσκε ταῦτα ἡμῖν διὰ πολλῆς ἐφέσεως ἐξ ἀρχῆς καὶ σπουδῆς ὑπάρχειν· ἀλλ᾽ ὡς ἔοικεν καὶ ἐνταῦθα κατὰ πρόσωπον ἀνθισταμένων μοι τῶν ἁμαρτιῶν, διαμαρτάνω τῆς ἐπιθυμίας· τῶν μὲν γὰρ ἡμαρτηκότων εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν, ἀντὶ τῆς ἐπὶ τῷ πταίσματι κατανύξεως, καὶ τῆς τῶν κακῶν συναισθήσεως, ὅσα τὴν ἐκκλησίαν κατέλαβε διὰ τοῦ προδοῦναι τούτους τὴν τῆς ἐκκλησίας κατάστασιν, μᾶλλον δικαίως νομίζουσι προτεινόντων, καὶ οὐ μόνον οὐ ταπεινουμένων, ἀλλὰ καὶ ὀφρὺν ἐπαιρόντων· τῶν δὲ ὑπὲρ τῆς ἐκκλησιαστικῆς εὐταξίας δεινὰ πεπονθότων, καὶ ἄλλως μὲν σκληρυνομένων, μάλιστα δὲ δι᾽ ἣν ἔφην αἰτίαν εὐλόγως ἀποκλειόντων αὐτοῖς τὰ σπλάγχνα τῆς συμπαθείας, εἰς ἀπορίαν ἐσχάτην καθέστηκα, καὶ μεταξὺ ἐκείνων τὲ καὶ τούτων ὥσπερ ἐν ἀδιεξοδεύτῳ πελάγει χειμάζομαι, πρὸς μόνην ἀφορῶν τὴν θείαν πρόνοιάν τε καὶ κυβέρνησιν, καὶ τὴν ἐκεῖθεν ἀναμένων βοήθειαν, ἅ τε πάσης ἀνθρωπίνης περινοίας εἰς τὸ ἄπορον καθισταμένης· τὸ γὰρ καταλιπεῖν τοὺς οἰκείους, καὶ μετὰ τῶν τέως ἐναντίων γενέσθαι, ἀμήχανον· καὶ μετὰ τοῦ ἀμηχάνου, παντελῶς ἄτοπον· τὸ δὲ μὴ βούλεσθαι πάλιν τούτους τῷ ἡμετέρῳ πείθεσθαι λόγῳ, τῆς πρὸς ἐκείνους ἀπειργει καὶ μὴ βουλομένους ἑνότητος· τί οὖν δεῖ ποιεῖν; ἢ ἐκτενέστερον διὰ τῶν ὁσίων ὑμῶν εὐχῶν δυσωπῆσαι τὸν ἐπὶ τῷ ἰδίῳ αἵματι τὴν αὐτοῦ ἐκκλησίαν θεμελιώσαντα συμβιβάσαι πάντας τῇ ἀνεξιχνιάστῳ αὐτοῦ καὶ ὑπερσόφῳ συνέσει, καὶ ὡς αὐτὸς ἐπίσταται τοῦ τοσούτου κακοῦ τὴν λύσιν παρασχεῖν, ὡς τά γε ἀνθρώπινα πάντα ὁρῶ ἡττώμενα τῆς αὐτῶν φιλονεικίας καὶ προαιρέσεως.

CXXVII. ΛΕΟΝΤΙ ΣΠΑΘΑΡΙΩ ΚΑΙ ΚΡΙΤΗ ΠΑΦΛΑΓΟΝΙΑΣ.

Οὐδὲν οὕτω δῶρον ἡδὺ τοῖς ἡνωμένοις τῇ κατὰ θεὸν ἀγάπῃ, ὁποῖον τὸ τοὺς ἀγαπῶντας ἀναμαθεῖν τῶν ἀγαπωμένων τὴν εὐετηρίαν· τούτῳ δὴ τῷ καλλίστῳ δώρῳ καὶ ἡδυτάτῳ, καὶ ἡδύνθημεν καὶ ἡδυνόμεθα, καὶ δεόμεθα τοῦ θεοῦ μὴ δέ ποτε τὴν τοιαύτην ἡδονὴν ἐπιλείψειν ἡμᾶς· ἡδέα δὲ ἡμῖν καὶ ἃ πλεονεκτῶν τὰ προβάτια δῶρα ἀπέστειλας, καὶ ταῦτα κριτὴς ὢν καὶ τὴν πλεονεξίαν ὀφείλων διώκειν· ἢ οὐ δοκεῖ σοι πλεονεκτεῖν τὸ τοὺς ἄρνας τροφῆς ἀποστερεῖν, ἵνα μὴ μόνον σὺ τρυφᾷς, ἀλλὰ καὶ τοῖς φίλοις παρέχῃς συντρυφᾷν; πλὴν ἀλλὰ σοῦ γε ἕνεκεν ἡδέως ἐδεξάμεθα· σὺ δὲ ὅρα ὅπως καὶ τὴν ἐκείνων πλεονεξίαν παραμυθήσῃ, καὶ τοὺς φίλους τοῖς τοιούτοις δώροις μὴ διαλείπῃς φιλοτιμούμενος.

CXXVIII. ΒΑΣΙΛΕΙΩ ΧΑΛΔΙΑΣ.

Καὶ τῆς πρὸς ἡμᾶς συμπαθείας, ἣν ὥστε μὴ δὲ θλίβουσαν ἀπαγγελίαν εἰς ἀκοὰς ἡμῶν ἐλθεῖν ἔθου διὰ προνοίας, ἐν μεγάλῳ μέρει ἀποδοχῆς πεποιήμεθα, καὶ τὰς ὑμετέρας δὲ ἀλγηδόνας, ἃς οὗτος ὁ πικρὸς καιρὸς καὶ πλήρης ὅλως τῶν θλίψεων ἡμῖν ἐπεγείρει, ἐν ὀδύνῃ καρδίας μεμαθηκότες ὑπέστημεν· καὶ πολλῇ συσχεθέντες ἀμηχανίᾳ, ὡς ἐν ἀπόροις, πρῶτον μὲν τῷ κηδεμόνι καὶ σωτῆρι τὴν κοινὴν ἀνηνέγκαμεν συνοχὴν, καὶ αὐτὸν ἐξῃτησάμεθα, ἢ δοῦναι τῶν συνεχόντων τὴν λύσιν, ἢ εἰ μὴ τοῦτο βούλοιτο, οἷς ἐπίσταται δικαιώμασι, παρασχεῖν ὑπομονὴν φέρειν εὐχαρίστως· ὥστε μὴ μετὰ τοῦ πάσχειν οἷα πάσχομεν, καὶ τῶν τῆς ὑπομονῆς ἐκπεσεῖν ἀντιδόσεων· ἀλλὰ ταῦτα μὲν πρὸς τὸν φιλάνθρωπον δεσπότην· ἔπειτα δὲ καὶ ὅσον ἡμῖν δυνατὸν ἐκ τῆς ἐν κόσμῳ βοηθείας ἄνεσιν ἐπινοήσασθαι ὑμῖν, οὐδὲ αὕτη ἐν ὀλιγωρίᾳ ἀπέῤῥιπται, ἀλλ' ᾐτησάμεθα τῷ στρατηγῷ γραφῆναι τοὺς ἐπιτιθεμένους ταῖς τοῦ θεοῦ ἐκκλησίαις ἀναστέλλειν τῆς ἐπιθέ-

σεως· αἱ δὲ τῶν, ὡς ἔφης, αἱρετικῶν γλωσσαλγίαι ἄνθρωπόν σε ὄντα θεοῦ καὶ ἀπ᾽ ἀρχῆς ἐσπουδακότα τοῖς ἐκείνου ἄγεσθαι νόμοις, μηδὲν ἀλγυνέτωσαν· διὰ τί; ὅτι γλωσσαλγεῖν ἐκείνους οὐδὲν ἡμᾶς ζημιοῖ, ἀλλὰ τουναντίον μᾶλλον, εἰ βουλοίμεθα, καὶ μεγάλης ὠφελείας ἐν ἀπολαύσει γινόμεθα· ὅταν γὰρ ὁ μὲν λοιδορῇ, ἡμεῖς δὲ εὐλογῶμεν, ὅταν ὁ μὲν ὑβρίζῃ, ἡμεῖς δὲ ὑπερευχώμεθα, πράως καὶ φιλοσόφως ἀνεχόμενοι τῶν κακογλώσσων τῆς ὕβρεως, οὐ δεόμεθα μαθεῖν ὅσον ἡμῖν ἐκ τούτου περιγίνεται κερδαίνειν· πῶς οὖν ἄξιον δυσχεραίνειν ἡμᾶς ὑπὲρ ὧν κερδαίνομεν;

Μὴ οὖν ἀθύμει διὰ ταῦτα, τέκνον ἱερὸν, μὴ δὲ λύπαις συνέχου· ἀλλ᾽ ἐκείνους μὲν ἔα ἐπὶ τῇ ἑαυτῶν ἀσχημοσύνῃ ἐγκαλλωπίζεσθαι, σὺ δὲ πρὸς τὴν κοινωνίαν τῆς τιμῆς ἀποβλέπων τοῦ λοιδορηθέντος, τοῦ ἐμπτυσθέντος, τοῦ ῥαπισθέντος Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἵνα σιγήσῃ τὸν ἐπονείδιστον θάνατον, χάριν ἔχε καὶ εὐχαρίστει, ὅτι σοι ἑτοιμάζεται διὰ τῆς μικρᾶς τῶν λόγων φλυαρίας ἡ μεγάλη τῆς τοῦ θεοῦ δόξης ἀπόλαυσις· οἱ δὲ τυφθέντες ἐπίσκοποι καὶ ἱερεῖς, ὅσον μὲν δυνατὸν καὶ συνέρχεται ὁ καιρὸς, πάντως ἐπιτεύξονται καὶ τῆς ἐξ ἀνθρώπων βοηθείας, ὑπόμνησιν ἡμῶν ποιουμένων οἷς δέδοται τὸ βοηθεῖν· τὰ δὲ ἄλλα τῆς σῆς ἐστιν ἱερᾶς συνέσεως μὴ μόνον σεαυτὸν, ἀλλὰ κἀκείνους παρακαλεῖν καὶ μακροθύμως ἐπιφέρειν, ἐπείπερ διὰ τὰς ἁμαρτίας ἡμῶν εἰς τοῦτο παραδεδόμεθα· οὐ μόνον δὲ ἀλλὰ καὶ τὴν τῶν ἀρχόντων χαλεπότητα διὰ τῆς ἐπιεικείας καὶ τῆς τῶν τρόπων ἀγαθότητος, θεοῦ πρὸς τοῦτο συναίροντος, ἐξομαλίζειν πειρᾶσθαι, καὶ μὴ διὰ τοῦ τραχύνεσθαι ἡμᾶς τραχυτέραν τὴν ἐκείνων παρασκευάζειν προαίρεσιν· ἐπὶ πᾶσι δὲ τὰ πάθη τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν ἀεὶ φέροντες ἐπὶ μνήμης, αὐτοί τε τῆς βαρύτητος ἀνακουφιζόμεθα τῶν δεινῶν, καὶ τοὺς ταῖς ὁμοίαις συμφοραῖς ἐξεταζομένους ἀδελφοὺς ἡμῶν σὺν θεῷ ἀναφέρομεν· καὶ μὴ τῇ ἀθυμίᾳ καταβαπτιζώμεθα, ἐκεῖνο γινώσκοντες ὅτι καθώσπερ τοῖς φιλοκόσμοις τὸ διαχεῖσθαι καὶ τρυφᾷν οἰκεῖον, οὕτω καὶ τοῖς φιλοθέοις τὸ θλίψεσι καὶ τῇ τῶν ταλαιπωριῶν συνοχῇ τὸν βίον διεξανύειν· τίς δέ μοι δοίη καὶ ὑπὲρ τῶν ἐμὲ νυκτὸς

καὶ ἡμέρας διατηκόντων χαλεπῶν τοῦτο εἰπεῖν, ἀλλὰ μὴ τῆς μελλούσης βασάνου προοίμιον ὑπάρχειν τὰ νῦν βασανίζοντα;

CXXIX. ΛΕΟΝΤΙ ΣΥΛΛΙΟΥ.

Ἃ μὲν πρότερον ἐγράφη τῇ ἀρετῇ σου, ἐγράφη μαθόντων ἡμῶν ὁποῖά σοι τὸ γράμμα ἀπήγγειλε· νυνὶ δὲ τὸ σὸν ἐπελθόντες γράμμα καὶ δι' αὐτοῦ γνόντες τὰ περὶ τοῦ ταλαιπώρου ἐκείνου, κατεστενάξαμεν μὲν καὶ τῆς ἀνθρωπίνης περιπτώσεως, κατεστενάξαμεν δὲ καὶ τῆς ἐκείνου ψυχοφθόρου βλάβης, εἴ γε οὕτως ἀθλίως διέθηκεν ἑαυτόν· σὲ δὲ παραινοῦμεν μὴ ἀσχάλλειν· ἐπειδάν τινων καταψευδομένων τῆς σῆς ἀρετῆς, ἀνάγκην ἔχομεν δι' ἐκείνους λυπηρότερα γράφειν, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι διὰ τοῦ ἐλέγχου τῆς ψευδολογίας ἀφορμή σοι ἐπιτρέψαι ὥστε πάλιν ἀκριβέστερον μετά τινων ἑτέρων προσώπων ἐξερευνῆσαι τὸ ὀλέθριον ἐκεῖνο πταῖσμα· ἀλλ' ἐπειδὴ συνείδομεν, ὡς δόξει πάλιν ἀντιλαμβάνεσθαι συστάσεώς τινος, τῷ λέγειν ἀπεχθῶς πρὸς αὐτὸν ἔχειν σε, καὶ διὰ τοῦτο παραιτεῖσθαι, ἅπερ ἂν αὐτὸς διαιτήσῃς, τούτου χάριν ἑτέροις προσώποις τὴν τοιαύτην ἐπίσκεψιν παρεπέμψαμεν, ἵνα μηδ' ὅλως αὐτῷ ὑπολίποιτο πρόφασις ἀντιλογίας καὶ δικαιώσεως· σὺ δὲ, τέκνον ἡμῶν, ἄν τε γράφωμεν, ἄν τε μὴ γράφωμεν, εἰδὼς ὅτι ἐν τῇ μυστικῇ παστάδι φωστὴρ ἐναπετέχθης ἐπέχων λόγον ζωῆς, οὕτω καὶ φρόνει καὶ πράττε, ὅπως τῶν ἔργων σου τῷ φωτὶ ὅσοις περιγίνηται βλέπειν, δοξάζωσι τὸν ἐν οὐρανοῖς πατέρα ἡμῶν, καὶ σὲ διὰ τῶν ὀφειλομένων δικαίων φέρωσιν ἐπαίνων, εὐχαριστοῦντες ἐφ' οἷς τοιούτου ἀπολαύουσιν ἀρχιερέως.

CXXX. ΙΓΝΑΤΙῼ ΚΥΖΙΚΟΥ.

Εἰ καὶ ὀψὲ καὶ μόλις, ὅμως τὰ σὰ δεξάμενοι γράμματα, δι αὐτῶν τὰ περὶ σοῦ μαθόντες, ἄνεσίν τινα τῶν συνεχόντων περὶ σοῦ φροντίδων ἐσχήκαμεν· χρόνου γὰρ τοσούτου παρῳχηκότος,

καὶ μηδὲ μιᾶς μὴ διὰ λόγου, μὴ διὰ γράμματος, μὴ διὰ ψιλῆς φήμης ἀγγελίας τινὸς καταλαμβανούσης ἐν πολλῇ συνοχῇ ἐπὶ πᾶσιν οἷς συνεχόμεθα διὰ τὰς ἁμαρτίας ἡμῶν διετελοῦμεν· μάλιστα ὑπόσχεσιν ἡμῖν παρασχομένης τῆς σῆς ὁσιότητος, ὡς μετὰ τὴν τοῦ παναγίου καὶ ζωοποιοῦ σταυροῦ ὕψωσιν αὐτίκα τὰ ἐνταῦθα καταλείψειν· πλὴν τῷ ἁγίῳ Θεῷ χάρις τῷ τέως ἐν τῷ παρόντι δεδωκότι τὰ περὶ τῆς ὑμῶν ἀρχιερωσύνης ἀναμαθεῖν· τί με δεῖ πλέον γράφειν; ἐκεῖνο μόνον ἐπισημαινόμεθα, ταχέως ἧκε, τὰς ἀναβολὰς καὶ ὑπερθέσεις καταλιπών· οὐ γάρ ἐστι τοιαῦτα τὰ πράγματα οἷα τῆς ἔξω ὑμῶν διατριβῆς ἐθέλειν ἀνέχεσθαι, ἀλλ' ἀγαπητὸν εἰ καὶ παρόντων ὑμῶν ὁμαλότητός τινος ἐπιτεύξεται.

CXXXI. ΤΡΥΦΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Μεγάλην παράκλησιν ἐπὶ τῷ γράμματι τῆς ὑμῶν ὁσιότητος εὑρηκότες, χάριν ἀνηνέγκαμεν τῷ Θεῷ τῷ κηδεμόνι τῆς πολυωδύνου ζωῆς ἡμῶν, ὃς ἐκίνησεν ὑμᾶς ἐπὶ τὸ γράψαι καὶ παρακαλέσαι τὴν ἡμετέραν ταπείνωσιν· ἀλλ' ὥσπερ τοῖς λόγοις, οὕτω καὶ τῇ σῇ παρουσίᾳ μὴ βραδύνῃς καὶ συγγενέσθαι ἡμῖν καὶ κοινωνήσειν, τοῦτο μὲν τῶν συνεχόντων, τοῦτο δὲ καὶ λόγον ὁμιλίας τοῦ Θεοῦ διδόντος οἰκείᾳ γλώσσῃ τὴν παράκλησιν προσφέρων ἡμῖν· περὶ δὲ ὧν ἠξίου, ὅσον ἡ τῶν πραγμάτων συνεχώρει διοίκησις, ἐσόμεθα γὰρ κἂν βουλώμεθα κἂν μὴ βουλώμεθα τῇ τῶν πραγμάτων ἀνάγκῃ, τοσοῦτον καὶ διῳκησάμεθα· τὰ δ' ἄλλα ἐῤῥῶσθαί σε ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μεμνῆσθαι μετριότητος.

CXXXII. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ ΚΑΙ ΦΩΤΙῼ ΗΡΑΚΛΕΙΑΣ ΟΥΣΙΝ ΕΝ ΥΠΕΡΟΡΙᾼ.

Οὔτε ὑμᾶς, τέκνα ἐμὰ, τὸ πικρὸν ἄλγημα τῆς ἐμῆς ταπεινῆς διαλανθάνει καρδίας, οὔτε τῶν ὑμετέρων σπαραγμάτων καὶ ὀδυνῶν ἐν ἀγνοίᾳ ἡμεῖς καθεστήκαμεν· ἡ γὰρ τοῦ παναγίου πνεύ-

ματος ἑνότης ἡ πρὸς ἓν φρόνημα καὶ μιᾶς κίνημα καρδίας ἡμᾶς διαθεμένη, αὐτὴ ὥσπερ εἰς τὸ συμπάσχειν συνῆψεν, οὕτω καὶ τὸ ἀκριβῶς εἰδέναι τὰ ἀλλήλων πάθη παρασκευάζει· τί οὖν; ἡ κοινῇ τὴν εὐχαριστίαν φέρειν δεῖ τῷ Θεῷ, ἐφ᾽ οἷς διωκόμεθα μὲν, οὐ καταβαλλόμεθα δὲ Θεοῦ χάριτι, καὶ οἷς ὅσον ἐπὶ τοῖς ἐπηρεασταῖς ἀποθνήσκομεν, ζῶμεν δὲ ὑπὸ τοῦ ζωοποιοῦντος Θεοῦ συντηρούμενοι· ἀληθῶς ἔστι καὶ νῦν ἰδεῖν θείων καὶ παραδόξων γένεσιν πραγμάτων, καὶ στομάτων θηρίων Θεοῦ ῥυομένου θεράποντας, καὶ καμίνου πυρὸς ἀβλαβεῖς τηρουμένου τοὺς τὴν ἑαυτῶν σωτηρίαν τῇ ὑψίστῳ ἀναθεμένους προνοίᾳ· ταῦτά μοι ἐπιόντα εἰς νοῦν, μεγάλη παράκλησις, καὶ τῆς ἀθυμίας ἀνάκτησις γίνεται· ταῦτα καὶ ὑμεῖς, τέκνα ἐμὰ, καθ᾽ ἑαυτοὺς λογιζόμενοι, εἰ καὶ βαρεῖς οἱ ἐπικείμενοι πειρασμοὶ μετὰ τῆς ἀμείνονος ἐλπίδος ὑψηλότερον τὸ φρόνημα καὶ πρέπον τῇ ὑμῶν ἀρχιερατικῇ τελειότητι, πάσης στενοχωρίας φέροντες διατελεῖτε· πλείστας ἔχομεν πληροφορίας τῆς θεϊκῆς ἀντιλήψεως· καὶ πέποιθα ὡς παρόψεται μὲν τὰς ἐμὰς ἁμαρτίας, διαρκέσει δὲ μέχρι τέλους ὁ ἀγαθὸς ἀντιλαμβανόμενος, καὶ οὐ διατεμεῖ τὴν βοήθειαν· εἰ δ᾽ ἄρα δυσχεράνας ταῖς ἐμαῖς ἁμαρτίαις μικρὸν ὑπενδώσει, τυχὸν ἐμοὶ τὸ ἐκποδὼν οἰκονομήσει γενέσθαι, ὑμῶν δὲ πάντως ἀντιλήψεται συνήθως, καὶ δείξει τοὺς ἐπὶ κακουργίᾳ ὠφρυωμένους πολλῷ πλέον ἢ ὅσον ἐπὶ ταύτῃ ἔδοξαν ἡσθῆναι, καὶ λυπουμένους καὶ σκυθρωπάζοντας· ἀσπάζομαι ὑμᾶς ἐν κυρίῳ, καὶ ὡς παρὼν ἤδη τῷ πνεύματι περιφύομαι, καὶ τῆς ἡμῶν δυσωπῶ ὑπερεύχεσθαι ταπεινότητος.

CXXXIII. ΠΕΤΡΩ ΑΡΧΙΕΠΙΣΚΟΠΩ ΑΛΑΝΙΑΣ.

Τὰ μὲν ἄλλα τοῦ γράμματος, δι᾽ ὧν τοὺς σοὺς ἀνεμανθάνομεν πόνους καὶ τὴν τῶν πραγμάτων περίστασιν, λύπην μὲν τοῖς ὠσὶν ἡμῶν ἐνεποίει προσπίπτοντα, πλὴν οὐχ οὕτω δριμεῖαν οὐδὲ παρακλήσεως ἀποροῦσαν, διότι πάσης καὶ δυσχερείας καὶ θλίψεως ἐλπὶς προλαβοῦσα, καὶ οἷον ἐγγυμνάσασα τὴν ψυχὴν τῇ

ἑαυτῆς ὁμιλίᾳ προαφαιρεῖται τὸ πολὺ τῆς βαρύτητος, ἐπειδὰν καταλάβῃ τὰ δυσχερῆ· καὶ ἡμεῖς οὖν προειδότες τὴν τῶν πραγμάτων κατάστασιν, ἐφ' ἣν ὑπὸ τοῦ παναγίου πνεύματος προεχειρίσθης, ὡς οὐκ εὔλογος οὐδὲ πόνων ἀπηλλαγμένη, νῦν τοῦ σοῦ γράμματος ἀναγγέλλοντος τὰ ὑμῖν συναντῶντα, ἐξ ὧν οὐδὲ πρὶν ἠγνοοῦμεν, εἰ καὶ ἀνιώμεθα, πλὴν τὸ πάθος φορητὸν μάλιστα καὶ πρὸς τὰς ἀντιδόσεις, τῷ λογισμῷ ὑπερκύπτοντες καὶ τὴν ἐκεῖθεν ἀπόλαυσιν, οὐδ' ὅσον εἰπεῖν τοὺς παρόντας ἀποκρυπτούσας πόνους· ἐκεῖνο δὲ ἀφόρητον ἐδόκει, καὶ τὴν πληγὴν καιρίαν ἔδωκε τὸ τοιαῦτα ὑπολαμβάνειν, καὶ μὴ μόνον ὑπολαβεῖν, ἀλλὰ καὶ φανερὰν τὴν ὑπόληψιν καταστῆσαι, δι' ὧν ἔγραψας, ὡς ἐκβέβλησαι τῆς ἡμῶν καρδίας, καὶ ἡ σὴ ἀπόλωλε μνήμη· τοῦτο οὐδὲ τῶν ἐχθρῶν λεγόντων ἀκοῦσαι ἠλπίσαμεν, μὴ ὅτι γε τῶν τέκνων, ἢ τῶν ἄλλως φιλούντων· πῶς γὰρ εἰ μὴ πρότερον θεοῦ μνήμης ἔρημοι, καὶ τῆς τοῦ λαοῦ σωτηρίας, οὗ σὺ ὁδηγὸς ἀπεστάλης καὶ σωτὴρ, μετά γε τὸν πρῶτον ἡμῶν σωτῆρα καὶ θεὸν, τοῦτο παθεῖν εἰκὸς τὸν ὑπονοοῦντα, ὅς τις δ' ἂν ᾖ ὁ ὑπολαμβάνων; πῶς ἡμᾶς οὐκ εἰς ἐσχάτην ἀπάγει κατηγορίαν, καὶ ἧς οὐκ ἄν τις εὕροι βαρυτέραν; τί γὰρ βαρύτερον τοῦ ἀμνημονεῖν θεοῦ καὶ τῆς ἀνθρώπων ἐπιστροφῆς πρὸς αὐτὸν, καὶ τῆς ἐκ τοῦ διαβόλου τυραννικῆς χειρὸς ἀνακλήσεως;

Ὁρᾷς, τέκνον, οἵα κεκακωμένους ἡμᾶς ἐπὶ πᾶσι τοῖς διὰ τὰς ἁμαρτίας ἡμῶν συνέχουσι τὸ σὸν διέθηκε γράμμα; καί τοι πρὸς τὴν πορείαν στελλόμενος, ἐν οἷς κατέλιπες ἡμᾶς οὐκ ἔστι διανοηθῆναι ὡς ἐπιλέλησαι· εἶτα καταλιπὼν ὅσα γε τὰ ἀνθρώπινα παροικοῦντας ἐν τῷ ᾅδῃ, μᾶλλον δὲ καὶ τῶν ἐκεῖ παροικούντων χαλεπώτερον διακειμένους· οὐ γὰρ ἔτι κατ' αὐτῶν ὁ φθόνος, οὐ πόλεμος, οὐκ ἐπιβουλή τις συνίσταται, ἡμᾶς δὲ μέχρι τοῦ νῦν ἀδιαλείπτως ταῦτα περιστοιχίζει· οὕτως οὖν ἔχοντας αἰτιᾷ ὡς τῆς ψυχῆς ἀπαλείψαντας· καὶ πῶς οὐκ ἄν τις σὲ μᾶλλον αἰτιάσεται δικαιότερον καὶ τοιαῦτα ἐγκαλέσει, ἢ τὸ οὖς ὑποσχεῖν ἀξιώσειεν ἐγκαλοῦντι; ἀλλὰ ταῦτα μὲν οὐδὲ τὴν ἀρχὴν ὑπολαμβάνειν ἐχρῆν, ἢ καταστάντα εἰς ὑπόληψιν ἐπιστῆσαι ὀρθῷ δια-

νοίας κριτηρίῳ καὶ ὡς ψευδομένην ἀπελάσαι τῶν λογισμῶν, ἀλλὰ μὴ μέχρις ἡμῶν διὰ τῶν γραμμάτων δοῦναι καταλαβεῖν, καὶ ἀνθ' ἧς ἐμέλλομεν ἀπολαύειν ἡδονῆς ἐντυγχάνοντας αὐτοῖς οὐ μόνον ἀποστερεῖσθαι, ἀλλὰ καὶ ἀντ' ἐκείνης ἀνιαθῆναι· ὅπερ γὰρ εἶπον ἐν τῷ σῷ προσώπῳ συνεισερχομένης καὶ ἄλλης βαρυτέρας κατηγορίας, ἀμήχανον μὴ οὐχὶ λίαν ἡμᾶς ἀνιᾶσθαι· ἀλλὰ τοῦτο μηκέτι μήθ' ὑπολάμβανε, μήτε γράφε· τὴν γὰρ περὶ σοῦ μνήμην εἴπερ τινος οὐκ ἔστιν ὅπως τῆς ψυχῆς ἐξωθήσομεν, καὶ εἰ μὴ δι' ἕτερον, διά γε τὴν τοῦ νεοκλήτου πρὸς τὴν εὐσέβειαν ἔθνους, καὶ τὴν περὶ τούτου συνέχουσαν μέριμναν, καὶ τὴν εἰς τελείωσιν ἐξιέναι τὸ σὸν ἔργον ἐπιθυμίαν ἰδεῖν τῆς θεϊκῆς συνεπιλαμβανομένης εὐδοκίας καὶ συμπράξεως· εἰ δ' ὅτι μὴ γράμματα ἥκει πρὸς σὲ παρ' ἡμῶν, τοιοῦτος λογισμὸς ἐπεισέρχεται, πρῶτον ἐκεῖνο σε διανοεῖσθαι δέον, ὅτι τῶν κομιζόντων οὐκ εὐποροῦμεν· ἐν τοιαύτῃ γὰρ ἐσμεν καταστάσει, ὥστε τοὺς πλείστους καὶ δεδιέναι ἡμῖν συναντᾷν· ἔπειτα προσενθυμοῦ, καὶ ὅτι οὐδ' ἡμῖν ἀδεὲς τὸ γράφειν, μήποτε διὰ τὰς ἁμαρτίας ἡμῶν οἱ συσκευάζειν ἀγωνιζόμενοι προσλήψωνται, ὡς οὐκ ἂν ἡμεῖς οἰηθῶμεν κἀντεῦθεν εἰς τὸ τι κατεργάσασθαι ῥοπήν.

Ἀρκεῖ ταῦτα· τοῦτο δὲ μόνον προστίθημι· τὸν καλὸν ἀγῶνα καὶ θείαν ὑπηρεσίαν εἰς ἣν καὶ ἐκλήθης ὑπὸ τῆς χάριτος ταύτην δυναμούμενος ὑπὸ θεοῦ, τέκνον μου ἱερὸν, ἀγωνίζου πληροφορῆσαι, καὶ περὶ ἡμῶν ἄν τε ἥκει γράμματα ἄν τε καὶ μὴ, μηδὲν ὑποπτεύσῃς· ἀλλ' ἔσο τοῦ φρονεῖν οὕτως ἀμετάπτωτος, ὅτι πλέον τῶν ὁρωμένων ἐν ὀφθαλμοῖς ἡμῶν καὶ μεριμνῶμεν περὶ σοῦ καὶ εὐχόμεθα μὴ ἐπιλείπειν σε τὴν ἀγαθοδότιν εὐμένειαν, μὴ δὲ τὴν σὴν βιοτὴν καὶ τὰ πράγματα· περὶ δὲ τοῦ ἀθέσμου γάμου, εἰ μὲν οἷόν τε, παραινέσει καὶ διδασκαλίᾳ λύσαι τὴν συζυγίαν, πᾶσα θεῷ χάρις· εἰ δ' ἀντιβαίνοι τοῦ πράγματος ἡ δύναμις, τέως μηκέτι προκόπτειν τὸ κακὸν, μὴ δ' ἀπὸ τοῦ νῦν ἐπιτρέψειν τοιούτοις γάμοις καταμολύνεσθαι τὸ γένος· τοῦτο δὲ πράξεις συνήθως τῷ τε ἡγεμόνι τοῦ ἔθνους ὑποτιθέμενος καὶ τῷ ἀνδρὶ, ᾧ συγχωρεῖται τὸ συνοικεῖν διὰ τὴν ἤδη φθάσασαν σύναψιν· ἔρρωσο ἐν κυρίῳ τῆς ἡμῶν μεμνημένος μετριότητος.

CXXXIV. ΤΩ ΑΥΤΩ.

Ἡ σωματικὴ διάστασις τῶν ἡνωμένων κατὰ τὸ πνεῦμα οὐδὲν ὑποτέμνεται τὴν ἐγγύτητα· ἐπεὶ οὖν οὕτως ἔχει, τέκνον ἡμῶν, μηδὲν ἀνιῶ, διότι μὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸν πατέρα ὁρᾷς· ἀλλ' εἰδὼς μηδενὶ μέσῳ διατειχιζομένην τὴν ἕνωσιν τῶν ἡνωμένων τῷ κατὰ Χριστὸν φρονήματι, τὸ μὲν ἀθυμεῖν, τῆς δὲ σῆς εὐθυμότερον μετὰ τῆς παναγίου πνεύματος συνεργίας ἀντέχου διακονίας, δι' ἧς καὶ σεαυτῷ καὶ ἡμῖν τοῖς ταπεινοῖς μεγάλην ἐμποιήσεις τὴν ἡδονήν· καὶ οὐ μόνον τῶν συμπαρόντων ἔλαττον ἔχων ἀναφανήσῃ, ἀλλὰ καὶ πολλῷ πλέον ψυχαγωγῶν ἡμᾶς καὶ χαριζόμενος, καὶ μᾶλλον ἡμῖν ἢ οἱ συνομιλοῦντες ἑνούμενος.

CXXXV. ΤΩ ΑΥΤΩ.

Ἐπὶ τοῖς περιϊσταμένοις σε λυπηροῖς καὶ τῇ συνοχῇ τῶν ἀνιαρῶν, τέκνον ἡμῶν ἱερὸν, οὐχὶ γράμμασιν ἔδει παρακαλεῖν, ἀλλ' ἢ πῶς οἷόν τε ἦν ἡμᾶς αὐτοὺς παρεῖναι, καὶ τὴν ἐξ οἰκείας γλώσσης ὅσον παρεῖχε Χριστὸς ὁ Θεὸς ἡμῶν προσάγειν παράκλησιν· ἀλλ' ἐπεὶ τοῦτο ἀμήχανον, ἐπὶ τὸ δεύτερον ἥκομεν, καὶ τῷ γράμματί σοι προσομιλοῦμεν· πολλαὶ γράφεις αἱ θλίψεις, καὶ τῶν κακῶν ἡ συνοχὴ, καὶ ἐπεὶ ἄπειροι ξενιτείας ἡμεῖς, λανθάνει τὴν ἡμετέραν εἴδησιν· τοῦτο γὰρ ἔφης, εἰ καὶ τὸ γράμμα τρανῶς ὑπεστείλατο· ἡμεῖς δὲ, τέκνον ἡμῶν, εἰ καὶ κρίμασιν, οἷς οἶδεν ὁ πάνσοφος τῆς ζωῆς ἡμῶν οἰκονόμος, τὰ τῶν ξενιτευόντων ἰδίᾳ οὐκ ἐδιδάχθημεν ξενιτείᾳ, ὅμως οὐκ ἐσμὲν ἐν γωνίᾳ καθεύδοντες, ἀλλὰ ταχθέντες οἷς ἐτάχθημεν, εἰ καὶ πάντων ἦμεν τυχὸν ἀφυέστατοι πρὸς τὸ μαθεῖν τὰ τῶν ξενιτευόντων· ἀλλ' ἡ τάξις ἣν ἐλάχομεν παρέσχε τὴν γνῶσιν τῆς ξενιτείας μυρίων καθ' ἑκάστην προσομιλούντων, ὅσους ἡ ἐκ ταύτης συνέχει ταλαιπωρία· τούτου πρότερον ἐμνήσθημεν ἵνα τοὺς λόγους ἀποῤῥίψῃς, ὡς ἀγνοοῦμεν τὰς περιστοιχιζούσας σε θλίψεις.

Δεύτερον δὲ τοῦτο σοι γράφομεν, ὅτι περ οὐδὲ τὴν ἀρχὴν ἠγνόουν, ὡς οὐκ εἰς ἄνεσιν, οὐδ᾽ εἰς τρυφὴν καὶ κοσμικήν τινα δόξαν τε καὶ τιμὴν ἡ σὴ στέλλεται σύνεσις, ἀλλ᾽ εἰς πόνους καὶ καμάτους καὶ στενοχωρίας· καὶ ταῦτά σοι πρὸ τῆς ἐπιθέσεως τῆς ταπεινῆς ἡμῶν χειρὸς οὔμενουν οὐκ ἐπιλέλησαι, ὡς προέφημεν, οὐδ᾽ ὅτι σοῦ πᾶσαν σὺν τῇ ἄνωθεν εὐμενείᾳ σαρκικὴν ἐναντίωσιν καὶ πάντα κίνδυνον παρ᾽ οὐδὲν τιθέσθαι ἀνομολογοῦντος, οὕτω τὴν ἁμαρτωλὸν ἐπιτεθείκαμεν χεῖρα, καὶ φωστῆρα λόγον ἐπέχοντα ζωῆς ἐν τῇ μυστικῇ παστάδι τῇ τοῦ παναγίου πνεύματος προβεβλήμεθα συνεργίᾳ· καὶ ταῦτα φαμὲν οὐ καταγινώσκοντες οὐδ᾽ ὡς μὴ συναλγοῦντες ἐφ᾽ οἷς ἀλγεῖς, ἀλλ᾽ εἰδότες ὅτι καὶ τὴν ἀρχὴν πρόθυμος ἐγένου εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας καὶ τοῦ εὐαγγελίου κινδύνους· καὶ νῦν οὐδὲν ἔλαττον σώζεις τὸ πρόθυμον, εἰ καὶ τῆς σαρκὸς ἐλέγχεται ἡ ἀσθένεια· καὶ θαυμαστὸν οὐδέν· αὐτὸς γὰρ ὁ κύριος ἡμῶν ἡ τοῦ θεοῦ καὶ πατρὸς δύναμις, εἰδὼς ἣν ἔπλασε φύσιν, ἔλεγε τοῖς μαθηταῖς· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὐκ εἴρηται οὖν τὰ προειρημένα μὴ γένοιτο εἰς κατάγνωσιν, ἀλλ᾽ ἵν᾽ ἔχῃς εἰδέναι ὡς οὔτε τοῦ ἡμετέρου σκοποῦ, οὔτε τῆς σῆς ἐπιλελήσμεθα προαιρέσεως· πονοῦσι, τέκνον ἡμῶν, καὶ πήγνυνται πολλάκις τῷ κρυμῷ οἱ τὰ σπέρματα τῇ γῇ καταβάλλοντες, ἀλλὰ καὶ τὸν πόνον καὶ τὴν ἐκ τοῦ κρυμοῦ πῆξιν ἡ προσδοκία τῆς συγκομιδῆς ὑπανίησι τῶν καρπῶν· παραβάλλονται πρὸς θανάτους καὶ τότε χαλεπωτάτους οἱ διαπλέοντες τὰ πελάγη, ἀλλὰ τῇ ἐλπίδι τοῦ κέρδους ὀπίσω ῥίπτουσι μνήμης τοὺς ἐκ τῆς θαλάσσης κινδύνους.

Οὐκ ἦν εἰκὸς ταῦτα γράφειν ἡμᾶς, θείᾳ γὰρ χάριτι διδάσκειν κατασταθεὶς ἑτέρους, καὶ μάλιστα παιδόθεν τοιούτοις διδάγμασιν ἐντεθραμμένος, οὐκ ἐν χρείᾳ τούτων καθέστηκας ἑτέρωθεν ἐπακούειν· ἀλλ᾽ ἵνα μὴ δόξωμεν ὥσπερ ἀκίνητοι πρὸς τὰ γραφέντα, καὶ ταῦτα γέγραπται, καὶ ὀλίγα ἔτι προστεθήσεται· ἀπόβλεψον πρὸς τοὺς μακαρίους τοῦ εὐαγγελίου κήρυκας· ὧν σὺ κατηξιώθης τῷ καταλόγῳ συναριθμηθῆναι, καὶ τὰ ἐκείνων πάθη καὶ τοὺς καθ᾽ ἡμέραν θανάτους καὶ τὴν χαρὰν ἣν ἐπὶ τούτοις

ἔχαιρον, καὶ κατάλιπε τὸ θρηνεῖν καὶ τὸ ἀθυμεῖν διότι μὴ τὰ ἀνθρώπινα πράγματα κατὰ ῥοῦν ἡμῖν φέρεται· ἐνθυμήθητι μᾶλλον δὲ ἀεὶ τοῦτο φέρον ἐνθύμιον ὡς χάρις ἐστὶ καὶ φιλοτιμία ἄνωθεν τὸ πάσχειν ὑπὲρ Χριστοῦ· σεμνύνου μετὰ τοῦ εἰπόντος θείου ἀποστόλου, καὶ τοῦτο ἡμῖν ἐχαρίσθη ἀπὸ θεοῦ τὸ ὑπὲρ Χριστοῦ πάσχειν· πολλοὶ τῶν σῶν παθῶν πόθον ἔχουσι κοινωνοὶ γενέσθαι καὶ τῆς κακώσεως καὶ τῆς στενοχωρίας, ἀλλὰ σοὶ τοῦτο ἐχαρίσθη εὐδοκίᾳ τοῦ πάντα καὶ πρὸ γνώσεως ἀφορίσαντος· πρὸς τὴν χάριν ἀφόρα, καὶ μὴ πρὸς τὴν ἐπήρειαν τῶν τῇ χάριτι διαφθονουμένων, εἴτε δαίμονες εἶεν, εἴτε ἄνθρωποι δαιμόνων πρόσωπον ἐνδυόμενοι, καὶ τῆς ἐκείνων κακίας τυγχάνοντες μιμηταί· τί γὰρ εἴ τις παρὰ βασιλέως στρατηγὸς προβεβλημένος, εἶτα διαφθονούμενοι τινὲς αὐτῷ ἐπανίστανται καὶ λύπας αὐτῷ προσάγειν διανενόηνται, διὰ τοῦτο τῆς τιμῆς ὥσπερ ἐπιλήσεται, ἧς ἠξιώθη, καὶ πρὸς μόνους τοὺς ἐπηρεαστὰς ἀποβλέπων, ἀθυμῶν ἔσται καὶ ὀδυνώμενος; ἢ μᾶλλον φρόνημα φέρων εὐγενὲς, τῶν μὲν ἀντ' οὐδενὸς ἡγήσεται τὴν ἐπήρειαν, τὴν δὲ τάξιν ἐννοούμενος, εἰς ἣν ἀνηνέχθη παρὰ τοῦ τάξαντος, παντὶ τρόπῳ σπουδὴν ἐπιδείξεται τῆς τῶν ἀντικειμένων ὁρᾶσθαι ὑψηλότερος ἐπηρείας; ἀλλὰ τῶν μὲν τοιούτων παραδειγμάτων ἅλις· ὁρᾷς οἷα καὶ πρὸ τῶν ἐκεῖθεν στεφάνων καὶ τῆς θεϊκῆς ἀντιδόσεως τὰ ἐνταῦθά σοι ἀπαντᾷ, ὁ παρὰ τῶν γνωρίμων ἔπαινος, ἡ παρὰ τῶν οὐκ εἰδότων ἀλλὰ μόνῃ ἀκοῇ τὴν σὴν ἀρετὴν θαυμαζόντων εὐφημία, καὶ συνελόντως εἰπεῖν ὁ παρὰ πάντων μακαρισμὸς ἕνεκεν τοῦ ἀποστολικοῦ δρόμου καὶ τοῦ κηρύγματος καὶ τῆς ἰσοτίμου ἐκείνοις λήξεως.

Ἀλλὰ τὰ μὲν ἐνταῦθα τοιαῦτα· λογίζου δέ μοι καὶ τὰ ἐκεῖθεν, ὁπότε ἀγαλλίασις ἀδιάλυτος ἀντὶ τῶν νῦν σε περιστήσεται θλίψεων, ἀντὶ τῆς γυμνότητος, ἀντὶ τῆς ἄλλης ἀπορίας πλοῦτος οὐ προσιέμενος λόγον εἰς ἔκφρασιν· καὶ τί ταῦτα λέγω; ὁ μετὰ τῶν φωστήρων τοῦ κόσμου τοῦ θείου φωτὸς ἐμπιπλώμενος σταίης, καὶ ἅ τε δὴ τοῖς ἐκείνων συμμεμορφωμένος παθήμασι τῇ θείᾳ δόξῃ ἀπαστράπτων ὀφθείης· τί λέγεις; πενθήσωμεν ἔτι καὶ τὰ

τῶν ἀθυμούντων πεισόμεθα; ἢ ῥίψωμεν πᾶσαν ἀθυμίαν, καὶ σὺν τῇ ἄνωθεν εὐμενείᾳ πάντων ὑπεράνω τῶν λυπούντων καταστησώμεθα; καὶ πῶς ἄλλως ἐμὲ δέον ἐλπίζειν; εἰ μὴ λῆρον ἡγήσῃ, ὅπερ ἀνάξιον τῆς σῆς συνέσεως τὰ μικρῷ προσθεν ἡμῖν εἰρημένα.

Διὰ τοῦτο λοιπὸν ἤδη παύομαι τοῦ πλέον τι λέγειν τοῦ σὲ τῆς κατεχούσης ἀκηδίας ἀναλαβεῖν· ἐπ' ἄλλην δὲ τρέπομεν τὸν λογον ὑπόθεσιν, καὶ παραινοῦντες προτρεπόμενοι τῆς προσούσης σοι πρᾳότητος καὶ ἐπιεικείας καὶ τῆς διὰ Χριστὸν ταπεινώσεως νῦν ἐπὶ πλέον ἀντιποιεῖσθαι, ὥστε μηδὲν μεταξὺ τῆς ὑμῶν ἀρετῆς καὶ τοῦ εὐλαβεστάτου υἱοῦ ἡμῶν, καὶ ἀδελφοῦ σου τοῦ κυροῦ Εὐθυμίου δυνηθῆναι τὸν πονηρὸν ἐπισπεῖραι ζιζάνια, μὴ δὲ οἷα φιλεῖ πολυμήχανος ὢν εἰς κακίαν καὶ ἀπ' ἀρχῆς μεταξὺ θεοῦ καὶ τοῦ πλάσματος τὴν ἔχθραν ἐκβεβληκὼς λάθῃ τὶ παρεισενεγκὼν τῆς ἐν κυρίῳ ἑνότητος καὶ ἀγάπης ὑμῶν ἐναντίωμα· ἀλλ' οἷα θεοῦ ἄνθρωπος ἀληθῶς καὶ εἰδὼς πάντας κερδαίνειν, οὕτω περὶ πλείστην γνώμην ἀναλαβοῦ, ὥστε κἀκεῖνον καὶ τοὺς σὺν αὐτῷ κερδᾶναι, καὶ μηδεμίαν ἐν μηδενὶ πρόφασιν παρεμπεσεῖν διαφορᾶς καὶ διαστάσεως· καὶ ἄλλως μὲν γὰρ ὁ ἀνὴρ θεοφιλὴς καὶ ἀρετῆς ἐργάτης· καὶ δεῖ καὶ διὰ τοῦτο ἐν πάσῃ αἰδοῖ καὶ τιμῇ ἄγειν αὐτόν· μάλιστα δὲ ὅτι καὶ πρὸ ὑμῶν κῆρυξ τῆς εὐσεβείας τῷ ἔθνει γέγονε, καὶ αὐτὸς τὸν σπόρον κατεβάλετο τῆς διδασκαλίας, καὶ νῦν ἐπὶ τοῦτο ἐστείλατο πρὸς ὑμᾶς τοῦ συνεργάτης γενέσθαι καὶ σὺν θεῷ φάναι τῇ κοινωνίᾳ τῆς πνευματικῆς ἐργασίας ἐπελαφρύναι σοι τὸ βάρος τῶν πόνων· χαίρειν οὖν ἐπὶ τοῦτο, χάριν ὁμολογεῖν δέον θεῷ, οὐχὶ δὲ ἀνιαθῆναι, οὐδὲ παθεῖν τὶ ἀνάξιον ἀγάπης μάλιστα τῆς τοῦ πνεύματος.

Γράφω ταῦτα οὐχ οὕτως ἐλπίζων συμβήσεσθαι τὰ περὶ σέ, ἀλλὰ τὴν πολύτροπον ὑφορώμενος τοῦ πονηροῦ δυσμένειαν, καὶ οἷος ἐκεῖνος οὐκ ἔχων ἐπὶ τοῖς καλοῖς ἠρεμεῖν, ἀλλὰ διὰ παντὸς ἀγῶνα ποιούμενος τοῦ λυμήνασθαι αὐτοῖς· μαλίστα δὲ ἐπὶ τοῦ παροντος, οποτε τοσοῦτον κατόρθωμα γινόμενον καθορᾷ καὶ σωτηρίαν τοῦ πλάσματος, ὅπερ ἐκεῖνος εἰς ἀπώλειαν ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν οὐκ ἔσχε κόρον ἀνωθῶν, οὐδὲ πάσαις τέχναις καὶ

περινοίαις τὸν μισάνθρωπον τοῦτον δρόμον τιθέμενος· τούτου, τέκνον ἡμῶν, τὰ τεχνάσματα ἐπιστάμενος, καὶ δι᾽ ὧν ἐγράψαμεν ὥσπερ ὑπομιμνήσκοντες, καὶ δι᾽ ὧν αὐτὸς ἐπιγινώσκεις τῇ θεϊκῇ συναντιλήψει δυναμούμενος, τὸν μὲν ὀφλῆσαι γέλωτα παρασκεύασον, σεαυτὸν δὲ τιμῆς ἄξιον καὶ δόξης παρὰ θεοῦ καὶ τῶν ἐπὶ τοῖς τοιούτοις κατορθώμασιν ὀφειλομένων ἐπαίνων καὶ τῆς ἀνακηρύξεως παρὰ τῶν ἐπαινεῖν εἰδότων τὴν ἀρετὴν καὶ ἀνακηρύττειν τὴν ταύτης λαμπρότητα.

CXXXVI. ΣΤΕΦΑΝῼ, ΜΙΧΑΗΛ, ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝῼ ΑΔΕΛΦΟΙΣ.

Ἀνθρώπῳ σύνεσιν τιμῶντι καὶ μάλιστα θείαν, εὐσταθὴς τρόπος δίδωσι τὸ πιστεύεσθαι, οὐχ ἡ τῶν ὅρκων παράληψις· πολλοὺς γὰρ ἤλεγξεν ἡ πεῖρα μετὰ τῶν ὅρκων χείρους ὀφθέντας, δι᾽ ὧν ἔσχον κατὰ τῶν πιστευσάντων πλέον εἰς κακίαν ἐπιδείξασθαι, ἢ εἰ μὴ πεπιστευκότες ὤφθησαν· ἡμεῖς οὖν, τέκνον ἡμῶν, εἰ μὴ ἐξηπατήμεθα οὐκ ἂν δὲ φαίην τῶν εὐσταθείᾳ τρόπου σεμνυνομένων εἰδότες ὑμᾶς, ὅτε τὰ ὑμέτερα ἐγινώσκομεν, ἐκείνῃ μᾶλλον τιθέμεθα τῇ περὶ ὑμῶν ὑπολήψει, ἢ τῇ ἐκ τῶν ὅρκων προβαλλομένῃ πληροφορίᾳ· καὶ εἰ μὲν οὐκ ἀπατῶμεν τῷ θεῷ χάρις· εἰ δ᾽ ἄλλως ἔχει, ἀλλ᾽ ἐρρίφθω τοῦτο εἰς τρίβους ἀβάτους, καὶ οὕτως οὐδεὶς ἄλλος τὴν αἰτίαν ἕξει, ἀλλ᾽ εἰς τὰς ἐμὰς ἀνυσθήσεται ἁμαρτίας· ἐπεὶ δὲ εἰρήνης ἐμνήσθης, ἐκεῖνό φημι, οὐ σὲ πείθων, οὐδ᾽ ἄλλον τὸν εἴ τις δοκεῖ ὀνομάζειν εἰρήνην, ἀλλὰ πρὸς ἐκεῖνον φανερὰ λέγω, ᾧ πάντα τὰ τῆς καρδίας ἡμῶν πεφανέρωται, ὡς τοσαύτη μοι ἔφεσις τοῦ τὴν ἐκκλησίαν εἰρηνεῦσαι ἰδεῖν τοῦ θεοῦ, ὡς εἰ τοῦτο ἠκολούθει, μὴ δὲ τὴν εἰς γέενναν τοῦ πυρὸς παραιτήσασθαι ῥίψιν· νῦν δὲ ἣν οἱ ἀπερισκέπτως ἐπιζητοῦσιν εἰρήνην, οὐδὲν ἕτερόν ἐστιν, ἢ πρόσληψις τῶν μὴ συνόντων, καὶ ἀποβολὴ τῶν συνόντων· τοῦτο δ᾽ ἄν τις εἴποι ἕνωσιν καὶ εὐφροσύνην τῆς τοῦ θεοῦ ἐκκλησίας, ἀλλ᾽ οὐ ῥῆξιν πολλῷ ἀλγεινοτέραν καὶ σκυθρωπότατα, οὐκ οἶδα ποίας ἐσχατιᾶς οὐκ

οὖσαν ἐσχατωτέραν; χρὴ δὲ φρονίμους ὄντας ὑμᾶς μὴ μόνον τὸ ἐξ ἐπὶ πολλῆς ὁρᾷν φαινόμενον, ἀλλὰ καὶ ὅσα τοῖς φαινομένοις ἐξακολουθεῖ.

CXXXVII. ΙΓΝΑΤΙΩ ΜΗΤΡΟΠΟΛΙΤΗ ΚΥΖΙΚΟΥ.

Ἐπιστάμεθα τὴν ὑμετέραν τελειοτάτην σύνεσιν, καὶ χωρὶς τῆς ἡμετέρας προτροπῆς, οἴκοθεν κινουμένην συμπαθῶς ἔχειν πρὸς τὸν κατασχόντα τὴν ἐν Κυζίκῳ ἐκκλησίαν πρὸ τῆς σῆς ὁσιότητος· ὅμως δὲ ὅτι καὶ ἡμᾶς ἀξιῶσαι ὁ ἄνθρωπος διενοήθη ἕνεκεν τοῦ γράψαι πρὸς σὲ ὥστε ἀνεπηρέαστον αὐτῷ τὴν ζωὴν εἶναι ἐκ τῶν φιλούντων ἐπεμβαίνειν ταῖς ἀλλοτρίαις θλίψεσι, φεῦ τῆς καταδυναστευσάσης ἐν τῷ ἀνθρωπίνῳ γένει κακίας, τὸ παρὸν σοι διεπέμψαμεν γράμμα, ἐκεῖνα δι᾽ αὐτοῦ προτρεπόμενοι ἃ προλαβόντες εἴπομεν καὶ φρονεῖς καὶ ποιεῖς, τῇ σῇ φιλανθρώπῳ κινούμενος διαθέσει· ἔστι δὲ ἡ ἀξίωσις ἣν ἠξιώμεθα τοῦ καθίσαι αὐτὸν ἐν τῷ μοναστηρίῳ οὗ ἦν ὅτε τῆς μητροπόλεως ἀπεκεκίνητο καθεζόμενος· καὶ εἶναι αὐτῷ καὶ τοὺς ἐκεῖ προσεδρεύοντας τῇ ἐκείνου ἀνακειμένους θεραπείᾳ, καὶ κατὰ μηδεμίαν αἰτίαν αὐτῷ θλίψεως, ἢ στενοχωρίας ἀφορμὴν παρεχομένους, μάλιστα ἐπαγγελλομένου αὐτοῦ, ὅπερ καὶ πεπείσμεθα, τὸ ἐπιεικὲς τοῦ ἀνθρώπου ἐπιγινώσκοντες, ὡς οὐδὲν οὔτε ὑμῖν ἐπαχθὲς παρ᾽ αὐτοῦ ἀπαντήσει, οὔτε τοῖς ἐν τῷ μοναστηρίῳ τὸ διάγειν λαχοῦσιν· ἀλλὰ μᾶλλον αὐτοῖς περιγενήσεται πλέον, ἢ ὅσον νῦν ἀπολαύουσι ψυχικῆς καὶ σωματικῆς ὠφελείας ἡ περιποίησις.

CXXXVIII. ΤΩ ΑΥΤΩ.

Ἀνηνέχθη τῷ ἁγίῳ θεῷ εὐχαριστία ἡμῖν, ὥσπερ ἔθος, ἐπὶ τῇ ὑμῶν σωτηρίᾳ καὶ συντηρήσει, τέκνον ἡμῶν ἱερὸν, καὶ εὐχόμεθα καὶ ἔτι σε διατηρεῖσθαι ὑπὸ ταῖς θείαις πτέρυξι φυλαττόμενον κακοῦ παντὸς ἀπαθῆ· τὰ δὲ ἡμέτερα τί ἂν εἴπω; πλὴν τοῦτό σοι γνωρίζω πρὸς μόνην τὴν ἄνω ἀποσαλεύομεν ἀγαθότητα, κρύ-

πλεῖν δυναμένην τὰ πλήθη τῶν ἁμαρτιῶν ἡμῶν, ἐξ ὧν καὶ ἡμῖν καὶ παντὶ τῷ κοινῷ ἐπεχύθη ὁ τοσοῦτος ζόφος τῶν θλίψεων· πρὸς ὃν ἀπαγορεύσαντες ζῶμεν οὐ ζῶντες, καὶ βαρυνόμεθα τὰς τοῦ ἡλίου ὁρῶντες ἀκτῖνας, καὶ μετὰ τῶν ἐν τάφοις ἀγαπῶμεν μᾶλλον συντάττεσθαι, ἢ τῶν ὑπὸ τῷ ἡλίῳ διαγόντων· τὰ μὲν ἡμέτερα τοιαῦτα· σὲ δὲ, ὃ καὶ φθάσας εἶπον, εἴη πάσης κακώσεως τῇ θείᾳ φρουρούμενον εὐμενείᾳ ὑπεράνω διατελεῖν.

CXXXIX. ΤΩ ΑΡΧΟΝΤΙ ΤΩΝ ΑΡΧΟΝΤΩΝ.

Οὐδὲν εὐσεβείας περισπουδαστότερον, οὐδὲ τῷ παντὶ βίῳ τῶν ἀνθρώπων σωτηριωδέστερον· ταύτης γὰρ ἐμπολιτευομένης, οὐκ ἄδηλον ὡς θεραπεύεται θεός· θεοῦ δὲ θεραπεία πάντα μὲν χορηγεῖ τὰ καλὰ καὶ συμφέροντα, πάντων δὲ τῶν ἀσυμφόρων ἀπελαύνει τὴν παρουσίαν· οὕτως καὶ ἰδίᾳ ἕκαστος μακαρίως βιώσεται, καὶ οἶκος καὶ πόλις, ναὶ δὴ καὶ ἔθνος μακαρίαν ἕξει τὴν διαγωγὴν καὶ τὴν κατάστασιν· τούτου δὲ οὕτως ἔχοντος, ἀντιποιοῦνται μὲν πλεῖστοι τῆς οἰκείας δόξης ὡς εὐσεβοῦς, καὶ μάλιστα ὅταν ὦσι προλήψει κεκρατημένοι· δεινὸν γὰρ ἡ πρόληψις κατέχειν τὸ παρατεθὲν ἐν τῇ ψυχῇ δόγμα, κἂν ᾖ τῶν ἀτοπωτάτων καὶ τῶν εἰς ἀπώλειαν ἀπαγόντων· ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων ἔστιν ἰδεῖν, ὅσα βαφῆς ἐστι δεκτικὰ, ὅτι πολλὰ τῶν εἰς βάθος διαδύντων χρωμάτων ἀνέκπλυτα διαδείκνυνται, καὶ πρότερον διαῤῥήγνυνται μᾶλλον ἢ τὴν βαφὴν ἀποτίθενται, οὕτως καὶ ἐπὶ τῆς ἀνθρωπίνης ἐστὶν ἰδεῖν φύσεως, ὡς πολλοὶ δόξαν πονηρὰν ἐν τῇ ψυχῇ παραδεξάμενοι φθάσαντες, οὐκ ἐθέλουσι ταύτην ἀποβαλεῖν, οὐδὲ τοῦ ἀμείνονος γενέσθαι φρονήματος, ἀλλὰ μᾶλλον προαιροῦνται σὺν ἐκείνῃ τὴν ζωὴν καταλύειν· ἀλλὰ τοῦτο μὲν τῶν θείας ἀμοιρούντων συνέσεως, καὶ μὴ βουλομένων δοκιμάζειν τὴν τοῦ καλοῦ ἐκλογὴν, ἀλλὰ φιλονεικούντων τῇ ἰδίᾳ προλήψει ἐμμένειν, ἢ παντελῶς μὴ γινωσκόντων ἃ δοξάζειν ἐγνώκασιν· ὅσοι δὲ περὶ πολλοῦ ποιοῦνται τὴν ὀρθὴν περὶ θεοῦ δόξαν ἔχειν, οὗτοι κἂν ὦσι προκατειλημμένοι οὐ πρόσκεινται τῇ ἀρ-

χαίᾳ κακοδοξίᾳ, οὐδ' ἀγαπῶσιν ὑπερμάχεσθαι τῆς ἀπάτης, ἀλλ' εὐθέως καθάπερ φωτὸς αὐγῇ τῷ λόγῳ τῆς εὐσεβείας καταυγασθέντες τὰς ψυχὰς, ἠγάπησαν τὴν ἐκεῖθεν ὁδηγίαν, καὶ τῆς τέως ἐπισκοτιζούσης αὐτοὺς ἀπεπήδησαν ἀχλύος.

Ταῦτά σοι, τέκνον ἡμῶν, προοιμιαζόμενον λέγει τὸ γράμμα διὰ τὴν τῶν σῶν ἀποκρισιαρίων ἀπαγγελίαν· φασὶ γὰρ ὡς τοῦ καθ' ὑμᾶς ἐκδημήσαντος καθολικοῦ τῆς ζωῆς διανοεῖσθε, οἷα δὴ τοῦ μεγάλου καὶ θεοστεφοῦς ἡμῶν βασιλέως γνήσιοι καὶ ὁμόψυχοι φίλοι, καὶ ὁμοφρονεῖν αὐτῷ ἐν πᾶσι σπουδάζοντες, ἐκ τῆς ἐνταῦθα ἐκκλησίας τὸν εἰς ἀρχιερέα ὑμῶν καταστήσεσθαι μέλλοντα λαβεῖν τὴν προχείρησιν, καὶ θεοῦ εὐδοκίᾳ ἕνα τοῦτον γινώσκεσθαι τῶν σὺν ἡμῖν τὸ ἅγιον κυκλούντων θυσιαστήριον· ἐπεὶ οὖν τοῦτο σοι μετὰ τῆς ἄλλης δεδομένης παρὰ θεοῦ φιλοτιμίας, καὶ χάριτος παρεσχέθη (οἶδας γὰρ συνετὸς ὢν ὅσης ἀπήλαυσας τῆς παρὰ θεοῦ εὐεργεσίας, ἧς καὶ τοῦτο τυγχάνει τὸ λογισμὸν τοιοῦτον ἀναλαβεῖν, ὥστε κατὰ πάντα ἡνωμένον γενέσθαι τῷ θεοφρουρήτῳ ἡμῶν βασιλεῖ) ἐκεῖνό ἐστιν ὑπόλοιπον τὸ στεῖλαι πρὸς τὰ ἐνταῦθα τὸν θεοῦ κατανεύσει μέλλοντα εἰς ἀρχιερέα ὑμῶν καταστῆναι, ὥστε καὶ τὸ δόγμα τῆς εὐσεβείας παραλαβεῖν ἀκριβέστερον, καὶ διὰ τῆς σὺν ἡμῖν ὅσης δεήσει διατριβῆς τά τε πρὸς εὐσέβειαν συντείνοντα, καὶ πρὸς τὴν ἐκκλησιαστικὴν ἐκπαιδευθῆναι κατάστασιν, καὶ οὕτω τῆς χειροθεσίας τυχόντα πρὸς τὴν ὑμετέραν ἐπανελθεῖν λαμπροτάτην εὐγένειαν καὶ τὸ πλήρωμα τῆς ὑμετέρας ἐξουσίας· (1) ὥσπερ γὰρ τῇ ὁμολογίᾳ τῆς φιλίας προσῳκειωμένος ὑπάρχεις τῷ τε φιλοχρίστῳ ἡμῶν βασιλεῖ, καὶ τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ ἐκκλησίᾳ, οὕτω δέον ἐστὶ συνοικειούμενον εἶναι καὶ τῇ τῆς πίστεως ὁμολογίᾳ, καὶ τῷ φρονήματι τῶν ὀρθῶν δογμάτων· ἀλλὰ μὴ καθάπερ μέχρι τοῦ νῦν οὐκ οἶδα ὅπως τοῦ τοιούτου κακοῦ παρεμπεσόντος τῇ μὲν φιλίᾳ δοκεῖν συνάπτεσθαι, τῇ δὲ κατὰ τὴν πίστιν κοινωνίᾳ διΐστασθαι· περὶ οὗ καὶ τῷ ἡμετέρῳ, φαμὲν δὴ Φωτίῳ, τῷ ἁγιωτάτῳ πατριάρχῃ οὐ μικρὸς ἀγὼν καταβέβληται, τοῦτο μὲν λόγοις, τοῦτο

(1) Scriptum ἐκκλησίας, sed in margine emendatum ἐξουσίας.

δὲ καὶ ἀποστολῇ ἀνδρῶν, εἰ καὶ τῶν πραγμάτων αἱ περιπέτειαι ἐπὶ τὸ τέλος ἐλθεῖν τὴν σπουδὴν ἀπεκώλυσαν· ἢ τάχα, ὅπερ καὶ προλαβὼν ἄνωθεν εἶπον, τούτου κρίμασιν οἷς οἶδεν ὁ Θεὸς ἐν ταῖς σαῖς ἡμέραις τετηρημένου, ἵνα δειχθῇς καὶ ταύτῃ τῇ δωρεᾷ θεόθεν φιλοτιμούμενος.

Διὰ ταῦτα καθὼς πρὸ βραχέος εἴρηται, τέκνον ἡμῶν ποθεινότατον, εἰς τοιαύτην ἔννοιαν ὑπὸ Θεοῦ καταστὰς, μὴ ἀναβάλῃ τὸν ὑπὸ τῆς σῆς τιμιότητος, καὶ τῶν τῆς καθ᾿ ὑμᾶς ἐκκλησίας προκρίτων εἰς τὴν τοιαύτην ἀρχιερωσύνην μαρτυρούμενον προβεβλῆσθαι τοῦ ἀποστεῖλαι, ἵνα καὶ αὐτῷ ὑπάρξῃ προσλαβεῖν ὧν οὐ θέμις ἐνδεῆ γινώσκεσθαι· καὶ ὑμῖν σὺν Θεῷ φάναι διὰ τῆς ἐκείνου ἀρχιερατικῆς ἐπιστασίας καὶ ἡ πρὸς Θεὸν οἰκειότης ἐγγένηται, οὐδὲν γὰρ εὐσεβείας πρὸς τὸ θεῖον ἐγγύτερον, καὶ ἡ πρὸς τὸν ὑψηλὸν, καὶ μέγαν ἡμῶν βασιλέα κατὰ πάντα ἑνότης καὶ συνάδεια ἀσφαλιζομένη, ὥσπερ τῇ ὑποταγῇ καὶ τῇ σχέσει, οὕτω καὶ τῇ τῶν εὐσεβῶν δογμάτων συμφωνίᾳ· πάντως δὲ οὐκ ἀμφιβάλλεις, ὡς ἡ μέχρι τοῦ νῦν ἐν τῇ τῶν Ἀρμενίων περὶ τῆς πίστεως διαφωνία πρὸς τὴν καθ᾿ ἡμᾶς ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν ἀλλοτρία καθέστηκε τοῦ ὀρθοδόξου κηρύγματος, καὶ τῆς ἀποστολικῆς καὶ θείας διδασκαλίας· εἴ τι οὖν μέλει τῇ σῇ συνέσει καὶ περὶ σεαυτοῦ καὶ περὶ τοῦ οἰκείου λαοῦ τῆς πρὸς ἡμᾶς ἑνώσεως, καὶ κατὰ πάντα συμφωνίας, μὴ ἄλλως ποιήσῃς, μὴ δὲ βραδύνῃς πρὸς τὴν ἀποστολὴν τοῦ μέλλοντος χρηματίσειν ὑμῶν ἀρχιερέως, ψήφῳ τοῦ παναγίου πνεύματος, καὶ τὴν καθ᾿ ὑμᾶς ἁγίαν ἐκκλησίαν κατακοσμήσειν· ἐῤῥῶσθαί σε ἐν κυρίῳ ἐπευχόμεθα, φρουρούμενον καὶ ὑπερκείμενον πάσης ἐπηρείας καὶ ἐναντιότητος, ὅση τε ὁρωμένων, καὶ ὅση ἐξ ἀοράτων ἐχθρῶν ἐπιτίθεται.

CXL. ΜΙΧΑΗΛ ΠΑΤΡΙΚΙῼ, ΚΑΙ ΣΤΡΑΤΗΓῼ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

Περὶ τῆς ὑποθέσεως, ἥ τις γράφειν ἡμᾶς πρὸς σὲ, τέκνον ἡμῶν ἠγαπημένον, προετρέψατο, πεπείσμεθα ἐκεῖνα παρὰ τῆς σῆς

μαθεῖν φιλοθέου ψυχῆς, ὅσα μήτε θεοῦ ἀγανάκτησιν κινεῖ, μήτε τὴν ἡμῶν λυπεῖ μετριότητα, μήτε τὸν ἄνδρα, ὑπὲρ οὗ γράφομεν, ἀδίκως ὑπὸ κατάκριμα τίθησι· γινώσκομεν γάρ σου χάριτι θεοῦ τελειοτάτην ἐν πᾶσιν οὖσαν τὴν σύνεσιν, δι' ἣν ἐν τῷ παρόντι περιδόξῳ ὤφθης βίῳ, καὶ σὺν ταύτῃ τῇ τιμῇ ἐπιτεύξῃ, ὅπερ εὐχόμεθα, καὶ τῆς οὐ μόνον προσκαίρως ἐπιμειδιώσης, ἀλλὰ καὶ τῆς αἰωνίως εὐφραινούσης σε δόξης· μάνθανε οὖν τὴν ὑπόθεσιν καὶ δήλου ἡμῖν, δεσμὸν ἔχων ἐκ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὅσα συνεπιμαρτυροῦσαν τὴν σὴν ἀληθῆ γνῶσιν περὶ τοῦ ἀνδρὸς ἐξεπίσταται, καὶ μηδὲν μήτε πρὸς χάριν μήτε πρὸς ἐναντίωσιν ἔχοντα· διαθρυλλοῦσι τινὲς περὶ Παύλου τοῦ θεοφιλεστάτου μοναχοῦ καὶ πρεσβυτέρου, ὡς παρὰ τῆς σῆς ἀκηκόασι γλώσσης, ὅτι περ μετὰ τὸ ἐπανελέσθαι τὴν μοναδικὴν πολιτείαν τῇ ποτὲ γενομένῃ συμβίῳ πεφώραται συνενούμενος, καὶ μὴ φυλάξας τὴν ἐξ αὐτῆς γινομένην διάστασιν καθαράν, μὴ δὲ τὴν ἐπαγγελίαν διασωσάμενος πρὸς θεὸν ἀψευδῆ καὶ ἀνόθευτον· ταῦτα ὡς εἴρηται πρὸς τὰς ἡμετέρας ἀκοὰς ἐλθόντα οἷα εἰκὸς ἐλύπησέ τε καὶ συνετάραξεν, ὅτι τε ὁ ἄνθρωπος παρ' ἑτέρων προσώπων τὴν μαρτυρίαν παρασχόμενος πρεσβυτερίου ἠξιώθη, καὶ τῶν λειτουργούντων τῷ ἁγίῳ θυσιαστηρίῳ εἷς χρηματίζει, καὶ πρὸς μείζονα ἔτι ἀφορᾷ λειτουργίαν· ἔχεις μὲν παρ' ἡμῶν δεδηλωμένην τὴν περὶ τοῦ ἀνθρώπου φήμην· σὺ δ' ἐκεῖνα γράψον ἡμῖν ἃ καὶ τῷ φρικτῷ βήματι τοῦ Χριστοῦ, ὅτε πάντες αὐτῷ γυμνοὶ παραστησόμεθα, μέλλεις κατενώπιον πάσης τῆς ἀγγελικῆς τάξεως καὶ τῆς ἀνθρωπίνης παραστάσεως ἀποκρίνασθαι· τὰ δ' ἄλλα ἐρρωμένον σε φυλάξοι ὁ κύριος πάσης ἐπηρείας ἀοράτου τε καὶ ὁρωμένης ἀνώτερον.

CXLI. ΤΩ ΗΓΟΥΜΕΝΩ ΤΩΝ ΗΛΙΟΥ ΒΩΜΩΝ.

Εἰ καὶ προλαβοῦσα ἡ πονηρὰ φήμη τῆς περὶ σέ, τέκνον ἡμῶν ὅσιον, τοῦ πονηροῦ δαίμονος ἐπηρείας τὴν τῶν γραμμάτων ἀπαγγελίαν, ἔπληξε τὴν ψυχὴν ἡμῶν οὐ μετρίως, ἀλλ' ὅμως ἐλπίσι

χρηστοτέραις ὥσπερ ἀντιστρέφουσαι τὴν φήμην πρὸς τὸ χεῖρον τοῦ ψεύδους, εἴχομεν παραμύθιον τῆς ὀδύνης, ἀεὶ προσδοκῶντες τὴν ὑμῶν ὑγείαν ἐνωτισθῆναι· νῦν δὲ τί; ἧκε τὰ γράμματα τὸ ἄλγος ἐπαύξοντα, ἐκεῖνα φανερῶς ἀναδιδάσκοντα ὅτι τέως καὶ δι' ἐλπίδος, καὶ δι' εὐχῆς εἴχομεν τῆς ἀληθείας μακρύνεσθαι· ὅπως μὲν οὖν διετέθημεν ἀναλεξάμενοι τὸ γράμμα, καὶ οἷον βέλος διὰ μέσων ἐδεξάμεθα τῶν σπλάγχνων, παραστῆσαι μὲν οὐκ ἔστιν ἱκανὸς ὁ λόγος· ὁ δὲ τὰς καρδίας καὶ πλάσας καὶ γινώσκων, ἐκεῖνος ὁρᾷ καὶ τὸ τραῦμα καὶ τὸ ἄλγημα τῆς καρδίας, ἐφ' ᾧ παραμύθιον οὐδὲν ἕτερον ἐξευρίσκομεν, πλὴν ἐκείνου μόνου ὡς ἀντὶ τῆς τοσαύτης τοῦ δαίμονος ἐπιβουλῆς τῆς ὑμῶν εὐχαρίστως τὸ συνενεχθὲν φερούσης, πολλὴ ἀντὶ τῶν παρόντων πόνων καὶ τῆς ἐντεῦθεν ἀνίας ἡ ἐκεῖθεν ἀποκείσεται ἄνεσις καὶ ἀνάπαυσις.

Ἀεὶ μὲν γὰρ ὁ τοῦ γένους ἐξ ἀρχῆς ἐπηρεαστὴς ταῖς κατὰ τῶν θεραπόντων τοῦ θεοῦ ἐπιβουλαῖς ἐνσκευάζεται, καὶ καθ' ὧν μὲν συνεργοὺς προσλαμβάνεται, οὓς ἂν εὕροι τῇ αὐτοῦ κακίᾳ συντρέχοντας· καὶ διὰ τούτων νῦν μὲν διωγμοὺς, νῦν δὲ κακώσεις ἄλλας ἐπιφέρων τοῖς εὐαρέστως θεῷ διαβιοῦσιν ἀγῶνα ποιεῖται τῇ μακαρίᾳ ζωῇ τούτων ἐμποδίζειν· νῦν δὲ καὶ χωρὶς προσλήψεως ἀνθρώπων συγκακουργούντων αὐτῷ, διὰ τῆς οἰκείας ἐπιθέσεως, τοῦτο μὲν ἀφανῶς, τοῦτο δὲ καὶ ἐν τῷ προφανεῖ τὸν πόλεμον ἐπιδείκνυται, ὃ καὶ νῦν πρὸς τὴν ὑμετέραν ἀρετὴν κατειργάσατο· ἀλλ' ἐκεῖνος μὲν ἐπήνεγκε τραῦμα, ὃ πάντως ἢ βουλομένου θεοῦ τέλεον ἀποθεραπευθήσεται, ἢ κρίμασιν οἷς ἐπίσταται ἐπὶ κέρδει καὶ ὠφελείᾳ τοῦ τὸ τραῦμα φέροντος διαμείνῃ, ἀλλὰ πάντως μετ' οὐ πολὺ ἀπαλλαγήσεται τοῦ φθαρτοῦ σώματος ἐν τῇ ἀναστάσει τῶν δικαίων τὴν θεοειδῆ ἀφθαρσίαν ἀπολαμβάνοντος· ἐκεῖνος δὲ διὰ τῆς ὑμῶν ὑπομονῆς, ἐν ᾗ πάντες τὸν κύριον ἐλαμπρύνθησαν, τραυματισθήσεται εἰς τὸν αἰῶνα, πάντα φέρων τὰς ἐπ' αὐτῷ ἀλγηδόνας, καὶ μηδεμίαν εὑρεῖν δυνάμενος θεραπείαν τοῦ ἄλγους· ἀποβλέψωμεν, τέκνον ἡμῶν, πρὸς τοὺς ἐν γῇ στρατευομένους ὡς ἐκ τῶν πολεμίων πληγὰς ἐν τῷ σώματι φέ-

ροντες, καὶ τῶν μελῶν πηρώσεις, οἵ γε ἀνδρεῖοι καὶ εὐγενεῖς, οὐ μόνον οὐκ ἀθυμοῦσιν, ἀλλὰ καὶ σεμνύνονται, καὶ τοῖς πολλοῖς ἐπιδείκνυνται, ὡς ταῦτα παρὰ τῶν πολεμίων ὑπέστησαν· σὺ δὲ εἰς τὴν οὐράνιον στρατείαν στρατευόμενος, εἶτα πληγεὶς ὑπὸ τοῦ ἀντιπάλου, πόνῳ μᾶλλον ὀφείλεις σεμνύνεσθαι· ἀλλὰ μὴ καταπίπτειν τὸ φρόνημα, μὴ δὲ ἀκηδιᾷν ἐπὶ τῇ πληγῇ· γράφομεν ταῦτα οὐχ ἵνα σε ἀθυμοῦντα διεγείρωμεν, ἀλλ' εἰδότες σε θείᾳ χάριτι γενναίως τὸ συνενεχθὲν φέροντα, καὶ ὥσπερ μετὰ σοῦ τὴν τοῦ ἐχθροῦ δοκοῦσαν ἐπήρειαν διασύροντες· παράσχοι δὲ ὁ ἅγιος θεὸς καὶ νῦν μὲν τὴν πονηρὰν αὐτοῦ ἐνέργειαν καταισχυνθῆναι, καὶ εἰς τὸ ἔπειτα τῇ θείᾳ δυνάμει κατῃσχυμμένον καὶ θρηνοῦντα τὴν ἰδίαν κατήφειαν, ἀπὸ πάσης τῆς ἡμῶν ἀπεληλαμένον εἶναι ζωῆς.

CXLII. ΑΝΤΩΝΙῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΣΑΡΔΕΩΝ.

Ἀλγοῦντες οὐ μικρῶς καὶ σπαρασσόμενοι τὴν ψυχὴν ἐπὶ ταῖς καταλαμβανούσαις ὡς ἡμᾶς φήμαις περὶ τῆς ὑμῶν ἁγιωσύνης, (κατελάμβανον γὰρ ἀλλεπάλληλοι μηνύουσαι χαλεπῶς ὑπὸ ἀῤῥωστίας συνέχεσθαι) ἀλγοῦντες οὖν ἐπὶ τούτοις λίαν, ηὐχαριστήσαμεν τῷ θεῷ διὰ τοῦ κοινοῦ ἡμῶν τέκνου τοῦ Σάβα, καὶ τὴν ἀπαλλαγὴν τῆς νόσου ἀναμαθόντες, καὶ τὸ χάριτι θεοῦ ἐν ὑγείᾳ σε τελειοτάτῃ διατελεῖν· ἣν καὶ ἔτι παράσχοι ὁ ἀγαθὸς ἀμιγῆ πάσης λυπηρᾶς διαθέσεως προσεῖναι τῇ σῇ ἀρχιερωσύνῃ, εἰς ὄφελος μὲν τῶν ὑπὸ σοὶ ποιμαίνεσθαι λαχόντων, εἰς εὐφροσύνην δὲ ἡμετέραν, καὶ εἰς θείαν δόξαν, οἷς διὰ τῶν εὐσεβῶς καὶ θεοφιλῶς πολιτεύεσθαι παιδευομένων διὰ τῆς ὑμῶν ὁσιότητος δοξάζεται ὁ θεός· καὶ ταῦτα μὲν οὕτως· ἓν δὲ λοιπὸν ἔτι προσθήσω· μὴ βραδύνῃς εἰ δυνατὸν πρὸς τὴν ἐπανέλευσιν, ὥστε ὀφθῆναι ἡμᾶς ἀλλήλοις, καὶ ἀπολαῦσαι καὶ συνουσίας καὶ ὁμιλίας πρὸ τοῦ τὴν ἡμῶν ταλαίπωρον ζωὴν ὑπὸ τῶν συνεχουσῶν θλίψεών τε καὶ κακώσεων ἀπαγορεῦσαι.

CXLIII. ΙΓΝΑΤΙῼ ΜΑΓΙΣΤΡῼ ΜΟΝΑΣΑΝΤΙ ΕΝ Τῼ ΜΕΓΑΛῼ ΑΓΡῼ.

Οἴδαμεν τὴν ὑμῶν ἔνθεον ἀρετὴν καὶ τὰ θεῖα φρονοῦσαν, καὶ ἀνθρώπων κακουργίαν βδελυσσομένην· καὶ διὰ τοῦτο οἷς ἔγραψας περὶ τῆς τοῦ ἐξάρχου πλημμελείας, χάριν τὴν μεγίστην ὁμολογοῦμεν· πλὴν κατὰ πρόσωπον αὐτὸν ἐνεγκόντες, καὶ ὥσπερ ἀναιδευόμενον ἰδόντες, μεγάλης γὰρ συνειδήσεως τοῦ οἰκείου πταίσματος τὴν ὁμολογίαν δοῦναι, ἐκρίναμεν καὶ ἔτι βεβαιοτέραις ἀποδείξεσι τὴν ἑαυτοῦ ἔνστασιν, ὅτι μηδὲν σύνοιδε τῶν περὶ αὐτοῦ λεγομένων, καταισχυνθῆναι· διὰ τοῦτο εἰ καὶ τοῖς σοῖς πεπληροφορήμεθα λόγοις, πῶς γὰρ οὐκ ἂν πληροφορηθείημεν ἀνδρὸς θεοῦ χάριτι καὶ ἐν τῇ κοσμικῇ διαγωγῇ διαπρέψαντος ἐν τῇ ἀνωτάτῳ τιμῇ, καὶ ἐν τῇ τῶν μοναχῶν πολιτείᾳ μαρτύριον ἀποφερομένου τῆς εὐλαβείας, ὁποῖον προσῆκε θεοῦ θεράποντας ἀποφέρεσθαι; πλὴν ἀλλ' ἵνα μὴ δόξῃ ὥσπερ ἔφημεν ἀντιλογίας ἔτι κεκτῆσθαι χώραν, τανῦν ἀνεβαλόμεθα τὴν περὶ αὐτοῦ καταδίκην ἐρευνῶντες· πάντως δὲ οὐκ ἂν λάθῃ πονηρία· καὶ ἐξετάζοντες ἐπιμελέστερον, ἵνα πανταχόθεν κατὰ πρόσωπον αὐτῷ τῆς οἰκείας παρισταμένης ἁμαρτίας δέξηται τὴν κατάκρισιν· πρὸς ἣν κἂν βούληται, κἂν μὴ βούληται, καὶ αὐτὸς ὀφθείη συμψηφιζόμενος.

CXLIV. ΝΙΚΟΛΑῼ ΣΤΡΑΤΗΓῼ ΛΟΓΓΙΒΑΡΔΙΑΣ.

Εὐχαριστήσαντες τῷ θεῷ, τέκνον ἡμῶν, ἐπὶ τῇ δεδομένῃ σοι κατὰ τῶν ἐχθρῶν τῆς δόξης αὐτοῦ δυνάμει, πλέον εὐχαριστοῦμεν ὅτι οὐ κατῃσχύνθησαν αἱ ἡμῶν τῶν ταπεινῶν ἐλπίδες· καὶ γὰρ καὶ πρὸ τῶν νῦν ἔργων ὥσπερ τὰ σὰ προεθεωροῦμεν ἀνδραγαθήματα, καὶ διὰ τοῦτο καὶ ἐξεβιασάμεθα καὶ ἄκοντά σε καὶ ἀνανεύοντα πρὸς τὴν ἄθλιον πρώην μὲν αὐτῶν χώραν, νῦν δὲ χάριτι θεοῦ εὐδαίμονα ἀπεστείλαμεν, ἐνθυμούμενοι καὶ αὐτοὶ

ἀνταμείψασθαι τὰ σὰ ἀνδραγαθήματα, α οὐχὶ διςάζοντες, ἀλλὰ μετὰ βεβαιώσεως εἴχομεν καὶ τιμαῖς καὶ δωρεαῖς ὅσαις ὁ θεὸς οἶδε καὶ ἡ ἐμὴ ταπεινὴ ψυχὴ διενοεῖτο· ἐπεὶ δὲ κρίμασιν ἀδήλοις ἀπήντησεν ἄλλως τὰ πράγματα, τίνι ἄλλῳ ἢ τῇ τεταπεινωμένῃ δεξιούμεθα ἡμῶν εὐχῇ; καὶ ἐπευχόμεθά σοι μήτε τὴν τοῦ θεοῦ συμμαχίαν ἐπιλιπεῖν, μήτε πᾶσαν φαιδρότητα, ὅσῃ τὸν ἀνθρώπινον βίον οἶδε φαιδρύνειν τὸ σὸν ὄνομα καὶ τὸ σὸν γένος καταλιπεῖν, καὶ ἐπὶ τούτοις καὶ τῆς αἰωνίου φαιδρότητος καὶ ἀσβέστου τυχεῖν.

CXLV. ΤΩ ΗΓΑΠΗΜΕΝΩ ΠΕΡΙΒΛΕΠΤΩ ΠΝΕΥΜΑΤΙΚΩ ΤΕΚΝΩ ΤΩ ΕΝΔΟΞΟΤΑΤΩ ΑΡΧΟΝΤΙ ΑΜΑΛΦΗΣ.

Τὸν πρὸς ἡμᾶς ἔνθεον ἔρωτα τῆς σῆς εὐγενείας, καὶ τὴν ὑπὲρ τῆς καταπιστευθείσης ἡμῖν εἰ καὶ ἀναξίοις ὑπὸ θεοῦ ἐκκλησίας σπουδαίαν προαίρεσιν, καὶ πρὶν μὲν προανήγγειλεν ἡ φήμη προφθάσασα, νῦν δὲ τελεώτερον ἀνεδιδάχθημεν· καὶ πρῶτον μὲν ἐπηυξάμεθα ὑμῖν παρὰ τοῦ κενώσαντος τὸ πανάχραντον αἷμα ὑπὲρ τῆς ἐκκλησίας αὐτοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀντιδοθῆναι ὑπὲρ τῆς τοιαύτης ἀγαθῆς σου προαιρέσεως τὴν παρὰ τῆς ἀγαθότητος αὐτοῦ ἐν παντὶ καιρῷ κατευόδωσιν ἐν τοῖς ὑμετέροις πράγμασι, καὶ μὴ ἐπιλιπεῖν ὑμᾶς τὴν ἄνωθεν χάριν συγκατορθοῦσαν τὰ συμφέροντα καὶ σπουδαζόμενα· δεύτερον δὲ καὶ ἡμεῖς εἴ τι δυνατὸν παρ' ἑαυτῶν συμπράττειν ἐν ταῖς χρείαις τῶν ὑμετέρων πραγμάτων, ὡς ἔστιν ὀφειλόμενον ὑπὲρ τέκνων εὐνοούντων πατράσι συναγωνίζεσθαι οὐ διαλείψομεν, τὸν ἀγῶνα δεικνύντες· διὰ τοῦτο καὶ ἐν τῷ παρόντι, εἰ καὶ μὴ ὁλόκληρον πέρας ἡ αἴτησις ὑμῶν ἔλαβε περὶ τῶν αἰχμαλώτων, ἀλλ' ὅμως ἐφ' ὅσον ἐπείθετο τὰ πράγματα, σπουδὴν ἐποιησάμεθα περὶ τῆς ὑμῶν ἐξαιτήσεως καὶ θεραπείας· καὶ γέγονεν, εἰ καὶ μὴ τὸ πᾶν μὴ δ' ὅσον ἠβουλόμεθα, ἀλλ' ὅσον τέως τῇ φύσει τῶν πραγμάτων ταῖς ἡμετέραις βουλαῖς τε καὶ εἰσηγήσεσιν ἐξεγένετο πεισθῆναι· ἀπεστείλαμεν δὲ καὶ ἡμεῖς εἰς ἀνάρρυσιν τῶν αἰχμαλώτων χρυσίου

λύτραν μίαν, ἐπευχόμενοι τὴν αὐτῶν ἐλευθερίαν παρὰ τῆς πάντα δυναμένης θείας χειρὸς, ἣν οἶδα καὶ πέπεισμαι ὅτι συνεπικουρήσει, καὶ τῆς ἀθέου τῶν Ἀγαρηνῶν τυραννίδος τοὺς δεσμίους ἀπολυτρώσεται, καὶ κοινῆς εὐχαριστίας ὑπόθεσιν παρέξει σοί τε καὶ ἡμῖν ἐπὶ τῇ τῶν αἰχμαλώτων ἀποκαταστάσει πρὸς τὰ οἰκεῖα, εὐχαριστούντων καὶ δοξαζόντων ἡμῶν τὸν σωτῆρα καὶ ἐλευθερωτὴν, καὶ οὐκ ἐάσει ἐπὶ πολὺ τῇ τῶν ἀσεβῶν τυραννίδι κατέχεσθαι καὶ ταλαιπωρεῖσθαι τοὺς τῷ παναγίῳ αἵματι σεσημειωμένους, οὐδὲ τῆς μετὰ τῶν συγγενῶν καὶ φίλων ζωῆς τε καὶ συνδιαγωγῆς μακρύνεσθαι· ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος ἐν πᾶσιν εὐοδῶν, πάντα τὰ καλὰ καὶ συμφέροντα συγκατορθῶν καὶ διατηρῶν, σέ τε καὶ τὸν ὑπὸ χεῖρα λαὸν ἐκ πάσης ὁρωμένης τε καὶ ἀοράτου τῶν κακῶν συνοχῆς.

CXLVI. ΚΩΝΣΤΑΝΤΙΝῼ ΠΡΩΤΑΣΗΚΡΗΤῌ.

Ἁπλᾶ γράφω πρὸς ἄνθρωπον συνιδεῖν καὶ ἐν ἰδιωτείᾳ λόγων ψυχῆς ἄλγημα σφοδρόν· ἀκοὴν ἠκούσαμεν μετὰ τὴν τοῦ βασιλέως ἐξ ἡμῶν ἀναχώρησιν, ὡς ἀρχιεπίσκοπον παρὰ τῆς ἡμῶν χειροτονηθέντα ταπεινότητος, οὗτος δέ ἐστιν ὁ Νεαπολέως, ἐκδιώκετε, καὶ πέμπετε ἄλλον ὃν ἐσφράγισε καὶ ἐξαπέστειλεν ἐκεῖ ὁ καὶ εἰς τὴν ἡμετέραν τῶν ταπεινῶν, καὶ πάντων ἀνθρώπων ἁμαρτωλοτέρων, ὅμως δὲ οἵοις οἶδε κρίμασιν ὁ συναρμόσας ἡμᾶς ταύτῃ Χριστός μου, καθὼς αὐτοὶ ἐπίστασθε, εἰσπηδήσας· βλέπετε τί ποιεῖτε· ὁρᾷς πῶς ἁπλᾶ γράφω, ἀθῶος εἰμὶ τῆς αἰωνίου καταδίκης ὑμῶν· αἰωνίῳ γὰρ κατακρίματι τὸν τοῦτο ποιοῦντα ὑποβαλῶ, εἰ καὶ ἁμαρτωλός εἰμι, ἀρχιερεὺς ὢν τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ συναρμοσθεὶς αὐτῇ οὐ βίᾳ, οὐ περιδρομαῖς ἐμαῖς, οὐ σπουδῇ ἀνθρωπίνῃ, ἀλλὰ λόγοις οἷς οἶδεν ὁ τὸ ἅγιον αἷμα ὑπὲρ αὐτῆς κενώσας· καὶ τῷ ἀλύτῳ ἐκείνῳ δεσμῷ ᾧ ἂν ὑποβαλοῦμεν τοὺς τοῦτο ἐπιχειροῦντας, παραστήσονται τῷ φοβερῷ βήματι, καὶ ἐγὼ σὺν αὐτοῖς, καὶ τότε γνωσόμεθα ἐνώπιον πάσης σαρκὸς καὶ τὸν ἴδιον ζῆλον, καὶ τὸ φρόνημα, καὶ

τὴν ἐντρέχειαν καὶ τὴν φιλίαν καὶ τὰς πολλὰς περινοίας, ὅταν πᾶν στόμα ἐμφράσσηται, καὶ ἕκαστος κατὰ τὰ οἰκεῖα ἔργα λήψεται τὴν ἀνταπόδοσιν.

CXLVII. ΑΔΗΛΩ.

Καὶ χωρὶς τῆς προσπεσούσης ὑποθέσεως ἡ περὶ τῆς ὑμῶν ὁσιότητος φήμη ταῖς ἀκοαῖς ἡμῶν φθάσασα, οἷα εἰκὸς ἐπιθυμητὴν ἐποίει τὴν σὴν ὁμιλίαν, ἄνθρωπε τοῦ θεοῦ· ἐπεὶ δὲ καὶ τὰ τῆς παρούσης ὑποθέσεως συνῆλθεν, καὶ διὰ ταύτην ὡς ἀναγκαίαν οὖσαν, καὶ τὸ μέρος χαριζόμενοι τῇ ἐπιθυμίᾳ· ὅτι μὴ ἔξεστιν ἑτέρως, ἰδού σοι προσομιλοῦμεν διὰ τοῦ γράμματος· καλὸν μὲν καὶ θεῷ ἀρέσκον ἔργον καὶ διενοήθη καὶ διεπράξατο ὁ θεοφιλὴς οὗτος ἄνθρωπος, ὃς ἥκει φέρων σοι τὸ γράμμα, τὸν σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, καὶ πάντα λιπὼν τὰ ἐν κόσμῳ καὶ ἄξιον ὡς ἀληθῶς τῆς αὐτοῦ ἀρετῆς· καλὸς δὲ καὶ αὐτὸς ὁδηγὸς αὐτῷ γέγονας καὶ τῆς πρὸς σωτηρίαν ὁδοῦ ἀπ᾽ ἀρχῆς καὶ μέχρι τοῦ νῦν, ὡς καὶ αὐτὸς εὐχαριστεῖ καθηγούμενος καὶ δεικνὺς διὰ τοῦ ὅλως ἐξηρτῆσθαι τῆς σῆς ὁσιότητος, καὶ μηδὲν ἀνέχεσθαι πράττειν σοῦ μὴ κελεύοντος, ὡς τοιούτῳ περιέτυχεν ἀλείπτῃ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας οἵῳ πάντως ἐντυχεῖν ηὔχετο· καὶ ἦν μὲν σωτήριον μηδὲν ἀπαντῆσαι παρὰ τοῦ φθόνῳ ἀεὶ κατὰ τῆς σωτηρίας ἡμῶν μαινομένου δαίμονος ἐναντίον, μὴ δὲ τραχὺ, μὴ δὲ προκόπτειν τὰ ἐκείνου διαβήματα πρὸς τὸν τῆς ἀσκήσεως δρόμον ἐμποιοῦν· οὕτω γὰρ καὶ αὐτὸς εὐχαριστῶν τῷ θεῷ ἡμῶν καὶ σωτῆρι καρτερῶν διετέλει, ἐν ᾧ τὴν ἀρχὴν κατήντησε τόπῳ, καὶ αὐτὸς ἔχων ἐγγύθεν τὸν μαθητὴν, ἀεὶ τὰ ἐπιβάλλοντα ἐξεπαίδευες· ἐπεὶ δὲ, ὥς γε ἡμῖν ἐγνώσθη, ἀντὶ γαλήνης, ἀντὶ λιμένος εὐδίου, τρικυμίαι καὶ κλύδονες αὐτῷ ἐπανίστανται, καὶ ἄνθρωποι εἴτε παρ᾽ ἑαυτῶν ἠρεμεῖν οὐκ εἰδότες, εἴτε παρὰ τοῦ δαίμονος κεκινημένοι, καὶ ἑαυτοῖς καὶ τούτῳ βλάβης πρόξενοι γίνονται, τί δεῖ ποιεῖν, ἢ πάντως αὐτόθεν ἀπαναστῆναι; οὐκ ἐμός ἐστιν ὁ λόγος, ἀλλὰ τοῦ κυρίου, ἐὰν

διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην· διώκεται καὶ οὗτος παρὰ τῶν μὴ ἀγαπώντων εἰρήνην, ὥς φασι, καὶ διωκόμενος ἀνάγκην ἔχει κἂν μὴ βούληται πρὸς ἄλλον τόπον μεθίστασθαι· δὸς οὖν αὐτῷ ἐφόδιον τὰς σὰς εὐχὰς, καὶ εὐλογήσας ἀπόστειλον· ἵνα καὶ αὐτὸς ἐν ἡσυχίᾳ διατελῶν ἐνταῦθα, εὐαρέστως τῷ Θεῷ διαζήσῃ· ἐπειδὴ γὰρ εὕρηται τόπος, οὗ τὴν ἐπιζητουμένην αὐτῷ εἰρήνην ἕξει, καὶ οἱ διώκοντες αὐτὸν ἀπαλλαγέντες τοῦ δοκοῦντος ἐπαχθοῦς, μηκέτι πρόφασιν ἔχωσι τῆς ἑαυτῶν ἀταξίας τὴν τοῦ ἀνδρὸς ἐπιβαρῆ ὡς νομίζουσι σὺν αὐτοῖς διατριβὴν καὶ κατοίκησιν.

CXLVIII. ΕΥΘΥΜΙῼ ΜΟΝΑΖΟΝΤΙ.

Ἡ τοῦ πνεύματος ἀγάπη οὐκ οἶδε διάστασιν, ἀλλ᾽ οἱ τῇ ἑνώσει ταύτης συναφθέντες, εἰ καὶ τόπος αὐτοὺς διΐστησι, μένουσιν ἡνωμένοι καὶ τῆς μακαρίας ἐκείνης ἑνώσεως ἀπολαύοντες· καὶ ἡμεῖς τοίνυν τῇ ὁσιότητί σου ἀφ᾽ οὗπερ τῷ ἐν ἁγίῳ πνεύματι συνήφθημεν, μᾶλλον δὲ τοσοῦτον συναπτόμεθα πλέον, ὅσον ἡ σωματικὴ μεσιτεύει διάστασις· ἡ μὲν γὰρ σωματικὴ σχέσις ἐκ τῶν ὁρωμένων χαρακτήρων ἔχει τὴν συνοχήν· τούτων δὲ μὴ παρόντων, κατὰ βραχὺ λανθάνει διαλυομένη· ἡ δὲ τοῦ πνεύματος, ἕτερον τρόπον τῇ τῶν σωματικῶν ὑπομνήσεων ἀναχωρήσει ἐπὶ πλέον συσφίγγεται, πλὴν εὐχόμεθα τῷ ἁγίῳ Θεῷ καὶ συγγενέσθαι ἀλλήλοις, καὶ θέας καὶ ὁμιλίας κοινῆς ἀπολαῦσαι· ἵνα μὴ μόνον διϊσταμένων ἡμῶν ἀλλὰ καὶ συνόντων δοξάζηται παρ᾽ ἡμῶν ὁ συνάψας ἡμᾶς Θεὸς τῷ συνδέσμῳ τοῦ πνεύματος· εἴης ἡμῖν ἐῤῥωμένος· ἡ δ᾽ εὐχὴ περὶ τοῦ σαρκίου, καὶ τῆς ἡμῶν ὑπερευχόμενος μετριότητος.

CXLIX. ΣΤΡΑΤΗΓῼ ΤΩΝ ΘΡΑΚΗΣΙΩΝ.

Ἃ γράφομεν, τέκνον ἡμῶν, οἴδαμεν ὅτι καὶ χωρὶς τῆς ἡμετέρας ποιεῖς ὑπομνήσεως· οὐδὲ γὰρ ἐπήρειαν οὐδὲ χεῖρα βαρεῖαν

τῶν ἐπιτιθεμένων τοῖς ταπεινοτέροις ἡ σὴ φιλοθεΐα συγχωρεῖ, γινώσκουσα ὡς εἰς τοῦτο παρὰ Θεοῦ προήχθης, καὶ ἄρχειν ἄλλων ἐλάχθης, ἵνα καὶ τοὺς ἀδικεῖν βουλομένους ἀναστέλλῃς, καὶ τοὺς εἰς τὸ καταπονεῖσθαι διὰ πενίαν ἑτοίμους, διὰ τῆς σῆς βοηθείας τῆς ἐκείνων βιαιότητος λελυτρωμένους ἀπολαύῃς· ταῦτα οἴδαμεν ὅτι καὶ μελετᾷς καὶ τὴν μελέτην εἰς ἔργον προάγεις, κἂν μηδεὶς ἔστιν ὁ γράφων ἢ παραίνεσιν ποιούμενος, ὅμως ἐπεὶ ὁ τὸ γράμμα κομίζων εἷς ὢν τῶν ἡμῖν γνωριζομένων πολλαῖς ἐξεβιάσατο παρακλήσεσι πρὸς τὸ γράμμασιν ἡμετέροις ὥσπερ συστῆναι αὐτὸν πρὸς τὴν σὴν μεγαλόδοξον ὑπεροχὴν, πληροῦντες τὴν ἐξαίτησιν αὐτοῦ, τὸ γράμμα παρέσχομεν· ὁμοῦ τε διὰ τοῦ γράμματος τοῦτον συνιστῶντες, καὶ δεῖξαι καὶ εἰς αὐτὸν τὴν σὴν κηδεμονίαν παρακαλοῦντες, ἧς ἀπολαύουσι πάντες οἱ ταῖς σαῖς περιθαλπόμενοι πτέρυξι, καὶ ἀνεπηρέαστοι διασωζόμενοι παρὰ τῶν ποιουμένων ἀπόλαυσιν καὶ τρυφὴν ἰδίαν τὰς τῶν ἐπηρεαζομένων ταλαιπωρίας· ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος εὐοδούμενον ἐν τοῖς πράγμασι, καὶ ὁμαλῶς τὸν βίον διαπορευόμενον, καὶ τοῦ φθόνου τῶν κέντρων ἄτρωτον διαμένοντα.

CL. ΦΙΛΟΘΕΩ ΠΑΤΡΙΚΙΩ.

Κληρικοὶ τῆς ἐν Νικαίᾳ μητροπολέως κατέλαβον πρὸς τὴν ἡμῶν μετριότητα, καὶ χωρὶς τῶν λόγων ἀπ' αὐτῆς ὄψεως, τέκνον ἡμῶν, τὴν σύγχυσιν καὶ τὴν ὀδύνην τῆς ἑαυτῶν ψυχῆς ἐμφανίζοντες· ἐπεὶ δὲ λέγειν ἀπήρξαντο, τοσοῦτον καὶ ἡ τῶν λόγων διάθεσις ἐτύγχανε παθητικὴ, ὅτι καὶ τὴν ἡμετέραν ψυχὴν πρὸς τὴν αὐτὴν σύγχυσιν, καὶ τὴν ὀδύνην κατέστησεν, ἵνα μὴ τὸ πλέον λέγω, τῆς συνοχῆς· καὶ πῶς γὰρ οὐκ ἔμελλον, τέκνον ἐμὸν, τοιαῦτα πάσχειν, ὅτε λειτουργοὶ τοῦ ἁγίου θυσιαστηρίου πρεσβύτεροι φημὶ καὶ διάκονοι, ὁποῖοι δ' ἂν καὶ ὦμεν, καὶ οἵαις ἁμαρτίαις ἐνεχόμεθα, πρὸς στρατείαν κοσμικὴν καταλέγονται; φεῖσαι κύριε τοῦ ἁγίου θυσιαστηρίου σου, καὶ μὴ οὕτω διὰ τὰς ἁμαρτίας ἡμῶν ἐξουδενώσῃς ἡμᾶς· ἐγὼ, τέκνον ἐμὸν, ὅτε τοῖς ἐμοῖς

ωσὶ προῆλθον οἱ λόγοι, οὕτως ὑπὸ τοῦ πάθους ἐπάγην, καὶ οὕτως ὅλος ἐγενόμην τῆς ἐκπλήξεως, ὥστε εἰς ἀμηχανίαν μὲν καταστῆναι τοῦ γράφειν, μηδὲν δὲ ἄλλο ποιεῖν ἢ ταλανίζειν μὲν τὴν οἰκείαν ζωὴν, θρηνεῖν δὲ καὶ ὀδύρεσθαι τὸν παρόντα καιρὸν, ὃς τοιαύτην περιπέτειαν ἤνεγκε τῶν πραγμάτων· ἀλλ' ἐπεὶ τῶν κληρικῶν αἱ ὀλοφύρσεις ἀνακοπὴν οὐκ ἐδέχοντο, ὀψὲ καὶ μόλις ὥσπερ ἐμαυτοῦ ἐγενόμην, καὶ πρέπον ἡγησάμην γράμμα πρὸς τὴν σὴν μεγαλόνοιαν διαχαράξαι, δι' οὗ παρεγγυῶμαι εἰ δυνατὸν φείσασθαι τοῦ ἱερατείου, μᾶλλον δὲ τῆς θείας δοξολογίας, ἣν εἰ καὶ διηνεκῶς ἔχει προσφερομένην ἐν οὐρανοῖς ὁ θεὸς, ὅμως βούλεται καὶ ἐπὶ γῆς ταύτην αὐτῷ ὑπὲρ ἀνθρώπων προσφέρεσθαι· εἰ μὲν γὰρ καὶ ἄλλοι τινὲς, καὶ μὴ τῶν τὸ ἅγιον κυκλούντων θυσιαστήριον ὑπῆρχον, οὐδ' οὕτως ἦν ἀνεκτὸν· τὸ γὰρ ὅλως ἀφιέρωμα ἤδη τὶ γεγενημένον εἰς κοινὴν χρῆσιν μεταφέρειν, οὐκ ἔστιν ἀκατάκριτον· ὅταν δὲ οἱ τὰ ἅγια φέρειν καταξιωθέντες ἐκεῖνοι πρὸς στρατιωτικὰς λειτουργίας ἀπάγωνται, τί ἂν τις ἐρεῖ; σκόπει, τέκνον ἡμῶν, ὅτι οὔτε ὕφασμα, οὔτε ἄργυρον, οὔτε χαλκὸν, ἀλλ' οὔτε λίθον εἰς ναὸν ἀφωρισμένον θεοῦ, ἔξεστι κοινοποιεῖν, οὐδ' εἴ τις τολμᾷ ταῦτα, καταδίκης ἀνώτερος· εἰ δὴ οὖν οὕτως ἐστὶν, ὥσπερ καὶ ἔστι, σοὶ καταλείπω θείᾳ χάριτι τελειοτάτῳ τὴν σύνεσιν ὄντι, τὸ νῦν γινόμενον κρίνειν.

Ἐβουλόμην τὸ γράμμα ἐκτείνειν καὶ διὰ πλειόνων τὴν ἀτοπίαν τοῦ πράγματος, καὶ τὸ ἡμέτερον ἄλγος ἐμφανίζειν· ἀλλ' ἱκανὰ τὰ εἰρημένα πρὸς τὴν σὴν ἀρετὴν, ἥ τις κἂν μηδεὶς ἕτερος λέγῃ, δυνατὴ ἀφ' ἑαυτῆς καὶ συνιέναι καὶ ἄλλους περὶ τούτου διδάσκειν· τοσοῦτον δὲ μόνον φημὶ, ὅτι ὅπερ ἐξ ἀρχῆς προνόμιον δέδοται παρὰ τῶν κοσμησάντων εὐσεβείᾳ τὸ στέφος μητροπόλει, χάριν τῶν ἐν αὐτῇ κεκροτημένων ἱερῶν συνόδων· καὶ ὅρα ὅσος ὁ χρόνος· ἀφ' οὗ γὰρ Χριστῷ ὑπετάγη τῷ βασιλεῖ καὶ θεῷ ἡ τῶν σκήπτρων ἐξουσία τοῦτο παρεσχέθη, μὴ νῦν ὀφθῇ περιυβριζόμενον μὴ δὲ καταπεφρονημένον· οὐ γὰρ ἄξιον οὔτε πρὸς τιμὴν διαβαῖνον ἢ τῶν προσταττόντων ἢ τῶν πληρούντων τὸ πρόσταγμα·

τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος ἐν πᾶσιν εὐαρεστοῦντα, καὶ τῆς παρ' αὐτοῦ ἀποδοχῆς ἀξιούμενον.

CLI. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ.

Οὐκ οἶδα τί ἐρῶ ἐπὶ τοῖς οὐκ ἐθέλουσιν ἀνεῖναι σπαραγμοῖς τὴν ἐπώδυνον καρδίαν ἡμῶν· οὐ γάρ ἐστιν ἰδεῖν ἡμέραν, ἐν ᾗ μὴ διαξαινόμεθα ταῖς ἐπιτιθεμέναις ἀλγηδόσι, καὶ πληροῦται ὡς ἔοικε τὸ εἰρημένον, ᾧ τινι καὶ ἐῤῥήθη ἀεὶ τὰ κακὰ τοῖς κακοῖς ἐπισυναπτόμενα τὸν ἐμὸν περιστιχίζει βίον· καὶ παρῆλθεν οὔπω τὸ χεῖρον, καὶ παρέστηκεν ἕτερον χεῖρον· οὐκ οἶδα τί πρὸς ταῦτα ἐρῶ, ἀλλ' εἰ καὶ τοῖς συνήθεσι καὶ ἀνθρωπίνοις ἐχρησάμην λόγοις· πλὴν οἶδα τῶν ἁμαρτιῶν ἡμῶν εἶναι τὴν αἰτίαν τῆς τοιαύτης τῶν χαλεπῶν ἐπιθέσεως· τὸ γὰρ ἃ μὴ δ' ἄλλου τινὸς προλέγοντος ἐλπίσαι γενέσθαι, ταῦτα ἡμῖν ἀπαντᾷν, πόθεν ἄλλοθεν, ἢ ἐξ ἧς εἶπον αἰτίας ἔχει τὴν γένεσιν; θορυβῇ τὴν ψυχὴν ἴσως, τέκνον ἡμῶν ἱερώτατον, ὥσπερ ἐπικεκαλυμμένης προσιούσης σοι τῆς ἡμετέρας ἀλγηδόνος· οὐκοῦν τὸ πρᾶγμα ἐκδηλότερον μάνθανε· ὁ τοῦ Δυῤῥαχίου μητροπολίτης τὰ ἐνταῦθα καταλαβὼν, οὐκ οἶδα τί παθὼν τοῦ πληρώματος τῆς ἐκκλησίας ἑαυτὸν απομερίζειν ἠγάπησε· τοῦτον πλειστάκις παραινέσεσιν, ὅσαι τῶν ταπεινῶν χειλέων ἡμῶν ἰσχὺν ἔχουσι προϊέναι, τῆς ἀτόπου γνώμης μετενεγκεῖν ἐπειράθημεν, ἀλλ' εἰς κενὸν ὤφθημεν ῥαψῳδήσαντες· διὰ τοῦτο πρὸς τὴν ὑμῶν σύνεσιν ἐκπεμφθῆναι αὐτὸν καλὸν εἶναι κεκρίκαμεν, ἐλπίζοντες τὸ ἀπειθὲς αὐτοῦ εἰς εὐπείθειαν οὕτω μετενεχθῆναι· ἅμα δὲ καὶ τοῦτο ἐνθυμηθέντες, ὅτι ἐνταῦθα διατρίβων ὑπὸ τῶν ἀποστατησάντων τῆς ἐκκλησίας οἷα εἰκὸς καθ' ἑκάστην εἰσηγήσεις λαμβάνων, ὕστερον ὀφθήσεται πρὸς τὸ τῇ ἐκκλησίᾳ συναφθῆναι δυσπειθέστερος· πρὸς ὑμᾶς δὲ στελλόμενος, καὶ εἴ τινα πρόσληψιν ἔσχε τοῦ τῆς ἐκκλησίας ἀποστατεῖν, ῥᾳδίως ἀποθήσει τήν τε ἄλλην ἀρετὴν τῆς σῆς ἀρχιερωσύνης ἐξευλαβούμενος, καὶ τὴν ἐξ ἀρχῆς συνήθειαν, καὶ ὅσης εὐεργεσίας αὐτῷ πρόξενος ἐγένου ἀναλογιζόμενος, εἰ μὴ ἄρα πρὸς

τὸν τοῦ Ἰούδα βρόχον, καὶ εἴ τις ἐκείνων παρόμοιος κατένευσε, καὶ διὰ τοῦτο φιλονεικήσει τοῦ τῆς ἐκκλησίας ἑαυτὸν ἀποτεμεῖν σώματος.

CLII. ΑΔΗΛΩ.

Οὐδὲν ἄλλο πρὸς τὴν ὑμῶν σύνεσιν, τέκνον ἡμῶν, αὐτοπαράκλητον οὖσαν πρὸς τὸ καλὸν καὶ θεάρεστον γράφομεν, ἢ μόνον ὅσον εἰς τὸ παραστῆσαι τοὺς ἐπικομιζομένους τὸ γράμμα, καὶ γνωρίσαι ὑμῖν ὅτι τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ πρὸς τὴν ἀπ᾽ ἀρχῆς ἀποταχθεῖσαν ὑπηρεσίαν, λέγομεν δὴ τὴν τῆς κράμβης συντέλειαν, ἀφωρισμένοι τυγχάνουσι· σὸν οὖν ἐστι καὶ τῆς σῆς ἔμφρονος γνώμης τοῦτο μαθόντι διατηρῆσαι αὐτοὺς ἀβαρεῖς τῆς ἄλλης τοῦ δημοσίου περιαγωγῆς καὶ περιστάσεως· ἀδύνατον γὰρ ὡς καὶ αὐτὸς ἐξεπίστασαι ταῖς τε λειτουργίαις τοῦ δημοσίου ὑπάγεσθαι, καὶ τὴν ἐξ ἀρχῆς ἀποταχθεῖσαν αὐτοῖς ἐν τῇ ἐκκλησίᾳ ἐπιτελεῖν συνεισφοράν· τὰ δ᾽ ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι ὁ κύριος, τέκνον ἡμῶν, ὑπὸ τῇ σκέπῃ τῶν πτερύγων αὐτοῦ, τὴν ἀνώμαλον καὶ πολύπονον τοῦ βίου ὁδὸν ἐξανύοντα.

CLIII. ΘΕΟΔΟΣΙΩ ΜΟΝΑΧΩ ΚΑΙ ΚΟΥΒΟΥΚΛΕΙΣΙΩ.

Ἄλλας ἐτρέφομεν ἐλπίδας ἐπὶ τοῖς μονάζουσιν, ἢ ὁποίας νῦν διὰ τοῦ γράμματος ἔγνωμεν· ὡς εἰκὸς γὰρ ἠλπίζομεν οὐκ ὀλίγης εὐεργεσίας ἀπολαύσαντας αὐτοὺς παρὰ τῆς ὑμῶν ὁσιότητος οὐ μόνον οὕτως ἐν βραχεῖ καιρῷ ἐπιλελῆσθαι τῆς σῆς ἀγαθῆς προαιρέσεως, ἀλλὰ καὶ τὸν πάντα βίον διατελέσειν εὐγνωμονοῦντας, καὶ τὸν εὐεργέτην ὅση δύναμις ἀντιδεξιοῦσθαι ταῖς θεραπείαις σπουδάζειν· νῦν δὲ τί εἴπω; ἐξάγομαι γὰρ ὑπὸ τῆς λύπης, καὶ φθέγγομαι σὺν τῷ προφήτῃ· σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων, καὶ οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός· ἀλλ᾽ ἐκεῖνοι μὲν τῆς ἀχαριστίας, ἴσως καὶ νῦν τοῦ κέρδους αἰ-

σθήσονται· πάντως δὲ εἰ καὶ μὴ νῦν, ἀλλ᾽ ἐν τῷ μέλλοντι αἰῶνι συντετάξονται τοῖς ἀγνωμονοῦσι· σὺ δὲ ὦ ἄνθρωπε τοῦ θεοῦ μὴ ἀκηδία, μὴ δὲ τὸ ὑψηλὸν τῆς διανοίας τῷ πάθει καταβαπτίσῃς, ἀφορῶν πρὸς τὴν θείαν ἀντίληψιν, ἥ τις οὐδέποτε καταλείπει τοὺς πρὸς αὐτὴν ἀφορῶντας· ἀλλὰ τῶν μὲν ἀγνωμονησάντων ὑπερεύχου, οἰκτείρων τῆς κακίας αὐτοὺς ὡς ἄνθρωπος τοῦ θεοῦ· ἐπὶ δὲ τῶν χρηστοτέρων ἐλπίδων πεποιθότι ἀνάβηθι λογισμῷ· πάντως γὰρ σὺν τῇ θείᾳ εὐμενείᾳ τῶν τέως λυπούντων τὴν ζωὴν ἔσται διάλυσις παρὰ τοῦ μηδέποτε καταισχύνοντος θεοῦ τοὺς οἰκείους θεράποντας· περὶ δὲ τῆς ὑμῶν εἰσόδου ὅτι καὶ μέχρι τοῦ παρόντος οὐ γέγονεν, ἴσθι λελυπημένους ἡμᾶς ἐπὶ σοί· οἶμαι γὰρ μὴ ἐπιλελῆσθαί σε, ὅτι προσείπωμεν ἐξιόντι σοι, τὴν γέννησιν Χριστοῦ τοῦ θεοῦ ἡμῶν, μὴ χωρὶς τῆς μεθ᾽ ἡμῶν συνουσίας τελέσειν· ἐπεὶ δὲ τοῦτο μὴ γέγονε, τέως ἣν νῦν ἐν τῷ γράμματι προθεσμίαν παρέθου μὴ διαψεύσῃ· ἀλλ᾽ εἴ γε τῷ παρόντι βίῳ θεῷ κεκριμένον ἐστὶ περιφέρεσθαι ἡμᾶς, τὴν τῶν βαίων ἑορτὴν ἧκε σὺν ἡμῖν ἑορτάσων· ἃ δὲ περὶ τῆς δίκης τῶν μοναχῶν ὑπεσήμαινε τὸ γράμμα, δεῖ ἐκείνους παρεῖναι μεθ᾽ ὧν ἔχουσι λόγων δικαίων· καὶ εἴτε ἡμῖν ἐντυχεῖν, εἴτε προσφωνῆσαι ταῖς βασιλικαῖς ἀκοαῖς τὰ τῆς ὑποθέσεως· οὕτω γὰρ μᾶλλον ῥᾴδιος ἔσται ἡ τῶν πραγμάτων διοίκησις.

CLIV. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ.

Καὶ πρότερον περὶ τῆς μελετηθείσης ὑπὸ τῶν ἐμῶν ἁμαρτιῶν συσκευῆς (τί γάρ με δεῖ ἄλλους αἰτιᾶσθαι, προφανοῦς ἡμῖν τῆς αἰτίας οὔσης;) ἐγράψαμεν, τέκνον ἡμῶν ἱερώτατον, ὡς μέχρι τῆς ὁρμῆς καὶ μόνης τὸ κακὸν ἔστη, οὕτω τῆς ἄνωθεν ἀγαθότητος διοικονομησαμένης, καὶ πεῖρά τις οὐ προσήγγισε κακότητος· νῦν δὲ εἴ γέ τι ἐν ἀνθρωπίνῳ βίῳ ἄμεινον δεῖ λέγειν, τέως ἀποσαλεύομεν ἐν τοῖς ἀμείνοσι· περὶ δὲ τῶν ἐσομένων ἀπὸ τοῦδε πρὸς τὸ ἀστάθμητον ἀφορῶσι τῶν ματαίων τοῦ βίου πραγμάτων, οὐκ ἔστι λόγος· πλὴν εὐχόμεθα εἰ καὶ ἀχρεῖοι τοῦ συνοίσοντος

διὰ τῶν ἱερῶν ὑμῶν εὐχῶν τῇ ψυχῇ μὴ διαμαρτεῖν· καὶ ἔστωσαν ὁποῖά ποτ' ἂν ᾖ, ὡς οὐδὲν ἡμῖν σὺν Θεῷ μελήσει περὶ τῆς αὐτῶν διαθέσεως· ἐῤῥωμένον σε διαφυλάξοι Χριστὸς ὁ Θεὸς ἡμῶν μεμνημένον ἐν ταῖς ὁσίαις εὐχαῖς τῆς ἡμῶν μετριότητος.

CLV. ΑΔΗΛΩ.

Εὐλογητὸς ὁ Θεὸς ὁ τὸ νέφος τῆς ἐπὶ σοὶ λύπης ἡμῶν διασκεδάσας, ὦ ἄνθρωπε τοῦ Θεοῦ· καὶ γὰρ καὶ πρὸ τοῦ γράμματος ἡ σκυθρωπὴ ἀγγελία τῆς σῆς ἀῤῥωστίας προσῆλθε ταῖς ἡμῶν ἀκοαῖς, δι' ἣν καὶ τῷ νέφει τῆς ἀθυμίας συνείχετο ἡμῶν ἡ ψυχή· ἀλλὰ χάρις τῷ ἁγίῳ τῷ Θεῷ τῷ νῦν διὰ τῆς παρουσίας τῶν γραμμάτων τὰ χρηστότερα δόντι μαθεῖν, καὶ τῆς ἐπὶ σοὶ ἀπαλλάξαντι λύπης· ταῦτα μὲν περὶ τοῦ κατασχόντος νοσήματος· περὶ δὲ τοῦ κουβουκλεισίου μηδεμίαν ἡ σὴ ὁσιότης φερέτω θλίψιν· εἰ γὰρ καὶ γέγονε βασιλικὴ πρόσταξις τοῦ ἐξωσθῆναί τινας τῶν κουβουκλεισίων, ἀλλ' εἰς τὸν σὸν καὶ ἡμέτερον οὐδὲν τοιοῦτον οὔτε γέγονεν, οὔτε γενήσεται· ἔσται δὲ ὥσπερ πρὸ τούτου ἐν τῷ οἰκείῳ μένων ἀξιώματι, καὶ τῆς κατὰ πρόσωπον ἡμῶν μὴ ἀποστερούμενος παραστάσεως· ὥστε εἴ τι χάριν τούτου παρηνώχλει τῇ σῇ ψυχῇ λυπηρὸν, τοῦτο ἀπόθου, καὶ Θεοῦ κατανεύοντος τῆς τελείας ἀπαλλαγῆς τῆς ἀῤῥωστίας ἡκέτω τὰ εὐαγγέλια.

CLVI. ΡΩΜΑΝΩ ΒΑΣΙΛΕΙ.

Δέσποτα καὶ τέκνον δεδοξασμένον ὑπὸ Θεοῦ. Ὡς μὲν ἡ πληγὴ μεγάλη καὶ πικρὰν φέρουσα τὴν ὀδύνην ἡ ἐκείνην, ὅπερ καὶ γέγονεν ἐξ ἡμῶν χωρισθῆναι· σκεψώμεθα οὖν, ὅτι καὶ ἐν τούτῳ ὥσπερ ἐν τοῖς ἄλλοις εὐεργέτησεν ἡμᾶς ὁ Θεός· εἰ γὰρ ὅπερ εἶπον ἀνάγκη συμβῆναι, τίνα μᾶλλον ἔδει τὴν ἐκ τοῦ διαχωρισμοῦ ὑπομεῖναι ὀδύνην; σὲ τὸν δυνάμενον μᾶλλον ὑποφέρειν τὸ ἄλγος; ἢ ἐκείνην τὴν διὰ τὴν γυναικείαν ἀσθένειαν μέλλουσαν παντελῶς ὀκλάζειν, καὶ πρὸς τὸ βάρος τῆς ὀδύνης εἴπερ συνέβη, ὁ μὴ βε-

βούληται ὁ Θεὸς συμβῆναι, παντελῶς ἑαυτῆς ἀπογινώσκειν, καὶ τυχὸν καὶ εἰς βλασφήμους λογισμοὺς καὶ λόγους ὑπὸ τοῦ πάθους ἐξάγεσθαι; συνέζευξεν αὐτὴν ὁ Θεὸς ὁ πλάστης καὶ νυμφαγωγός· εὐχαριστήσωμεν ὑπὲρ ὧν ἀπηλαύσαμεν τῇ ἐκείνου κρίσει· αὐτῷ μέλει περὶ τῆς ζωῆς ἡμῶν καὶ τῶν ἐπ' αὐτῷ πεποιθότων, ὧν δέσποτα καὶ αὐτὸς τυγχάνεις· πρὸς τὸ συμφέρον διεξάγει τὰ πράγματα· ῥίψωμεν τὸ πάθος, ἀποβαλώμεθα τὴν κατήφειαν, ἵνα μὴ ὥσπερ γογγύζοντες κατακριθῶμεν κατὰ τῆς θείας κρίσεως· τὰ μὲν τοῦ μακαρίου προφήτου Δαβὶδ ἐπὶ τῷ παιδὶ αὐτοῦ, οἶδα ὅτι ἐπίστασαι, καὶ περιττόν ἐστι περὶ τούτου γράφειν ἡμᾶς· ἀλλ' ἑτέρων τινῶν μεγαλοψύχων ἀνδρῶν ἐφ' ὁμοίοις πάθεσι μεγαλοψυχίαν διηγήσομαι.

Ἐγένετό τις ἐν τῇ ῥωμαϊκῇ πολιτείᾳ οὔπω τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν τὰ ῥωμαϊκὰ σκῆπτρα τῇ ἑαυτοῦ ὑποτάξαντος ἐξουσίᾳ, ἀλλ' ἐγένετό τις Αἰμίλιος ὄνομα τῷ ἀνθρώπῳ, εἴ γε μαθεῖν καὶ τὴν κλῆσιν ἐπιθυμεῖς· καὶ δύο παίδων ἀῤῥένων κατὰ τὸ αὐτὸ τεθνηκότων, οὐκ ἐκλάσθη τὴν ψυχὴν ὑπὸ τοῦ πάθους, οὐκ ἔπαθέ τι τοιοῦτον οἷον πάσχουσιν οἱ κοπτόμενοι ἐπὶ τοῖς νεκροῖς· ἀλλὰ τί; εὐχαριστῶ ἔφη, ὅτι ἐφ' ὅσον χρόνον εὐδόκησεν ὁ Θεὸς ἐπ' αὐτοῖς εὐφρανθῆναι, τὴν εὐφροσύνην ἔσχον ἐφ' οἷς ἐκ τοῦ σπέρματός μου ἐβλάστησαν· καὶ νῦν ὅτε ἔκρινε τούτους λαβεῖν, οὐκ ἔσομαι ἀχάριστος. Ἄλλος ἀνὴρ ἐπίσημος ἐν τοῖς ἕλλησι· τούτου παῖς ἄλλοθί που διατρίβων τῇ τοῦ θανάτου δρεπάνῃ, ὥσπέρ τις ἐκόπη βλαστός· καὶ ἧκον τινὲς ὡς ἐνόμιζον ὀδυνηρὰν ἀπαγγελίαν κομίζοντες· ἀλλ' ἀκούσας ὁ μεγαλόφρων πατὴρ, οὐδὲν ἔπαθεν ἀνάξιον τῆς ἑαυτοῦ ἀρετῆς, οὐκ ἐκόψατο, οὐκ ἐθρήνησεν, ἀλλ' ἔφη πρὸς τοὺς ἀπαγγείλαντας, ἠπιστάμην, ὦ οὗτοι, ὅτι θνητὸν ἐγέννησα (1).

Οὕτω καὶ σὺ δέσποτα τῇ παρὰ θεοῦ δεδομένῃ σοι φρονήσει συνδιατιθέμενος, μηδὲν ἀνάξιον τῆς σῆς μεγαλοφροσύνης πάσχειν ὑπομείνης, ἀλλ' εἰδὼς ὅτι ὅτε συνεζεύχθης αὐτῇ, θνητῇ συνεζεύχθης, μᾶλλον ὑπὲρ ὧν αὐτῇ συνέζησας χρόνων, καὶ ὧν ἀπή-

(1) Dictum hoc Anaxagorae fuit.

λαυσας τῆς ἐκείνης φιλανδρίας· καὶ μὴ νῦν ὥσπερ ἀδικίαν παρὰ θεοῦ ὑποστὰς, οὕτω φαίνου κατηφὴς καὶ σκυθρωπάζων· καὶ γὰρ οἱ κατηφείᾳ καὶ σκυθρωπότητι συγκατεχόμενοι, πάντως διὰ ζημίας τινὰς καὶ βλάβας τὰ τοιαῦτα πάσχουσιν· οὐκ ἔστιν οὖν φοβερὸν δέσποτα καὶ τέκνον μου ἠγαπημένον τὸ νομίζειν ἐζημιῶσθαι ἡμᾶς ὑπὸ θεοῦ καὶ βλάβην τινὰ παρ' αὐτοῦ ὑπομεῖναι, τοῦ δοξάσαντός σε καὶ πρὸς τὸ ὕψος τῆς βασιλείας ἀναγαγόντος καὶ τῆς κληρονομίας αὐτοῦ τῆς ἁγίας δεσπότην καὶ κύριον καταστήσαντος· μὴ παρακαλῶ, μηκέτι θρηνῶμεν, μὴ ὀδυρώμεθα, μὴ τὴν κατήφειαν περιφέρωμεν· ἀλλὰ μᾶλλον εὐχαριστῶμεν καὶ δοξάζωμεν ὡς ἐν τοῖς ἄλλοις πᾶσι, καὶ ἐν τούτῳ τὸν ἐξ ἀρχῆς καὶ μέχρι τοῦ παρόντος, τὸν σὸν φαιδρύναντα βίον καὶ εὐεργετήσαντα· καὶ ἔτι πεποίθαμεν τῇ αὐτοῦ ἀγαθότητι τὰς εὐεργεσίας ἐπαυξήσοντα, ἐὰν ἡμεῖς εὐαρεστεῖν αὐτῷ, καὶ κατὰ δύναμιν τὰ εἰς θεραπείαν πράττειν σπουδάσωμεν· εἴη δὲ Χριστὸς ὁ θεὸς ἡμῶν καὶ ταύτης ὑπεράνω τῆς λύπης τιθεὶς καὶ πάντων λυπηρῶν, ὅσα τῇ ὀδυνηρᾷ ταύτῃ παρακολουθεῖν οἶδε ζωῇ, καὶ τῆς αἰωνίου χαρᾶς καὶ φαιδρότητος παρεχόμενος τὴν κληρονομίαν.

CLVII. ΔΗΜΗΤΡΙΩ ΚΥΖΙΚΟΥ.

Ὥσπερ ἦν προσῆκον τέκνου ἡμῖν ποθουμένου ἀναμαθοῦσιν εὐετηρίαν, ἡ ὀφειλομένη τῷ θεῷ ἀνηνέχθη εὐχαριστία· εὐχόμεθα δὲ καὶ ἔτι παντὸς λυπεῖν εἰδότος ἐναντιώματος ἀνώτερον διατηρεῖσθαι, καὶ κατὰ μηδὲν τὴν ὑμῶν ἀρετὴν εἰς τὸ τὰ οἰκεῖα πράττειν ἀπείργεσθαι, ἀλλ' ὑπάρχειν ἀεὶ πρός τε τὴν θείαν εὐαρέστησιν, καὶ πρὸς τὴν τοῦ ποιμνίου κατάρτισιν ἀνεμπόδιστον· ἃ δὲ περὶ τῶν κληρικῶν ἔγραψας, τῶν οὐκ οἶδα πῶς εἴπω ἐξ ἀσυνεσίας ἢ κακουργίας μὴ βουληθέντων ἀπαντῆσαι ἐν τῇ ὡρισμένῃ κρίσει, διὰ τὸ μὴ δόξαι ἡμᾶς οἷον πικρίᾳ τινὶ ἀντιφέρεσθαι πρὸς τὴν τούτων πλημμέλειαν, καλῶς ἔχει βραχύ τι προσυπομεῖναι καὶ προτρέψασθαι αὐτοὺς, καθὼς ἀπ' ἀρχῆς ὥρισται, ἐπὶ τοῦ τόπου παραγενέσθαι, καὶ τῷ δικαίῳ λόγῳ καταθέσθαι·

εἰ δὲ μὴ βούλοιντο, ἀλλ' ἔτι τῆς οἰκείας ἀντέχονται κακοτροπίας, τότε ὅπερ ἠξίωσας ἔσται, καὶ γράμμα παρ' ἡμῶν ἐκπεμφθήσεται, ὥστε καὶ ἀπόντων αὐτῶν πέρας ἐπιτεθῆναι τοῖς κεκριμένοις· καὶ ἡμῖν, ἀδελφὲ καὶ τέκνον τὸ μάλιστα ἠγαπημένον καὶ ἀγαπῶν, τὰ μὲν ἐκ τοῦ γήρως καὶ τῆς ἀσθενείας ὀδυνηρὰ ἐπέστη, ὡς οὐδὲν ἔλαττον, ἵνα μὴ λέγω μᾶλλον ἐπίκειται· ἡ δὲ τῶν ἄλλων ὅσα διὰ τὰς ἁμαρτίας ἡμῶν προστιθέμενα τὴν ἄθλιον ζωὴν δαπανᾷ, πῶς ἄλλως εἴπω ἢ θεόθεν κάκωσις, οὐκ οἶδα εἰ μὴ προστασίας οἷς οἶδε κρίμασι λαχούσης ὁ τάξας εἰς τοῦτο θεός, ἀλλὰ καὶ τῆς ἐν ζῶσι συναναστροφῆς προτρέπεται φέρειν ἡμᾶς· οὐκ ἐβουλόμην οὖν εἰσελθεῖν, ἀλλὰ μᾶλλον πορρωτέρω καὶ πρὸς τὴν νῆσον ἀπιέναι· τῆς δὲ ὁρμῆς ἐπεσχέθην, οὐ δυνηθεὶς ἀξίωσιν ἀδελφοῦ καὶ τέκνου μοι ποθουμένου εἰς κρίσιν τῆς ἐμῆς ἀποῤῥίψαι δευτέραν βουλήσεως· εἰσελευσόμεθα οὖν ὡς ἐπέστειλας, ἅμα καὶ ὀψόμενοι καὶ θεοῦ διδόντος παράκλησιν ἐπὶ τοῖς συνέχουσι τῇ κοινῇ συνομιλίᾳ εὑρήσοντες, καὶ εἴ τι δεῖ περὶ τῆς τῶν πραγμάτων χαλεπότητος σοὶ τῷ χάριτι θεοῦ μηδὲν προτιμῶντι τοῦ φρονεῖν ὀρθῶς συνδιασκεψόμενοι.

CLVIII. ΚΩΝΣΤΑΝΤΙΝῼ ΜΗΤΡΟΠΟΛΙΤῌ ΛΑΟΔΙΚΕΙΑΣ.

Ἐλυπήσαμεν τὴν ὑμῶν ὁσιότητα οὐχὶ τοῦτο θέμενοι σκοπόν, μὴ γένοιτο, οὐδ' ἄλλοθέν ποθεν παρακεκινημένοι, μὴ τοῦτο λογίζου, τέκνον ἡμῶν, ἀλλὰ μᾶλλον ὑπολαμβάνοντες σέ τε καὶ ἡμᾶς ἀπαλλάξειν λύπης, ἐφ' οἷς ἔνθεν κἀκεῖθεν περιτρέχοντες οἱ κατὰ τῆς σῆς ὁσιότητος φλυαροῦντες, πολλῶν ἀκοὰς παρηνώχλουν· σὺ χρὴ οὖν τὴν σὴν ἐπὶ τούτῳ ἀρετὴν λυπεῖσθαι· τί γάρ; καὶ ἀπήντησε χαλεπόν· οὐδὲ γὰρ χάριτι θεοῦ ἡ ἐκείνων φλυαρία μῶμον τινὰ τῇ σῇ ἀρετῇ προσετρίψατο, ἀλλ' αὐτοὶ μᾶλλον ὤφθησαν κατεγνωσμένοι, καὶ ὅμοιόν τι πάσχοντες· οἷον πολλάκις ἐν τοῖς κυσὶν ἔστιν ἰδεῖν, οἱ τῷ βάλλοντι προσψαῦσαι μὴ δυνάμενοι, τοὺς ἐπ' αὐτοὺς βαλλομένους δάκνουσι λίθους· οὕτως οὖν κἀκεῖνοι πρὸς ἄλλους φέροντες τὴν αἰτίαν, οὐ κατὰ τῆς ὑμῶν τι-

λειότητος εἰτβῆ καὶ μάτην ὑλακτοῦντες ἠλέγχθησαν· ὥστε εἴ τι καὶ νῦν μέχρι τοῦ νῦν ἄνθρωπος ὢν ἔπαθες τὴν ψυχὴν, ὡς οὐκ ἔδει, ῥίψον τὸ πάθος, εἴ τι σοι πρόσεστι φίλτρον ἡμέτερον καὶ λόγος, περὶ τοῦ μὴ ἀλγεῖν τὴν ἡμετέραν ψυχήν· καὶ πάλιν γάρ φημι, μὴ τοῦτο εἰς ὑπόληψιν ἔχε· οὔτε οἴκοθεν, οὔτε παρ' ἄλλου τινὸς πρὸς τοῦτο ὑπήχθημεν, ἀλλὰ μᾶλλον βουλόμενοι τὰς τῶν ἀσυνέτων ἐκείνων κληρικῶν ἀποπαῦσαι κραυγὰς, ἵνα μὴ ἐνταῦθα κἀκεῖ περιϊόντες, τοὺς οὐκ εἰδότας ἴσως τὴν σὴν ἀρετὴν πρὸς ὑπολήψεις ἀναξίους καὶ ἀπρεπεῖς τῆς ὑμῶν ὁσιότητος συναρπάζωσι· τὰ δ' ἄλλα ἐῤῥωμένος ἡμῖν εἴης, καὶ οἷα τοῦ θεοῦ ἄνθρωπος καὶ ἀρχιερεὺς, τῆς τῶν πολλῶν μικροψυχίας ἀνώτερος.

CLIX. ΤΩ ΑΥΤΩ.

Ἐπὶ τοῖς κεκριμένοις ὑμῖν περὶ τοῦ ἱερέως, ὃν ἀφροσύνη διερεθίζουσα τοῦ οἰκείου ἀρχιερέως ὑβριστὴν ἀπειργάσατο, οὐδὲ μιᾶς ἀπαντώσης τῇ κρίσει ἀντιλογίας, κανόνος γὰρ ἰσχύϊ διασφαλίζεται, τοῦτο μόνον φαμὲν, ὡς ἔξεστι βουλομένοις ἡμῖν ἐπιεικεστέραν τινὰ γνώμην συμπαθῶς κινουμένοις πρὸς τὸν ἀφρονευσάμενον ἐπιδείξασθαι, καὶ πάλιν ἐν τῷ οἰκείῳ ἀποκαταστῆσαι βαθμῷ· διότι τῶν ἁμαρτημάτων ἐκεῖνα παντελῶς ἀσύγγνωστα, ὅσα μῶμον τῷ ἁγίῳ θυσιαστηρίῳ προστρίβεται· ἃ δὲ πρὸς ἡμᾶς ἐξ ἀνθρωπίνης μικροψυχίας τῶν πλημμελούντων μόνους ὁρᾷ, ταῦτα εἰ συγχωρεῖν βουλοίμεθα, οἶμαι τὴν τοῦ θεοῦ εὐμένειαν μὴ νεμεσήσειν ἡμῖν· πῶς γὰρ ὅς γε πάσης τῆς αὐτῷ προσφερομένης θυσίας ἐπίπροσθεν ποιεῖται τὸν ἔλεον, ἔλεον γάρ φησι θέλω καὶ οὐ θυσίαν; ἐμοὶ οὖν δοκεῖ καὶ τὴν παιδείαν καλῶς ἐπὶ τῷ ἀνακτήσαντι προελθεῖν, καὶ τὸ συμπαθὲς ἔτι κρεῖσσον ὑπὸ τῆς ὑμετέρας ἀρετῆς ἐπιδειχθῆναι· ὥστε καὶ ἡμῖν τοῦτο συνδοκεῖ· οὐκ ἔσαι τὶς παρὰ τῶν μὴ παντάπασι τὰ σπλάγχνα κλειόντων μέμψις τοῖς δεομένοις ἀνθρώποις καὶ αὐτοῖς ὑπάρχουσι φιλανθρωπίας.

CLX. ΓΡΗΓΟΡΙῼ ΕΦΕΣΟΥ.

Τὰ μὲν ἄλλα πάθη ὅσα, τέκνον ἡμῶν ἱερὸν, τὰς τοῦ Θεοῦ συνέχει ἐκκλησίας, οὐδὲ πρὶν ἠγνοοῦμεν· ἀλλ᾽ εἶχεν ἡμᾶς ἡ πικρὰ τούτων γνῶσις, καὶ χωρὶς τῆς τοῦ γράμματος ἀπαγγελίας· καὶ πολλάκις ταῦτα ἐκτραγῳδούντων ἡμῶν μία τὶς ἀπαντᾷ ὡς δοκεῖ τοῖς ἀποκρινομένοις εὐπρόσωπος αἰτία ἡ τῶν κοινῶν πραγμάτων ἀσθένεια· τὰ δ᾽ ἄλλα, ὅσα ἡ φήμη φέρουσα θόρυβον ὑμῖν ἐνεποίησεν, ἴσως ἔχει μέν τι καὶ ἀληθὲς, ἔχει δέ τι καὶ οἷα τὰ ἀνθρώπινα τὴν πρὸς τὸ ψεῦδος ἀναχώρησιν· πλὴν οὐδὲν λυπηρότερον ἐν τῷ τέως τῇ ταλαιπωρίᾳ ἡμῶν προσήγγισε τῆς ἐκ τοῦ πονηροῦ δαίμονος μεθόδου διαλυθείσης, δι᾽ ἧς ἐμηχανᾶτο καὶ τὰ τῆς βασιλείας καὶ τὰ τῆς ἐκκλησίας συνεκτάράξαι, φανερωθείσης τῆς αὐτοῦ κακούργου μηχανῆς καὶ διαλελυμένης ὑπὸ τῆς θεϊκῆς ἀντιλήψεως· ταῦτά σοι ὡς ἐν γράμματι δῆλα ποιοῦμεν· καὶ εἴης ἡμῖν ἐρρωμένος καὶ τῆς ἡμῶν ὑπερευχόμενος ταπεινότητος.

CLXI. Τῼ ΣΤΡΑΤΗΓῼ ΠΕΛΟΠΟΝΝΗΣΟΥ.

Ἴσως δόξομεν περιττόν τι ποιεῖν ἐπ᾽ ἐκεῖνο παρακαλοῦντες τὴν ὑμῶν σύνεσιν, ὃ πράττεις αὐτὸς ἐμφύτῳ χρηστότητι καὶ χωρὶς τῆς ἔξωθεν παρακλήσεως· τί δὲ τοῦτό ἐστι; τὸ ἵλεων φημὶ καὶ συμπαθὲς· τοῦτο γὰρ μετὰ τῶν ἄλλων καλῶν προσεῖναί σοι παρὰ πάντων σχεδὸν, ὅσοι τὸν σὸν οὐκ ἀγνοοῦσι τρόπον, ἐκδιδασκόμεθα· πλὴν ἀλλ᾽ ἐπειδὴ ὁ ἠγαπημένος ἡμῶν ἀδελφὸς καὶ συναρχιερεὺς ὁ τῆς Καισαρέων προέδρος ἐβουλήθη συμπρεσβευτὰς ἡμᾶς παραλαβεῖν, ὑπὲρ ἧς αὐτὸς ἔγραψεν ἐκδηλότερον ὑποθέσεως, οὐκ ἔχοντες ὅπως τὴν ἐκείνου παρὰ φαῦλον ἀξίωσιν θείημεν, πρὸς ταύτην ἤλθομεν τὴν παράκλησιν· πλήρου, τέκνον ἡμῶν, καὶ τὰ σεαυτῷ συνήθη ποιῶν, καὶ τὸν παλαιὸν φίλον καὶ συμπατριώτην ἡμῶν, εἰ βούλει δὲ καὶ τὸ ἡμέτερον μέρος ἐν λόγῳ τιθεὶς, τὴν κοινὴν πρεσβείαν ὑπὲρ ἀνθρώπου, ᾧ διὰ τὴν ἐσχάτην

ἐκδημίαν, πάντως οὐκ ἄλλη τις ὑπολέλειπται χάρις· καὶ παράσχου τὴν ἐπάνοδον τῷ τέκνῳ πρὸς τὸν οἰκεῖον πατέρα, παραμύθιον τοῦτο κοινὸν αὐτῷ τε καὶ τῷ πατρὶ χαριζόμενος, τὸ προσιδεῖν ἀλλήλους καὶ τὰ τελευταῖα προσομιλῆσαι καὶ ἐπιτάφια· ὁρᾷς ὡς τῇ σῇ πεποιθότες εὐμενεῖ ψυχῇ τὸ αὐτὸ παράκλητον ἐχούσῃ, πλειόνων οὐκ ἐδεήθημεν λόγων, ἢ ὅσον τὴν γνώμην ἐνδείξασθαι, ἣν κεκτήμεθα περὶ τοῦ πράγματος· ἀνθ' οὗ ὡς ἤδη πέρας λαβόντος ἐξαιτούμεθά σοι τὴν τῆς ἄνωθεν εὐμενείας ἀντίδοσιν, παρ' ἧς ἀμήχανον εἰπεῖν ὅσος τοῖς ἐλεημόνως πρὸς τοὺς πλησίον διατεθεῖσιν ὁ ἔλεος ἀντιδίδοται.

CLXII. ΓΕΩΡΓΙῼ ΕΞΟΥΣΙΑΣΤῌ ΑΒΑΣΓΙΑΣ.

Τοῖς εὐγενέσιν ἀνθρώποις, καὶ μάλιστα ὅσοις τὸ ἄρχειν ἐδωρήσατο ὁ θεὸς, ὥσπερ τῶν ἄλλων ἔχουσι τὸ διαφέρειν, οὕτως ὀφειλόμενόν ἐστι καὶ τὸ ἐν ἀρετῇ διαπρέπειν, καὶ μὴ μόνον τῇ σαρκικῇ εὐγενείᾳ σεμνύνεσθαι, ἀλλὰ πολλῷ πλέον καὶ τῇ ψυχικῇ λαμπρότητι ἐξωραΐζεσθαι· τοιοῦτον καὶ σὲ ἀκούομεν εἶναι, τέκνον ἡμῶν, καὶ ἀκούοντες χαίρομεν, καὶ ἐξαιτούμεθα παρὰ τοῦ πάντων αἰτίου τῶν καλῶν θεοῦ ἡμῶν ἐπὶ πλέον σε τοῖς εὐγενέσι τούτοις τρόποις καλλωπίζεσθαι· καὶ καλὸν ἀρχικῆς ἐξουσίας παράδειγμα καὶ νῦν διαφαίνεσθαι τῷ βίῳ παρόντα, καὶ μετὰ τὴν ἐκ τῆς ματαίας ταύτης ζωῆς ἀναχώρησιν δοῦναι τοῖς σοῖς τέως ἐπὶ τῆς σῆς ἀρχῆς καθισταμένοις πρὸς τὴν ὑμῶν ἀφορῶσι κατάστασιν ὀφθῆναι κατὰ μηδὲν λειπομένοις τῆς πατρικῆς ἀρετῆς καὶ μακαριότητος· ἃ δὲ περὶ τῶν Βουλγάρων ἔγραψας, οὐκ οἶδα ποίοις κρίμασι τοῦ θεοῦ, μένει τὸ κακὸν ἔτι τῆς ἔχθρας, καὶ τὸ καλὸν οὐκ ἐμεσίτευσε τῆς εἰρήνης· σὺ οὖν, τέκνον ἡμῶν, κατὰ τὴν βασιλικὴν ἀξίωσίν τε καὶ δήλωσιν, τὸ καθαρὸν τῆς φιλίας σώζων, φύλασσε παρὰ σεαυτῷ καὶ τὸ πρόθυμον τῆς συμμαχίας, καὶ εἴ γε χρεία καλέσοι, πάντως οἷα φίλος εὐγνώμων τὸ ζητούμενον ἐπιτελέσεις, ἵνα καὶ ἐν τούτῳ ἡ σὴ διαφαίνοιτο ἀρετὴ καὶ τὸ τῆς φιλίας ἀνόθευτον.

CLXIII. ΑΝΤΙΟΧΩ ΜΟΝΑΖΟΝΤΙ.

Οὐδὲν ἕτερον γράφομεν περὶ τοῦ κομίζοντος κουβουκλεισίου πρὸς τὴν ὑμῶν εὐλάβειαν τὸ γράμμα, ἢ μόνον τὸ δοῦναι λόγους αὐτῷ ἂν τοῦτο δεήσῃ πρὸς τοὺς τὰς ἐγκλήσεις ἐπιφέροντας, καθώς ἐστι καὶ τῇ σῇ ἀρετῇ πρέπον, καὶ ἡ τοῦ δικαίου τάξις ἐπιζητεῖ· τοῦτο δέ ἐστι τὸ μηδὲν εἰς ὕβριν μὴ δ' εἰς ἀτιμοτέραν πρᾶξιν καθιστάμενον, ἐπαχθῆναι αὐτῷ παρ' ὑμῶν· τοῦτο γὰρ οὐδὲ τῆς σῆς ἄξιον εὐλαβείας, ἴσως οὐδὲ τῆς τοῦ ἀνθρώπου καταστάσεως· μονάζων γὰρ καὶ κουβουκλείσιος οὐ χθὲς οὐδὲ σήμερον, ἀλλὰ πάλαι καὶ ἐξ ἀρχῆς καὶ διακονίας ἑτέρας ἐγκεχειρισμένος, αἳ τοὺς κατὰ τὸν βίον διαφέροντας πρὸς ἑαυτοὺς ἐκκαλοῦνται· εἴ τι οὖν οἷα τὰ ἀνθρώπινα παρεσφάλη, καὶ ἡ καταδικάζουσα ψῆφος τοῦτον ὁρᾷ, τὴν μὲν ἀπὸ τῆς ψήφου ζημίαν ὑποστήτω, καὶ εἴ τινός τι ἀφείλετο, πάντως ἀποδιδότω· τιμωρίαν δὲ ἄλλην καὶ ὕβριν, οἷα πολλάκις πρὸς αἰσχύνην τινῶν ἐπεδείξατο ὑμῶν ἡ εὐλάβεια, τούτῳ μὴ προστριψάτω· περισσὸν γὰρ καὶ καὶ οὐδὲ τῆς σῆς ἄξιον συνέσεως, οὔτε τὸν ἄνθρωπον τοιαῦτα πάσχειν ὀφειλόμενον· εἴ τι οὖν σοι μέλει καὶ περὶ τῆς σῆς εὐκοσμίας, καὶ περὶ τῆς ἀνυβρίστου πρὸς σὲ παραστάσεως τοῦ τὸ γράμμα κομίζοντος, προσθήσω δὲ καὶ τῆς ἡμῶν παραινέσεως, τοῖς γεγραμμένοις ὄφθητι ἐπακολουθῶν. Τέλος.

EDITORIS MONITUM.

De duabus epistolis Photii patriarchae ad Zachariam Armeniorum patriarcham et ad Asutium eiusdem gentis principem, et de variis inter Graecos et Armenios pro religiosa concordia tractatibus.

1. Ut Photii duas ad Zachariam Armeniorum patriarcham, atque ad Asutium eiusdem gentis supremum principem epistolas in hoc volumine divulgarem, causa mihi Nicolai mystici epistola 139. fuit, in qua hi Photii cum Armeniis tractatus, ut

vidimus, commemorantur. Epistolae quidem ad Zachariam testis est etiam Samuel aniensis, a me olim et a cl. Zohrabo Mediolani editus, in suo chronico ad Christi annum ·D·CCC·LXXVIII· his verbis: « Constantinopoli patriarcha erat Photius, qui nuper » ad Zachariam patriarcham nostrum consortii ineundi causa » epistolam scripserat. » Quo loco nos editores adnotavimus: « haec Photii prolixa epistola extat in codicibus armeniacis col- » legii veneti S. Lazari. (1) » De altera vero contemporanea Photii epistola ad Asutium principem, verba facit Serposius Comp. hist. T. II. p. 44. Hoc ego triplici testimonio admonitus Nicolai, Samuelis, atque Serposii, de photiani utriusque scripti non existentia solum, verum etiam in aliena saltem lingua, conservatione (etenim graece neque in Montacutii epistolarum Photii editione, hae duae leguntur, neque a me in hellenicis umquam codicibus observatae fuerunt) rogavi RR. patres Mechitaristas, ut si ipsorum commodo ac libito fieri posset, photianas mecum epistolas communicarent: hique tantam prae se tulerunt benignitatem, ut illarum statim apographum, cum italica P. Eduardi Hormutii, perdocti viri mihique amicissimi, interpretatione utendum concesserint. Quo accepto munere, nolui equidem occasionem omittere sociandi Photium cum Nicolao, qui familiaris eius et cathedrae successor fuit: quodque magis interest, gestivi protinus, novum hoc ecclesiasticae historiae additamentum ad publicam notitiam perferre. Est enim hic unus ex tot tractatibus, quibus graeca ecclesia cum Armeniis instaurare concordiam fideique religiosae unitatem conata est.

2. Profecto disputationum omnium, quae inter duas ecclesias habitae sunt, seriem non contexam: id enim ad generalem potius religionis historiam pertinet. Video tamen principem fere omnium in hanc aleam descendisse sanctum Proclum, qui saeculo quinto, et quidem ante chalcedonense concilium vixit, scripta ad Armenios dogmatica epistola, qua illos contra falsas doctrinas communivit. Superest adhuc ipsa epistola inter Procli opera, rei vero historia exponitur apud Galanum T. I. p. 69. et seq. Trullani canones saeculo septimo editi, ob emendandam praesertim Armeniorum liturgiam ac disciplinam, notissimi sunt. En autem octavo saeculo sanctus Germanus I. patriarcha byzantinus zelum suum pro Armeniorum orthodoxia exprompsit, datis

(1) Ab hac Photii dogmatica epistola prorsus distinguenda est Iohannis nicaeni episcopi ad eumdem Zachariam epistola, a Combefisio in Auctario B. PP. T. II. p. 297. edita, quae nonnisi de festorum celebratione agit.

ad eos litteris, ut duplicis in Christo naturae confessionem, et chalcedonensis synodi admissionem suaderet: quae litterae non extant quidem, sed earum certa notitia legitur in Armeniorum ipsorum menologio apud Galanum p. 78, nec non in tarsensi concilio apud eundem p. 341. (1). Germano tunc omnino consensisse dicuntur Armenii op. cit. p. 77, praesertim quia hunc inter divos numerant. Nunc Photius sequente saeculo curiose narrat quoties armenii episcopi chalcedonensem fidem susceperint, atque aliis oecumenicis synodis interfuerint ac subscripserint. Pauloque post Nicolaus mysticus epistolam suam ad Armenios misit, cuius nos latinum quoque summarium in praefatione n. XIV. scripsimus. Utriusque tentaminis exitus nullus fuit, ut de Nicolao nos diximus, de ipso autem Photio Nicolaus ep. cit., quae valde contradicunt narratis a Serposio T. II. p. 46. Sequutae sunt duodecimo saeculo, post annum ·M·C·LXX·, regnante apud Graecos Manuele Comneno, celebres duae ad Armenios ob religiosam concordiam legationes ac disputationes Theoriani philosophi cum Nersete claiensi patriarcha, quarum priorem Leunclavius, posteriorem nos in codicibus saltem quinque inventam edidimus. Harum tamen felix exitus patriarchae morte corruptus videtur: donec quinquennio post res iterum in concilio tarsensi acriter ventilata ac prope confecta, Manuelis imperatoris similiter obitu, Deo sic permittente, rursus corruit.

3. Sed enim praeter hactenus dicta, nova mihi quaedam in mss. comperta sunt, quae integre quidem in alia monumentorum veterum sylloge, ut spero, daturus sum; nunc tamen summariam ipsorum notitiam delibabo. Etenim circa Christi ann. ·M·CC·XL·, regnante Constantinopoli postremo Latinorum imp. Balduino, Nicaeae imperatore graeco Iohanne Duca Vatatze, renovatum a Graecis tentamen est dogmaticam copulandi cum Armeniis pacem. Scripsit ergo Germanus II. tunc patriarcha graecus epistolam ad Constantinum eodem tempore Armeniorum patriarcham, quam ego in codicibus vaticanis legi hoc titulo et initio. Τῷ ὑψηλοτάτῳ καθολικῷ πάσης τῆς ἀρμενιακῆς ἐκκλησίας, τῆς κατὰ πᾶσαν τὴν οἰκουμένην καὶ σοφίᾳ καὶ συνέσει κεκοσμημένῳ κυρῷ Κωνσταντίνῳ, Γερμανὸς ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινοπόλεως, νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. Incipit.

(1) Ergo Germanus I. permutari nequit cum Germano II, qui pariter ad Armenios pro concordia scripsit, ut mox videbimus. Etenim tarsense concilium, in quo verba fiunt de Germano, ante Germanum secundum fuit.

Ἀγαλλιάσθω ὁ οὐρανὸς, καὶ εὐφραινέσθω ἡ γῆ σήμερον κ. τ. λ. In ea Germanus commemorat primo Tiridatis et Constantini contemporales dominationes: atque hunc miraculo visae crucis conversum, et a beato Silvestro per baptismatis aquas lepra mundatum, illum vero praedicatione S. Gregorii e vitiorum coeno vitaque beluina ereptum: atque hos ambos reges religionis communione concordes, suis unumquemque populis orthodoxam Christi doctrinam tradendam curasse. Et Armenios quidem prioribus tribus oecumenicae auctoritatis conciliis adsensum suum praebuisse: deinde tamen diaboli fraude deceptos in pestiferam haeresim incidisse, qua unicam in Christo naturam ex deitate et humanitate concretam adfirmantes, universam incarnationis oeconomiam pessum dederunt. Sic enim Christus neque aeterno patri suo qui nihil humanitatis habet, neque virgini matri quae vicissim deitatis est expers, foret consubstantialis. Frustra autem Armenios obiecisse orthodoxis Christi in duos divisionem: hanc enim Nestorii esse blasphemiam, quem hominem iudaei instar abominatur ecclesia. Sic autem separatis a catholico corpore Armeniis, alias subinde pravas consuetudines, ecclesiasticae traditioni contrarias, inter eos, ut fit, obrepsisse. Haec nos breviter diximus, quae in graeco textu paulo copiosius scribuntur sic. Διέστησεν (ὁ διάβολος) ἀπὸ τῶν Ῥωμαίων τοὺς Ἀρμενίους ἀδελφὰ φρονοῦντας τὸ πρότερον, οὐ διάστασιν ψυχικὴν, μικρὸν γὰρ τουτὶ τὸ ἀδίκημα, ἀλλὰ ψυχικήν· συνδιέστησε δὲ καὶ ἀπὸ Χριστοῦ, οὐχ ὅτι διϊστῶσιν αὐτοὶ εἰς Χριστοὺς δύο τὸν ἕνα Χριστόν· τοῦτο γὰρ τὸ δόγμα τοῦ ἀντικειμένως ἔχοντος πρὸς αὐτοὺς Νεστορίου, ὃν καὶ ἡμεῖς ὁλοψύχως ἀναθέματι αἰωνίῳ καθυποβάλλομεν, ὡς ἕνα τῆς τῶν ἰουδαίων συναγωγῆς· ἀλλ' ὅτι τὰς δύο φύσεις εἰς μίαν συγχέουσι τολμηρῶς· ὡς μήτε τῷ προαιωνίῳ πατρὶ, μήτε τῇ ὑποχρονίῳ μητρὶ ὁμοούσιον νοεῖσθαι καὶ συμφυῆ τὸν υἱόν· οὔτε γὰρ ἐκ θεότητος καὶ ἀνθρωπότητος ὁ πατὴρ, οὐθ' ἡ μήτηρ τοιαύτη· δεῖ δὲ τοῖς ὀρθῶς φρονοῦσιν ὁμοφυῆ τοῦτον κηρύττειν τῷ πατρὶ καὶ ἡμῖν· οὐ κηρυχθήσεται δὲ οὕτως εἴπερ αἱ δύο φύσεις εἰς μίαν κραθεῖσαι συνανηνέχθησαν, ἀλλ' εἰ σώζοιντο ἀσύγχυτοι ἐν τῷ αὐτῷ καὶ ἑνὶ Χριστῷ· αὕτη μὲν πρώτη αἰτία τῆς διαστάσεως· καὶ τῆς κοινῆς ὁλομελίας τὸ καλὸν τοῦτο μέλος τῶν Ἀρμενίων ἀποκοπὲν

μακρὰν ἀπέῤῥιφη· μέλος δὲ πᾶν τῆς ὁλότητος ἐκτμηθὲν, πολλοῖς περιστοιχίζεται μετὰ τὴν ἐκτομὴν τοῖς κακοῖς, μελαίνεται, σήπεται, δυσωδίας ἐκπέμπει, σκώληκας ἀναβράττει· οὐ γὰρ ἐπὶ μόνῃ τῇ πρώτῃ αἱρέσει ἡ τῶν Ἀρμενίων ἐκκλησία παραμεμένηκεν, ἀλλὰ καὶ ἕτερα προσεξεύρηκεν ἔθη ταῖς ἐκκλησιαστικαῖς ἐναντιούμενα παραδόσεσι.

4. Transit mox Germanus ad Haitonis Armeniorum regis, nec non patriarchae eorumdem Constantini laudes, qui de instauranda fidei concordia sincero, ut sperat, affectu laborabant, missis ad Graecos legatis Theodoreto hegumeno, et Basilio monacho: qua ex re speque Germanus (sede sua tunc pulsus et errans) plus gaudii se percepisse affirmat, quam si Constantinopolis Latinorum per id tempus tyrannide, ut ait, oppressa, ad graeci Caesaris ius reversa fuisset. Porro tantam se suscepisse de Armeniorum conversione fiduciam dicit, ut etsi nullas a Catholico receperat litteras, ipse tamen fretus antiocheni patriarchae testimonio, qui eius rei obses erat, nec non Theodoreti monachi adfirmatione, negotium occepisset, misso ad Armenios Melitenes metropolita; quem nunc ad se cum aliquot eius gentis episcopis remitti postulat, ut de Catholici regisque circa rem tantam voluntate certior fiat.

5. Acceptis Germani litteris respondit Constantinus armenius, perscripta fidei suae formula seu libello, qui etsi in diverso vat. longeque dissito exemplari legitur armeniace atque latine, eum nihilominus ad hanc tractationem pertinere, manifestum ex titulo fit, qui ita se habet. *Confessio brevis Armenorum fidei, tradita a sanctis patribus et recepta; scripta vero ad sanctogenitum patriarcham constantinopolitanum, praecepto Constantini catholici Armenorum.* Versatur haec confessio in expositione mysteriorum sanctissimae Trinitatis, et Christi Iesu incarnationis, vitae, mortis, resurrectionis, atque in caelum reditus. Est autem universa locutio huiusmodi, ut catholico passim sensu intelligi posse videatur: quamquam duarum diserte naturarum, nedum definitionis chalcedonensis, mentionem omnino vitat, et quibusdam praeterea particulis aequivoca fortasse sententia subest. Ceteroqui Constantinus passam et mortuam Christi humanitatem dicit, immortalem divinitatem: Spiritum sanctum a Patre procedentem: corpus Christi datum nobis in cibum, et eius sanguinem hostiam pro peccatis: Athanasii magni auctoritatem bis laudat, ad symbolum eius, ut plane

apparet, respiciens. Certe hic Constantinus apud romanum pontificem Gregorium IX. habitus est orthodoxus, qui pallium atalia ornamenta ad eum misit cum pacificis litteris, quae sunt apud Rainaldum ad Christi annum ·M·CC·XXXIX· n. 82.

6. Ante quam hic Constantini libellus fidei ad Graecos perveniret, mortem cum vita Germanus II. patriarcha commutavit: itaque nonnisi a patriarchali clero et episcoporum coetu suscipi potuit, qui eo lecto, epistolam vacante sede rescripserunt, in codice vaticano superstitem, hoc titulo et initio. Γράμμα ἀποστολικὸν πρὸς τὸν λίβελλον τῆς τῶν Ἀρμενίων ἐκκλησίας, τὸν ἐκ προσταγῆς τοῦ Καθολικοῦ τῆς τοιαύτης ἐκκλησίας κυροῦ Κωνσταντίνου γραφέντα πρὸς τὸν ἁγιώτατον πατριάρχην κύριν Γερμανὸν, ἐκτεθὲν μετὰ τὴν ἐκείνου πρὸς κύριον ἐκδημίαν παρὰ τῶν ὑποκειμένων τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἀρχιερέων. — Ὁ τὴν ῥηγικὴν ἀνεζωσμένος ἀρχὴν τῆς τῶν Ἀρμενίων γενεᾶς κ. τ. λ. *Responsio ad libellum armeniacae ecclesiae, iussu Catholici eiusdem ecclesiae domini Constantini scriptum ad sanctissimum patriarcham dominum Germanum. Facta est autem haec responsio post illius ad Dominum transitum, a subiectis constantinopolitanae sedi episcopis.* Incipit. *Qui regalem dignitatem apud Armeniorum gentem obtinet* etc. Et libellum quidem armenii patriarchae allatum sibi aiunt Graeci a Gregorio metropolita Isauriae, eundemque paulo fortasse obscurum et sensuum profunditate abstrusum, verumtamen charitati scrutanti pervium, appellare videntur. Quamobrem ipsi vicissim recitata mox sua luculenta fidei professione, ad eandem Armenios invitant, atque ad omnimodam concordiam dogmatum stabiliendam. Ergo septem synodorum (inter quas chalcedonensis) summam exponunt, a quibus tamquam totidem tubis sacerdotalibus profanae Hierichuntis, id est haereseum, moenia prostrata fuisse aiunt. Deinde gratulantur quod iam in libello sic loquantur Armenii, ut appareat eos a chalcedonensi synodo non dissidere. Οἴδατε γὰρ καὶ ὁμολογεῖτε τρανῶς μεθ' ἡμῶν τὴν ἐκ δύο φύσεων, θεότητος τε καὶ ἀνθρωπότητος, συντεθεῖσαν μίαν ὑπόστασιν Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ δοξάζετε ἕνα υἱὸν καὶ θεὸν, ἑνωθέντα σαρκὶ ἐμψύχῳ νοερᾷ τε καὶ λογικῇ κατὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἀσυγχύτους τὰς φύσεις, καὶ ἔτι μένειν τὰς συνελθούσας καὶ ἀποτελεσάσας τὴν μίαν ὑπόστασιν τοῦ Χριστοῦ·

ἡμεῖς γὰρ τὸν φρενοβλαβῆ Νεστόριον δυάδα υἱῶν φληναφήσαντα, καὶ τὴν ἀειπαρθένον θεοτόκον, χριστοτόκον καλέσαντα, καθυποβάλλομεν ἀναθέματι· ἀλλ' εὖ γε ὑμῖν, ἀδελφοί, ὅτι καὶ τοὺς τῆς τετάρτης συνόδου καρποὺς, οὓς τὸ πρὶν ὡς ὄμφακας ἀπεπτύετε, νῦν ὡς ὡρίμους καὶ ἡδυτάτους προσίεσθε· εἴθε δὲ καὶ ὑπὸ τὴν τοῦ δένδρου σκιὰν τοῦ ἐκβλαστήσαντος τοὺς τοιούτους καρποὺς ἴδοιμεν καθημένους ὑμᾶς σὺν ἡμῖν· τὸ γὰρ ἀσύγχυτον τῶν ἐπὶ Χριστῷ δύο φύσεων συνελθουσῶν, καὶ τὸ ἑνιαῖον τῆς ὑποστάσεως, καὶ ἐν τῷ λιβέλλῳ ὑμῶν γραφόμενον εὕρομεν· καὶ θαῤῥοῦμεν ὅτι καὶ τὴν κρᾶσιν, καὶ τὴν φύρσιν, καὶ τὴν σύγχυσιν τὴν τὰς δύο φύσεις εἰς μίαν συγκιρνῶσαν φύσιν, μεθ' ἡμῶν καλῶς ἀποβάλλεσθε· καὶ αὐτοὺς τοὺς ταύτην παραδιδάξαντας, τόν τε ἄνουν Διόσκορον καὶ τὸν Εὐτυχέα τὸν δυστυχῆ, οὓς ἡ ἐν Χαλκηδόνι δ' σύνοδος τῶν ἑξακοσίων τριάκοντα πατέρων, σὺν τῷ ἁγίῳ πάπᾳ τῆς παλαιᾶς Ῥώμης Λέοντι τῷ θεόφρονι, τῷ ἀναθέματι παραδέδωκε. Constat autem, Armeniorum errores in quarta praesertim, quinta, sextaque synodo fuisse damnatos, quae contra monophysitas, synusiastas, synchyticos, et monothelitas celebratae fuerunt. Et quidem Graeci diserte adnotant a sexta synodo quartam fuisse firmatam. Ergo quia iam Armenii quartae synodi fructus se gustasse, quos antea respuebant, confessione sua demonstrarunt, hortantur eos Graeci ut sub ipsius arboris umbra, id est sub eius synodi auctoritate, requiescere demum velint: quo dicto innuunt, nondum Armenios publicum et manifestum chalcedonensi synodo adsensum praebuisse; quae est prope aeterna eius gentis calamitas et miseria; gentis dico quatenus est schismatica, et monophysismo laborans; partem enim ipsius catholicam, et cum romano Pontifice consentientem, semper excipio. Deinde epistola non sine causa attingit septimam quoque contra iconomachos synodum; namque Armenios hac etiam haeresi fuisse aliquando afflatos, narrat Nicetas choniata in historia lib. II. 3. Renovata postremo ad plenam nullo articulo excepto orthodoxiam adhortatione, (εἰ οὖν ἀδελφὰ καὶ ὑμεῖς φρονεῖτε ἡμῖν, τὴν κατὰ Χριστὸν ἡμετέραν ὁμοίωσιν τὲ καὶ μόρφωσιν, ἐν πᾶσι τοῖς ἡμετέροις θεοπαραδότοις θεσπίσμασι καὶ ἱεροῖς ἔθεσιν ἑαυτοὺς ἀναμορφώσατε, καὶ πᾶν τὸ ἐλλεῖπον ἀναπληρώσατε, καὶ τὸ περιττεῦον καλῶς περιέλετε) aiunt Graeci mitti

ab se ad Armenios Iohannem Melitenes episcopum, cum Iohanne altero constantinopolitanae ecclesiae logotheta, qui verbis graecae synodi coram agant pro demortuo nuper Germano, cuius in sedem nemo adhuc successerat.

